

STEPHANI BYZANTII

ETHNICORVM

QUAE SVPERSVNT

EX RECENSIONE


AVGVSTI MEINEKII

TOMUS PRIOR

BEROLINI

IMPENSIS G. REIMERI

MDCCCXLIX



PRAEMONITUM EDITORIS

Cum iustae praefationi scribendae et tempus desit et animus, in earum mihi rerum commemoratione acquiescendum esse video, quas lectorem scire maxime interest, ceteris quae de Stephani opere eiusque epitome dicenda habeo alteri voluminí reservatis.

Codices igitur versavi tris, Rehdigeranum Vossianum Parisiensem, quibus accedit quae codicis instar habetur editio Aldina. praeterea usus sum lectionibus, quas ex Perusino libro Jacobus Gronovius, ex duobus Palatinis Lucas Holstenius excerpserunt.

Horum librorum qui primum locum obtinet Rehdigeranum primus descripsit et comparavit Franziscus Passovius Opusc. p. 225 sqq. non indignum fuisse quem iterum excuterem plurimis exemplis cognovi.

Rehdigerano non multo inferior est Vossianus (Ms. graec. Voss. F. 20), cuius utendi mihi potestatem fecit officiosa Jacobi Geelii comitas. scriptus est codex saeculo decimo quarto, forma maxima, foliis constans 221, versibus 29 singulis. supplementa et lacunas fere easdem habet quas Rehdigeranus. adhibuit hunc librum iam Berkelius, sed desultorie et negligenter.

De duobus, quos bibliotheca Parisiensis habet, codicibus adhibui eum, quem potiorem iudicavit Emilius Millerus (Iournal des Savans a. 1838). eum cum fere cum

Aldino exemplari consentire vidissem, non totum comparavi, sed iis tantum locis inspexi, quibus medelam undecunque fieri posset circumspiciebam.

Aldina quem secuta est codicem satis fideliter expressisse videtur. est vero etiam ubi editorem suopte ingenio rem administrasse suspiceris, cuius rei, ut leviora omittam, certum, ut mihi quidem videtur, exemplum habes p. 285, 12.

Perusinum codicem usque ad nomen *Παλικὴ* comparavit qui satis magnifice de eo sentit Jacobus Gronovius. et habet sane aliquammulta et plenius et melius scripta quam exemplar Aldinum, nec tamen dignus videtur qui melioribus repertis iterum comparetur.

De Palatinis adscribam verba Westermanni „Salmasius, quem singularem Stephano operam dedisse ex multis apparet locis Plinianarum exercitationum et ex eo quod a. 1609 in commentario ad Florum p. 93 scripsit: Stephanum ante annum recensuimus et castigavimus, Salmasius igitur usus est duobus codicibus Palatinis, post Romam in bibliothecam Vaticanam delatis, altero vetustiore, altero recentiore, eorumque lectiones ad marginem exemplaris sui aduotavit, quod ipsum a. 1626 ad Lucam Holstenium misit (vide Salmasii epistolam ad Holstenium in praefatione Theodori Ryckii); sed sua ipse mala manu in pessima ac bibula charta scripta esse confitetur, idemque exemplar iam longo usu tantopere detritum et deturpatum fuisse queritur in praefatione sua Berkelius, qui eo usus est ab Isaaco Vossio sibi tradito, ut multis in locis sensum elicere non posset. Qui alii sint codices quos simul Salmasium contulisse refert ibidem Berkelius nescio." His nihil habeo quod adiiciam, nisi quod Salmasium exemplari suo ad Holstenium misso non tantum Palatinorum

librorum lectiones allevisse, sed suas quoque ipsius coniecturas adscripsisse mihi persuasi, quas cum a codicum illorum lectionibus certa nota non distinxisset, plus semel Holstenius pro Palatinis lectionibus venditavit. ceterum libris illis quid factum sit vel ubi terrarum lateant mihi incompertum est; in Vaticana bibliotheca frustra quaeri indicavit mihi qui multam iis investigandis operam impendit Emilius Braunus.

De virorum doctorum coniecturis, quarum quidem sedes non indicavi, sic habeto. Dindorfiorum emendationes petii ex thesauro linguae graecae Parisino, Schubarti ex Zimmermanni et Bergkii annalibus antiquitatis studiorum a. 1841 n. 134—136 et a. 1843 n. 25—27, Heringae et Gavelii, Hemsterhusianae disciplinae alumni, ex observationibus miscellaneis novis, denique Milleri ex Gallico diario supra memorato. ex his Heringae et Gavelii annotationes non nisi inde a nomine Ἐλιμία adhibere licuit, quorum ad priorem partem emendationibus ne fraudentur lectores, altero volumine cavebitur.

His igitur subsidiis aliorumque criticorum emendationibus ita usus sum, ut Aldino exemplari, a quo nisi monito lectore nunquam mihi discedendum existimavi, novam recensionem superstruerem.

Quos in calce libri adieci indices, eorum alter, qui rerum index est, ea dumtaxat complectitur, quae locupletissimo Stephani opere extra nominum seriem continentur; omisi tamen vel raro tantum attigi ethnicorum canones, de quibus singulatim explicabitur.

Alterum volumen, quod praeter selectas et ad minimam sui partem redactas priorum editorum adnotationes nostros continebit commentarios, ut proximo anno emittatur, si per temporum minas licuerit, sedulo curabitur.

Superest ut siglorum quibus usus sum interpretationem adiiciam. significatur igitur litera

R Rehdigeranus,

V Vossianus,

Pp Palatinus uterque, P unus Palatinorum, P^a vetustior, P^b recentior,

P^r Parisiensis,

Π Perusinus,

A Aldinus,

X Xylander, vulgatae quam dicunt auctor habendus,

H Holstenius,

B Berkelius,

W Westermannus.

meas ipsius opinationes ubi indicare volui, plerumque litera M usus sum vel simpliciter quid in libris legatur indicavi.

Catalogi tributorum aliquoties in annotatione critica memorati usum Boeckhius mihi concessit.

Scribebam Berolini mense Aprili a. MDCCCXLIX.

ΕΚ ΤΩΝ ΕΘΝΙΚΩΝ

ΣΤΕΦΑΝΟΥ

ΚΑΤ' ΕΠΙΤΟΜΗΝ



ΕΚ ΤΩΝ ΕΘΝΙΚΩΝ ΣΤΕΦΑΝΟΥ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ

Ἄβαι, πόλις Φωκική, ἀπὸ εὐθείας ἑνικῆς τῆς Ἄβη. κέκληται δὲ ἀπὸ ἥρωος Ἄβα. Ἡρωδιανὸς δέ φησιν ὅτι τὸ Ἄβας, ὅτε ἔθνος σημαίνει, περιττοσυλλάβως κλίνεται ἀεί, ὅτε δὲ κύριον, καὶ ἰσοσυλλάβως καὶ περιττοσυλλάβως. ἔστι δὲ ὁ ποταμὸς Ἰταλίας. ὡς οὖν ἀπὸ τοῦ Ἀμύκλα Ἀμύκλαι, οὕτως Ἄβα Ἄβαι. Λυκόφρων „ποθοῦντες Ἄμφισσάν τε καὶ κλεινὰς Ἄβας". τὸ ἐθνικὸν Ἀβαῖος καὶ τὸ κτητικόν. μηδεὶς δὲ περιττολογίαν ἡγείσθω τὴν παράθεσιν τῶν ἐθνικῶν, διὰ τὸ ἀνόμοιον. Δέρβη γὰρ φρούριον Ἰσαυρίας, τὸ δὲ ἐθνικὸν Δερβήτης καὶ Δερβαῖος,

---

Tit. ἐκ τῶν ἐθνικῶν Στεφάνου κατ' (κατὰ ΠV) ἐπιτομήν ΠRV, Στεφάνου Βυζαντίου περὶ πόλεων καὶ δήμων A.

1. Ἀβαί V. 3. δὲ κύριον R, δέ ἐστι κύριον AV. post κύριον, propter sequentia ἔστι δὲ ὁ ποταμός, excidisse suspicor εἴτε τοῦ ἥρωος εἴτε τοῦ ποταμοῦ. 4. ὁ ποταμός RV, καὶ πόλις A. 5. Ἰταλίας] Nullus hoc nomine Italiae fluvius memoratur. in R scriptum est ἰ̣τ̣αλίας, i. e. Ἀλίας, quod aut ex Ἀσίας aut ex Ἀλβανίας corruptum videtur. de Aba fluvio Albaniae v. Dio Cass. 37, 3 πρὸς τὸν Ἄβαντα προσεχώρησαν. Plutarch. V. Pomp. 35 κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους. Arcadius Acc. p. 21, 9. τὰ εἰς βας βαρύνονται, Βίβας Φόρβας Ἄββας (leg. Ἄβας) ποταμός. Ἄβα V, Ἄβας AΠR. Ἀβαί V. 6. Λυκόφρων] Vs. 1074. Ἄμφισαν ante X. Ἀβάς RV. 7. τὸ ἐθνικὸν Ἀβαῖος καὶ τὸ κτητικόν PªRV, τὸ κτητικὸν Ἀβαῖος καὶ τὸ ἐθνικόν A. δὲ PpRV, γὰρ A. 8. Δέρχη R. 9. Δερβήτης V, Δερβίτης A, Δερχίτης R. καὶ Δερβαῖος] καὶ Δερχαῖος R, Δερβαῖος V. malim igitur οὐ Δερβαῖος. neque infra v. Δέρβη eam formam memorat.

ὡς Σιδήτης καὶ Πυλήτης, ὡς δειχθήσεται, ἀπὸ τοῦ Σίδη καὶ Πύλη. [ὡς] καὶ Ἄλβη, τὸ ἐθνικὸν Ἀλβανός. καὶ Ἀλύβη, τὸ δὲ ἐθνικὸν Ἀλυβαῖος καὶ Ἀλυβεύς, οὗ θηλυκὸν Ἀλυβηίς, καὶ Ἀλυβήιος τὸ κτητικόν, ὡς βασιλήιος· ἀλλὰ καὶ Ἄλυβες. καὶ Ἀρτάκη Ἀρτακηνός Ἀρτάκιος, οὐκ Ἀρτακαῖος. αἱ δὲ Ἄβαι πόλις ἐν τοῖς Φωκεῦσιν, ἔνθα ἱερὸν Ἀπόλλωνος. ἦν δὲ τοῦτο τὸ μαντεῖον πρὸ τοῦ ἐν Δελφοῖς. ἔστι καὶ ἄλλη Ἄβα πόλις Καρίας, ὡς Ἡρωδιανὸς ἐν ἑνδεκάτῳ βιβλίῳ. δύναται δὲ Ἀβεὺς τὸ ἐθνικὸν διὰ τὸν εἰθισμένον τοῖς Καρικοῖς τύπον, ὡς δείξομεν.

Ἀβάκαινον, πόλις Σικελίας, οὐδετέρως καὶ προπαροξυτόνως καὶ ἡ παραλήγουσα διὰ διφθόγγου, ὡς Ἡρωδιανὸς ἐν τρισκαιδεκάτῳ περὶ οὐδετέρων. λέγει δ' εἶναι πόλιν Καρικήν, ἣν εὑρεῖν οὐκ ἠδυνήθημεν. Σικελῶν δὲ μοῖρά τίς ἐστι. τὸ ἐθνικὸν Ἀβακαινῖνος, ὡς Ἀκραγαντῖνος, ὃ οὐκ ἄηθες Σικελῶν, Μεταποντῖνος Λεοντῖνος Βρεντεσῖνος Τερεντῖνος Ἀρρητῖνος Ἀσσωρῖνος Ἐρυκῖνος.

---

1. Σιδίτης καὶ Πυλίτης R. 2. ὡς om. V. καὶ om. V. Ἄλβη PV, Ἄλβα A, α̅ R. 3. δὲ om. V. καὶ Ἀλυβή καὶ τὸ κτητικόν PV. 4. ἀλλὰ om. P. 5. ἄλλυβες R. Ἀρτακή Ἀρτακηνός Ἀρτάκιος R, Ἀρτάβη Ἀρτάκη Ἀρτακῖος A, Ἀρτάκη Ἀρτακίος V. 6. ἐν add. R. τοῖς add. V. 7. τό add. P[a]RV. πρὸ τοῦ] παρ' αὐτοῦ V. καὶ RV, δὲ A. 8. Ἡρώδης Π. ἑνδεκάτῳ M, εἰκοστῷ A, κ̅ R, η̅ V. cf. Arcad. p. 101, in. εἰ δέ τι ἄλλω εὑρεθῇ (εὑρεθείη), κατὰ διάλεκτον ἢ πάθος ἐγένετο, ὡς τὸ Ἑλένα Ἑλένη, Ἀθηναία Ἀθηνᾶ, ubi iam addere licebit: Ἄβα Ἄβη, πόλις Καρίας. βιβλίων R. 9. δὲ R, καὶ AV. 11. Ἀβάκαινον Schubartus, Ἀβακαῖνον AR, Ἀβακαῖον V. προπαροξυτόνως Schubartus, παροξυτόνως libri, 12. παραλήγουσα δίφθογγος V, ut s. v. Ἀλίφηρα. 13. τρισκαιδεκάτῳ] Hinc intelligitur apud Arcad. p. 120. canonem de nominibus in αινον excidisse. 13. Καρικήν] Videtur aut Stephanus aut Herodianus vitioso codice usus esse, in quo Καρική pro Σικελική scriptum erat. 16. Σικελῶν] Vide ad v. Σινόεσσα. Βερεντεσῖνος R. Ταραντῖνος H, Ταραντῖνος vel Τερβητῖνος B. at Τερεντός et Βενεβεντός coniungit Theognostus Crameri p. 3, 22. et Τερεντία de regione Tarentina dixit Dioscor. Mat. med. 3, 68. denique Τερεντῖνος πλα-

Ἀβαντίς, ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου β' περὶ Ἰοῦς

νήσῳ ἐν Ἀβαντίδι δίῃ,
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς.

ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου, ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης. τὸ ἐθνικὸν ὁμωνυμεῖ τῷ ἥρῳ, ὡς Ἴων Θεσσαλός Ἀχαιός Τρώς Δαναός Λοκρός. τὸ δὲ Τευκρός διήλλαξεν· ὀξύνεται γάρ. τὸ κτητικὸν Ἀβάντειος ἢ τοῦ κυρίου ἢ τῶν Ἀβάντων, οὐ τόπου τινὸς Ἀβαντίου, ὡς τὸ Βυζαντίου, ἀλλ' ὡς Θόας Θοάντειος. τὸ δ' Ὑάντιος ὡς ἐθνικὸν συνέστειλεν Ἀπολλώνιος ἐν τῷ „Ὑαντίου Ὀγχηστοῖο". ἢ παρὰ λόγον ὡς „Ποιάντιον ἀγλαὸν υἱόν". δοκεῖ δ' ἀπὸ τοῦ Ἀβάντιος εἶναι τὸ Ἀβαντιάς, ὡς ἀπὸ τοῦ Ἑλικώνιος Ἑλικωνιάς, Ὀλύμπιος Ὀλυμπιάς, Δήλιος Δηλιάς. τὸ δὲ Ἀβαντίς ἀπὸ τῆς Ἄβαντος γενικῆς, ὡς Ἑλικωνίς τῆς Ἑλικῶνος, Βίστονος Βιστονίς, Αὔσονος Αὐσονίς. ἴσως δὲ καὶ τὸ Ἀβαντιάς ἀπὸ τοῦ Ἀβαντίς παρήχθη, ὡς ἀπὸ τοῦ Λέσβος Λεσβίς Λεσβιάς, Ἀχαιίς Ἀχαιιάς „Ἀχαιιάδων εὐπέπλων". μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ, ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιάς, τὸ Ἀβαντία θηλυκόν, ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β̄

χοῦς habet Athen. 14 p. 647 c. nisi id alio spectat. 1. *Αἰγιμίου* Gronovius, *Αἰγιμί* PpR, *Αἰγί* V, *Αἰγι*** A. 3. *Ἀβαντίδων* R. 4. *τότε* libri. *ὠνόμασεν Ζεύς* X, *ὠνόμασέν νιν Ζεύς* libri. cum non credibile sit Hesiodum duos deinceps tam male tornatos versus posuisse, in R autem *βοός* suppositis punctis notatum sit, fortasse scribendum *δὴ τότε γ' Εὔβοιάν μιν ἐπώνυμον ὠνόμασε Ζεύς*. nimirum Ius in vaccam transmutationem in superioribus exposuerat. de *δὴ τότε γε* vide Hom. Od. 13, 92. 7. *ἥρω* RV, *ἥρωι* A. 8. *τὸ δὲ Τευκρός* lacuna indicata om. RV. cf. Lehrs Arist. p. 283. 9. *κυρίου* om. V, *ἐπιχωρίου* R. *Ἀβαντίας* pro *Ἀβαντίου* V. 10. *ὡς τὸ* [*Βυζάντειος*] *Βυζαντίου*? cf. s. v. *Βυζάντιον*. *ἀλλ' ὡς* lacuna indicata om. V. 11. *Ἀπολλώνιος*] Argon. 3, 1241. 12. *Ποιάντιον ἀγλαὸν υἱόν*] Hom. Od. 3, 190. *Πιάντιον* ante X. de re vide qui Stephano usus est Eustath. ad Dion. 803. et Lobeck ad Aiac. p. 114. 13. *Ἑλικῶνος* V. 16. *Βίστονος Βιστονίς* RV, *Βίστωνος Βιστωνίς* A. 18. *Ἀχαιιάδων εὐπέπλων*] Hom. Il. 5, 424. Od. 21, 160. 20. *ὅ που κατά* R.

εἰς ῑι̅ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει. Καλλίμαχος δὲ Ἀμαντίνην, ὡς Λεοντίνην, αὐτὴν ἔφη „καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην".

Ἄβαρνος, πόλις καὶ χώρα [καὶ] ἄκρα τῆς Παριανῆς. Ἡρωδιανὸς δὲ ἐν τετάρτῃ φησὶν ὅτι Ἀβαρνίς λέγεται· ἀλλὰ καὶ εἰς ο̅ς. Ἀβαρνεῖς τοὺς κατοικοῦντας, ὡς παρὰ τὸ Ἄψυρτος Ἀψυρτεῖς, Κάμιρος Καμιρεῖς, Ἀλός Ἀλεῖς, Τελμισσός Τελμισσεῖς, περὶ ὧν εἰρήσεται. τὸ δὲ Ἀβαρνίς οὐ δύναται ἔχειν τὸ τοιοῦτον ἐθνικόν· τὰ γὰρ εἰς ι̅ς̅ φιληδεῖ τῷ εἰς ι̅τ̅η̅ς̅ τύπῳ, ὡς Μέμφις Μεμφίτης. τὸ δὲ Μακριεύς καὶ Χαλκιεύς καὶ Χαλκιδεύς ἀπὸ γενικῆς προῆλθον. Ἑκαταῖος δ' ὁ Μιλήσιος ἐν Ἀσίας περιηγήσει Λαμψάκου ἄκρην εἶναί φησιν. Ἔφορος δ' ἐν τῇ πέμπτῃ λέγει κληθῆναι αὐτὴν ἀπὸ τῆς ἐν Φωκαΐδι Ἀβαρνίδος ὑπὸ Φωκαέων τὴν Λάμψακον κτιζόντων. Ἀπολλώνιος „Περκώτην δ' ἐπὶ τῇ καὶ Ἀβαρνίδος ἠμαθόεσσαν ἠιόνα". τοῦτο δὲ Σοφοκλῆς ὑπομνηματίζων ἱστορεῖ τὴν Ἀφροδίτην ἄμορφον ἐν Λαμψάκῳ τεκοῦσαν τὸν Πρίαπον ἀπαρνήσασθαι καὶ τὴν χώραν Ἀπαρνίδα καλέσαι, ἢ κατὰ παραφθορὰν καὶ Ἀβαρνίς καλεῖται. [ἔστι δὲ καὶ πόλις καὶ χώρα καὶ

---

1. ἐλέχθη ΠRV, ἐκλήθη A. 2. δὲ Ἀμαντίνην X, δὲ μαντίνην libri. 3. ᾤκισαν H, ᾤκησαν libri. 4. καὶ ἄκρα H, ἄκρα libri. 5. Ἡρωδιανός H, Ἡρώδοτος V, Ἡρόδοτος AR. cf. Arcad. p. 32. 6. τήν pro τούς V. τό om. Π. 7. Ἀλεῖς vel Ἀλεῖς ΠPpV et Vat., Ἁλιεῖς AR. Τελμισσός RV, Τέλμισος A. 9. τό add. R. εἰς ι̅ς̅ B, εἰς η̅ A, om. PpRV. εἰς ι̅τ̅η̅ς̅ VR, ι̅τ̅η̅ς̅ A. 10. Μέμφις B, Μέμφης PRV, Μέμφη A. Χαλκιεύς X, Χαλκριεύς libri. quod si recte emendatum est, Χαλκιεύς ad Χάλκις referendum, cuius formae vestigium habes apud Const. Porph. Them. 2, p. 51, 20 Εὔβοιαν, ἣν τινες Χάλιν (leg. Χάλκιν) ἢ Χαλκίδα ἐπονομάζουσιν. apud Syncellum Chron. p. 154 (363 Bonn.) Goarus e cod. Par. edidit ὁ Χαλκιεὺς Διονύσιος, ubi tamen alii Χαλκιδεύς. adde infra s. v. Ἄβοτις. 14. Φωκαΐδι et mox Φωκαέων BH, Φωκίδι et Φωκέων libri. 15. Ἀπολλώνιος] Argon. I, 932. Περκότην ante X. 16. Σοφοκλῆς] i. e. schol. Apollonii l. l. 19. βαρνίς RV. ἔστι δέ — καὶ ἄκρα ex superioribus temere iterata sunt.

ἄκρα.] εὕρηται δὲ καὶ διὰ τοῦ π Ἀπαρνίς, ὡς παρὰ Ἀρτεμιδώρῳ τῷ γεωγράφῳ. τὸ ἐθνικὸν Ἀβαρναῖος καὶ θηλυκὸν Ἀβαρναίη.

[Ἀβασηνοί, ἔθνος] Ἀραβίας. Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ „μετὰ τοὺς Σαβαίους Χατραμῶται Ἀβασηνοί" καὶ πάλιν „ἡ χώρη τῶν Ἀβασηνῶν σμύρνην φέρει καὶ ὕσσον καὶ θυμίαμα καὶ κέρπαθον· γεωργέουσι δὲ καὶ πορφυρέην ποίην ἰκέλην αἵματι Τυρίου κοχλίεω". ὁ τύπος ὀξὺς καὶ ἐπιχώριος τοῖς Ἄραψιν, ὡς Μηδαβηνοί Ὀβοδηνοί Ἀδριηνοί, ἀλλὰ καὶ τοῖς Ἀσιανοῖς ἅπασιν, ὡς Ἀπολλώνιος ὁ τεχνικὸς ἐν τῷ περὶ παρωνύμων φησί „δι' ἔθους εἰσὶ ταῦτα τοῖς ἐπὶ τῆς Ἀσίας κατοικοῦσιν, ἀλλότρια δὲ τῶν Εὐρωπαίων. οὐ γὰρ ἀπὸ πόλεως ἢ δήμου κατὰ τοῦτον ὠνόμασται τὸν τύπον".

Ἄβδηρα, πόλεις δύο. ἡ μὲν Θρᾴκης, ἀπὸ Ἀβδήρου τοῦ υἱοῦ Ἑρμοῦ Ἡρακλέους ἐρωμένου, ὃν αἱ Διομήδους ἵπποι διεσπάσαντο, ὡς Ἑλλάνικος καὶ ἄλλοι φασίν. ἐκ ταύτης δὲ καὶ Δημόκριτός ἐστιν ὁ φιλόσοφος. ἡ δὲ δευτέρα πόλις τῆς Ἰβηρίας πρὸς τοῖς Γαδείροις, ὡς Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων. ὁ πολίτης Ἀβδηρίτης. καὶ γὰρ τοῦ Δίολκος

1. δέ post εὕρηται add. R. Ἀπαρνίς W, Ἀβαρπίς libri. 2. τῷ χωρογράφῳ cod. Salm. τὸ κτητικόν? 4. Ἀβασηνοί, ἔθνος add. X. Ἀραβίας (Ἀραβί.. V) Οὐράνιος om. R. 5. Σαβαίους X, Ἀβαίους libri. Χατραμῶται V, Χατρομῶνται R, Χατραμῶνται Π. cf. in Ἀτραμῖται et Χατραμῶται. [καὶ] Ἀβασηνοί X. 6. Βασηνῶν ante X. κόστον H. 7. κεκέρπαθον pro καὶ κέρπαθον Π, καὶ κάρπαθον vel καὶ κάρπασον H. fort. καὶ κέρχνον. γεωργοῦσι et πορφυρῆν (πορφυρήν R) libri. 8. ἰκέλην R, εἰκέλην AV. κοχλίεω PpR, κοχλιέω V, κοχλίεο A.
9. Ἀδριηνοί AV, Ἀδρηινοί R, Ἀριηνοί H, Ἀδαρηνοί B. requiro Arabicae gentis nomen, velut Ἀδανηνοί vel Δαχαρηνοί. 12. ἀλλότριον RV. Εὐρωπέων R. τὰ ἀπό? 14. Ἀβδήρου PpRV, Ἀβδηρίτου A. 15. Ἑρμοῦ M, Ἠρίμου libri. cf. Apollod. 2, 5. οὗτος δὲ (Ἄβδηρος) ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦντος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι. 16. δέ a p. m. Π, γάρ ARV. 18. πρὸς τοῖς RV, πρὸς γὰρ τοῖς A.
19. Δίολκος] Dicit haud dubie Nili στόμα ψευδόστομον a Ptolem. 44, 5, 10. nostroque rursus s. v. Ὠρεός memoratum.

τὸ Διολκίτης καὶ τοῦ Ὀξύρυγχος Ὀξυρυγχίτης. Ἔφορος καὶ τὴν πόλιν Ἄβδηρον φησίν. [ἀφ' οὗ τὰ Ἄβδηρα.] καὶ ἀπὸ τῶν εἰς ᾱ οὐδετέρων εὑρίσκεται, ὡς Γάβαλα Γαβαλίτης. τοῦ Ἀβδηρίτης μέμνηται Εὔδοξος ἐν τετάρτῃ περιόδων καὶ Παυσανίας ἕκτῃ περιηγήσεως καὶ Ἡρόδοτος ἑβδόμῃ καὶ πολλαχοῦ Ἑκαταῖός τε καὶ πολλοί. πλεῖστοι δ' Ἀβδηρῖται ὑπὸ τῶν πινακογράφων ἀναγράφονται. Νικαίνετος ἐποποιὸς καὶ Πρωταγόρας, ὃν Εὔδοξος ἱστορεῖ τὸν ἥσσω καὶ κρείσσω λόγον πεποιηκέναι καὶ τοὺς μαθητὰς δεδιδαχέναι τὸν αὐτὸν ψέγειν καὶ ἐπαινεῖν. οὗτος οὖν ὁ Πρωταγόρας καὶ Δημόκριτος Ἀβδηρῖται.

Ἀβίλη, πόλις ἐπὶ τῷ Ἰορδάνῃ ποταμῷ. ἔστι δὲ καὶ ἄλλη πόλις Φοινίκης Ἄβιλα, ἐξ ἧς ἦν Διογένης ὁ διασημότατος σοφιστής. οὐδετέρως δὲ αὕτη ἡ πόλις Ἄβιλα. τὸ ἐθνικὸν Ἀβιληνός, ὡς Γέβαλα Γεβαληνός, Ἀρίνδηλα Ἀρινδηληνός.

Ἄβιοι, ἔθνος Σκυθικόν. Ὅμηρος

Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

Ἀλέξανδρος δὲ ἐν τῷ περὶ Εὐξείνου πόντου φησίν, ὡς Διόφαντος εἶπεν, οὕτω λέγεσθαι αὐτοὺς διὰ τὸ τὸν Ἀβιανὸν ποταμὸν κατοικεῖν. δικαίους δ' εἶπεν Ὅμηρος διὰ τὸ μὴ

---

1. Ὀξύρυγχος et Ὀξυρυγχίτης R, Ὀξόρυγχος et Ὀξορυγχίτης AV. 2. Ἄβδηρον] A recto casu ἡ Ἄβδηρος, non τὸ Ἄβδηρον, quod nunquam dictum fuit. cf. s. v. Ὠρεός. praeterea haec verba, Ἔφορος καὶ τὴν πόλιν Ἄβδηρόν φησιν, loco suo mota et ante ὁ πολίτης Ἀβδηρίτης transponenda esse docent quae de Δίολκος et Ὀξύρυγχος dixit. sequentia ἀφ' οὗ τὰ Ἄβδηρα suppositis punctis notat R. ac sunt aliena ab h. l. spectantque sine dubio ad Abderum heroem, a quo Abdera urbem denominatam dicit. 4. ἐν δ' περιόδων R, ἐν τετάρτῳ τῶν περιόδων V, ἐν τετάρτῃ περιόδου B. Παυσανίας] 6, 5, 4. 5. ἕκτῃ H, καί PR, om. AV. ἑβδόμῃ] c. 120. ἕβδομον R. 8. τὸν ἥσσω λόγον κρείσσω B. cf. Ioh. Frei Quaest. Protag. p. 143. 9. δεδιδαχέναι Coraes, δεδειχέναι libri. 13. Ἄφιλα RV. sequentia hinc Suidae intrusa sunt v. Ἄβιλα. 14. οὐδετέρως indicata lacuna om. RV, quorum V etiam δέ omittit et pro αὕτη habet πη. 15. Ἀρινδηλινός R. 16. Ἀβίων pro Ἄβιοι V. Ὅμηρος] Il. 13, 6. 17. γλακτοφάγων V, γαλακτοφάγων AR. 18. φησίν add. RV. 19. τόν om. R. 20. κατοικεῖν

βουληθῆναι μετὰ τῶν Ἀμαζόνων ἐπὶ τὴν Ἀσίαν στρατεῦσαι. ἢ ὅτι βίῳ ἑδραίῳ οὐ χρῶνται οὕτω λέγονται, διὰ τὸ ἐφ' ἁμαξῶν φέρεσθαι. Δίδυμος δὲ Θρᾴκιον [ἔθνος] φησίν. Αἰσχύλος τε Γαβίους διὰ τοῦ γ̄ ἐν λυομένῳ Προμηθεῖ

ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον
[βροτῶν] ἁπάντων καὶ φιλοξενώτατον,
Γαβίους, ἵν' οὔτ' ἄροτρον οὔτε γατόμος
τέμνει δίκελλ' ἄρουραν, ἀλλ' αὐτοσπόροι
γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς.

ὁμοίως καὶ Φιλοστέφανός φησι καὶ ἄλλοι. εἰσὶ δὲ Σκύθαι. οἱ πλείους δὲ τῶν ὑπομνηματιστῶν ἐπίθετά φασι τῶν Ἀγαυῶν τὸ γλακτοφάγων καὶ τὸ ἀβίων, ἐκλαμβάνοντες οἱ μὲν τὸ μὴ βιαζομένων, διὸ καὶ δικαιότατοι· οἱ δὲ ἀοίκων, διὰ τὸ μὴ ἔχειν ἡμῖν ὅμοιον βίον· οἱ δὲ ὁμοβίων, τουτέστιν ὁμοτόξων. τοξόται γὰρ οἱ αὐτοί.

Ἄβολλα, πόλις Σικελίας. ὁ τόνος βαρύς, ὡς Ἄγυλλα. τὸ ἐθνικὸν Ἀβολλαῖος καὶ Ἀβολλαία.

Ἀβοριγῖνες, ἔθνος Ἰταλικόν, ὡς Ἰόβας ἐν Ῥωμαϊκῆς ἱστορίας πρώτῳ. „μέχρι μὲν οὖν τοῦ Τρωικοῦ πολέμου τὴν ἀρχαίαν Ἀβοριγίνων [ὀνομασίαν] διέσωζον, Λατίνου δὲ βασιλεύσαντος οὕτως προσηγορεύθησαν". τὰ αὐτὰ καὶ Χάραξ.

R, οἰκεῖν AV. 3. Θρᾳκικόν Salmasius. ἔθνος add. X, lacunam indicant ARV. 4. δέ pro τέ? 5. ἥξεις Stanleius, ἥξει libri. fort. ἵξει. ἐνδικώτατον PpRV, ἐνδικαιότατον A. 6. βροτῶν add. Hermannus. 8. δίκελλ' H, δικέλλῃ A, δικέλλης PRV. αὐτόσποροι R. 9. γύαι PpV, γῦαι R, γέαι A. 11. ὑπομνηματικῶν PpΠRV. Ἀγαυῶν RPp, Ἀγαβίων AΠV. 12. γλακτοφάγων V, γαλακτοφάγων AR. 13. ἀοίκων H, ἄοικοι libri. 16. Ἀγύλλα H, Ἄγιλλα R, Ἀγίλλα AV. 18. Ἰόβας] Iubae historiam Romanam passim laudat noster; at quae sequuntur Dionysii Hal. I, 9 verba sunt: μέχρι μὲν τοῦ Τρωικοῦ πολέμου τὴν ἀρχαίαν τῶν Ἀβοριγίνων ὀνομασίαν ἔτι σώζοντες, ἐπὶ δὲ Λατίνου βασιλέως — Λατῖνοι ἀρξάμενοι καλεῖσθαι. 19. πρώτῳ (ά^ω) R, πρώτῃ A. μέχρι μὲν οὖν ΠRV, μέχρις οὖν A. 20. Ἀβοριγίνων Dionysius, Ἀβοριγίνην libri. ὀνομασίαν addidi e Dionysio. 21. οὕτως (οὕτω AR) bis V.

εἰκὸς οἴεσθαί τινας τούτου τὴν κλίσιν ἀπὸ τῆς Ἀβοριγῖνος εὐθείας, ὡς Λεοντῖνος Ἀκραγαντῖνος. ἀλλὰ Διονύσιος ὁ Ἁλικαρνασσεὺς Ἀβοριγῖνες καὶ Ἀβοριγῖσι φησίν, ὡς δελφῖσιν. ἔστι δὲ καὶ ἄλλη κλίσις ἐν χρησμῷ κειμένη, ὃν αὐτὸς παρατίθησιν. ὡς γὰρ ἀπὸ τοῦ ναῦται ναυτέων, οὕτως Ἀβοριγίναι Ἀβοριγινέων. ἔχει δ' ὁ χρησμὸς οὕτως

στείχετε μαιόμενοι Σικελῶν Σατουρνίαν αἶαν,
ἠδ' Ἀβοριγινέων Κοτύλην, οὗ νᾶσος ὀχεῖται,
οἷς ἀναμιχθέντες δεκάτην ἐκπέμψατε Φοίβῳ,
καὶ κεφαλὰς Κρονίδῃ καὶ τῷ πατρὶ πέμπετε φῶτα.

ἀλλ' αὐτὸς τῷ χρησμῷ μὴ πειθόμενος ταῖς προειρημέναις ἐχρήσατο κλίσεσιν.

Ἄβοτις, πόλις Αἰγυπτία, ὡς Ἑκαταῖος. ἣν Ἡρωδιανός φησι βαρύνεσθαι. ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης, ὡς Ναύκρατις Ναυκρατίτης, κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς, ὡς Μάκρις Μάκριος Μακριεύς, Χάλκις Χάλκιος Χαλκιεύς, Ἄβοτις Ἀβότιος Ἀβοτιεύς.

Ἀβρεττηνή, χώρα Μυσίας, ἀπὸ Βρεττίας νύμφης. τὸ ἐθνικὸν Ἀβρεττηνός, ὡς Ἀρριανός φησιν.

---

1. κλῆσιν R. 2. Ἀλικαρνασσεύς R, Ἀλικαρνασεύς AV. 3. Ἀβοργῖνες καὶ Ἀβοργῖσι ΠRV. 4. κλῆσις RV. ὅν H, ἥν libri. παρατίθησιν] 1, 19. idem oraculum apud Macrob. Sat. 1, 17. 5. ναυτεών et mox Ἀβοριγινεών R. Ἀβοριγίναι R, Ἀβοριγῖναι A, om. V. 7. μαιόμενοι Pp, μαινόμενοι ARV. Σατουρνιαίαν R, Σατορνίαν Dionysius, ubi cod. Vatic. Σατυρνίαν, Macrobii cod. vet. Σατόρνιον. aut hoc probandum aut Σατορνίδα vel Σατουρνίδα et γαῖαν. 8. Κοτύλην οὗ νᾶσος om. RV. 9. ἐκπέμψατε Φοίβῳ om. R. ἐκπέμψατε Dionysius, ἐπέμψατε A, ἐπ cum lacuna V, qui etiam Φοίβῳ omittit. 10. Κρονίδῃ] Macrobius Ἅιδῃ. 11. ἀλλ' αὐτός om. R. 12. ....το pro ἐχρήσατο R. κλίσεσιν Salmasius, κινήσεσι libri. 15. Ναύκρατις P[a]V, Ναύκλαυτϊ R, Ναυκλατίτης καὶ P[b], νῦν κλαυτίτης καί A, ναυκλαυτίτης καί Π. 16. Χάλκις Χάλκιδος Χαλκιεύς ΠRV, Χαλκίς Χαλκίδος Χαλκιδεύς Pp. cf. supra ad p. 4, 10. 18. Ἀβρεττήνη BH, Ἀβρεττίνη RV, Ἀβροττίνη ΑΡΠ. 19. Ἀβρεντηνός R.

Ἀβρινάται, Ποντικὸν ἔθνος. ὁ δὲ τεχνικός φησι καὶ μετὰ τοῦ ρ̄ καὶ χωρὶς τοῦ ρ̄ λέγεσθαι.

Ἄβροι, ἔθνος πρὸς τῷ Ἀδρίᾳ Ταυλαντίνων, προσεχὲς τοῖς Χελιδονίοις, ὡς Ἑκαταῖος. βαρύνεται δὲ ὡς Κίμβροι, οὕς τινές φασι Κιμμερίους, Σκόμβροι, καὶ οὗτοι ἔθνος, ὡς Σοφοκλῆς.

Ἀβρότονον. Λύκος ὁ Ῥηγῖνος χωρίον οἴεται εἶναι, Στράβων δὲ ἐν ἑπτακαιδεκάτῳ βιβλίῳ πόλιν φησί, καὶ ἄλλοι. πόλις δὲ Λιβυφοινίκων. καλεῖται δὲ καὶ Νεάπολις, ὡς Ἔφορος. τὸ ἐθνικὸν οὐκ ἔστιν ἐν χρήσει, ἡ τέχνη δ' ἐπινοεῖ ἐξ ὁμοιότητος. ὡς γὰρ Ἄθμονον Ἀθμονεὺς καὶ Γάργαρον Γαργαρεὺς καὶ Σούνιον Σουνιεὺς καὶ Σιγειεὺς καὶ Ἰλιεὺς καὶ Λευκωνιεὺς καὶ Παντικαπαιεὺς καὶ Δουλιχιεύς, οὕτως Ἀβροτονεύς. ὁ δὲ τῶν οὐδετέρων τύπος ἔσθ' ὅτε τὸ ἐθνικὸν διὰ τοῦ ηνος ἔχει, ὡς Πέργαμον Περγαμηνός, εἰ μὴ ἀπὸ θηλυκοῦ τοῦ Πέργαμος, ὡς Κύζικος Κυζικηνός. δυνατὸν δὲ καὶ ἐξ Ἀβροτόνου φάναι τὸ ἐθνικόν. πολλὰ γὰρ τοιαῦτα, μάλιστα ἐν τοῖς δήμοις τῶν Ἀθηναίων, ὡς ἐξ Οἴου δημότης καὶ ἐκ Κηδῶν, ὡς δειχθήσεται.

Ἄβυδοι τρεῖς πόλεις. ἡ καθ' Ἑλλήσποντον τῶν Μιλησίων ἄποικος, ὡς Διονύσιος

Σηστὸς ὅπῃ καὶ Ἄβυδος ἐναντίον ὅρμον ἔθεντο.

καὶ ἡ κατ' Αἴγυπτον τῶν αὐτῶν ἄποικος, ἀπὸ Ἀβύδου τινὸς κληθεῖσα, καὶ ἡ κατὰ τὴν Ἰαπυγίαν ἢ Ἰταλίαν, ἣ οὐδετέρως

---

1. καί ante μετά om. R. 3. Ἄβροι R, Ἄβρος APpV. nomen hoc ex Ἄμβροι corruptum videri monuit Schubartus. Ταυλαντίνων Salmasius, Ταλαντίνων libri. cf. Anal. Alex. p. 110. 4. τοῖς X, τῷ libri. 8. ἑπτακαιδεκάτῳ (p. 835) Pp, ις' RV, ἑκκαιδεκάτῳ A. 9. Λυβιφοινίκων R. 11. ὡς καὶ γάρ Pp, καὶ γάρ ΠRV. γαρεύς a m. s. inter lineas R. 12. Σιγιεύς R. Λευκωνοεύς PpRV. Leuconium insulae nomen apud Chium Thucyd. 8, 24. 15. ἔχει om. V. 18. Οἴου H, οἷον libri. 20. Διονύσιος] Per. 516. 21. Σηστὸς ὅπῃ om. R, Σηστός om. V, qui ἀρχῇ pro ὅπῃ. ὅρμιον V, ἔρυμα AΠ, ὅρημον R. ἔθετο R. 22. τῶν αὐτῶν om. RV. 23. τήν post κατά om. R et qui lacunam indicat V.

λέγεται, ὡς Φιλέας „ἔστι δὲ καὶ Ἰαπυγίας πολισμάτιον ἐν Πευκετίοις οὕτως κατ' ὀρθὴν λεγόμενον Ἄβυδον". καὶ ἡ „μηδ' εἰκῇ τὴν Ἄβυδον πατεῖν" παροιμία, τουτέστι μὴ καταθαρρεῖν αὐτῆς ἐπιβαίνειν. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν εἰκαίων. οἱ δὲ τὴν ἐν Μιλήτῳ Ἄβυδον οἰκοῦντες διεβάλλοντο ἐπὶ συκοφαντίᾳ καὶ μαλακίᾳ. τὸ ἐθνικὸν Ἀβυδηνός. λέγεται καὶ τὸ Ἀβυδηνὸν ἐπιφόρημα ἐπὶ τῶν ἀηδῶν. σημειωτέον δὲ ὅτι τοῦ μὲν Ἄραδος Ἀράδιος καὶ Τένεδος Τενέδιος καὶ Τενεδεύς καὶ Λέβεδος Λεβέδιος, τοῦ δ' Ἄβυδος Ἀβυδηνός. ἴσως διὰ τὸ πλησιόχωρον, Κυζικηνός καὶ τὰ ὅμοια.

Ἀβυδών, Ἀβυδῶνος, χωρίον Μακεδονίας, ὡς Στράβων. „τηλόθεν ἐξ Ἀβυδῶνος ἀπ' Ἀξίου εὐρὺ ῥέοντος". ὀξύνεται δέ. τὸ ἐθνικὸν Ἀβυδώνιος ὡς Καλυδώνιος.

Ἄβυλλοι, ἔθνος πρὸς τῇ Τρωγλοδυτικῇ, ἔγγιστα τῷ Νείλῳ, ὡς Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς.

Ἀβώνου τεῖχος, πόλις μικρὰ πρὸς τῷ Εὐξείνῳ πόντῳ. ὁ πολίτης Ἀβωνοτειχίτης, ὡς Γορδιοτειχίτης τοῦ Γορδίου τείχους.

Ἀγάθεια, πόλις Φωκίδος, ὡς Ἑλλάνικος πρώτῳ Δευκαλιωνείας. ὁ πολίτης Ἀγαθεύς.

---

1. ἔστι δὲ καί APb, ἔστι δέ cum indicio lacunae trium literarum PaRV. 2. μετὰ πορθμόν pro κατ' ὀρθήν R. Ἄβυδον] Eustath. ad Dionys. Per. 516. ἰστέον ὅτι κατὰ τὸν γράψαντα τὰ ἐθνικὰ καὶ Ἰταλική πόλις τις λέγεται οὐδετέρως τὸ Ἄβυδον. ἡ Pa, εἰ ceteri. Eustathius l. l. καὶ ὅτι ἐπὶ συκοφαντίᾳ διεβάλλοντο οἱ Μιλήσιοι Ἀβυδηνοὶ οὗτοι, ὅθεν καὶ παροιμία „μηδ' εἰκῇ τὴν Ἄβυδον πατεῖν" ἤγουν μὴ θαρρούντως αὐτῆς ἐπιβαίνειν. 5. εἰ δέ RV. ἐκ Μιλήτου H. Stephanus scripsit opinor Μιλησίαν, ab epitomatore non intellectum. διεβάλλετο R. 6. λέγεται καί RV, λέγεται δὲ καί A. 7. ἐπιφόρημα bis habet, sed alterum subductis lineolis notat R. 8. Τενεδεύς] Hoc gentile ad Tenedum Pamphyliae urbem spectat. v. infra s. v. Τένεδος. 9. διὰ τὸ πλησιόχωρον] i. e. propter vicinarum urbium typum. 11. Στράβων] 7. p. 330. 12. τηλόθεν] Hom. Il. 2, 849. ubi recte legitur Ἀμυδῶνος. 14. τῷ Νείλῳ R, τοῦ Νείλου AV. 15. περὶ γῆς PaRV, περιηγήσεως APb. 17. γοροτοῦ pro Γορδίου H. 18. τείχους R, τεῖχος AV. 19. Δευκαλιωνίας R.

Ἀγάθη, πόλις Λιγύων ἢ Κελτῶν. Σκύμνος δὲ Φωκαέων αὐτήν φησιν ἐν τῇ Εὐρώπῃ. Τιμοσθένης δὲ ἐν τῷ σταδιασμῷ Ἀγαθὴν τύχην αὐτήν φησιν. εἰ δ' οὕτως λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡς ἐπιθετικόν, ὡς τὸ Ἡραῖον τεῖχος καὶ Ἥραιον, καὶ Ἑρμαῖος λόφος καὶ Ἕρμαιος. ἔστι δὲ καὶ ἄλλη πόλις, ὡς Φίλων, Λιγυστίων, ἐπὶ λίμνης Λιγυστίας. τάχα δ' ἡ αὐτή ἐστι τῇ πρώτῃ, ὡς Εὔδοξος. βαρύνεται δέ. τὸ ἐθνικὸν Ἀγαθῖνος ὡς Ἀκραγαντῖνος. Ἅβρων γὰρ ἐν τῷ περὶ παρωνύμων τοῖς τοιούτοις καὶ αὐτὸ συνέμιξεν. εἰ δὲ καὶ κύριον εἴη τὸ Ἀγαθῖνος, οὐκ ἀπεικὸς σημαίνειν ἀμφότερα. Σχοινεύς γὰρ καὶ κύριον καὶ ποταμοῦ καὶ ἐθνικόν, καὶ Λίξος, ὁμοίως Θεσσαλός καὶ Σικανός καὶ Σικελός καὶ μυρία. εἰ δὲ μὴ ὡς ἐθνικὸν τὸ Ἀγαθῖνος ἐκλήθη, τὸν οἰκήτορα λέξομεν Ἀγαθαῖον τῷ κοινῷ λόγῳ, ἢ Ἀγαθεύς, ὡς Θεσσαλονικεύς καὶ Σινταρεύς καὶ Βερενικεύς, ἐπεὶ καὶ Ἀγάθεια τῆς Ἀγάθης εὑρίσκεται παραγωγή, ὡς Βερενίκεια καὶ Θεσσαλονίκεια. ἔστι δὲ καὶ νῆσος Ἀγάθη Λυκίας. τὸ ἐθνικὸν ὤφειλεν Ἀγαθεύς· ἡ γὰρ χώρα τῷ εἰς ευς τύπῳ χαίρει, ὡς Παταρεύς Τλωεύς Τελμισεύς Κρυεύς.

Ἀγαθοῦ δαίμονος, νῆσος ἐν τῇ Ἰνδικῇ θαλάσσῃ. τὸ ἐθνικὸν κατὰ τέχνην ἐξ Ἀγαθοῦ δαίμονος, διὰ τὸ ἄπορον.

Ἀγάθυρνα, πόλις Σικελίας, ὡς Πολύβιος ἐνάτῃ. τὸ ἐθνικὸν Ἀγαθυρναῖος. οὐ γὰρ ἀήθης ὁ τύπος τοῖς τὴν Σικελίαν οἰκοῦσιν· Ἱμεραῖος γὰρ καὶ Ἐνναῖος καὶ Καταναῖος φασίν.

---

1. *Σκύμνος*] V. praef. Scymn. p. XV. 2. *Δημοσθένης* Π. 4. *ὀξύνεται ἂν* RV. de re cf. Lehrs Arist. p. 304. 6. *Λιγυστίων* X, *Λιγυστίνων* H, *Λυστίων* libri. *ἐπί* Schubartus, *ἀπό* ARV, *καὶ ἀπό* Pp et Vat. *Λιγυστίας* X, *Λυστίας* libri. 7. *Εὔδοξος* X, *Εὐδόξιος* libri, qua forma sequioris aetatis scriptoribus usitata Stephanus uti vix potuit. *βαρύνεται τὸ ἐθνικόν* V. 10. *Σχοινοῦς* V. 11. *Λίξος* $\mathrm{P^a}$RV, *Λίκαιος* AΠ. 13. *ἐκλήθη* ΠPpRV, *ἐκλίθη* A. *Ἀγαθ..* RV. iidem om. *τῷ*. 14. *ὁ* pro *ὡς* RV. 15. *Σινταρεύς* indicata lacuna om. $\mathrm{P^a}$RV, *Σιδακεύς* B. fort. *Σαμαρεύς*. vide s. v. *Σαμάρεια*. 17. *δέ* add. V. 19. *Κροεύς* $\mathrm{P^a}$V. 22. *Ἀγάθυρνα* H, *Ἀγάθυρσα* libri. 23. *Ἀγαθυρναῖος* H, *Ἀγαθυρσαῖος* libri. 24. *μεραῖος* RV.

Ἀγάθυρσοι, ἔθνος ἐνδοτέρω τοῦ Αἵμου. κέκληνται δὲ ἢ [ἀπ'] Ἀγαθύρσου τοῦ Ἡρακλέους, ἢ ὡς Πείσανδρος ἀπὸ τῶν θύρσων τοῦ Διονύσου. ὁ τόνος βαρύς. τὰ εἰς $\overline{\sigma o \varsigma}$ ὑπὲρ δύο συλλαβὰς ἔχοντα τὴν πρὸ τέλους εἰς ἀμετάβολον λήγουσαν βαρύνεται, Μάγαρσος πόλις Κιλικίας, Μαίμαρσος πόλις Ἴστρων. οὕτως Ἀγάθυρσος, καὶ κύριον καὶ ἐθνικόν. λέγονται καὶ Ἀγαθύρσιοι κτητικῶς ἢ ἐθνικῶς. ἀπὸ δὲ τοῦ Καβακησός οἴεται Δίδυμος κατὰ συγκοπὴν τοῦ Καβασσός. πόλις δὲ αὕτη τοῦ Ὀθρυονέως, περὶ ἧς βιβλίον ὅλον συνέγραψε. δειχθήσεται δὲ ἐν τῷ περὶ αὐτῆς λόγῳ τοῦτο ψεῦδος.

Ἀγαμήδη, τόπος περὶ Πύρραν τῆς Λέσβου, ἀπὸ Ἀγαμήδης τῆς Μάκαρος, τῆς καὶ Πύρρας ἐπίκλησιν. ἔστι καὶ κρήνη Ἀγαμήδη, ὡς Νικόλαος ἑ. τὸ ἐθνικὸν Ἀγαμηδεῖς κατὰ τέχνην, ὡς Νικομηδεῖς.

---

2. *ἀπ'* add. X. cf. Eustath. ad Dion. 310. 3. $\overline{\sigma o \varsigma}$ B, $\overline{o \varsigma}$ libri. 4. *λήγουσαν* Schubartus, *λῆγον* libri. 5. *βαρύτονον* R. *Μάγαρσος* R, *Μέγαρσος* AV, qua forma usus est Lycophr. 444. et Arcadius loco statim adscribendo. cf. Eckhel D. N. 1, 3 p. 60. *Κιλικίας* BH, *Σικελίας* libri. *Μαίμαρσος* suspectum nomen nec memoratum Arcad. p. 76, 5 *σεσημείωται τὸ πυρσός ὀξυνόμενον, τὸ κισσός* (leg. *κιρσός*) *καὶ ἀρσός* (leg. *ὀρσός*). *τὰ δὲ ὑπερδισύλλαβα … βαρύνεται, Βάγαρος* (*Βάγαρσος*) *μέγαρος* (leg. *Μέγαρσος*). *τούτοις ἀκολουθεῖ καὶ τὸ Ἀγάθυρσος.* 6. *Ἴστρων* P^aRV, *Ἴστρου* A. 8. *τοῦ* ante *Καβασσός* add. RV. fort. *τό*. 9. *τοῦ* ante *Ὀθρυονέως* add. RV. ceterum omnia haec inde ab *ἀπὸ δὲ τοῦ Καβακησός* usque ad finem non iam ad canonem spectant, sed e copiosiore de Agathyrsis disputatione miserrime truncata sunt, cuius opinionis cum hanc causam habeo, quod ista cum Herodiani canone de nominibus in $\overline{\sigma o \varsigma}$ cui liquida praecedit desinentibus nullo modo conciliari possunt, tum vero quod fuerunt qui Cabassum urbem, Othryonei patriam, Agathyrsorum dicioni adscriberent. cf. Schol. Hom. Il. 13, 363. *Κάβησα δὲ πόλις Ἑλλησπόντου .. οἱ δὲ Καππαδοκίας, οἱ δὲ Ἀγαθύρσων, ὡς ἥκειν ἐκ τῆς πρὸς Αἷμον Θρᾴκης.* adde quae infra ad v. *Καβασσός* dicta sunt. 12. *Μάκαρος* M, *Μακαρίας* ARV, *Μακρίας* Π. *Ηὕρας* R. *ἐπίκλησιν* P^aR, *ἐπίκλησις* V, *ἐπικληθεῖσαν* A, *ἐπικληθείσης* W. 13. *ἑ* PpΠRV, *ἐννάτῳ* A. *Ἀγαμηδεῖς* et *Νικομηδεῖς* M, *Ἀγαμηδεύς* et *Νικομηδεύς* B, *Ἀγαμήδεια* et *Νικομήδεια* libri.

Ἀγάμμεια, ἄκρα καὶ λιμὴν περὶ τὴν Τροίαν, ὡς Ἑλλάνικος ἐν δευτέρῳ. ἐκλήθη δὲ ἀπὸ τοῦ ἄγαμον τὴν Ἡσιόνην ὑπ' αὐτοῦ παραδοθῆναι τῷ κήτει. λέγεται δὲ καὶ Ἀγάμμη, ὡς πρέσβεια πρέσβη καὶ τὸ βασίλεια κατὰ συναλοιφὴν βασίλη· οὕτως Ἀγάμμεια Ἀγάμμη. δύναται δὲ καὶ τὸ Ἀγάμμεια ἐκ τοῦ Ἀγάμμη, ὡς τὸ Πηνελόπεια ἐκ τοῦ Πηνελόπη. τὸ ἐθνικὸν Ἀγαμμεύς, ὡς τῆς Μαντινείας Μαντινεύς. λέγεται καὶ Μαντίνη κατὰ συναλοιφὴν παρ' Ἑκαταίῳ. καὶ Ἀγαμμείτης, ὡς Ζελείτης. εἴρηται γὰρ ἡ Ζέλεια καὶ Ζέλη. ὥστε εἶναι τοῦ Ἀγάμμεια τὸ Ἀγαμμειάτης, ὡς τὸ Ζελειάτης.

Ἀγαμός, πόλις περὶ Ἡράκλειαν τὴν Ποντικήν. ὠνόμασται δὲ ἀπὸ παλαιᾶς βασιλίδος, ἣ στέρξασα παρθένος καὶ κυνηγὸν καί.... αὐτήν. ὁ πολίτης Ἀγάμιος.

Ἀγβάτανα, πολίχνιον Συρίας, Ἡρόδοτος τρίτῳ. οἱ δὲ νῦν Βατάνειαν αὐτὴν καλοῦσι. τὸ ἐθνικὸν Βατανεῶται, ὡς Ῥαφάνεια Ῥαφανεῶται. Δημήτριος δέ φησιν Ἀγβάτανα διττά, τὰ μὲν τῆς Μηδίας τὰ δὲ τῆς Συρίας. Κτησίας δὲ πανταχοῦ τῶν Περσικῶν τὰ παρὰ Μήδοις Ἀγβάτανα διὰ τοῦ ᾱ γράφει. παρὰ δὲ τοῖς ἀρχαίοις διὰ τοῦ ε̄ τὸ Περσικόν, ὡς δειχθήσεται. παρὰ Χάρακι δὲ καὶ αὕτη διὰ τοῦ ε̄, ἣν καὶ Ἐπιφάνειάν

---

1. *Ἀγάμμεια* ΠPpRV, *Ἀγάμεια* A. revocavi librorum scripturam, quam literarum series commendat etiam apud Hesychium, *Ἀγαμίας* (*Ἀγάμμεια*): *ἔνθα αἱ παρθένοι ἐξετίθεντο τῷ κήτει.* cf. *Ψυττάλεια* et *Ἐρύθεια*, ubi item ex codd. *Ἀγάμμεια* reponendum. neque obstat quam subiicit Stephanus nominis originatio. etiam in sequentibus constanter iidem libri habent *Ἀγάμμη Ἀγάμμεια Ἀγαμμείτης* et *Ἀγαμμειάτης*. 3. *ὑπὸ τοῦ [πατρὸς] παραδοθῆναι?* 4. *πρέσβη* om. V. 9. *Ζελείτης* B, *Σελείτης* libri. *εἶναι τοῦ Ἀγάμμεια*] pro his lac. RV. 11. *Ἀγάμη* P^aV, om. cum seqq. *πόλις περί* lacuna indicata R. 12. *ἀπὸ παλαιᾶς* indicata lacuna om. RV. *ἢ* R. *παρθένος* P^aRV, *παρθένον* A. 13. *καί* post *κυνηγόν* add. RV*Π*. *αὐτόν* P^b, om. R. 14. *τρίτῳ*] c. 62 et 64. *ἡ δέ* R. 15. *αὐτήν* om. RV. 16. ...*τριος* R. 17. *Μηδίας* V, *Μηδείας* AR. *τῆς Συρίας* om. R, *σίας* pro *Συρίας* et lacunam inter *τῆς* et *σίας* V. 18. *διὰ τοῦ ᾱ* om. R. hodie in excerptis Ctesiae ubique *Ἐκβάτανα*. 19. *τὰ Περσικά* BH. 20. *περί* V.

φασι κεκλῆσθαι. Ἡρωδιανὸς δ' ἐν τῷ περὶ συντάξεως στοιχείων ἐγκρίνει τὴν διὰ τοῦ κ̄ γραφήν, παραιτούμενος τὴν διὰ τοῦ γ̄ λέγων οὕτως „μή τι ἄρα παρακινδυνεύει τὸ β̄ ὑποτετάχθαι τῷ γ̄, [ἐν] οἷς ὑποτέτακται ἐν τῷ λάγβατα ὅρκια". τὴν δὲ διὰ τοῦ γ̄ γραφὴν καὶ ἐν τῷ ε̄ διασαφήσομεν. καὶ Ἑλλάδιος ἐν τῷ ᾱ στοιχείῳ παρέθετο τὸ ἐθνικὸν Ἀγβατανηνός. τοῖς Πέρσαις γὰρ συνήθης ὁ τύπος. λέγουσι γὰρ Καμβυσηνούς Παραιτακηνούς Σωφηνούς, ὡς δειχθήσεται. καθ' Ἕλληνας δὲ Ἀγβατανεύς. δείξομεν δ' ἐν τῷ β̄ ὅτι ἡ καθ' ἡμᾶς Βατανέα καὶ Βατάνεια καλεῖται καὶ τὸ ἐθνικὸν Βατανεῶται.

Ἀγγελή, δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης ἐπιρρηματικῶς Ἀγγελῆθεν ἐκ τόπου „Χάρης Κλεοχάρους Ἀγγελῆθεν". εἰς τόπον Ἀγγελήνδε, ἐν τόπῳ Ἀγγελῆσιν. ὀξύνεται δὲ κατὰ δύο τρόπους, ὅτι δήμου ὄνομα, ὡς τὸ Περγασή καὶ Ἁλή, καὶ ὅτι τὰ διὰ τοῦ ε̅λ̅η̅ μονογενῆ ὑπὲρ δύο συλλαβὰς βαρύνεται, εἰ μὴ ἀπὸ φύσει μακρᾶς ἢ θέσει ἄρχοιτο, Σεμέλη, ἀγέλη, διὰ τὸ Πεντελή καὶ Ἀγγελή. τὸ πιμελή σεσημείωται.

---

1. *στοιχείων* P^a, *στοιχεῖον* V, *στοιχείω* ΑΠP^{b}R. 2. *τήν* om. RV. *τοῦ* om. R. 4. *ἐν* R. *ὡς* pro *οἷς*? *ὑποτετάχθηται* Π. fort. delendum. *λάγβατα* R, *λάγβα τὰ* AV. 6. *Ἑλλάνικος* B. *τῷ πρώτῳ στοιχείῳ* RV. 7. *Καμβυσηνούς* R, *Καμβησηνούς* AV. 8. *Παραιτακηνούς* PRV, *Παραιταμηνούς* A. *Σοφηνούς* RV. 9. *Ἀγβατανεύς* BH, *Ἀγβατεύς* libri. *ὅτι καθ' ἡμᾶς*? 10. *Βατανέα*] Infra *Βατανέαι.* 13. *Χάρης Κλεοχάρους Ἀγγελῆθεν*] Haud dubie plebisciti particula e Crateri opere *περὶ ψηφισμάτων* petiti. monuit nuper etiam Bergkius. 16. *Ἁλή* M, *καλή* libri, *Κεφαλή* W, *Ἑκαλή* Göttling Acc. p. 149. *διὰ* add. RV. 18. *Σεμέλη ἀγέλη* fortasse post *βαρύνεται* transponenda, nisi post *ἀγέλη* excidit *πρόσκειται ἀπὸ φύσει ἢ θέσει μακρᾶς* vel simile quid. *Πεντελή* Göttling, *παντελή* libri. *τὸ πιμελή σεσημείωται*] Cum *πιμελή* vel maxime canoni Herodianeo conveniat, videndum ne postrema ita scribenda sint: *διὰ τὸ Πεντελή καὶ Ἀγγελή καὶ τὸ πιμελή. σεσημείωται* ***. ut nomen exciderit exceptionem regulae continens. canonem epitomatoris culpa obscuratum illustrat Arcadius p. 109, 1. *εἰ δέ τι* (*τῶν διὰ τοῦ ε̅λ̅η̅*) *ὀξύνεται, τὴν πρώ-*

Ἀγησσός, πόλις Θρᾴκης, ὡς Θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ. τὸ ἐθνικὸν Ἀγήσσιος, ὡς Ἀσσήσσιος Ταρτήσσιος, ὡς δειχθήσεται ἐν τῷ περὶ αὐτῶν στοιχείῳ. ἢ Ἀγησσίτης, ὡς Ὀδησσίτης διὰ τὸ ὁμοεθνές.

Ἄγιον, τόπος Σκυθίας, ἐν ᾧ Ἀσκληπιὸς ἐτιμᾶτο, ὡς Πολυίστωρ.

Ἄγκαρα, πόλις Ἰταλίας, ὡς Ἀντία Ἀδρία. τὸ ἐθνικὸν Ἀγκαράτης, ὡς Πολύβιος ὀγδόῃ.

Ἄγκυρα, πόλις Γαλατίας. οἱ δὲ Φρυγίας αὐτὴν ἀναγράφουσιν. ἔοικε δ' οὖν [Φρυγίας] διὰ τὸ ἀμφοτέρων εἶναι· Γαλατῶν γὰρ οὖσα ὅμορός ἐστι τῇ μεγάλῃ Φρυγίᾳ. οἱ γὰρ ἀπὸ Κελτικῆς Γαλάται, ὡς Στράβων φησὶ δωδεκάτῳ, εἰς τούτους πλανηθέντες τοὺς τόπους τριμερεῖς τε γενόμενοι εἰς τοσαύτας μοίρας διενείμαντο τὴν χώραν. Ἀπολλώνιος δὲ ἐν ἑπτακαιδεκάτῃ Καρικῶν ἱστορεῖ Μιθριδάτῃ καὶ Ἀριοβαρ-

---

την συλλαβὴν ἔχοι (ἔχει) μακράν, πιμελή τὸ λίπος, καὶ τὸ Ἀγγελή καὶ Πεντελή. 2. Ἀγήσιος RV. ὡς] καί R. Ἀσσήσιος libri. Ταρτήσσιος om. R. 3. αὐτῶν στοιχείῳ (οἰκείῳ?) add. cod. Par. apud Millerum. 5. Ἄγιον ὄρος? v. in Ψευδαρτάκη. 7. Ἄγκαρα] Nota est Ancaria dea, de qua Reinesius Inscr. 2, 23. nota item Ancharia familia e Quintil. 4, 1, 47. at de Ancara urbe nihil compertum. hoc unum certum videtur, scribendum esse Ἀγκαρία et Ἀγκαριάτης, ut docet comparatio cum Ἀντία et Ἀδρία. ita enim scribendum erat pro Ἄντια (Ἄντινα V) et Ἄδρια. de verbis τὸ ἐθνικὸν Ἀγκαράτης postremas tantum literas της habent RV. 9. Γαλατίας lacuna indicata om. RV. 10. ἔοικε δ' οὖν V, ἔοικε δ' εἶναι A, ἔοικε δέ R, ἔοικε δ' εἶναι καί Gronovius. Φρυγίας om. RV. διὰ τὸ ἀμφοτέρων [ὅριον] εἶναι? 12. δωδεκάτῳ] p. 567. 13. τρι... τε γενόμενοι RV. 15. Μιθριδάτῃ καὶ Ἀριοβαρζάνῃ νεήλυδας τοὺς Γαλάτας Gronovius, Μιθριδάτην καὶ Ἀριοβαρζάνην νεήλυδας (νεήλυτας Π) τοῖς Γαλάταις libri. corruptissime Etym. M. p. 184, 36 Ἄγκυρα, πόλις Γαλατίας, οἱ δὲ Φρυγίας. ἱστορεῖ Μιθριδάτης καὶ Ἀριοβαρζάνης νεήλυδας τοῖς Γαλάταις συμμαχήσαντας διώξας τοὺς ὑπὸ Πτολεμαίου σταλέντας Αἰγυπτίους ἄχρι θαλάσσης, καὶ λαβὼν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν δοὺς χώραν κτίσαι καὶ ὀνομάσαι οὕτως. de re vide Droysenum in Bergkii et Caesaris Ephem. philol. 1, p. 57.

ζάνῃ νενήλυδας τοὺς Γαλάτας συμμαχήσαντας διῶξαι τοὺς ὑπὸ Πτολεμαίου σταλέντας Αἰγυπτίους ἄχρι θαλάσσης, καὶ λαβεῖν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν λαβόντας χώραν κτίσαι καὶ ὀνομάσαι οὕτως. τρεῖς δὲ πόλεις ἔκτισαν, Ἄγκυραν ἀπὸ τοῦ κατὰ τὸν πόλεμον πλεονεκτήματος, τὴν δὲ ἀπὸ Πεσσινοῦντος τοῦ ἄρχοντος, τὴν δὲ Ταυίαν ἀπὸ το ὑστέρου ἄρχοντος. τὸ ἐθνικὸν Ἀγκυρανός. τὰ εἰς ν̄ο̄ς̄ ἐθνικά, ἐὰν ἀπὸ τῆς γενικῆς τοῦ πρωτοτύπου γένοιτο καθαρευούσης, τῷ ᾱ παραλήγει μακρῷ καὶ μιᾷ συλλαβῇ τῆς γενικῆς περιττεύει, οὐκ ἀναστρέφοντος τοῦ λόγου. οὐ γὰρ ὅσα τὸ ᾱ κατὰ τὴν παραλήγουσαν ἔχει, ταῦτα ἐκ θηλυκῶν προῆκται. τοῦ μὲν προτέρου παραδείγματος ταῦτα, Ἀσιανός Καρδιανός Ὀλβιανός Φασιανός, ἀπὸ τῆς Φάσιος πόλεως, Τράλλιος·Τραλλιανός, Σάρδιος Σαρδιανός, [τοῦ δὲ δευτέρου] Πάριον Παρίου Παριανός, Βοσπορίου Βοσποριανός (ἀπὸ τῶν ἐθνικῶν ἐθνικά, ὡς τοῦ Ῥοδίου τὸ Ῥοδιακός κτητικὸν καὶ Σαμίου τὸ Σαμιακός), Κίου πόλεως Μυσίας Κιανός, Τίου Τιανός, Καρίου Καριανός, Σηλυμβρίου Σηλυμβριανός. ἡμάρ-

---

2. *λαβεῖν* X, *λαβών* libri. 3. *πορισμόν* Gronovius. 6. *τὴν δὲ* [*Πεσσινοῦντα*] *ἀπό* B. *Πισσινοῦντος* libri. 7. *Ταουίαν* Salmasius. cf. Tzschucke ad Strabon. XII, p. 178. 8. *τὰ εἰς ν̄ο̄ς̄* usque ad 17, 8 *Ὑρκανός* leguntur etiam apud Draconem Strat. p. 16, 15. omissis tamen verbis 10 *οὐκ ἀναστρέφοντος* usque ad 12 *παραδείγματος*. videntur Herodiani esse, sed ut non nulla Apollonii sint interposita. *ἐάν* om. V. malim *εἰ*. 9. *καθαριευούσης* RV. 10. *οὐκ ἀναστρέφοντος τοῦ λόγου* omittit Draco. de hac formula vide Apollon. Synt. p. 7, 22. Etym. M. p. 187, 20. schol. Iliad. *ι*, 150. 12. *παρῆκται*? *παραδείγματα*? *ταῦτα* add. V. 14. *τοῦ δὲ δευτέρου* addita praeeunte B. vide s. v. *Πάριον*, ex quibus haec Apollonii esse intelligitur. 15. *Παρίου* add. *Π*RV. *Βοσπόριον* [*Βοσπορίου*] B, *Βοσπόριον* V, *Βόσπορον* AR et Draco. 16. *ἐθνικά* R, *ἐθνικός* V, *ἐθνικόν* A. *τὸ κτητικόν* RV. 18. *Καρίου Καριανός* ex *Παρίου Παριανός* corruptum et e superioribus repetitum videtur. ad *Κάριον*, Megaricae arcis nomen, parum probabiliter revocat Franke ad Richteri Inscr. gr. et lat. p. 439. nec *Κάριον* illi nomen erat, sed *Καρία*. *Συλλυμβρίου* R, *Σηλυμβρία* *Π*V.

τηται τὸ Βοτρυηνός, ἐὰν ἀπὸ τοῦ Βότρυος γέγονεν. ἐντεῦθεν δὲ ὁ τύπος μιᾷ περιττεύει, σπανίως δὲ δυσίν, ὡς τὸ Ταυριανός καὶ Σκορπιανός καὶ Ζυγιανός, ἅπερ ἀπὸ τῶν Σκόρπων καὶ Ταύρων καὶ Ζυγῶν παράγεσθαι δοκοῦσι, δυνάμενα καὶ αὐτὰ ἀπὸ τῶν προτέρων παράγεσθαι τοπικῶν, Ζυγίων Σκορπίων Ταυρίων. πρόσκειται οὐκ ἀναστρέφοντος τοῦ λόγου, διὰ τὸ Ἱσπανός Καρμανός Καμπανός Γερμανός Βρεττανός Ὠρητανός Ἀφρικανός Ἀλβανός Ὑρκανός. οὐδὲν γὰρ τούτων ἀπὸ γενικῆς καθαρευούσης. ὁ δὲ Ὧρός φησι „τὰ μέντοι [μὴ] καθαρεύοντα τῷ η̄ θέλει παραλήγεσθαι χωρὶς εἰ μὴ τῷ ρ̄ παρεδρευόμενα διφοροῖτο, καθάπερ ἐπὶ τοῦ Ἀγκυρανός καὶ Θυατειρηνός Γερμανός καὶ Γαγγρηνός. ὧν τὰ μὲν παρὰ τὴν Ἄγκυραν .... συνεξέδραμεν τῷ Σωρανός Βοστρανός, τὰ δὲ ἀπὸ τοῦ τὰ Θυάτειρα καὶ τὰ Γάγγρα παρῆκται. ἀλλὰ καὶ θηλυκῶς λέγεται ἡ Γάγγρα". [ὡς Πολυίστωρ φησίν, αἰπόλον

---

1. *ἐπεὶ* pro *ἐὰν*? 3. *Σκοπιανός* RV, *Καρπιανός* Lobeck. Path. p. 197. editum tuetur noster v. *Σκορπιανός, ἔθνος*. *Ἡρωδιανὸς ἑβδόμῃ* „*Ζυγιανός Ταυριανός Σκορπιανός*". Scorpiorum sive Scorpianorum gens aliunde sane non cognita; at nec Abros vel Ambros (s. v. *Ἄβροι*) aliosque populos aliunde quam ex Stephano cognitos habemus. si tamen subest error, nescio an is ut aliis locis ita etiam hic Herodiano imputandus sit. *τῶν Σκόρπων* Salmasius, *τοῦ Σκορπίων ΠRV*, *τοῦ Σκορπίου* Draco et A, *τῶν Κάρπων* Lobeckius. 4. *παράγεσθαι δοκοῦσι* Draco, *παράγειν ἐοίκασι* libri, *παράγειν εἰώθασι* Lobeck. 5. *τῶν* add. R. 7. *Ἱσπανός* Draco, *Ἱππανός* libri. *Καμπινός Π*. *Βρεττανός* M, *Βριττανός* A, ... *ττανός* R, *τανός* V. *Ὠρητανός* BH, *Ῥητανός* libri. 8. *Ἀφρικανός* ARV, *Ἀφικανός* Draco, *Ἀφρικός Π*. *Ἀλβανός* B, *Ὀλβανός* libri. 9. post *καθαρευούσης* Draco addit *ἅπερ ἐν τῷ περὶ ὀρθογραφίας εἴρηται στοχαστικῶς*. *Ὧρος*] V. Lobeck. l. l. p. 198. *φησι* add. V, lacunam indicat *Π*. *αὐτὰ* pro *τὰ* R. *μὴ* del. Lobeck. 10. *τῷ η̄* Casaubonus, *τὸ η̄* libri. *μὴ τὸ ρ̄* R. 11. *διφοροῖτο* Lobeck. *διαφοροῖτο* libri. 12. *Θυατειρανός* V. *Γερρανός* Lobeck. *περὶ* V. 13. lacunam post *Ἄγκυραν* Lobeckius indicavit, *καὶ Γέρρα* excidisse coniiciens. *Ὀστρανός* pro *Βοστρανός* Lobeck. 14. *ἀπὸ τούτου τὰ ΠRV*, quorum R inter *Θυάτειρα* et *καὶ τὰ Γάγγρα* lacunam habet. 15. *ὡς Πολυίστωρ* et quae sequuntur seclusi ut importune ex nostro v. *Γάγγρα* adiecta.

φάναι περὶ τὸν τόπον αἶγας νέμοντα, κτίσαντα οὖν πόλιν οὕτως ὀνομάσαι· οὕτω γὰρ ὄνομα τῇ αἰγί.]

Ἀγκύριον, πόλις Ἰταλίας. δύναται ὁ πολίτης Ἀγκύριος, ὡς Βυζάντιος, ἢ Ἀγκυριεύς, ὡς Κιτιεὺς Δουλιχιεὺς Σιγιεὺς Σουνιεύς. ἀλλ' ἄμεινον διὰ τὸ τῆς χώρας ἔθος Ἀγκυριανός, ὡς Ἀδριανός. εἰ μὴ ὡς παρὰ τὸ Ῥήγιον Ῥηγῖνος, Μεταπόντιον Μεταποντῖνος. Ἰταλοὶ γὰρ μάλιστα τούτῳ φιληδοῦσι τῷ τύπῳ.

Ἀγκυρῶν πόλις, Αἰγύπτου, ὡς Ἀλέξανδρος ἐν τρισκαιδεκάτῳ Αἰγυπτιακῶν. ὠνόμασται δὲ οὕτως, ἐπειδὴ λιθίνας ἔτεμνον αἷς κατεχρῶντο ἀγκύρας ἐκ τῆς παρακειμένης λατομίας. τὸ ἐθνικὸν ἡ τέχνη ἐκ τοῦ Αἰγυπτίων ἔθους. ὡς γὰρ Κυνῶν πόλις Κυνοπολίτης, Λεόντων πόλις Λεοντοπολίτης, Λύκων πόλις Λυκοπολίτης, Λάτων πόλις Λατοπολίτης, οὕτως Ἀγκυρῶν [πόλις] Ἀγκυροπολίτης.

Ἀγκών, πόλις Πικεντίνων, ὡς Ἀντρών. ἴσως δὲ βαρύνεται κατὰ τοὺς ἐγχωρίους. τὸ ἐθνικὸν Ἀγκώνιος, ὡς Ἀντρώνιος ὄνος ἡ παροιμία, Καλυδώνιος. λέγεται δὲ καὶ Ἀγκωνίτης, ὡς Ἀρτεμίδωρος.

---

1. φᾶναι libri. an φανῆναι? περὶ τοῦτὸν τόπον R. 3. πόλις Ἰταλίας] Nusquam huius nominis oppidum memoratur in Italia; at Ἀγκυλίων χώραν habes in Sicilia apud Diodorum Siculum Eclog. vol. 2, p. 531. ubi v. Wesseling. 4. Κυτιεύς R, ἀϊτιεύς V. Σιγιεύς R, Σιγειεύς AV. horum alterum ad id de quo agitur parum accommodatum, Σιγιεύς autem analogiae repugnat; itaque aut Αἰγιεύς aut Σιγριεύς legendum videtur. 5. Σουδιεύς V. Ἀγκυρανός R. 6. εἰ μὴ [Ἀγκυρῖνος] ὡς παρά W. περὶ V. 7. Μεταποντῖνον RV. 9. Ἀγκυρῶν R, Ἀγκυρὼν AV. [πόλις] Αἰγύπτου W. 10. λιθι...ας HRV, λιθ... A, λιθίνας ἐκεῖ X. fort. λιθί[νας κίον]ας ἔτεμνον, αἷς κατεχρῶντο (καὶ ἐχρῶντο?) ἀγκύραις. quod firmat quodammodo R, in quo ἀγκύράς scriptum est. 11. ἐκ δὲ τῆς ante X. 15. Ἀγκυριῶν RV, Ἀγκυριὼν A, πόλις add. H. 16. ὡς Ἀντρών (libri Ἄντρων) quae libri post ἐγχωρίους habent huc transposuit Lobeck Path. p. 65, 17. Πουκεντίνων V. 18. post παροιμία libri addunt εὐφυεῖς γὰρ πρὸς μυλῶνας ἔχει λίθους. delevi haec utpote ex v. Ἀντρών, ubi e libris exciderunt, male huc illata.

Ἀγνοῦς, δῆμος ἐν τῇ Ἀττικῇ τῆς Δημητριάδος φυλῆς· τινὲς δὲ τῆς Ἀκαμαντίδος ἢ ὡς Φρύνιχος τῆς Ἀτταλίδος. ἐκλήθη δὲ ἀπὸ τῆς ἐν αὐτῷ φυομένης ἄγνου. ἐπιπολάζει γὰρ καὶ τοῦτο τὸ εἶδος παρ' Ἕλλησιν, οἷον Σχοινοῦς Σκιλλοῦς Πιτυώδης Δαφνοῦς Σελινοῦς Ἐρικώδης, ἀπὸ τῶν ἐν τοῖς τόποις φυομένων. καὶ τῶν Ἀθήνησι δήμων τινές, Ἀχερδοῦς Φηγοῦς Μυρρινοῦς. ὁ δημότης Ἀγνούσιος, ὡς Ῥαμνούσιος. ἀπὸ τῆς γενικῆς προσόδῳ τοῦ ῑ τοῦ τ̄ οὐ φυλασσομένου, ὡς ἐν τῷ Σελινούντιος Ὀπούντιος Ἱεριχούντιος, τρεπομένου δὲ εἰς σ̄, καὶ τοῦ πρὸ αὐτοῦ ν̄ ὑφαιρουμένου, Ἁλιμούσιος Φηγούσιος. διακρίνεται ἡ τροπὴ τῷ ἀδιαιρέτῳ τοῦ πρωτοτύπου, ὅπερ Ἀττικοὶ φιλοῦσι. παρ' αὐτοῖς γὰρ οὐ λέγεται Ἀγνόεις ἢ Φηγόεις ἢ Μυρρινόεις. ὅθεν οὐδὲ διὰ τοῦ τ̄ λέγεται Σιμούντιος, ἀλλὰ διὰ τοῦ σ μετὰ τῆς ὑφέσεως τοῦ ν̄. τὸ δὲ Σιμοῦς Σιμόεις διαιρεῖται, καὶ Ὀποῦς Ὀπόεις. τάχα δὲ καὶ τὰ δοκοῦντα διαιρεῖσθαι κυριώτερα καθέστηκεν, ὅθεν μετὰ τοῦ τ̄ λέγεται Σιμούντιος· οὐ γὰρ Ἀττικὰ ταῦτα. τὸ τοπικὸν

---

2. Ἀτταλίδος B, Ἀττικῆς V, Ἀτταλίας A, lacuna R. 3. τῆς ἐν τῷ Π. ἄγνους RV. 4. Σχοινοῦς Casaubonus, σχο... RV, Σχολνοῦς A. Σκιλλοῦς H, Κυλλοῦς libri. 5. Πιτυώδης ΠRV, Πιτυωδοῦς A, Πιτυοῦς Gronovius, quod sequutus est B. unice verum est quod revocavi Πιτυώδης et mox Ἐρικώδης. non enim de forma τοπικῶν in οῦς exeuntium ethnicographus agit, sed ostendit urbes apud Graecos saepe a plantis arboribusve denominatas esse. forma Πιτυώδης praeter alios usus est Artemidorus apud nostrum s. v. Χαλκῖτις, et Πιτυώδεις plurali numero dixit Alcman s. v. Πιτυοῦσσαι. etiam Ἐρικώδης pro Ἐρικοῦσσα dictum fuit. Σελινοῦς H, Σεμινοῦς libri. Ἐρικώδης RV, Ἐρικωδοῦς A, Ἐρικοῦς Gronovius. 6. καὶ τῶν Salmasius, καθὰ τῶν Gronovius, κατὰ τὸν libri. Ἀθήνησι ΠRV, ἐν Ἀθήνησι A. δήμων Salmasius, ..μον R, δῆμον AV. 7. μύρρινας ΠRV. 8. τοῦ ῑ PpRV, τοῦ ῑτος A. τοῦ τ̄ οὐ B, τούτου V, τοῦ τ̄ APpR. 9. Σελινούντιος H, Σεμινούντιος libri. Ἱεριχούντιος BH, Ἐριχούντιος AR, Ἐρεχούντιος V. 10. εἰς σ̄ Pp, εἰς σα̅ R, εἰς ᾱ AV. αὐτοῦ ν̄ PpR, αὐτοῦ ῑ AV. 14. ἀλλὰ διὰ usque ad 17. Σιμούντιος add. PᵃΠRV.

Ἀγνουντόθεν, καὶ ἐν τόπῳ Ἀγνοῦντι ἐν τοῖς ἄξοσιν „ἐπειδὴ Ἀγνοῦντι θυσία ἐστὶ τῷ Λεῷ". εἰς τόπον Ἀγνοῦντάδε.

Ἀγνώνεια, πόλις Θρᾴκης πλησίον Ἀμφιπόλεως, Ἅγνωνος κτίσμα τοῦ στρατηγοῦ τῶν Ἀθηναίων. τὸ ἐθνικὸν Ἀγνωνείτης, ὡς Μαρωνείτης τοῦ Μαρώνεια καὶ Καυκωνείτης τοῦ Καυκώνεια, κατ' ἔλλειψιν τοῦ ᾱ.

Ἀγνῶτες, ἔθνος Κελτικῆς παρὰ τὸν ὠκεανόν, ὡς Ἀρτεμίδωρος.

Ἀγορά, πόλις ἐν Χερρονήσῳ. ὁ οἰκητὴς Ἀγοραῖος.

Ἀγοραῖον τεῖχος, πόλις Εὐρώπης ἐν Ἑλλησπόντῳ. τὸ ἐθνικὸν Ἀγοραιοτειχίτης.

Ἀγορησός, πόλις Καρίας, κτίσμα Ἀργείων ἀποίκων. τὸ ἐθνικὸν Ἀγορησεύς, ὡς Τελμισεύς, Τυμνησός Τυμνησεύς. δύναται καὶ Ἀγορήσιος, ὡς Ἀυρνήσιος.

Ἄγρα καὶ Ἄγραι, χωρίον, ἑνικῶς καὶ πληθυντικῶς. ἔστι δὲ τῆς Ἀττικῆς πρὸ τῆς πόλεως, ἐν ᾧ τὰ μικρὰ μυστήρια ἐπιτελεῖται, μίμημα τῶν περὶ τὸν Διόνυσον· ἐν ᾧ λέγουσι καὶ τὸν Ἡρακλέα μεμυῆσθαι.

Ἀγραῖοι, ἔθνος Ἀράβιον, ὡς ἐν ἑκκαιδεκάτῳ Στράβων. ἔστι δὲ καὶ ἕτερον ἔθνος πλησίον Ἀκαρνάνων, ὡς Θουκυδίδης

---

1. Ἀγνουστόθεν ante W. ἀναγνοῦντι RV. 2. Λεῷ M, λεῷ vulgo; quod fefellit viros doctos ut Solonis verba de sacrificiis a populo factis intelligerent. Leon heroem Agnusium fuisse constat e Plutarchi V. Thes. 13. ἀγνουντάδε R. 5. Καυνωνείτης et Καυνώνεια ante H. 7. Ἀγνῶτες] Plinio NH 4, 19 Anagnutes. 9. Χερρονήσῳ R. οἰκήτωρ? 10. Ἀγοραῖον τεῖχος non diversum videtur a superiore Agora, de qua v. Herod. 7, 58. monuere iam alii. 13. Ἀγορησσεύς R. Τελμησεύς malim propter reliqua. Τυμησός Π. Τυμνησσεύς R, Τυμνσσεὺς Π. 15. Ἀγράς pro Ἄγραι V. malim igitur Ἀγραί. 16. ἔστι καὶ τῆς libri. πρὸ τῆς om. V. 17. μίμημα AV, μήνυμα R, in quo μύημα latere videtur. 19. Ἀγραῖοι] Eustath. ad Dion. 954 καὶ Ἀγρέες, οὓς ὁ τὰ ἐθνικὰ γράψας Ἀγραίους λέγει. Ἀρράβιον R. ἑκκαιδεκάτῳ (p. 767) X, ἕκτῳ A, ϛ RV, ϛῳ Π. 20. δὲ add. R.

ἐν τρίτῃ. τὸ θηλυκὸν ἐπὶ τῆς χώρας Ἀγραία. λέγονται δὲ καὶ Ἀγραεῖς, ὡς Ἐρατοσθένης.

Ἀγραυλή, δῆμος Ἀθήνησι τῆς Ἐρεχθηίδος φυλῆς. τινὲς δὲ Ἀγρυλή γράφουσιν ἄνευ τοῦ α, Ἀγρυλῆθεν. θέλει δὲ τὸ α ἀπὸ Ἀγραύλου τῆς Κέκροπος θυγατρός. τρεῖς δὲ ἦσαν ἀπὸ τῶν αὐξόντων τοὺς καρποὺς ὠνομασμέναι, Πάνδροσος Ἕρση Ἄγραυλος. ἔστι δὲ καὶ πόλις Ἀθηναίων ἄποικος ἐν Σαρδοῖ ἀπὸ τοῦ δήμου κληθεῖσα Ἀγρυλή. ὁ δημότης Ἀγρυλεύς, καὶ Ἀγρυλῆθεν ἐκ τόπου, εἰς τόπον Ἀγρυλήνδε. δέχεται δὲ δύο τύπους. καὶ ἐν τόπῳ Ἀγρυλῆσι.

Ἄγρη, πόλις Λυδίας. Ἡρωδιανὸς ἐν δωδεκάτῃ. τὸ ἐθνικὸν Ἀγραῖος, ὡς Ἀσκραῖος.

Ἀγρίαι, ἀρσενικῶς, ἔθνος Παιονίας μεταξὺ Αἵμου καὶ Ῥοδόπης. παρὰ Πολυβίῳ δὲ διὰ τοῦ α. εὑρέθη δὲ ἐν ὀκτωκαιδεκάτῃ „τὸ γὰρ τῶν Ἀγραῶν ἔθνος". λέγονται καὶ Ἀγράιοι τετρασυλλάβως, καὶ Ἀγριεῖς, ὡς Θεόπομπος. καὶ κτητικὸν Ἀγρικόν. λέγονται καὶ Ἀγριᾶνες, ὡς ἐν τῷ ἐπιγράμματι γραφέντι εἰς Νεοπτόλεμον Πισίδην οὕτως

εἰμὶ Νεοπτόλεμος Κρεσσοῦ, τρισσῶν δ' ἕν' ἀδελφῶν
ἔστασαν Τλωεῖς, κῦδος ἐμὸν δόρατος·
οὕνεκεν ὧν Πισίδας καὶ Παίονας ἠδ' Ἀγριᾶνας
καὶ Γαλάτας τόσσους ἀντιάσας στόρεσα.

τὸ κτητικὸν Ἀγριανικός, ὡς Χάραξ ἐν δευτέρῳ χρονικῶν.

---

1. *τρίτῃ*] cap. 106. 111. 114. *δὲ* om. R. 9. *δέχεται* — 10. *Ἀγρυλῆσι* exciderunt in R. 10. *τύπους* Vat. apud H, *τόνους* APV, *τόπους* X. admonitio haec importuno loco repetita spectat ad duplicem formam *Ἀγρυλή* et *Ἀγραυλή*. 11. *ἐν* om. R. *δωδεκάτῃ* M, *ἑνδεκάτῃ* libri. res clara ex Arcad. p. 113, 18. adde quae ad v. *Ἄσκρη* dicta sunt. 14. *παρὰ Πολυβίῳ*] v. Polyb. Bekk. vol. 2 p. 855, 7. *διὰ τοῦ αι* X. 15. *Ἀγραῶν* Polybius, *Ἀγραίων* libri. *Ἀγραῖοι* pro *Ἀγράιοι* R. 16. *Ἀγράιεῖς* R. 19. *δ' ἐμ'* Bergkius Ephem. phil. II. p. 271. 20. *ἔστασαν* V, *ἔστασαν* AR. *ἐμοῦ* Gronovius. 21. *οὕνεκεν ὧν* Pp, *οὐνεκενων* HRV, *ουνεκεων* cod. Salm., *οὐνε..* A, *οὕνεκ' ἐγὼ* Bergkius. *καὶ Παίονας* Salmasius, *καὶ ..ἄνες* HRV, *καὶ Ἀγριᾶνες* A. 22. *τόσους* R. *τοσσοὺς* AV, *τοσσοῖς* H. 23. *Ἀγριανός* V.

Ἄγρισα, πόλις Καρμανίας. ὁ πολίτης Ἀγρισαῖος, ὡς Ἔδεσσα Ἐδεσσαῖος.

Ἀγρός, τὸ χωρίον. ὁ οἰκήτωρ ἀγρότης καὶ ἀγρότις, καὶ ἀγροιώτης καὶ ἀγρωτήρ καὶ ἀγρώτειρα καὶ ἀγρώτης διὰ τοῦ ῶ μεγάλου, ὡς Μαλλός Μαλλώτης καὶ Ἤπειρος Ἠπειρώτης, καὶ ἀγρώστης πλεονασμῷ τοῦ σ̄, καὶ συνθέτως ἄγροικος καὶ ἀγροῖκος, ἀφ' ὧν παρώνυμον τὸ ἀγροικηρός ὡς σιγηρός, καὶ „ἀγροικηρὴν φύσιν", καὶ ἀγροιῶτις καὶ ἀγρωστῖνος καὶ ἀγρεῖος καὶ ἀγρίτης, ὡς τόπος τοπίτης, καὶ ἀγρείη διὰ διφθόγγου.

Ἀγυιά, τόπος δηλῶν τὴν ἐν τῇ πόλει πορευτὴν ὁδόν. Ἡρακλέων δὲ ὁ Γλαύκωνος παρὰ τὸ ἀίσσω φησίν. ἔστι δὲ ὡς παρὰ τὸ ἅρπω ἅρπυια, ὀρέγω ὀρέγυια. ὁ τοπίτης ἀγυιεύς. λέγονται καὶ ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς Εὔπολις. καὶ κατὰ συναίρεσιν ἀγυιέας ἀγυιᾶς. λέγεται δὲ κίων ἀγυιεὺς εἰς ὀξὺ ἀπολήγων, ὁ πρὸ τῶν θυρῶν ἱστάμενος, Ἀριστοφάνης

---

1. Ἄγρισα] Ptolemaeo Geogr. 6, 16 Ἀγρίς. 2. Ἔδεσσα Ἐδεσσαῖος R, Ἔδεσα Ἐδεσαῖος AV. fortasse etiam Ἄγρισσα et Ἀγρισσαῖος scribendum. 3. ὁ om. V. 7. παρώνυμον τὸ] Pro his H ex Pp enotavit παράγεται τὸ κτητικόν. fortasse igitur scribendum ἀφ' ὧν παράγεται τὸ κτητικὸν ἀγροικικός, καὶ τὸ παρώνυμον ἀγροικηρός, quae firmat quodammodo R, in quo pro ἀγροικηρός scriptum est ἀγρο . . . . . κηρός, et V, qui inter παρώνυμον et κηρός undecim fere literarum lacunam habet. 8. ἀγροιῶτις καὶ indicata lacuna om. R. ἀγρωστῖνος] Is fabulae Epicharmeae titulus. 9. καὶ . . . . . γρείη διὰ V. itaque malim καὶ ἀγρίτης, ὡς τόπος τοπίτης, καὶ ἀγρεῖος καὶ ἀγρείη διὰ διφθόγγου. 10. τόπος δηλῶν] Scribendum videtur ὄνομα δηλοῦν. nimirum ὄνομα primum, ut fit, in ὄνος deinde in τόπος corruptum. Cf. s. v. Αἰγινήτης — ἔοικε δὲ τὸ ὄνομα (R ὄνος) δηλοῦν τὴν ἐν τῷ Πόντῳ Αἴγιναν. video nunc in R scriptum esse τόπ̈ος, a Passowio cum plurimis aliis neglectum. τὴν om. RV. 11. Γλαύκ.. RV. fortasse Γλαύκου, ut dicitur infra v. Ἀρέθουσα. pro ἀίσσω suspiceris ἄγω, quam etymologiam sequuntur Eustath. ad Il. p. 166, 23. Hesychius v. ἀγυιά et Etym. M. p. 14, 26. nisi post ἔστι δὲ ὡς (ὁ RV) cum B addere praestat παρὰ τὸ ἄγω. vix tamen adeo ineptus fuit Heracleo, ut ἀγυιά ad ἀίσσειν referret.
12. ἅρπω Salmasius, ἅρπη libri. ὀρόγυια? 13. Εὔπολις] Vid. Com. poet. 2. p. 571. 14. δὲ pro καὶ V. 15. ἱστορούμενος PpV. an igitur ἱδρυμένος?

Θεσμοφοριαζούσαις. καὶ ὁ Ἀπόλλων ἀγυιεύς καὶ ἀγυιάτης, τουτέστιν ὁ ἐφόδιος. καὶ θηλυκὸν ἀγυιᾶτις, ὡς καὶ τὰ προπύλαια τοῦ ἀγυιέως ἀγυιάτιδες [θεραπεῖαι] λέγονται. τὸ τοπικὸν ἀγυιαῖος. Σοφοκλῆς Ἑρμιόνῃ „ἀλλ' ὦ πατρῴας γῆς ἀγυιαίου πέδον". ἔστιν οὖν τὸ μὲν ἀγυιεύς ἀπὸ τοῦ ἀγυιά, ὡς Τρύφων φησὶν ἐν παρωνύμοις „πᾶν εἰς ᾱ θηλυκὸν ἰσοσύλλαβον ἔχει τῇ εὐθείᾳ καὶ τῇ γενικῇ τὸ παρώνυμον, Μοψοπία Μοψοπιεύς Ἐρετριεύς Φωκαιεύς Θεσπιεύς". τὸ δὲ ἀγυιάτης ὡς Κορώνεια Κορωνειάτης Καρυάτης Καυλωνειάτης. τὸ δὲ ἀγυιαῖος ὡς ἀρουραῖος.

Ἄγυλλα, πόλις Τυρρηνίας. Λυκόφρων „Ἄγυλλαν Αὐσονῖτιν εἰσεκώμασεν". ἔστι δὲ κτίσμα τῶν ἐκ Θετταλίας Πελασγῶν, μετωνομάσθη δὲ Καῖρε. Θετταλῶν γὰρ κρατούντων τῆς πόλεως προσελθών τις τῶν ἀπὸ Λυδίας μετοικησάντων Τυρρηνῶν ἠρώτα τί ἂν εἴη τὸ ὄνομα τῆς πόλεως, τὶς δὲ ἀντὶ τῆς ἀποκρίσεως τὸ χαῖρε εἶπεν· ὅθεν Τυρρηνοὶ κρατήσαντες Καῖρε προσηγόρευσαν. τὸ ἐθνικὸν Καιρετανοί, ὡς Στράβων. ὁ πολίτης Ἀγυλλαῖος. Ῥιανὸς δὲ Ἀγύλλιον εἶπε χαλκόν.

Ἀγύρινα, πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀγυριναῖος. Διονύσιος δὲ τὸ Ἀγύριον ἔφη.

Ἀγχιάλη, πόλις Κιλικίας παραθαλασσία [πρὸς] τῇ Ταρσῷ καὶ Ζεφυρίῳ. ἔστι δὲ κτίσμα Ἀγχιάλης τῆς Ἰαπετοῦ θυγατρός, ὡς Ἀθηνόδωρος περὶ τῆς αὐτοῦ πατρίδος γράφων καὶ παρατιθεὶς Διόδωρον τὸν γραμματικὸν συμφωνοῦντα Πτολεμαίῳ βασιλεῖ „γίνεται δ' Ἰαπετοῦ θυγάτηρ Ἀγχιάλη, καὶ

---

1. *Θεσμοφοριαζούσαις*] vs. 489. 3. *θεραπεῖαι* addidit M. respicit enim Eurip. Ion. 190. *οὐκ ἐν ταῖς ζαθέαις Ἀθήναις εὐκίονες ἦσαν αὐλαὶ θεῶν οὐδ' ἀγυιάτιδες θεραπεῖαι.* 5. *ἀγυιαῖον πέδον?* 7. 8. *Μαψοπία Μαψοπριεύς* R. 8. *Φωκαιεύς* V, *Φωκαεύς* AR. 9. *Καρυάτης* ΠRV, *Καρνάτης* A, *Καρνειάτης* X. 11. *Λυκόφρων*] vs. 1355. 17. *Στράβων*] 5 p. 220. 18. *Ῥοανὸς* RV. *Ἀγυλλῖνον* B. 19. *Ἀγύρινα* et *Ἀγυριναῖος* H, *Ἀγύρηνα* et *Ἀγυρηναῖος* libri. 21. *Κιλικίας* X, *Σικελίας* (*Σικελία* R) libri. *πρὸς* add. H. 22. *Ταρσῶν καὶ Ζεφύρῳ* R.

κτίζει πόλιν Ἀγχιάλην, Ἀγχιαλέα τε τὸν παρακείμενον ποταμόν. γεννᾷ δ' υἱὸν Κύδνον, ἀφ' οὗ ποταμὸς Κύδνος ἐν Ταρσῷ, ὁ δὲ Κύδνος υἱὸν Παρθένιον, ἀφ' οὗ ἡ πόλις μετωνομάσθη Παρθενία. μεταπεσόντος δὲ τοῦ ὀνόματος Ταρσὸς ἐκλήθη". τινὲς δέ φασι Σαρδανάπαλλον δύο πόλεις κτίσαι, Ἀγχιάλην σὺν Ταρσῷ, οὗ ἐστι καὶ τὸ ἐπίγραμμα ὧδε „ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος τερπνὰ πάθον. τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται. Σαρδανάπαλλος ὁ Κυνδαράξεω παῖς Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἐν ἡμέρᾳ μιῇ. ἔσθιε πῖνε παῖζε, ὡς τἄλλα τούτου οὐκ ἄξια". τοῦ ἀποκροτήματος. λέγεται δὲ καὶ Ἀγχιάλεια, ὡς Διονύσιος ὁ περιηγητής. ὁ πολίτης Ἀγχιαλεύς, ὡς Σινώπη Σινωπεύς. ἔστι δὲ καὶ Ἰλλυρίας ἄλλη, κτίσμα Παρίων, παρ' ᾗ κόλπος Ἐνεστηδῶν λεγόμενος, ἐν ᾧ ἡ Σχερία. ὁ πολίτης ὁ αὐτός.

Ἀγχίση, πόλις Ἰταλίας, ἀπὸ τοῦ προπάτορος Ἀγχίσου, ὡς Διονύσιος ἐν πρώτῃ περὶ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ἀγχισεύς.

Ἄδανα, Κίλισσα πόλις, οὐδετέρως. ταύτην ᾤκισεν Ἄδανος καὶ Σάρος, Ταρσεῦσι πολεμήσαντες καὶ ἡττηθέντες. ἀφ' ὧν ἡ πόλις ἀπὸ τοῦ ἡγεμόνος Ἄδανα. τὸν δὲ ποταμὸν Κοίρανον καλούμενον Σάρον καλέσαντες. ἔστι δὲ ὁ Ἄδανος

---

1. τε ΠV, τὰς R, om. A. πρὸς ante Ἀγχιαλέα addebat Bochartus; videtur potius post ποταμόν aliquid excidisse,.e. c. ἀφ' αὐτῆς ὀνομάζει. 3. 4. μετωνομάσθαι Π. 5. φασι om. R. Σαρδανάπαλον hic et infra libri. 6. ἐπίγραμμα] V. Naekii Choer. p. 198. 237. 9. Ἀνακυνδαράξεω Strabo 15 p. 672 et anonymus ms apud Bernhardyn ad Dionys. Per. vol. 2 p. 1010. idem ἐδείματο et μιᾷ et τοῦ ἀνακρούματος. 10. ἐν delet Naekius, nec habet Strabo, ex quo haec transscripta sunt. 12. περιηγητής] vs. 875. 14. Χερεία R, Χερία Π. 16. Ἰταλίας] Potius Epiri. Anchisae portum apud Butrothum memorat laudatus Stephano Dionys. Arch. 1, 51. idem Anchisenses, Ἀγχισεῖς, 1, 74. Ἄγχισος urbs apud Nicopolin memoratur Procop. B. G. 4, 22. 17. Διονύσου Π. 19. ᾤκισαν V, ᾤκησεν R.

Γῆς καὶ Οὐρανοῦ παῖς, καὶ Ὄστασος καὶ Σάνδης καὶ Κρόνος καὶ Ῥέα καὶ Ἰαπετὸς καὶ Ὄλυμβρος. ὁ πολίτης Ἀδανεύς, ὡς Γάργαρα Γαργαρεύς, Τύανα Τυανεύς. ἔστι δὲ καὶ ἑτέρα πόλις ἐν μεσογείῳ τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιός φησιν ἐν Ἀραβικῶν τρίτῳ. ὁ ταύτης πολίτης οὐ δύναται Ἀδανεὺς εἶναι· οὐ γὰρ ὁ τύπος Ἀράβων, ἀλλὰ τῶν διὰ τοῦ ᾱ οὐδετέρων ὁ διὰ τοῦ ηνος. Ζόαρα Ζοαρηνός, Μήδαβα Μηδαβηνός, Τάρφαρα Ταρφαρηνός, Αὔαρα Αὐαρηνός. οὕτως καὶ Ἀδανηνός. ἢ Ἀδανίτης, ὡς Αἴλανα Αἰλανίτης. Ἡρωδιανὸς ἐν τετάρτῃ τῆς καθόλου „τὸ Ἄδανις καὶ Θήβανις θηλυκὸν τὸν Αἰολίδος ἔσχεν. ἐπίσταμαι δὲ ὅτι καὶ ἀρσενικόν ἐστιν. οὕτως δὲ ἄνεμος καλεῖται ἀπὸ Θήβης πόλεως πνέων τῆς Ἠετίωνος, τοῦ πατρὸς Ἀνδρομάχης". εἰ τοίνυν τοῦ Ἀδανεὺς τὸ

---

1. Ὀσταχὸς Bergkius. Ἀσταχός terrigena memoratur a Memnone Photii Bibl. p. 228, 10. Σάνδης RV, Ἄνδης A. 2. Ὄλυμπος Salmasius. 4. Ἀρραβίας R. 6. Ἀρράβων R. 7. Ζοαρηανός V. 8. Ἄβαρα (υ suprascr.) R. 9. Αἴλανα Αἰλανίτης H, Αἴλινα Αἰλινίτης AV. diphthongus tamen fortasse servari potest, cum Plinius NH. 5, 11, 12 habeat Aelana. 10. Θήβανις RV, Θήμανις Π, Θήμαλις A. cf. Arcadius e quarto Herodiani p. 32, 21. τὸ ἄδανις προπαροξύνεται, καὶ τὸ θήβανις. Hesychius, Θήβανις: ἄνεμος. Θήβανα: αὔρα ἐκ τοῦ πλαγίου κόλπου πνέουσα. Quae ita corrigenda et ad unam glossam coniungenda existimabam, Θήβανις ἄνεμος: αὔρα ἐκ τοῦ Πλακίου κόλπου πνέουσα. ac de Πλακίου, quod etiam B coniecit, non dubitandum est; ita enim rectissime sinum dicit eum, cui Thebae Hypoplaciae adiacebant. at Θήβανα sive Θήβαννα (ut σέλαννα et alia) fortasse recte habet; ac nescio an eadem forma restituenda sit apud Aristot. vent. nom. p. 973, 8. οὗτος (ὁ Καικίας) ἐν μὲν Λέσβῳ καλεῖται Θηβάνας. πνεῖ γὰρ ἀπὸ Θήβης πεδίου τοῦ ὑπὲρ τὸν Ἐλαιατικὸν (leg. Ἐλαϊτικὸν) κόλπον τῆς Μυσίας, ἐνοχλεῖ δὲ τὸν Μιτυληναίων λιμένα, μάλιστα τὸν Μαλόεντα. et mox τινὲς δὲ αὐτὸν Καικίαν οἴονται εἶναι Θηβάναν προσαγορεύοντες. ad Θήβανις quod attinet, rarissimum est venti nomen terminari in ῑς, cuius rei unum praeterea exemplum habeo Ἴδυρις, de quo infra dictum est ad Ἴδυρος. 11. ἔσχεν V, ἔσχεν ν' R, ἔχυνον Π, ἐχέν P[a], ἔχενον A, ἔχει τόνον Salmasius. ἄρσεν R. 12. οὗτος (i. e. οὕτως) RV, οὕτω A.

Ἄδανις, ὡς τοῦ Ταρσεύς τὸ Ταρσίς, ἔδει συνοξύνεσθαι, εἰ μὴ κατ' Αἰολέας βαρύνεται, ὅπερ ἐπὶ τοῦ Θήβανις εἴρηκεν, εἴ γε ὅλως ἐστὶν ἐθνικόν. ἔστι καὶ τρίτη πόλις πρὸς τῷ Εὐφράτῃ. τὸ ἐθνικὸν Περσικῷ ἔθει Ἀδανηνός.

Ἀδαρούπολις, πόλις Περσική, ὡς Μαρκιανὸς ἐν περίπλῳ τοῦ Περσικοῦ κόλπου. ὁ πολίτης Ἀδαροπολίτης, ὡς Ἡλιοπολίτης Ἡφαιστοπολίτης, τῷ τεχνικῷ λόγῳ, εἰ μὴ ὀφείλει τῷ Περσικῷ τύπῳ, ὡς Καμβυσηνός Σωφηνός Παραιτακηνός. ἔστι δὲ καὶ Ἄδαρα οὐδετέρως, κώμη μεγάλη τρίτης Παλαιστίνης μεταξὺ Χαραχμώβων καὶ Ἀρεοπόλεως, ἴσως ἀπὸ τῆς Περσίδος κληθεῖσα πόλεως. καὶ γὰρ φυλή τις ἐν Χαραχμώβοις Βαβυλώνιοι. τῶν δὲ Ἀδάρων τὸ ἐθνικὸν Ἀδαρηνός.

Ἀδέρκων, πόλις Ἰβηρίας, ὡς Ἀσκάλων. τὸ ἐθνικὸν Ἀδερκωνίτης, ὡς Ἀσκαλωνίτης.

Ἀδιαβηνή, χώρα μέση τῶν ποταμῶν Εὐφράτου καὶ Τίγριδος, ἥ τις καὶ Μεσήνη ὠνόμαστο. τὸ ἐθνικὸν Ἀδιαβηνός.

Ἄδουλις, πόλις Αἰθιόπων. οἱ δὲ Πανὸς νῆσον αὐτὴν καλοῦσιν. καὶ τάμοῦ βιβλία Ἄδουλι δίχα τοῦ σ. σφάλμα δέ ἐστιν. Ἄδουλις γὰρ ὀφείλει, ὡς Ἡρωδιανὸς ἐν τοῖς εἰς λις τῷ ω... παραληγομένοις. ὁ πολίτης Ἀδουλίτης, ὡς Ἀξουμίτης. καὶ Ἀδουλιτικός τὸ κτητικόν.

---

1. *Ἀδανίς* I. F. Gronovius, *Ἀδανεῖς* libri. *Ταρσίς* I. F. Gronovius, *Ταρσεῖς* libri. 3. *καὶ ἔστι Π*. *πρὸς τὸ R*. 5. *Ἀδαρούπολις* R, *Ἀδάρου πόλις* A, *Ἀδάρου πόλεως* V. 7. 8. *ὀφείλει* R, *ὀφείλῃ ΠV*, *ὀφείλοι* A. 9. *τρίτης* RV, *τρίτη* A. 11. 12. *ἀχαρχμώβοις* R. 12. *Βαβυλώνιοι* RV, *Βαβυλώνιος* Pp, *Βαβυλῶνος Π*, *Βαβυλωνίων* A. 16. *Μεσσήνη* R. 19. *τάμοῦ* V, *ταμ*ʋ R, *τὰ μυσῶν* A. 21. *τῷ ω̄* libri, nisi quod *μέγα* (*μεγάλῳ*) addit *Π*, *τῷ ο̄ῡ* Salmasius. indicavi lacunam; excidit aut *ἢ ο̄ῡ* aut *ἢ διφθόγγῳ*. Arcadius p. 31, 24. *τὰ εἰς λις παρώνυμα τὸ (τῷ) ω̄ ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλίς Αἰτωλίς Ἰουλίς. τὸ ἄγουλις* (l. *Ἄδουλις*) *προπαροξύνεται καὶ τὸ ἀρτόπωλις*. *παραληγομένοις* Schubartus, *παραληγομένων* R, *παραληγόμενα* AV. 22. *ἀδουλιτικῶς* R.

Ἀδραμύτειον, πόλις τῆς κατὰ Κάικον Μυσίας. ἡ γραφὴ διχῶς, διὰ τοῦ τ̄ καὶ διὰ τοῦ δ̄, καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ, καὶ δι' ἑνὸς τ̄ καὶ διὰ δύο. ἀλλὰ δι' ἑνὸς τ̄, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τὸ ῑ μόνως. κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. οὐ δύναται δέ, ὡς Ἡρωδιανός, διὰ τὸ μὴ ἔχειν τὸ τ̄ τὸ Ἄδραμυς. ὁ πολίτης Ἀδραμυττηνός, ὡς Ἀρταχηνός Δατηνός Δαυηνός Σεβαστηνός. λέγεται δὲ καὶ Ἀδραμύττιον διὰ τοῦ ῑ, ὡς Κρατῖνος.

Ἀδράμυττις, νῆσος ἐν τῇ Λυκίᾳ. τὸ ἐθνικὸν Ἀδραμυττίτης, ὡς Ναύκρατις Ναυκρατίτης.

Ἀδράνη, πόλις Θρᾴκης, ἣ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται, ὡς Θεόπομπος. Πολύβιος δὲ διὰ τοῦ η̄ τὴν μέσην λέγει ἐν τρισκαιδεκάτῃ, Ἀδρήνη. τὸ ἐθνικὸν Ἀδρηνίτης, ὡς Συήνη Συηνίτης, Σελήνη Σεληνίτης. τούτων τὰ μαρτύρια ἐν τοῖς οἰκείοις. δύναται δὲ καὶ Ἀδρηναῖος, ὡς Κυρηναῖος Πελληναῖος Μιτυληναῖος. δίδωσιν ἡ τέχνη καὶ τὸ Ἀδρηνεύς, ὡς Πελληνεύς.

---

1. Ἀδραμύττιον (ει superscr.) R, Ἀτραμύττειον V, Ἀδραμύττειον A. lex quam subiicit aut Ἀδραμύττιον aut Ἀδραμύτειον postulabat. cf. Eustathius ad Hom. p. 649. 63. 3. ἀλλὰ ΠRV, ἀλλὰ καὶ A. 4. δύο [ὅταν] τὸ ῑ? τὸ ῑ RV, τῷ ῑ A. 5. Ἀδραμύττου V. Ἀλυάττου V, Ἀλυάτου AR. 8. Ἡρώδης ΠR. 9. ἔχειν τὸ τ... Ἄδραμυς R. 10. φατηνός V, ...τηνός R. Δαυηνός BH, Δαχηνός libri. 11. Ἀδραμύττιον AR, Ἀδραμυττῖνος V. id qui coniecerat Salmasius, pro Κρατῖνος scripsit Κραστῖνος. at haec gentilium forma ab Asiaticarum gentium usu aliena. revocavi igitur Ἀδραμύττιον et Κρατῖνος. neque offensioni esse posse, quod scriptor redeat ad formam iam in superioribus memoratam, plurimis exemplis cognitum est. ceterum corrige hinc quae dicta sunt Com. gr. fr. vol. 2 p. 228. 14. Θρᾴκης V, Θρᾳκικῆς R, Θρᾳκική A. 16. Ἀδρηνίτης RV, Ἀδρηνήτης A. 17. Συηνήτης et Σεληνήτης libri, corr. B. 18. Κυνηναῖος V. 19. Πελληναῖος Μιτυληναῖος R, Μιτυληναῖος Πελληναῖος AV. Παλληναῖος pro Πελληναῖος H, propter nostrum s. v. Πελλήνη.

Ἀδρανόν, πόλις Σικελίας ἐν τῇ Αἴτνῃ, ποταμὸν ὁμώνυμον ἔχουσα. λέγεται καὶ ἀρσενικῶς Ἀδράνιος. Ἀπολλόδωρος δὲ Ἀδρανίτας φησὶ τὸ ἐθνικόν.

Ἀδράστεια, μεταξὺ Πριάπου καὶ τοῦ Παρίου, ἀπὸ Ἀδράστου βασιλέως, ὃς καὶ πρῶτος ἱδρύσατο τὸ Νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια καὶ Ἀδραστείας πεδίον, καὶ ἡ πόλις οὕτως. Διογένης ἐν πρώτῃ [περὶ] Κυζίκου φησὶν ἀπὸ Ἀδραστείας κεκλῆσθαι μιᾶς τῶν Ὀρεστιάδων νυμφῶν. τὸ ἐθνικὸν Ἀδραστεύς. οἱ δὲ ἐπιχώριοι Ἀδραστηνὸς ὡς Κυζικηνός φασίν. ἔστι καὶ Τρῳάδος Ἀδράστεια τόπος, ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου, τοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ, ὡς Χάραξ Ἑλληνικῶν δευτέρᾳ. τὸ αὐτὸ δέ ἐστι χωρίον καὶ ἐθνικόν.

Ἀδρία, πόλις, καὶ παρ' αὐτὴν κόλπος Ἀδρίας καὶ ποταμὸς ὁμοίως, ὡς Ἑκαταῖος. ἡ χώρα τοῖς βοσκήμασίν ἐστιν ἀγαθή, ὡς δὶς τίκτειν τὸν ἐνιαυτὸν καὶ διδυμητοκεῖν, πολλάκις καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ

---

2. *ἀρσενικῶς* [ὁ Ἀδρανός. ὁ πολίτης] Ἀδράνιος? masculina forma utitur Aelianus HA. 11, 20. *ἄρσεν* R. 4. *τοῦ* om. W, nec habet quem Stephanus transscribit Strabo 13, p. 588. 5. *τὸ* add. *Π*RV. 7. *πέδον* libri, corr. H ex Strabone l. l. *ἐκαλεῖτο δ' ἡ χώρα αὕτη Ἀδράστεια καὶ Ἀδραστείας πεδίον, κατὰ ἔθος τι οὕτω λεγόντων τὸ αὐτὸ χωρίον διττῶς, ὡς καὶ Θήβην καὶ Θήβης πεδίον.* cf. schol. Eurip. Rhes. 332. *ἔστι δὲ καὶ ἐν τῇ Καρίᾳ (Ἀσίᾳ?) Ἀδραστείας πεδίον.* 7. *πόλις. οὕτως Διογένης* AV, *πόλις οὕτω. Διογένης οὕτως* R. *πρώτῳ* R. *περὶ* add. H. 8. *Ὀρεστιάδων* RV, *Ὀρεστειάδων* A. 10. *ἔστι καὶ* RV, *ἔστι δὲ καὶ* A. 11. *τοῦ* [*καὶ*] B. cf. Eustath. ad Il. p. 355, 19. *ἔστι δέ, φησί, καὶ τόπος Τρῳάδος Ἀδράστεια ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου υἱοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ.* editum recte tuetur Hoeck Cret. 1 p. 194. apud schol. Eurip. Rh. 332 Adrastea est filia *Μελισσέως τοῦ Κρητός.* cf. Apollod. 1, 1, 7. 13. *τὸ αὐτὸ δέ* RV, *τὸ δ' αὐτό* A. 16. *ὡς δὶς τίκτειν*] Haec omnia de foecunditate illarum regionum ex Aristot. ausc. mir. 140 derivata sunt, qui sua rursus Theopompo debet, ut coniicere licet e Scymni Per. 379 *διδυμητοκεῖν γάρ φασι καὶ τὰ θρέμματα.* *διδυμητοκεῖν* *Π*RV, *διδυμοτοκεῖν* A. 17. *ἔνια* M, *ἐνίας* R, *ἐνιᾶς* V, *ἐνίοτε* A. *δὲ* om. RV.

πέντε καὶ πλείους. καὶ τὰς ἀλεκτορίδας δὶς τίκτειν τῆς ἡμέρας, τῷ δὲ μεγέθει πάντων εἶναι μικροτέρας τῶν ὀρνίθων. ὁ πολίτης καὶ ὁ πάροικος Ἀδριανός ὡς Ἀσιανός, καὶ Ἀδριάτης, οὗ τὸ Ἀδριατικὸν πέλαγος, ὡς τοῦ Πτελεάτης ὁ Πτελεατικὸς οἶνος.

Ἄδροττα, οὐδετέρως, χωρίον ἐν Λυδίᾳ παραθαλάττιον καὶ κατάκρημνον. οἱ οἰκήτορες Ἀδροττεῖς. τῶν γὰρ εἰς ᾱ οὐδετέρων παρά τε τοῖς Λυδοῖς καὶ τὴν Καρίαν οἰκοῦσι χαίρει τῇ εἰς εὺς ἐπὶ τῶν ἐθνικῶν. δύναται καὶ Ἀδροττηνός, καὶ γὰρ ὁ τύπος τῶν Ἀσιανῶν. καὶ οὕτως οἱ ἐπιχώριοι λέγουσιν.

Ἀδρύμης, Ἀδρύμητος, Λιβύης πόλις. λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. κέκληται ἀπό τινος

---

2. εἶναι μικροτέρας] εἰσὶ μικρὰ R, ἐστὶ μικρὰ PpV, ἐστὶ μακρὰ Π. 4. οὗ τὸ Toupius ad schol. Theocr. 1, 65, οὕτως libri. praeterea fortasse excidit κτητικόν. Πτελεάτης RV, Πτελεώτης A. ὡς ὁ RV. Πτελεατικὸς οἶνος] Theocr. 7, 65. 7. τὰ et 8. οὐδέτερα B, fortasse τῶν — οὐδετέρων [τὰ πολλά]. 9. τῷ εἰς εὺς [τύπῳ] B. Ἀδριαττηνός RV. 12. Ἀδρύμης] Hoc Schubartus delendum opinatur propter sequentia λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως, quae ego ita intelligebam, tres huius nominis formas et genera esse, ὁ Ἀδρύμης, ἡ Ἀδρυμητός, τὸ Ἀδρυμητόν. atque Ἀδρύμης praeter Diodor. Sic. 20, 17 et Scylac. 109. ipse agnoscit Stephanus v. Κύρης, Κύρητος, πόλις, ὡς Φάγρης Μένδης Ἀδρύμης. τὸ ἐθνικὸν Κυρήσιος, iterumque v. Βέρης, πόλις Θρᾴκης, ἀπὸ Βέρητος υἱοῦ Μακεδόνος. τὸ ἐθνικὸν Βερήσιος, ὡς Φαγρήσιος καὶ Ἀδρυμήσιος. iam pergit κέκληται δὲ ἀπό τινος Ἀδρύμητος, τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν, καὶ τὸ ἐθνικὸν Ἀδρυμήτιος ὡς Βηρύτιος, quae manifesto spectant ad formas Ἀδρυμητός et Ἀδρυμητόν. his infert melius esse Ἀδρύμης et Ἀδρυμήσιος, quorum haec sententia est, alteri formae Ἀδρυμητός vel Ἀδρυμητόν praestare Ἀδρύμης, a qua gentile formari Ἀδρυμήσιος. nam, inquit, nominativi a genitivo formati in prosa oratione sunt rarissimi. ita si haec interpreteris, nihil difficultatis restat. obscuravit rem epitomator, criticos autem seduxit quod Ἀδρύμης ante verba καὶ Ἀδρυμήσιος pro gentili habuerunt. ceterum etiam quarta forma est Ἀδρύμη, qua Strabo 17, 834 utitur, comparanda illa cum Ἀκέλη Ἀκέλης et Ἀκέλης Ἀκέλητος. verum hic quoque e codd. Ἀδρύμης scribendum.

Ἀδρύμητος, τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν, καὶ τὸ ἐθνικὸν Ἀδρυμήτιος, ὡς Βηρύτιος. ἄμεινον τὸ Ἀδρύμης καὶ Ἀδρυμήσιος. αἱ γὰρ ἀπὸ γενικῆς εὐθεῖαι δίχα ποιητικῆς φράσεως σπανιώταται.

Ἄδρυξ, ὡς Ἔρυξ, ἀρσενικῶς, πόλις Συρακουσίων. τὸ ἐθνικὸν Ἀδρυκῖνος, ὡς Ἐρυκῖνος τῆς Ἔρυκος γενικῆς, καὶ Ἀδρυκίνη, ὡς Ἐρυκίνη Ἀφροδίτη.

Ἀδυρμαχίδαι, Λιβυκὸν ἔθνος, ὡς Ἡρόδοτος.

Ἀερία, ἡ Αἴγυπτος, παρὰ τὸν ἀέρα. καὶ γὰρ ἠερόεσσαν αὐτήν φασιν. οἱ ἄνθρωποι Ἀέριοι, καὶ Ἀερίτης, ἐκ τῆς ἀέρος γενικῆς. ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ. ἔστι καὶ ἄλλη Κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος Ἀερία καὶ Ἰδαία καὶ Δολίχη διὰ τὸ μῆκος. ἐθνικὰ τὰ αὐτά.

Ἀζανία, μέρος τῆς Ἀρκαδίας, ἀπὸ Ἀζᾶνος τοῦ Ἀρκάδος. οἱ οἰκήτορες Ἀζᾶνες καὶ Ἀζῆνες. καὶ Ἀζάνιος καὶ Ἀζανία καὶ Ἀζάνιον. Εὔδοξος δὲ ἐν ἕκτῃ γῆς περιόδου φησὶν „ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ οἴνου ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ ἀποκαθάρματα“. ἔστι δὲ μοῖρα τῆς Ἀρκαδίας ἡ Ἀζανία. διήρηται δὲ εἰς τρία, Παρρασίους Ἀζᾶνας Τραπεζουντίους. καὶ

---

3. Ἀδρυμήσιος ΠRV, Ἀδραμύσιος A. tertia praeterea forma est Ἀδρυμητῖνος, pro quo plus semel Ἀδρυμητινός scriptum est apud Diodorum Sic. 20, 17. quae forma non minus vitiosa est quam Ἀδραμυττινός pro Ἀδραμυττηνός pluribus locis apud Eustathium ad Hom. p. 649 aliosque apud Lobeckium Path. p. 243. 5. ἀρσενικῶς RV, ἀρσενικόν A. 8. Ἀδυρμαχίδαι Vossius, Ἀδυρχίδαι R, Ἀδαρχίδαι AV. Ἡρόδοτος] 4, 168. 9. βιβλίον δεύτερον ΠR ante Ἀερία. 12. δευτέρῳ P. 13. Δολιχή libri. 15. Ἀζᾶνος τοῦ B, Ἀζανοῦς τῆς AV, Ἀζανοῦ τῆς R. 17. Ἀζάμιον R. τῆς pro γῆς V. 19. οἴνου X, ὕδατος libri. cf. Athenaeus 2 p. 43 f. Φύλαρχος δέ φησιν ἐν Κλείτορι εἶναι κρήνην ἀφ᾽ ἧς τοὺς πιόντας οὐκ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀσμήν. 22. εἰς τέσσαρα RV. Τραπεζοντίους V.

ἔχει ἡ Ἀζανία πόλεις ἑπτακαίδεκα, ἃς ἔλαχεν Ἀζήν. ἔστι καὶ Μασσαλίας ἄλλη, ὡς Φίλων.

Ἀζανοί, Φρυγίας πόλις. Στράβων δωδεκάτῃ „τῆς δ' Ἐπικτήτου Φρυγίας Ἀζανοί τέ εἰσι καὶ Νακόλεια". οἱ πολῖται Ἀζανῖται, τὸ θηλυκὸν Ἀζανῖτις. Ἡρωδιανὸς διὰ τῆς α̅ι̅ ἐν πρώτῃ τῶν καθόλου λέγων „Αἴζην Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίᾳ πόλις Αἰζανοί". τινὲς δὲ Ἀζάνιον αὐτήν φασιν. Ἑρμογένης δέ φησιν οὐδὲ οὕτως, ἀλλ' Ἐξονάνουν αὐτὴν καλεῖσθαι· λέγεται γὰρ παρὰ τὸν τόπον ἀγροικίας εἶναι, λιμοῦ δὲ γενομένου συνελθόντες οἱ ποιμένες ἔθυον εὐβοσίαν γενέσθαι· οὐχ ἀκουόντων δὲ τῶν θεῶν Εὔφορβος τὴν οὐανοῦν, ὅ ἐστιν ἀλώπηξ, καὶ ἔξιν, ὅ ἐστιν ἐχῖνος, θῦσαι τοῖς δαίμοσιν· εὐαρεστησάντων δὲ τῶν θεῶν εὐφορίαν γενέσθαι καὶ τὴν γῆν πολυκαρπῆσαι, τοὺς δὲ περιοίκους πυθομένους ἱερέα καὶ ἄρχοντα αὐτὸν καταστῆσαι. ἐξ αὐτοῦ δὲ κληθῆναι τὴν πόλιν Ἐξονάνουν, ὃ μεθερμηνευόμενόν ἐστιν ἐχιναλώπηξ. ἔοικε δὲ

---

1. *Ἀζάν* B. fortasse poetae sunt verba *ἃς ἔλλαχεν Ἀζήν*. de re ipsa v. Müllerum Dor. vol. 2 p. 449. adde schol. Dionysii Per. 415. de quo dixi Anal. Alex. p. 160. 2. *δὲ* pro *καὶ* V. *Μασαλίας Π, Αἰθιοπίας* B. 3. *Ἄζανοι* R. *δωδεκάτῃ*] p. 576. 4. *Νακόλεια* H, *Νακώλεια* libri. 5. *Ἡρώδης Π.* 5. 6. *διὰ τῆς α̅ι̅ ἐν πρώτῃ τῶν καθόλου* Pp, *διὰ τῆς α̅ι̅ ἐν ά καθόλου* V, *διὰ τοῦ α̅ι̅ ενας καθόλου* R, *διὰ τοῦ α̅ι̅ ἐν ά συλλαβῇ καθόλου Π, ἐν πρώτῃ συλλαβῇ διὰ τῆς α̅ι̅ καθόλου* A, *ἐν πρώτῃ συλλαβῇ διὰ τῆς α̅ι̅ ἐν πρώτῃ τῆς καθόλου* H. vid. Arcad. p. 18, 25 et Herod. Dict. solit. p. 17, 4. cll. Lobeckio Paral. p. 191. 7. *τινὲς δὲ Ἀζάνιον*] Hermesianax Eleg. I, 44. *Ἀζάνιον δ' ἦλθεν ἀποπρολιπών*, ex emendatione Bergkii. 8. *οὐδὲ οὕτως* R, *οὐ δεῖ οὕτως* AV. *Ἐξανάνουν* X, *Ἐξουάγων* V, *Ἐξαναγων* R, *Ἐξανάγων ΑΠ, Ἐξανάγον* Pp. fort. *Ἐξονάνιον.* 9. *λοιμοῦ?* 10. *εὐβοσίαν* PpRV, *εὐφορίαν* A. 11. *Εὔφορβος*] Hic idem ille Euphorbus est, cuius sapientiam praedicat Callimachus. vid. Poet. chol. p. 160. 11. *οὐανοῦν* V, *οὐεννοῦν* R. fortasse *οὐάνιον.* 12. *ἐχῖνον Π*R. 13. *εὐαρεστησάντων* RV, *εὐαρεστηθέντων* A. *εὐβοσίαν* W. an *εὐφορβίαν?* *καὶ ἔστι γῆν* RV. 14. *πολλὴν καρπῆσαι* R. 15. *καταστῆσαι* RV, *στῆσαι* A. *δὲ* add. R. *κλιθῆναι Π.* 16. *Ἐξαγάνου* APpRV, *Ἐξαγανοῦ Π, Ἐξονάνουν* X. fort. *Ἐξουάνιον.*

Ἀδανίς, ὡς τοῦ Ταρσεύς τὸ Ταρσίς, ἔδει συνοξύνεσθαι, εἰ μὴ κατ' Αἰολέας βαρύνεται, ὅπερ ἐπὶ τοῦ Θήβανις εἴρηκεν, εἴ γε ὅλως ἐστὶν ἐθνικόν. ἔστι καὶ τρίτη πόλις πρὸς τῷ Εὐφράτῃ. τὸ ἐθνικὸν Περσικῷ ἔθει Ἀδανηνός.

Ἀδαρούπολις, πόλις Περσική, ὡς Μαρκιανὸς ἐν περίπλῳ τοῦ Περσικοῦ κόλπου. ὁ πολίτης Ἀδαροπολίτης, ὡς Ἡλιοπολίτης Ἡφαιστοπολίτης, τῷ τεχνικῷ λόγῳ, εἰ μὴ ὀφείλει τῷ Περσικῷ τύπῳ, ὡς Καμβυσηνός Σωφηνός Παραιτακηνός. ἔστι δὲ καὶ Ἄδαρα οὐδετέρως, κώμη μεγάλη τρίτης Παλαιστίνης μεταξὺ Χαραχμώβων καὶ Ἀρεοπόλεως, ἴσως ἀπὸ τῆς Περσίδος κληθεῖσα πόλεως. καὶ γὰρ φυλή τις ἐν Χαραχμώβοις Βαβυλώνιοι. τῶν δὲ Ἀδάρων τὸ ἐθνικὸν Ἀδαρηνός.

Ἀδέρκων, πόλις Ἰβηρίας, ὡς Ἀσκάλων. τὸ ἐθνικὸν Ἀδερκωνίτης, ὡς Ἀσκαλωνίτης.

Ἀδιαβηνή, χώρα μέση τῶν ποταμῶν Εὐφράτου καὶ Τίγριδος, ἥ τις καὶ Μεσήνη ὠνόμαστο. τὸ ἐθνικὸν Ἀδιαβηνός.

Ἄδουλις, πόλις Αἰθιόπων. οἱ δὲ Πανὸς νῆσον αὐτὴν καλοῦσιν. καὶ τάμοῦ βιβλία Ἄδουλι δίχα τοῦ σ. σφάλμα δέ ἐστιν. Ἄδουλις γὰρ ὀφείλει, ὡς Ἡρωδιανὸς ἐν τοῖς εἰς λις τῷ ω̄... παραληγομένοις. ὁ πολίτης Ἀδουλίτης, ὡς Ἀξουμίτης. καὶ Ἀδουλιτικός τὸ κτητικόν.

---

1. Ἀδανίς I. F. Gronovius, Ἀδανεῖς libri. Ταρσίς I. F. Gronovius, Ταρσεῖς libri. 3. καὶ ἔστι Π. πρὸς τὸ R. 5. Ἀδαρούπολις R, Ἀδάρου πόλις A, Ἀδάρου πόλεως V. 7. 8. ὀφείλει R, ὀφείλῃ ΠV, ὀφείλοι A. 9. τρίτης RV, τρίτη A. 11. 12. ἀχαρκμώβοις R. 12. Βαβυλώνιοι RV, Βαβυλώνιος Pp, Βαβυλῶνος Π, Βαβυλωνίων A. 16. Μεσσήνη R. 19. τάμοῦ V, ταμ^υ R, τὰ μυσῶν A. 21. τῷ ω̄ libri, nisi quod μέγα (μεγάλῳ) addit Π, τῷ ο̄ῡ Salmasius. indicavi lacunam; excidit aut ἢ ο̄ῡ aut ἢ διφθόγγῳ. Arcadius p. 31, 24. τὰ εἰς λις παρώνυμα τὸ (τῷ) ω̄ ἢ διφθόγγῳ παραληγόμενα ὀξύνεται, Πακτωλίς Αἰτωλίς Ἰουλίς. τὸ ἄγουλις (l. Ἄδουλις) προπαροξύνεται καὶ τὸ ἀρτόπωλις. παραληγομένοις Schubartus, παραληγομένων R, παραληγόμενα AV. 22. ἀδουλιτικῶς (ος superscr.) R.

Ἀδραμύτειον, πόλις τῆς κατὰ Κάικον Μυσίας. ἡ γραφὴ διχῶς, διὰ τοῦ ῑ καὶ διὰ τοῦ δ, καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῐ, καὶ δι' ἑνὸς ῑ καὶ διὰ δύο. ἀλλὰ δι' ἑνὸς ῑ, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τὸ ῐ μόνως. κέκληται ἀπὸ Ἀδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. οὐ δύναται δέ, ὡς Ἡρωδιανός, διὰ τὸ μὴ ἔχειν τὸ ῑ τὸ Ἄδραμυς. ὁ πολίτης Ἀδραμυττηνός, ὡς Ἀρτακηνός Δατηνός Δαυηνός Σεβαστηνός. λέγεται δὲ καὶ Ἀδραμύττιον διὰ τοῦ ῐ, ὡς Κρατῖνος.

Ἀδράμυττις, νῆσος ἐν τῇ Λυκίᾳ. τὸ ἐθνικὸν Ἀδραμυττίτης, ὡς Ναύκρατις Ναυκρατίτης.

Ἀδράνη, πόλις Θρᾴκης, ἣ μικρὸν ὑπὲρ τῆς Βερενίκης κεῖται, ὡς Θεόπομπος. Πολύβιος δὲ διὰ τοῦ η τὴν μέσην λέγει ἐν τρισκαιδεκάτῃ, Ἀδρήνη. τὸ ἐθνικὸν Ἀδρηνίτης, ὡς Συήνη Συηνίτης, Σελήνη Σεληνίτης. τούτων τὰ μαρτύρια ἐν τοῖς οἰκείοις. δύναται δὲ καὶ Ἀδρηναῖος, ὡς Κυρηναῖος Πελληναῖος Μιτυληναῖος. δίδωσιν ἡ τέχνη καὶ τὸ Ἀδρηνεύς, ὡς Πελληνεύς.

---

1. *Ἀδραμύττιον* (ει superscr.) R, *Ἀτραμύττειον* V, *Ἀδραμύττειον* A. lex quam subiicit aut *Ἀδραμύττιον* aut *Ἀδραμύτειον* postulabat. cf. Eustathius ad Hom. p. 649. 63. 3. *ἀλλὰ* ΠRV, *ἀλλὰ καὶ* A. 4. *δύο* [*ὅταν*] *τὸ ῐ?* *τὸ ῐ* RV, *τῷ ῐ* A. 5. *Ἀδραμύττου* V. *Ἀλυάττου* V, *Ἀλυάτου* AR. 8. *Ἡρώδης* ΠR. 9. *ἔχειν τὸ τ... Ἄδραμυς* R. 10. *φατηνός* V. *...τηνός* R. *Δαυηνός* BH, *Δακηνός* libri. 11. *Ἀδραμύττιον* AR, *Ἀδραμυττῖνος* V. id qui coniecerat Salmasius, pro *Κρατῖνος* scripsit *Κραστῖνος*. at haec gentilium forma ab Asiaticarum gentium usu aliena. revocavi igitur *Ἀδραμύττιον* et *Κρατῖνος*. neque offensioni esse posse, quod scriptor redeat ad formam iam in superioribus memoratam, plurimis exemplis cognitum est. ceterum corrige hinc quae dicta sunt Com. gr. fr. vol. 2 p. 228. 14. *Θρᾴκης* V, *Θρᾳκικῆς* R, *Θρᾳκική* A. 16. *Ἀδρηνίτης* RV, *Ἀδρηνήτης* A. 17. *Συηνήτης* et *Σεληνήτης* libri, corr. B. 18. *Κυνηναῖος* V. 19. *Πελληναῖος Μιτυληναῖος* R, *Μιτυληναῖος Πελληναῖος* AV. *Παλληναῖος* pro *Πελληναῖος* H, propter nostrum s. v. *Πελλήνη*.

Ἀδρανόν, πόλις Σικελίας ἐν τῇ Αἴτνῃ, ποταμὸν ὁμώνυμον ἔχουσα. λέγεται καὶ ἀρσενικῶς Ἀδράνιος. Ἀπολλόδωρος δὲ Ἀδρανίτας φησὶ τὸ ἐθνικόν.

Ἀδράστεια, μεταξὺ Πριάπου καὶ τοῦ Παρίου, ἀπὸ Ἀδράστου βασιλέως, ὃς καὶ πρῶτος ἱδρύσατο τὸ Νεμέσεως ἱερόν. ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια καὶ Ἀδραστείας πεδίον, καὶ ἡ πόλις οὕτως. Διογένης ἐν πρώτῃ [περὶ] Κυζίκου φησὶν ἀπὸ Ἀδραστείας κεκλῆσθαι μιᾶς τῶν Ὀρεστιάδων νυμφῶν. τὸ ἐθνικὸν Ἀδραστεύς. οἱ δὲ ἐπιχώριοι Ἀδραστηνός ὡς Κυζικηνός φασίν. ἔστι καὶ Τρωάδος Ἀδράστεια τόπος, ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου, τοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ, ὡς Χάραξ Ἑλληνικῶν δευτέρᾳ. τὸ αὐτὸ δέ ἐστι χωρίον καὶ ἐθνικόν.

Ἀδρία, πόλις, καὶ παρ' αὐτὴν κόλπος Ἀδρίας καὶ ποταμὸς ὁμοίως, ὡς Ἑκαταῖος. ἡ χώρα τοῖς βοσκήμασίν ἐστιν ἀγαθή, ὡς δὶς τίκτειν τὸν ἐνιαυτὸν καὶ διδυμητοκεῖν, πολλάκις καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ

---

2. ἀρσενικῶς [ὁ Ἀδρανός. ὁ πολίτης] Ἀδράνιος? masculina forma utitur Aelianus HA. 11, 20. ἄρσεν R. 4. τοῦ om. W, nec habet quem Stephanus transscribit Strabo 13, p. 588. 5. τὸ add. ΠRV. 7. πέδον libri, corr. H ex Strabone l. l. ἐκαλεῖτο δ' ἡ χώρα αὕτη Ἀδράστεια καὶ Ἀδραστείας πεδίον, κατὰ ἔθος τι οὕτω λεγόντων τὸ αὐτὸ χωρίον διττῶς, ὡς καὶ Θήβην καὶ Θήβης πεδίον. cf. schol. Eurip. Rhes. 332. ἔστι δὲ καὶ ἐν τῇ Καρίᾳ (Ἀσίᾳ?) Ἀδραστείας πεδίον. 7. πόλις. οὕτως Διογένης AV, πόλις οὕτω. Διογένης οὕτως R. πρώτῳ R. περὶ add. H. 8. Ὀρεστιάδων RV, Ὀρεστειάδων A. 10. ἔστι καὶ RV, ἔστι δὲ καὶ A. 11. τοῦ [καὶ] B. cf. Eustath. ad Il. p. 355, 19. ἔστι δέ, φησί, καὶ τόπος Τρωάδος Ἀδράστεια ἀπὸ Ἀδραστείας θυγατρὸς Μελίσσου υἱοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ. editum recte tuetur Hoeck Cret. 1 p. 194. apud schol. Eurip. Rh. 332 Adrastea est filia Μελισσέως τοῦ Κρητός. cf. Apollod. I, 1, 7. 13. τὸ αὐτὸ δέ RV, τὸ δ' αὐτό A. 16. ὡς δὶς τίκτειν] Haec omnia de foecunditate illarum regionum ex Aristot. ausc. mir. 140 derivata sunt, qui sua rursus Theopompo debet, ut coniicere licet e Scymni Per. 379 διδυμητοκεῖν γάρ φασι καὶ τὰ θρέμματα. διδυμητοκεῖν ΠRV, διδυμοτοκεῖν A. 17. ἔνια M, ἐνίας R, ἐνιᾶς V, ἐνίοτε A. δὲ om. RV.

πέντε καὶ πλείους. καὶ τὰς ἀλεκτορίδας δὶς τίκτειν τῆς ἡμέρας, τῷ δὲ μεγέθει πάντων εἶναι μικροτέρας τῶν ὀρνίθων. ὁ πολίτης καὶ ὁ πάροικος Ἀδριανός ὡς Ἀσιανός, καὶ Ἀδριάτης, οὗ τὸ Ἀδριατικὸν πέλαγος, ὡς τοῦ Πτελεάτης ὁ Πτελεατικὸς οἶνος.

Ἄδροττα, οὐδετέρως, χωρίον ἐν Λυδίᾳ παραθαλάττιον καὶ κατάκρημνον. οἱ οἰκήτορες Ἀδροττεῖς. τῶν γὰρ εἰς ᾱ οὐδετέρων παρά τε τοῖς Λυδοῖς καὶ τὴν Καρίαν οἰκοῦσι χαίρει τῇ εἰς ευς ἐπὶ τῶν ἐθνικῶν. δύναται καὶ Ἀδροττηνός, καὶ γὰρ ὁ τύπος τῶν Ἀσιανῶν. καὶ οὕτως οἱ ἐπιχώριοι λέγουσιν.

Ἀδρύμης, Ἀδρύμητος, Λιβύης πόλις. λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. κέκληται ἀπό τινος

---

2. εἶναι μικροτέρας] εἰσὶ μικρὰ R, ἐστὶ μικρὰ PpV, ἐστὶ μακρὰ Π. 4. οὗ τὸ Toupius ad schol. Theocr. 1, 65, οὕτως libri. praeterea fortasse excidit κτητικόν. Πτελεάτης RV, Πτελεώτης A. ὡς ὁ RV. Πτελεατικὸς οἶνος] Theocr. 7, 65. 7. τὰ et 8. οὐδέτερα B, fortasse τῶν — οὐδετέρων [τὰ πολλά]. 9. τῷ εἰς ευς [τύπῳ] B. Ἀδριαττηνός RV. 12. Ἀδρύμης] Hoc Schubartus delendum opinatur propter sequentia λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως, quae ego ita intelligebam, tres huius nominis formas et genera esse, ὁ Ἀδρύμης, ἡ Ἀδρυμητός, τὸ Ἀδρυμητόν. atque Ἀδρύμης praeter Diodor. Sic. 20, 17 et Scylac. 109. ipse agnoscit Stephanus v. Κύρης, Κύρητος, πόλις, ὡς Φάγρης Μένδης Ἀδρύμης. τὸ ἐθνικὸν Κυρήσιος, iterumque v. Βέρης, πόλις Θρᾴκης, ἀπὸ Βέρητος υἱοῦ Μακεδόνος. τὸ ἐθνικὸν Βερήσιος, ὡς Φαγρήσιος καὶ Ἀδρυμήσιος. iam pergit κέκληται δὲ ἀπό τινος Ἀδρύμητος, τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν, καὶ τὸ ἐθνικὸν Ἀδρυμήτιος ὡς Βηρύτιος, quae manifesto spectant ad formas Ἀδρυμητός et Ἀδρυμητόν. his infert melius esse Ἀδρύμης et Ἀδρυμήσιος, quorum haec sententia est, alteri formae Ἀδρυμητός vel Ἀδρυμητόν praestare Ἀδρύμης, a qua gentile formari Ἀδρυμήσιος. nam, inquit, nominativi a genitivo formati in prosa oratione sunt rarissimi. ita si haec interpreteris, nihil difficultatis restat. obscuravit rem epitomator, criticos autem seduxit quod Ἀδρύμης ante verba καὶ Ἀδρυμήσιος pro gentili habuerunt. ceterum etiam quarta forma est Ἀδρύμη, qua Strabo 17, 834 utitur, comparanda illa cum Ἀκέλη Ἀκέλης et Ἀκέλης Ἀκέλητος. verum hic quoque e codd. Ἀδρύμης scribendum.

Ἀδρύμητος, τῆς γενικῆς παραχθείσης εἰς εὐθεῖαν, καὶ τὸ ἐθνικὸν Ἀδρυμήτιος, ὡς Βηρύτιος. ἄμεινον τὸ Ἀδρύμης καὶ Ἀδρυμήσιος. αἱ γὰρ ἀπὸ γενικῆς εὐθεῖαι δίχα ποιητικῆς φράσεως σπανιώτεραι.

Ἄδρυξ, ὡς Ἔρυξ, ἀρσενικῶς, πόλις Συρακουσίων. τὸ ἐθνικὸν Ἀδρυκῖνος, ὡς Ἐρυκῖνος τῆς Ἔρυκος γενικῆς, καὶ Ἀδρυκίνη, ὡς Ἐρυκίνη Ἀφροδίτη.

Ἀδυρμαχίδαι, Λιβυκὸν ἔθνος, ὡς Ἡρόδοτος.

Ἀερία, ἡ Αἴγυπτος, παρὰ τὸν ἀέρα. καὶ γὰρ ἠερόεσσαν αὐτήν φασιν. οἱ ἄνθρωποι Ἀέριοι, καὶ Ἀερίτης, ἐκ τῆς ἀέρος γενικῆς. ἔστι καὶ Κελτικὴ πόλις Ἀερία, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ. ἔστι καὶ ἄλλη Κρήτης οὐκ ἄσημος, ἣ ἐλέγετο νῆσος Ἀερία καὶ Ἰδαία καὶ Δολίχη διὰ τὸ μῆκος. ἐθνικὰ τὰ αὐτά.

Ἀζανία, μέρος τῆς Ἀρκαδίας, ἀπὸ Ἀζᾶνος τοῦ Ἀρκάδος. οἱ οἰκήτορες Ἀζᾶνες καὶ Ἀζῆνες. καὶ Ἀζάνιος καὶ Ἀζανία καὶ Ἀζάνιον. Εὔδοξος δὲ ἐν ἕκτῃ γῆς περιόδου φησίν „ἔστι κρήνη τῆς Ἀζηνίας, ἣ τοὺς γευσαμένους τοῦ ὕδατος ποιεῖ μηδὲ τὴν ὀσμὴν τοῦ οἴνου ἀνέχεσθαι, εἰς ἣν λέγουσι Μελάμποδα, ὅτε τὰς Προιτίδας ἐκάθαιρεν, ἐμβαλεῖν τὰ ἀποκαθάρματα". ἔστι δὲ μοῖρα τῆς Ἀρκαδίας ἡ Ἀζανία. διῄρηται δὲ εἰς τρία, Παρρασίους Ἀζᾶνας Τραπεζουντίους. καὶ

---

3. *Ἀδρυμήσιος* ΠRV, *Ἀδραμύσιος* A. tertia praeterea forma est *Ἀδρυμητῖνος*, pro quo plus semel *Ἀδρυμητινός* scriptum est apud Diodorum Sic. 20, 17. quae forma non minus vitiosa est quam *Ἀδραμυττινός* pro *Ἀδραμυττηνός* pluribus locis apud Eustathium ad Hom. p. 649 aliosque apud Lobeckium Path. p. 243. 5. *ἀρσενικῶς* RV, *ἀρσενικόν* A. 8. *Ἀδυρμαχίδαι* Vossius, *Ἀδυρχίδαι* R, *Ἀδαρχίδαι* AV. *Ἡρόδοτος*] 4, 168. 9. *βιβλίον δεύτερον* ΠR ante *Ἀερία*. 12. *δευτέρῳ* P. 13. *Δολιχή* libri. 15. *Ἀζᾶνος τοῦ* B, *Ἀζανοῦς τῆς* AV, *Ἀζανοῦ τῆς* R. 17. *Ἀζάμιον* R. *τῆς* pro *γῆς* V. 19. *οἴνου* X, *ὕδατος* libri. cf. Athenaeus 2 p. 43 f. *Φύλαρχος δέ φησιν ἐν Κλείτορι εἶναι κρήνην ἀφ' ἧς τοὺς πιόντας οὐκ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀσμήν.* 22. *εἰς τέσσαρα* RV. *Τραπεζοντίους* V.

ἔχει ἡ Ἀζανία πόλεις ἑπτακαίδεκα, ἃς ἔλαχεν Ἀζήν. ἔστι καὶ Μασσαλίας ἄλλη, ὡς Φίλων.

Ἀζανοί, Φρυγίας πόλις. Στράβων δωδεκάτῃ „τῆς δ' Ἐπικτήτου Φρυγίας Ἀζανοί τέ εἰσι καὶ Νακόλεια". οἱ πολῖται Ἀζανῖται, τὸ θηλυκὸν Ἀζανῖτις. Ἡρωδιανὸς διὰ τῆς αι ἐν πρώτῃ τῶν καθόλου λέγων „Αἰζὴν Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίᾳ πόλις Αἰζανοί". τινὲς δὲ Ἀζάνιον αὐτήν φασιν. Ἑρμογένης δέ φησιν οὐδὲ οὕτως, ἀλλ' Ἐξονάνουν αὐτὴν καλεῖσθαι· λέγεται γὰρ παρὰ τὸν τόπον ἀγροικίας εἶναι, λιμοῦ δὲ γενομένου συνελθόντες οἱ ποιμένες ἔθυον εὐβοσίαν γενέσθαι· οὐκ ἀκουόντων δὲ τῶν θεῶν Εὔφορβος τὴν οὐανοῦν, ὅ ἐστιν ἀλώπηξ, καὶ ἔξιν, ὅ ἐστιν ἐχῖνος, θῦσαι τοῖς δαίμοσιν· εὐαρεστησάντων δὲ τῶν θεῶν εὐφορίαν γενέσθαι καὶ τὴν γῆν πολυκαρπῆσαι, τοὺς δὲ περιοίκους πυθομένους ἱερέα καὶ ἄρχοντα αὐτὸν καταστῆσαι. ἐξ αὐτοῦ δὲ κληθῆναι τὴν πόλιν Ἐξονάνουν, ὃ μεθερμηνευόμενόν ἐστιν ἐχιναλώπηξ. ἔοικε δὲ

---

1. *Ἀζάν* B. fortasse poetae sunt verba *ἃς ἔλλαχεν Ἀζήν*. de re ipsa v. Müllerum Dor. vol. 2 p. 449. adde schol. Dionysii Per. 415. de quo dixi Anal. Alex. p. 160. 2. *δὲ* pro *καὶ* V. *Μασαλίας Π*, *Αἰθιοπίας* B. 3. *Ἄζανοι* R. *δωδεκάτῃ*] p. 576. 4. *Νακόλεια* H, *Νακώλεια* libri. 5. *Ἡρώδης Π.* 5. 6. *διὰ τῆς αι ἐν πρώτῃ τῶν καθόλου* Pp, *διὰ τῆς αι ἐν ά καθόλου* V, *διὰ τοῦ αι ενας καθόλου* R, *διὰ τοῦ αι ἐν ά συλλαβῇ καθόλου Π*, *ἐν πρώτῃ συλλαβῇ διὰ τῆς αι καθόλου* A, *ἐν πρώτῃ συλλαβῇ διὰ τῆς αι ἐν πρώτῃ τῆς καθόλου* H. vid. Arcad. p. 18, 25 et Herod. Dict. solit. p. 17, 4. cll. Lobeckio Paral. p. 191. 7. *τινὲς δὲ Ἀζάνιον*] Hermesianax Eleg. I, 44. *Ἀζάνιον δ' ἦλθεν ἀποπρολιπών*, ex emendatione Bergkii. 8. *οὐδὲ οὕτως* R, *οὐ δεῖ οὕτως* AV. *Ἐξανάνουν* X, *Ἐξονάγων* V, *Ἐξαναγων* R, *Ἐξανάγων ΑΠ*, *Ἐξανάγον* Pp. fort. *Ἐξονάνιον*. 9. *λοιμοῦ?* 10. *εὐβοσίαν* PpRV, *εὐφορίαν* A. 11. *Εὔφορβος*] Hic idem ille Euphorbus est, cuius sapientiam praedicat Callimachus. vid. Poet. chol. p. 160. 11. *οὐανοῦν* V, *οὐευνοῦν* R. fortasse *οὐάνιον*. 12. *ἐχῖνον ΠR*. 13. *εὐαρεστησάντων* RV, *εὐαρεστηθέντων* A. *εὐβοσίαν* W. an *εὐφορβίαν?* *καὶ ἔστι γῆν* RV. 14. *πολλὴν καρπῆσαι* R. 15. *καταστῆσαι* RV, *στῆσαι* A. *δὲ* add. R. *κληθῆναι Π*. 16. *Ἐξαγάνου* APpRV, *Ἐξαγανοῦ Π*, *Ἐξονάνουν* X. fort. *Ἐξονάνιον*.

μετηλλοιῶσθαι ἐκ τοῦ Ἐξουάνουν τὸ Ἀζάνιον. ἔστι δὲ ὅμοιον τῷ Βιθυνίῳ, περὶ οὗ ἐροῦμεν.

Ἀζειῶται, ἔθνος τῆς Τρῳάδος, ὡς Ἑλλάνικος ἐν τοῖς περὶ Λυδίαν λέγει. ἔοικε δὲ τὸ πρωτότυπον Ἄζεια εἶναι, ἵν' ᾖ ὡς Μάρεια Μαρειώτης, Ῥάφεια Ῥαφειώτης. λέγεται δὲ καὶ Ἀζειοί.

Ἀζηνιά, ὡς Πλωθιά Λουσιά, δῆμος ἐν Ἀττικῇ τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἀζηνιεύς, ὡς Ἑρχιεύς. τὰ τοπικὰ δῆλα.

Ἄζιλις, πόλις Λιβύης. οἱ δὲ περὶ Σαλούστιον οὐ πόλιν, ἀλλὰ τόπον φασὶ καὶ ποταμὸν εἶναι. τινὲς δὲ Ἄζιριν μετὰ τοῦ ρ̄ λέγουσι τὸν χῶρον. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν. ὁ πολίτης Ἀζιλίτης, ὅτι πρωτότυπον εἰς ῑς, τῷ Λιβυκῷ χαρακτῆρι καὶ Αἰγυπτίῳ, καὶ ὡς Κάνωβος Κανωβίτης. εἰ δ' οὐδετέρως Ἄζιρον, τὸ ἐθνικὸν Ἀζιρεύς, ὡς Σουνιεύς.

Ἄζωρος, πόλις Πελαγονίας τῆς λεγομένης Τριπολίτιδος, ὡς Στράβων, ὑπό τινος ἐκτισμένη Ἀζώρου. λέγεται καὶ πληθυντικῶς „ἐν Ἀζώροις". ὁ πολίτης Ἀζωρίτης, ὡς Ἀλωρίτης· πόλις δὲ Μακεδονίας καὶ ἡ Ἄλωρος. Ῥιανὸς Ἀζώρειαν

---

1. *μετηλλοιῶσθαι* RV, *μεταλλοιῶσθαι* A. *Ἐξουάνουν* B, *Ξοάνου* AHRV, *Ἐξανάγου* P. fort. *Ἐξουανίου*. 2. *Βιθυνίῳ* H, *Βυθηνίῳ* libri. 3. *Ἀζειῶται*] Hesychius *Ἀζειῶται: ἔθνος τῆς Τρῳάδος, Σοφοκλῆς Συνδείπνοις*. 5. *λέγεται* RV, *λέγονται* A. 7. *Ἀζηνία* libri. *Πλωθιά Λουσιά* R, *Πλωθία Λουσία* AV. cf. Arcad. p. 99, 11. 8. *Ἱπποθωντίδος* V. *Ἀρχιεύς* libri, *Ἑρχιεύς* Meursius. 8. 9. *τὰ τοπικὰ δῆλα* Pp, *τὸ τοπικὸν δῆλον* ARV. 10. *τοὺς περὶ Σαλούστιον* (*Σαλούσιον* H) intelligunt viri docti de Sallustio Crispo; rectius eum dici putabimus, quem Sallustium Dionysium vocat Plinius et in iis memorat scriptoribus quibus in tricesimo primo naturalis historiae libro usus est. 12. *Ἄζιρον* Pinedo, *Ἄξιρον* libri. 13. *Ἀζιλίτης* X, *Ἀξιλίτης* libri. 14. *Κράμβοντις Κραμβοντίτης* B. 14. 15. *οἱ δ' οὐδετέρως* V. 15. *Ἄξιρον* libri. *τὸ ἐθνικὸν* om. R. *Ἀξιρεύς* libri. 16. *Πελαγονίας* AV, *Πελαγωνίας* R. 17. *Στράβων*] 7 p. 327. *ὑπό* M, *ἀπό* libri. 18. *Σαλωρίτης* R. 19. *Ῥιανὸς* PpRV, *Ἀρριανὸς* A. cf. Anal. Alex. p. 206. verba *Ῥιανὸς — φησιν* post *ἐν Ἀζώροις* transponenda.

αὐτήν φησιν. ἢ Ἀζωρεάτης ὡς Βοττεάτης, ἢ Ἀζωρεύς ὡς Ἀλεξανδρεύς.

Ἄζωτος, πόλις Παλαιστίνης. ταύτην ἔκτισεν εἷς τῶν ἐπανελθόντων ἀπ' Ἐρυθρᾶς θαλάσσης φυγάδων, καὶ ἀπὸ τῆς γυναικὸς αὐτοῦ Ἄζας ὠνόμασεν, ὅ ἐστι χίμαιραν, ἣν Ἄζωτον μετέφρασαν. λέγεται καὶ ἀρσενικῶς καὶ [θηλυκῶς]. ἔστι καὶ ἄλλη πόλις Ἄζωτος Ἀχαΐας. ὁ πολίτης Ἀζώτιος, ὡς Βηρύτιος Ἁλιάρτιος, καὶ θηλυκῶς. ἐκαλεῖτο δὲ καὶ Πελωρία ἀπὸ τῶν Σπαρτῶν ἑνὸς Πελώρου, καὶ ἀπὸ παιδὸς Ἀζώτου Ἄζωτος.

Ἀθαμανία, χώρα Ἰλλυρίας, οἱ δὲ Θεσσαλίας. τὸ ἐθνικὸν Ἀθαμᾶνες.

Ἀθάρραβις, πόλις Αἰγύπτου, ὡς Ἡρωδιανὸς ἐν τετάρτῳ „Ἀθαρραβίτης νομὸς ἐν Αἰγύπτῳ καὶ Ἀθάρραβις πόλις". Ἑκαταῖος δ' ἐν δευτέρῳ περιηγήσεως δι' ἑνὸς ρ̄ καὶ τοῦ μ̄ „Ἀθαραμβίτης νομὸς καὶ Ἀθαράμβη πόλις". τὸ ἐθνικὸν Ἀθαραμβῖται.

Ἀθῆναι πόλεις κατὰ μὲν Ὧρον πέντε, κατὰ δὲ Φίλωνα ἕξ. ἡ ἐν Ἀττικῇ, περὶ ἧς φησι Χάραξ ὅτι ὁ Θησεὺς τὰς ἕνδεκα πόλεις τὰς ἐν τῇ Ἀττικῇ συνοικίσας εἰς Ἀθήνας συνοίκια ἑορτὴν κατεστήσατο. ὁ πολίτης Ἀθηναῖος καὶ θηλυκὸν Ἀθηναία. ἡ δὲ θεὸς Ἀθηναία λέγεται μονογενῶς. λέγεται δὲ καὶ ἐπὶ γυναικός, ὡς ἄλλοι μὲν πολλοί, Φιλήμων δὲ οὕτως ἐν Πτερυγίῳ

νυνὶ δ' ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν
τὰς Ἱππονίκας τάσδε καὶ Ναυσιστράτας
καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω.

---

1. Ἀζωρεάτης M, Ἀζωριάτης libri. Κοττεάτης PpV. 6. alterum καὶ add. ΠRV. θηλυκῶς add. M. ἔστι δὲ ἄλλη Π. 8. Ἁλιάρτιος X, Ἁλίαρτος libri. καὶ θηλυκῶς sic intelligendum ut ab Ἀζώτιος etiam Ἀζωτία dici admoneat. 10. Ἰλλυρίας V, Ἰλλυριάς AΠR. 12. ὡς V, ὡς καὶ AR. Ἡρώδοτος Π. 12. 13. τετάρτῳ M, τρίτῳ libri. cf. Arcad. p. 29, 16. ubi vitiose Ἀθαράβις editur. 14. περιηγήσει RV. 15. Ἀθάραμβις? 16. Ἀθαραμμβῖται V. 18. περὶ ἧς — 19. ἐν τῇ om. V. 22. γυναικῶς (i. e. γυναικῶν) V. 23. πτερυγίων R. 24. ἐς V.

Δίδυμος δέ φησιν ὅτι Ἀθηναίας λέγουσιν ἀντὶ τοῦ Ἀττικάς. ὁ δὲ Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνὴν καὶ θαυμάζει πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται. ἀστὰς δὲ τὰς γυναῖκας ἔλεγον· οὐ διὰ τὸ μὴ δύνασθαι λέγειν Ἀθηναίας, ἀλλ' ἐπειδὴ καὶ τοὺς ἄνδρας ἀστοὺς ἐκάλουν. πρῶτοι γὰρ Ἀθηναῖοι τὰ ἄστη καὶ τὰς πόλεις εὑρεῖν ἱστοροῦνται, ὅθεν καὶ τὴν ἀκρόπολιν αὐτῶν πόλιν ἐκάλουν κυρίῳ ὀνόματι, ὡς Ἀριστοφάνης

καὶ προσκυνῶ γε πρῶτα μὲν τὸν ἥλιον,
ἔπειτα σεμνῆς Παλλάδος κλεινὴν πόλιν.

ἐλέγοντο δὲ καὶ πατρωνυμικῷ τύπῳ, ὡς Ἅβρων ἐν τῷ περὶ παρωνύμων, ὅτι εἰσὶ διτταὶ προσηγορίαι παρὰ ποιηταῖς, ἀπό τε τῆς πατρίδος καὶ τοῦ συνοικιστοῦ. Ἁλικαρνασσεῖς γοῦν Ἀνθεάδαι καὶ Φαλαντιάδαι οἱ Ταραντῖνοι ἐλέγοντο ἀπὸ τῶν διασημοτάτων παρ' αὐτοῖς, Ἀθηναῖοι δὲ Κοδρίδαι καὶ Κεκροπίδαι Θησεῖδαι Ἐρεχθεῖδαι. καὶ ταύτας γε τὰς κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέρας ἐνόμιζον. δευτέρα πόλις Λακωνική. τρίτη Καρίας. τετάρτη Αἰγυστίων. πέμπτη Ἰταλίας. ἕκτη Εὐβοίας, Δίαντος κτίσμα, ὡς Ἔφορος τρίτῃ „Ἄβαντος δὲ γίγνονται παῖδες Ἄλκων καὶ Δίας καὶ Ἀρέθουσα, ὧν ὁ μὲν Δίας κτίσας πόλιν οὕτως ἀπὸ τῆς πατρίδος ὠνόμασεν". ὁ πολίτης Ἀθηναῖος καὶ Ἀθηναϊκός. ταύτας δ' Ἀθήνας

---

2. ἀνάττιον V. 3. πῶς om. V. 7. αὐτῶν πόλιν om. Π. 8. Ἀριστοφάνης] Plut. 771. 9. γε om. RV. 10. κλεινὴν om. ΠV. 11. ἄκρων RV. 14. Ἀθεάδαι V. Φαλανθιάδαι B. οἱ X, καὶ libri. 16. Θησεῖ δὲ R. 18. Αἰγυστίων vel Αἰγυστίνων M, Αἰγύσκος APpΠ, Αἴγυσκος V, Αἴγυσκ^ν R, Αἰγύων X. 22. Ἀθηναϊκῆς pro Ἀθηναῖος V. fortasse igitur Ἀθηναΐτης. id enim legitimum Euboicarum Athenarum gentile fuit; vide s. v. Δῖον Κῶπαι Μυλαί et Vit. Arati ed. West. p. 53. ubi vitiose Ἀθηνῖται scribitur. ac fortasse etiam pro Ἀθηναϊκός, quod in R Ἀθηναικ^ς scriptum est, reponendum Ἀθηναΐτις. ταύτας δ' Ἀθήνας Διάδας M, τὰς δ' Ἀθήνας καὶ Διάδας libri, ταύτας τὰς Ἀθήνας καὶ Διάδας Valck. diatr. p. 144. A. qui post λέγεσθαι addi voluit Αἰσχύλος μαρτυρεῖ. nec dubium quin scriptor Aeschyli testimonio (fr. 23 Dind.) usus sit; sed λέγεσθαι epitomatoris est.

Διάδας λέγεσθαι. ἑβδόμη Ἀκαρνανίας, ὡς Δημήτριος, Ἀθηναίους ἐν τῇ Κουρήτιδι κτίσαντας πόλιν Ἀθήνας προσαγορεῦσαι. τὴν γὰρ νῦν Ἀκαρνανίαν Κουρῆτιν ὠνόμαζον. ὀγδόη Βοιωτίας, ἡ ἐκ τῆς λίμνης ἀναφανεῖσα μετὰ τὸ πρότερον ἐπικλυσθῆναι τῆς Κωπαΐδος, ὅτε Κράτης αὐτὴν διεπάφρευσεν. ἐκλήθη δὲ ἡ πόλις, ὥς τινες μέν φασιν, Ἀθῆναι, ἄλλοι δὲ Ὀρχομενός, ὡς οἱ Βοιωτοί. ἔστι δὲ καὶ ἐν τῷ Εὐξείνῳ πόντῳ χωρίον Ἀθῆναι, ὡς Ἀρριανός. ἔστι καὶ ἱερὸν αὐτόθι Ἑλληνικόν.

Ἄθλιβις, πόλις Αἰγύπτου. ὁ πολίτης Ἀθλιβίτης. Νικάνωρ δ' ὁ Ἑρμείου ἐν ᾗ πρὸς Ἀδριανὸν γράφων διὰ τοῦ ρ̄ φησὶν Ἄθριβις. οὕτω καὶ Στράβων. ἔστι καὶ ἄλλη ἐν Ἀραβίᾳ. τὸ ἐθνικὸν Ἀθριβίτης.

Ἄθμονον, οὐδετέρως, δῆμος τῆς Κεκροπίδος φυλῆς. τὸ μέντοι Ἀθμονῆζε καὶ Ἀθμονῆσι δοκεῖ ἀπὸ τῆς ἡ Ἀθμονὴ εἶναι. τὸ ἐθνικὸν Ἀθμονεύς, τὸ θηλυκὸν Ἀθμονίς. ἐν τόπῳ Ἀθμονοῖ. καὶ τὰ λοιπὰ ὁμοίως δῆλα.

Ἄθυμβρα, πόλις Καρίας πρὸς Μαιάνδρῳ, Ἀθύμβρου κτίσμα, ἥτις μετὰ ταῦτα Νύσσα ἐκλήθη. τὸ ἐθνικὸν Ἀθυμβρεὺς τῷ λόγῳ τῶν Καρικῶν.

Ἀθύρας, ἐπίνειον καὶ ποταμὸς περὶ τὸ Βυζάντιον. ἔστι δὲ καὶ κόλπος Ἀθύρας. κλίνεται δὲ ἰσοσυλλάβως, ὡς Εὐφορίων „ὕδατα δινήεντος ἀμευσάμενος Ἀθύραο". τὸ ἐθ-

1. *Καρνανίας* R. 2. *ἐν τῇ* B, *ἐν τῷ* libri. *Κουρήτιδι* X, *Κουρίτιδι* libri. *πόλεις* V. 3. *Ἀκαρνίαν* R. *Κουρῆτιν* X, *Κουρῖτιν* *Π*R, *Κουρίτην* AV. 5. *ὁ δὲ* pro *ὅτε*? *Κράτης*] v. Müllerus Orchom. p. 56. et Freretus Mem. de l'Acad. des Inscr. vol. 23. p. 142. 7. *ἔστι δὲ* RV, *ἔστι* A. *τῷ* add. *Π*RV. 8. *Ἀρριανός*] Peripl. P. Eux. p. 3. *Ῥιανιανός* R. 11. *ἐν τῇ πρὸς Ἀδριανὸν γραφῇ*? an *ἐν οἷς πρὸς Ἀδριανὸν γράφει*? Nicanoris testimonio in eadem re utitur Etym. M. p. 25, 47. 12. *Στράβων*] 17. p. 802. 14. *Ἄθμονον* et hic et in sequentibus libri. 15. *ἡ* add. V. *Ἀθμόνη* libri. 17. *ὁμοίως* om. R. 18. 19. *Ἀθύμβρων κτίσμα* R. 20. *Καρινῶν* V. 21. *παρὰ* R. 22. *δὲ* ante *ἰσ.* om. V.

νικὸν διὰ τῆς αι διφθόγγου Ἀθυραῖος, ὡς Ῥήβας Ῥηβαῖος. ἔστι δὲ καὶ Σκυθίας ποταμὸς Ἀθύρας, ὡς Νυμφόδωρος.

Ἄθως, ὄρος Θρᾴκης, ἀπὸ Ἄθω γίγαντος, ὡς Νίκανδρος πέμπτῳ τῆς Εὐρωπείας

καί τις Ἄθω τόσον ὕψος ἰδὼν Θρήικος ὑπ' ἄστροις
ἔκλυεν οὐ δηθέντος ἀμετρήτῳ ὑπὸ λίμνῃ,
ὃς ἀναπνοῦν χείρεσσι δύο ῥίπτεσκε βέλεμνα
ἠλιβάτου προθέλυμνα Καναστραίης πάρος ἄκρης.

βάλλει δὲ ἡ σκιὰ τοῦ ὄρους ἐπὶ σταδίους τριακοσίους. εἴρηται δὲ καὶ Ἄθοος, ὡς τὸ Κῶς Κόος. λέγεται καὶ κατὰ συναίρεσιν Ἄθους. ἡ κλίσις διττή, καὶ Ἄθωος καὶ Ἄθω. τὸ τοπικὸν Ἄθωος χωρὶς τοῦ ι, καὶ Ἀθώους τοὺς ἐνοικοῦντας, τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπερισπᾶται καὶ διὰ τοῦ ι, ἐκ τῆς θῳῆς. παρὰ τὸ ἀμφότερον τὸ θηλυκὸν Ἀθωίς. ἔστι δὲ καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ. καὶ ὁ πολίτης Ἀθωίτης.

Αἶα, πόλις Κόλχων, κτίσμα Αἰήτου, θαλάσσης ἀπέχουσα στάδια τριακόσια, ἣν περιρρέουσι δύο ποταμοί, Ἵππος καὶ Κυάνεος, ποιοῦντες αὐτὴν χερρόνησον. ἔοικε δὲ τοὐναντίον ἐξ αὐτῆς ὁ Αἰήτης εἶναι, ὡς Ἀσία Ἀσιάτης, οὕτως Αἶα Αἰάτης καὶ Αἰήτης. ἔστι δὲ καὶ Θετταλίας ἄλλη, ἧς μέμνηται Σο-

---

2. ἔστι καὶ R. Σικελίας Casaubonus, quae coniectura propter Nymphodori memoriam valde probabilis est. 4. ἐνάτῳ ΠV.
6. οὐ δὴ θέντος R. Hermannus αὐδηθέντος et in sequentibus ἀμετρήτῳ ἐπὶ λίμνῃ ὅσσα νάπους cll. Sophocle Trach. 436 ἄκρον Οἰταῖον νάπος. 7. ῥίπτασκε? 8. ἄκρης H, ἀκτῆς libri.
10. Ἄθοως ὡς τὸ Κῶς Κόως P[a], Ἄθοος ὡς τὸ Κοῦς R, Ἀθῶος ὡς τὸ Κῶς Κῶος alii apud H, Ἄθοος (Ἄθῳος V) ὡς τὸ Κῶς Κόος AV. fort. Ἀθόως [καὶ Ἄθοος], ὡς τὸ Κόως Κόος. cf. Göttling Acc. p. 289. de Κόος vide infra s. v. Κῶς et Herod. μον. p. 41, 30.
11. Ἄθωος καὶ Ἄθω V, Ἄθοος καὶ Ἄθω R, Ἄθοος καὶ Ἄθως A.
14. περὶ τὸ ἀμφότερον. τὸ γὰρ θηλυκὸν V. scribendum videtur: ἔστι δὲ καὶ Ἄθως πόλις ἐπὶ τῷ Ἄθῳ. παρὰ τὸ ἀμφότερον ὁ πολίτης Ἀθωίτης καὶ τὸ θηλυκὸν Ἀθωίς. 16. Κολχῶν RV. Ἀλήτοο Π. θαλάττης R. 17. στάδια τριακόσια] apud Plin. NH VI, 4. est XV m. passus, ubi optimus liber habet CXL.
18. Κύανος V. 19. Αἰήτης] Αἴητος R.

φοκλῆς, τῆς μὲν προτέρας λέγων „εἰς Αἶαν πλέων" τῆς δὲ δευτέρας οὕτως „ἔστιν τις Αἶα Θεσσαλῶν παγκληρία". ἔστιν Αἶα καὶ Μακεδονίας πηγή, ὡς Ἀντίμαχος ἐν Θηβαΐδι. τὸ ἐθνικὸν Αἰαῖος ὡς Γαζαῖος, τὸ θηλυκὸν Αἰαία.

Αἰαμηνή, *Ναβαταίων χώρα, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν Αἰαμηνός.*

Αἰανή, *πόλις Μακεδονίας, ἀπὸ Αἰανοῦ παιδὸς Ἐλύμου, τοῦ βασιλέως Τυρρηνῶν, μετοικήσαντος εἰς Μακεδονίαν. τὸ ἐθνικὸν Αἰαναῖος. Ἰχναῖος γὰρ λέγουσι καὶ Ἐδεσσαῖος καὶ Βεροιαῖος.*

Αἰανῖτις, *Ναβαταίων χώρα. Οὐράνιος Ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν Αἰανῖται. προκατελήφθη γὰρ ἐν πρωτοτύπῳ. διὰ διφθόγγου. Σοφοκλῆς δὲ Αἰαντία γράφει δίχα τοῦ ν.*

Αἰβοῦδαι, *νῆσοι πέντε τῆς Πρεταννικῆς, ὡς Μαρκιανὸς ἐν περίπλῳ. τὸ ἐθνικὸν Αἰβουδαῖος.*

Αἴβουρα, *πόλις Ἰβηρίας, ὡς Στράβων. ὁ πολίτης Αἰβουραῖος, ὡς ἀρουραῖος, Κόλουρα Κολουραῖος, πόλις περὶ Πριήνην, Ἄργουρα, πόλις Εὐβοίας, Ἀργουραῖος, Ἴουρα Ἰουραῖος, καὶ σχεδὸν πάντα τὰ εἰς ρα. δύναται καὶ Αἰβουράτης, ὡς Αἴγειρα Αἰγειράτης, Κίβυρα Κιβυράτης.*

---

2. *παγκηρία* Π. 3. *Μακεδονίας πηγή*] vid. schol. Il. *β'* 850 et *φ'* 158. 5. *Ἀραβικῶν* RV, *Αἰακικῶν* Π, *Αἰακιδῶν* A. 6. *Αἰασμηνός* V. 9. *Ἰχναῖος* V, *Ἰσχναῖος* AR. *Ἐδεσσαῖος* H, *Ἐδεσαῖος* libri. 10. *Βεροιαῖος* RV, *Βερροιαῖος* A, quae vitiosa est sequioris aetatis scriptura: genuinae formae sunt *Βερόη* et *Βέροια*. 12. *Αἰανῖται* RV, *Αἰανίτης* A. 13. 14. *Αἰανῖτιν γράφει δίχα τοῦ ι* Gronovius, *Αἰαντίς γράφει δίχα τοῦ ι* W. 15. *Αἴβουδα* R, *Αἰβουδαί* V. *Πρεταννικῆς* R, *Πρετανικῆς* PpV, *Βρετανικῆς* A. 17. *Στράβων*] 3. p. 140. ubi *Ἐβοῦρα* scriptum. 18. *Κόλουρα*] Hoc frustra suspectant; Hecataeus apud Herodianum dict. sol. p. 13, 18 *δοκέω δὲ μάλιστα περὶ Κόλουραν, ἵνα Πρηνῆς (Πριηνέες) ἕζοντο.* 19. *τόπος Εὐβοίας* B. *Ἴουρα*] v. Mnaseam apud Herodianum l. l.

Αἰγά, τῆς Αἰολίδος ἄκρα, ὡς Στράβων „.... ὃ νῦν Κάνην καὶ Κάνας λέγουσιν". Ἀρτεμίδωρος δὲ Αἴξ εἶπε τὴν εὐθεῖαν, οὐκ ἀναλόγως. ἔστι καὶ πόλις Φοινίκων, ὡς Ἑκαταῖος. τὸ τοπικὸν Αἰγαῖος. καὶ τὸ πέλαγος οὕτως Αἰγαῖον πέλαγος λέγεται, καὶ ἀρσενικῶς Αἰγαῖος πόντος. ἔστι καὶ Αἰγαῖον πεδίον συνάπτον τῇ Κίρρᾳ, ὡς Ἡσίοδος. λέγεται παρὰ Αἰγᾶν ποταμὸν φερόμενον ἀπὸ τοῦ περὶ τὸ Πύθιον ὄρους, ἀφ' οὗ καὶ τὸ πεδίον Αἰγαῖον.

Αἰγαί πόλεις πολλαί. Κιλικίας, Μακεδονίας, ἥτις καὶ

---

1. Αἰγα τῆς Casaubonus, Αἰγάτης libri. praetuli Αἰγά propter Strab. 13. p. 615 δεῖ δὲ μακρῶς τὴν δευτέραν συλλαβὴν ἐκφέρειν Αἰγᾶν, ὡς ἀκτᾶν καὶ ἀρχᾶν, ubi ex Vat. 1328 apud Kramerum et ex Epit. scribendum Αἰγάν ὡς ἀκτάν καὶ ἀρχάν. Αἰγά dicebantur etiam Aegae Achaicae teste Strab. 8. p. 387. ἣ νῦν Κανὴ καὶ Κυναὶ λέγεται A, ὃ νῦν Κανὴν καὶ Κάνας λέγεται RV, ἣν νῦν Κανὴν καὶ Κανὰς λέγουσι B. recepi λέγουσιν et ὅ, indicata lacuna. Strabo l. l. οὕτως (Αἰγά) γὰρ καὶ τὸ ὄρος ὅλον λέγεται, ὃ νῦν Κάνην καὶ Κάνας λέγουσι. Artemidori verba ex integriore Stephani exemplo derivata attulit Constant. Porph. Them. 1, 17 ἄκρα τίς ἐστιν Αἰολίδος ἣν Αἶγα οἱ ἐπιχώριοι ὀνομάζουσιν, ἀφ' ἧς καὶ τὸ πέλαγος τοιαύτην ὀνομασίαν προσείληφε. Αἴξ illud promontorium nominat etiam Plutarchus alicubi et Duris Samius apud schol. Apoll. Rh. 1, 1165. dicit autem noster id fieri οὐκ ἀναλόγως, quoniam obliqui casus sunt Αἰγᾶς Αἰγᾷ etc. non recte igitur οὐκ ἂν ἀλόγως coniectant. 3. ἔστι καὶ — Ἑκαταῖος, quae libri 4. post οὕτως habent, huc retraxi; at fortasse ne hoc quidem loco a Stephano fuere posita, sed ad sequentem sectionem de urbibus Αἰγαί dictis pertinent. Φοινίκων inter lineas et ab alia manu habet R. 4. 5. Αἰγαῖον (Αἴγαιον R) πέλαγος, quibus vulgo novum tmema incipit, cum οὕτως coniunxit Schubartus, quam rationem etiam literarum ordo commendat. 6. 7. λέγεται παρὰ Αἴγαν ποταμὸν φερόμενον Pp, λέγεται περὶ Αἴγαν ποτ` φερόμενον R, λέγεται παρ' ἃ Αἴγαν ποταμὸν φερόμενον V, λέγει παρὰ τὸ Αἴγαν ποτὲ φερόμενον Π, λέγεται παρὰ Αἴγαν ποτὲ φερομένην A. Αἰγᾶν scripsi ex Eustathio ad Dion. Per. 132 πεδίον τι περὶ τὴν Φωκίδα γῆν ἱστορεῖται καλούμενον Αἰγαῖον ἐκεῖνο παρὰ τὸν ἐκεῖ ῥέοντα Αἰγᾶν ποταμόν. 8. ὄρους APp, ὄρος RV. Αἰγαῖον W, Αἴγαιον libri. 9. πόλεις πολλαί PpRV, πολλαί, πόλις A. καὶ om. R.

μηλοβότειρα ἐλέγετο, τῆς Θρακησίων χερρονήσου, καὶ ἡ ἐν Μυρίνῃ ἐν τῇ Αἰολίδι, καὶ Λυδίας καὶ Λοκρίδος καὶ Αἰτωλίας καὶ Εὐβοίας, ἃς Ὅμηρος ἐν τῷ ν. τὸ ἐθνικὸν ἀπὸ μὲν δισυλλάβου Αἰγαῖος, ἀπὸ δὲ τρισυλλάβου εὕρηται καὶ οὕτως Αἰγεάτης.

Αἴγειρα, πόλις Ἀχαΐας, ἣν Ὅμηρος Ὑπερησίην φησίν. ἔνιοι ἀπὸ Αἰγιαλέως τὴν χώραν Αἰγιαλόν φασι τό τε Αἴγιον καὶ ἔτι Αἴγειραν. τὸ ἐθνικὸν Αἰγειράτης, τὸ κτητικὸν Αἰγειρατικός, ὡς Πτελεάτης Πτελεατικός. Παυσανίας δὲ ἑβδόμῳ λέγει τὴν Ὑπερησίαν Αἴγειραν μετωνομάσθαι διὰ τοιάνδε αἰτίαν. Σικυωνίων στρατὸς ἀφίξεσθαι ἔμελλεν αὐτοῖς· οἱ δὲ ἀθροίζουσιν αἶγας καὶ [πρὸς] τοῖς κέρασιν ἔδησαν δᾷδας καὶ ἐξάπτουσι διὰ τῆς νυκτός· νομίσαντες οὖν τὴν φλόγα τοῦ ἐπικουρικοῦ πυρὸς ἔφυγον, Ὑπερησιεῖς δὲ Αἴγειραν τὴν πόλιν ὠνόμασαν. τὸ ἐθνικὸν ὁμοίως Αἰγειράτης καὶ θηλυ-

1. *Μηλοβότειρα* vulgo; non dubium quin *ἐπιθετικῶς* dictum sit a poeta aliquo. *Θρᾳκησίων*] Hoc genuinus Stephanus scribere non potuit, siquidem Thracesios medio demum aevo dictos fuisse constat non Thraces in suis habitantes finibus, sed eos qui e Thracia in Asiam minorem traducti veterem Cariam et Lydiam et Ioniam tenebant. v. Constant. de Them. 1, p. 22. et schol. Dionys. Per. 822. peninsulam autem dicit fortasse Cnidiam. cf. v. *Ἄκανθος*.
2. *Μυρρίνῃ* ante H. *Λυδίας*] Haec non diversa videtur ab Aeolica; nisi *ΑΧΑΙΑΣ* scribendum pro *ΛΥΔΙΑΣ*. per enim mirum videri debet Achaicarum Aegarum nullam fieri mentionem. 3. *ὡς Ὅμηρος* H. videtur potius aliquid excidisse, e. c. *μνημονεύει*. *ἐν τῷ ν*] Il. 13, 21. 4. *τρισυλλάβου*] Itaque in superioribus Stephanus etiam formam *Αἴγειαι* vel *Αἰγειαί* commemoraverat. 6. *ἣν Ὅμηρος Ὑπερησίην φησίν*] Haec verba huuc in locum transtuli, cum in libris 11. post *τοιάνδε αἰτίαν* legantur. *Ὅμηρος*] Il. 2, 573. Od. 15, 252. *Ὑπερησίην* X, *Ἠρεσίην* libri. 7. *Αἰγίαλον* vulgo. 8. *καὶ ἔτι* R, *καὶ ἔστιν* AV. *Αἴγειραν* M, *Αἴγειρα* libri. Salmasius *καὶ ἔστιν Αἰγείρας τὸ ἐθνικὸν Αἰγειράτης*. Stephanus hoc potius dicere videtur, ab Aegialeo et Aegialum et Aegium et Aegiram denominata esse. 9. *ἑβδόμῳ* B, *ἕκτῳ* libri. v. Pausan. 7, 26.
10. *Ὑπερησίαν* V, *Ὑπερήσια* R, *Ὑπηρεσίαν* A. 12. *πρὸς* add. M.
14. *Ὑπερησιεῖς* RV, *οἱ Ἠρεσιεῖς* A. *Αἴγειραν* X, *Αἴγειρον* libri.
15. *τὸ ἐθνικὸν — Αἰγειρᾶτις* in finem sectionis post *Αἴγειραν*

κὸν Αἰγειρᾶτις. Φίλων δέ φησι Κιλικίας πόλιν εἶναι Αἴγειραν.

Αἰγείρουσα, πόλις τῆς Μεγαρίδος, ὡς Στράβων. λέγεται καὶ Αἴγειρος, ὡς Θεόπομπος πεντηκοστῇ ἕκτῃ. τὸ ἐθνικὸν Αἰγειρεύς, ὡς τῆς Φιλίππου Φιλιππεύς, Ταρσοῦ Ταρσεύς. τῆς δ' Αἰγειρούσης Αἰγειρουσαῖος ὡς Σκοτουσαῖος, ἢ Αἰγειρούσιος ὡς Πιτυούσιος. ἔστι καὶ Αἰολίδος πόλις Αἰγειροῦσσα, ὡς Ἡρόδοτος.

Αἰγεσταῖοι, οἱ Θεσπρωτοί, ἀπό τινος Αἰγέστου στρατηγοῦ, ὡς Ἀμυμναῖοι ἀπὸ Ἀμύμνου.

Αἰγηίς, φυλὴ τῆς Ἀττικῆς, ἀπό Αἰγέως τοῦ Πανδίονος.

Αἴγηλοι, ἔθνος Μηδικόν.

Αἰγιαλός, μεταξὺ Σικυῶνος καὶ τοῦ Βουπρασίου καλούμενος τόπος ἀπὸ Αἰγιαλέως τοῦ Ἰνάχου, ὡς Ἴστρος ἐν ἀποικίαις τῆς Αἰγύπτου. ἔστιν ἕτερος Αἰγιαλὸς προσεχὴς τῷ Πόντῳ μετὰ τὴν Κάραμβιν ἄκραν, ὡς Ἀπολλώνιος. ἔχει δὲ καὶ κώμην ὁμώνυμον. Ὅμηρος „Κρῶμνάν τ' Αἰγιαλόν τε". γράφεται δὲ „Κρῶμναν Κωβιαλόν τε". ἔστι καὶ Θρᾴκης Αἰγιαλὸς παρὰ τῷ Στρυμόνι, ὡς Ἑκαταῖος. ἔστι καὶ ἄλλος Αἰγιαλὸς μέγας καλούμενος ἐν Αἰθιοπίᾳ κατ' Αἴγυπτον. τὸ ἐθνικὸν Αἰγιαλεύς ἀπὸ τῆς Αἰγιαλοῦ γενικῆς, ὡς Ἀλεξάνδρου Ἀλεξανδρεύς. εὑρίσκεται δὲ καὶ αἰγιαλεύς ἐπὶ ἰχθύος. τὸ θηλυκὸν Αἰγιάλεια, καὶ Αἰγιαλίς παρὰ Ἀλκμᾶνι, καὶ Αἰγιαλίτης ἀρσενικῶς.

Αἰγικόρεως. οὐκ ἔστι δῆμος τῆς Ἀττικῆς, ὥς τινες,

---

transponenda sunt. 1. *φίλην* V. [*καὶ*] *Κιλικίας*? 3. *Αἰγείρουσσα* RV. *Στράβων*] 9. p. 394. 6. *Αἰγειρούσσης Αἰγειρουσσαῖος* V. 7. 8. *Αἰγείρουσσα* RV, *Αἰγείρουσα* A. 8. *Ἡρόδοτος*] 1, 148. ubi est *Αἰγιρόεσσα*. 10. *Ἀμυμναίου* RV. 12. *Αἴγηλοι* (*Αἰγηλοί*?) ex *Αἰγλοί* (Herod. 3, 92) corruptum videtur H. 13. 14. [*οὕτω*] *καλούμενος* B. 16. *Ἀπολλώνιος*] Argon. 2, 945. *Καράβην* II. 17. *Ὅμηρος*] Il. 2, 855. cf. Strabo 12 p. 544. quem excripsit Stephanus. *Αἰγειαλόν* V. 18. *Κωβιαλόν* M, *Κωβίαν* RV, *Κοβίαν* AΠ, *Κρωβιαλόν* X. fallitur Heynius ad Il. 2, 855. 25. *Αἰγικορεῖς* Boeckh. Inscr. 2 p. 931. *τῆς* om. R.

ἀλλὰ φυλὴ παλαιά, μία τῶν τεσσάρων τῶν ἀπὸ Ἴωνος [παίδων]. τέσσαρες δ' ἐξ αὐτοῦ, Αἰγικορεῖς Ἀργαδεῖς Γελέοντες Ὅπλητες. ἡ φυλὴ τοίνυν Αἰγικορεῖς.

Αἰγιλιά, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Αἰγιλιεύς. τὰ τοπικὰ Αἰγιλιᾶθεν Αἰγιλιάνδε Αἰγιλιοῖ. ἔστι καὶ νῆσος μεταξὺ Κρήτης καὶ Πελοποννήσου Αἴγιλα. ὁ οἰκήτωρ Αἰγίλιος ὡς Κυθήριος.

Αἰγίλιψ, πλησίον Κροκυλείων τῆς Ἠπείρου. Ὅμηρος „καὶ Κροκύλει' ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν". εἴληχε δὲ τὴν προσηγορίαν διὰ τὸ πετρώδης εἶναι καὶ ὑψηλὴ καὶ ἀπρόσ-

---

Ἄκη, πόλις Φοινίκης. τὰ εἰς κη λήγοντα δισύλλαβα ἐπὶ πόλεων ἢ χωρῶν βαρύνεται. αὕτη δὲ Πτολεμαῒς ἐκαλεῖτο. Κοιλοσυρίτας δ' αὐτοὺς ὠνόμαζον. Κλαύδιος δὲ Ἰούλιος ἐν πρώτῃ Φοινικικῶν φησὶν ὅτι ἐκλήθη ἀπὸ Ἡρακλέους „χαλεπωτάτῳ γὰρ ὑπὸ Εὐρυσθέως ἐπιταγεὶς ἄθλῳ, περισχεθεὶς τῷ τῆς Λερναίας ὕδρας ἰῷ, τοῖς τῶν δηγμάτων ἐπονεῖτο ἕλκεσιν. ἀνεῖλε δὲ τὸ Δελφικὸν μαντεῖον ἐπ' ἀνατολὰς ἰέον μέχρις ἂν ἐντύχῃ ποταμῷ φύοντι πόαν τῇ Ὕδρᾳ παραπλήσιον· ἐκείνης γὰρ καταπασάμενον τῶν ἑλκῶν ἀπαλλαγήσεσθαι. εὗρε δὲ τὸν ποταμὸν καὶ τὴν πυθόχρηστον πόαν, ἧς ὁ καυλὸς ἥ τε ῥίζα πάντως ἐστὶν ὀφιώδης τῷ ποικίλῳ ταῖς κεφαλαῖς·

---

2. ὑπάρχει R. 3. Ἀκέσαι libri. 4. Παγασαῖος RV, Πηγασαῖος A. Παγασίτης ex Πηγασίτης correctum R, Πηγασίτης A, Πηδασίτης V. 5. Ἀκασσαμεναί RV, Ἀκεσσαμεναί Π. Κλεομεναί pro Κλαζομεναί R, Κλαιομεναί V. 6. Ἀκεσαμενοῦ RV, Ἀκεσσαμένου A. ἐν om. V. 7. Πιενίᾳ RV. 7. 8. ὡς Κλαζομένιος AR, ὡς Κλαμένιος V, om. Π. 9. καὶ B, ὡς libri. Αἰγέστα? an Ἐγέστα cum BH? 12. δὲ add. ΠRV. 13. Ἰούλιος H, Ἴουλος libri. 14. Φοινικικῶν X, Φοινίκιων libri. 14. 15. χαλεπωτάτῳ γὰρ ὑπὸ Εὐρυσθέως ἐπιταγεὶς ἄθλῳ R, χαλεπωτάτου γὰρ ὑπάρχοντος Εὐρυσθέως ἐπιταγεὶς ἄθλῳ PpV, χαλεπωτάτου γὰρ ὑπὸ Εὐρυσθέως ἐν ἐπιταγαῖς ἄλλων A. 15. παρασχεθεὶς V. 18. ἐντύχῃ PpΠRV, τύχῃ A. 19. καταπασάμενον M, καταπλασσάμενον R, καταπλασάμενον A, καταπλασσάμενον V. ἀπαλλαγησσεσθαι R. 20. καυλὸς PpΠRV, καρπὸς A. 21. ὀφειώδης R. [καὶ] ταῖς Salmasius; quod non sufficit. ante ταῖς distinguit R.

ὁπόσας γὰρ ἄν τις ἀποκείρῃ, φύονται αὖθις ἕτεραι. κολοκάσιον μέντοι καλοῦσι τὴν ῥίζαν, τὸ δ' ὑπερπεφυκὸς κιβώριον, ὄψιν ἡδεῖαν ἐδωδίμους τε τὰς φλέβας παρέχον Αἰγυπτίοις". περὶ δὲ τὸν Νεῖλον φύεται πολλή. ἡ δὲ περὶ τὸν Βῆλον ἕλκη θεραπεύει δυσίατα· τριβομένη γὰρ κατὰ τὴν ῥίζαν λευκὸν ἀναδίδωσιν ὀπόν. τούτῳ, φησί, καὶ Ἡρακλῆς ἰάθη. καὶ καλέσαι τὴν πόλιν Ἄκην. τὸ ἐθνικὸν Ἀκαῖος, ὡς Βαρκαῖος.

Ἀκκαβικὸν τεῖχος, πόλις περὶ τὰς Ἡρακλείας στήλας, ἣν ἔκτισαν Καρχηδόνιοι, ὡς ἐροῦμεν ἐν τῷ περὶ Σαλμύκης. ὁ πολίτης Ἀκκαβικοτειχίτης, ὡς Γορδιοτειχίτης καὶ Χωλοτειχίτης, ὡς εὑρήσομεν ἐν τῷ χ.

Ἀκμονία, πόλις Φρυγίας, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τρίτῳ περὶ Φρυγίας. κτίσαι δ' αὐτὴν Ἄκμονα τὸν Μανέως. [τὸ ἐθνικὸν] Ἀκμονίτης λέγεται ἀπὸ τῆς Ἄκμονος γενικῆς. Ἀκμόνεια, ἀφ' ἧς Ἀκμονειάτης. τοῦτο δέ μοι εἴρηται, ἐπειδὴ τὰ εἰς ευς ἀπὸ τῆς ου γενικῆς γίγνεται, Ἀλεξάνδρου Ἀλεξανδρεύς, ἢ ἀπὸ ἰσοσυλλάβου γενικῆς, Ἀπάμας Ἀπαμεὺς Ὑρίας Ὑριεύς. ἔστι καὶ [ἄλλο] Ἀκμόνιον ἄλσος περὶ Θερμώδοντα, ὡς Φερεκύδης, ἐφ' οὗ μιγεὶς Ἄρης τῇ Ἁρμονίᾳ τὰς Ἀμαζόνας

---

1. ὁπόσα RV. 1. 2. κολοσάϊον libri, correxit Casaubonus. 3. ἡδεῖαν Salmasius, ἰδίαν libri. ἐδωσίμους Π. παρέχον R, παρέχων AV. 4. παρὰ pro περὶ R. παρὰ pro περὶ R. 5. τριβόμενος γὰρ PRV, τριβομένη δὲ A. κατὰ M, μετὰ libri. τὴν ῥίζαν PRV, τῆς ῥίζης A. 6. καὶ add. RV. 7. πόαν pro πόλιν R. Ἄλκην RV. 8. Ἡρακλείας RV, Ἡρακλείους A. 9. Σαλμύκης B, Σαλμύνην ΠV, Σαλμύνων R, Σαλμύνης A. fort. Σάλμυκα, ut s. v. Τρίτη. 11. εἰρήσομεν (voluit ἐροῦμεν) Salmasius. malim εἰρήσεται. 13. Μάνεω? post Μανέως in libris sequuntur haec ἔστι καὶ ἄλλο Ἀκμόνιον (Ἀκμώνιον R) λεγόμενον, ὡς Φερεκύδης, quorum priora utpote ex inferioribus repetita delevi, cetera autem ὡς Φερεκύδης transposui post Θερμώδοντα. cf. schol. Apoll. Rh. 2, 992: Ἀκμόνιον δὲ ἄλσος Εἰρηναῖος μὲν οὐδαμοῦ ἐδήλωσεν εἶναι, Φερεκύδης δὲ ἐν Θερμώδοντί φησιν εἶναι. 15. Ἀκμόνια libri. 16. γίγνεσθαι ΠRV. Ἀλεξάνδρου B, Ἀλέξανδρος libri. 16. 17. Ἀλεξάνδρεια ΠRV. 17. Ἀπαμάς RV, Ἀπαμᾶς A. Ὑριάς RV, Ὑριᾶς A. 18. ἄλλο seclusit M. Ἀκμώνιον R. 19. ἀφ' οὗ RV. τῇ Ἁρμονίᾳ τὰς Ἀμαζόνας X, τὰς Ἁρμονίας libri.

ἔσχεν, ὡς Ἀπολλώνιος ἐν δευτέρῳ. ὅθεν δὲ κέκληται, εἰρήσεται ἐν τῷ περὶ Δοίαντος πεδίου. τὸ ἐθνικὸν ἀμφιδοξεῖται, καὶ Ἀκμονιεὺς καὶ Ἀκμόνιος.

Ἀκόναι, πολίχνιον πλησίον Ἡρακλείας. λέγεται κατὰ περίφρασιν ὁ οἰκῶν τὰς Ἀκόνας. τὸ ἐθνικὸν Ἀκονίτης, τὸ θηλυκὸν Ἀκονῖτις. [οὕτω γάρ τις νῆσος διαφέρουσα μὲν τῷ πανευφήμῳ πατρικίῳ καὶ τὰ πάντα σοφωτάτῳ μαγίστρῳ Πέτρῳ, κειμένη δὲ καταντικρὺ τῆς εὐδαίμονος πόλεως Χαλκηδόνος.] ἐπικέκληται δὲ διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ πρὸς ἀκόνας πεποιημένων λίθων. λέγεται καὶ ἀκόνιτον δηλητήριον φάρμακον, ὡς Ἀθήναιος ἐν τρίτῳ δειπνοσοφιστῶν, ὅτι τοὺς προφαγόντας τὸ πήγανον μηδὲν πάσχειν ἐκ τοῦ ἀκονίτου. κληθῆναι δέ φασι διὰ τὸ φύεσθαι ἐν τόπῳ Ἀκόναις καλουμένῳ, ὄντι περὶ Ἡράκλειαν.

Ἀκόντιον, πόλις Ἀρκαδίας, ἀπὸ Ἀκοντίου τοῦ Λυκάονος. ἔστι καὶ ἑτέρα Εὐβοίας, ὡς Ξεναγόρας καὶ Ἀνδροτίων ὀγδόῃ. τὸ ἐθνικὸν Ἀκοντιεύς, ὡς Δουλιχιεὺς Σουνιεύς, καὶ Ἀκόντιος, ὡς Βυζάντιος καὶ Ἀνακτόριος.

Ἀκούτεια, πόλις Ἰβηρίας, καθὰ Στράβων ἐν τῷ τρίτῳ.

---

1. δευτέρῳ] vs. 994. 2. Δοίαντος BH, Δύαντος R, δ' Ὕαντος V, ὕαντος A. πεδίων V, πεδίῳ R. 3. Ἀκμωνιεὺς καὶ Ἀκμώνειος R. 4. 5. τὸ ἐθνικὸν λέγεται κατὰ περίφρασιν ὁ οἰκῶν τὰς Ἀκόνας, καὶ Ἀκονίτης? sequentia epitomatoris sunt, nec scribi potuerunt a Stephano. 6. διαφέρουσα i. e. propria. v. Haasius ad Leon. Diac. p. 253. c. 7. πάτριον R, πατρικῷ V. τὰ πάντα RV, τῷ πάντα A. 8. 9. καὶ Χαλκηδόνος RV. 10. ἀκόνιτον RV, ἀκόνιον A. 11. Ἀθήναιος] p. 85 b. τρίτῳ M, τῷ libri, τῷ τρίτῳ X. Athenaei verba ex Theopompo haec sunt: πρὶν φαγεῖν πήγανον· τοῦτο γὰρ τοὺς προφαγόντας μηδὲν πάσχειν πίνοντας τὸ ἀκόνιτον, ὃ καὶ κληθῆναί φησι διὰ τὸ φύεσθαι ἐν τόπῳ Ἀκόναις καλουμένῳ ὄντι περὶ τὴν Ἡράκλειαν. 12. πήγαγον Π, πήδανον V. ἀκονίτου Athenaeus, κωνείου libri. 13. φύεσθαι Athenaeus, προφύεσθαι libri, προσφύεσθαι X. 17. Δουλιχιεύς R, Δολιχιεύς V, Δολιχεύς A. Σουριεύς ante BH. 19. τρίτῳ] p. 152 ubi Ἀκοντία legitur.

τὸ ἐθνικὸν Ἀκουιτανοί, ὡς αὐτός. ἔοικε δὲ τὸ ῑ κατὰ πλεονασμὸν ἔχειν.

Ἄκρα, Ἰαπυγίας πόλις, κατά τινας Ὑδροῦς λεγομένη. β' ἔστι καὶ ἑτέρα ἐν αὐτῇ ἔχουσα λιμένα Βρεντέσιον. ἔστι δὲ Ἰταλίας. γ' .... ἐστὶ Συρακοσίων κτίσμα. δ' Εὐβοίας. ϛ' Σκυθίας. ζ' Κύπρου. η' Ἀκαρνανίας. τὸ ἐθνικὸν Ἀκραῖος καὶ τὸ θηλυκὸν Ἀκραία. θ' ἔστιν Ἄκρα ὑπὲρ Ἀντιόχειαν τὴν περὶ τὴν Δάφνην. Ἀκραῗται δὲ οἱ ἐξ αὐτῆς ἐκαλοῦντο. ι' ἔστι καὶ πέραν τοῦ Τίγρητος Ἄκρα, Ἀρριανὸς ἑκκαιδεκάτῃ.

Ἀκράγαντες πόλεις πέντε. Σικελίας, ἀπὸ ποταμοῦ παραρρέοντος. φησὶ γὰρ Δοῦρις ὅτι αἱ πλεῖσται τῶν Σικελῶν πόλεων ἐκ τῶν ποταμῶν ὀνομάζονται, Συρακούσας Γέλαν Ἱμέραν Σελινοῦντα καὶ Φοινικοῦντα καὶ Ἐρύκην καὶ Καμικὸν Ἁλικύας τε καὶ Θέρμον καὶ Καμαρῖναν, ὡς καὶ ἐν Ἰταλίᾳ. οἱ δὲ ἀπὸ Ἀκράγαντος τοῦ Διὸς καὶ Ἀστερόπης τῆς Ὠκεανοῦ. ἔστι καὶ Θράκης καὶ Εὐβοίας καὶ Κύπρου καὶ Αἰτωλίας. Πολύβιος δὲ τὸν ποταμὸν καὶ τὴν πόλιν ἀπὸ τῆς χώρας ὠνομάσθαι Ἀκράγης διὰ τὸ εὔγεων. τὸ ἐθνικὸν Ἀκραγαντῖνος, ὡς Ἰχανῖνος Ταραντῖνος, ὥς φησιν Ἡρωδιανός.

---

1. Ἀκουιτανοί Casaubonus, Ἀκουτανοί libri. confundit Aquitanos cum incolis urbis Acutiae; nisi Stephani verba truncata et ita fere supplenda dicas: Ἀκούτεια, πόλις Ἰβηρίας, καθὰ Στράβων ἐν τῷ τρίτῳ. [ἔστι καὶ Ἀκουτανὴ μερὶς τῆς Γαλατίας] ὡς ὁ αὐτός. τὸ ἐθνικὸν κτλ. neque obstat tali coniecturae quod hodie apud Strab. 4 p. 189 Ἀκουιτανή recte scriptum est. ceterum minime inusitatum nostro scriptori est, ut complurium urbium gentiumve nominibus consimilium memoriam coniungat. 3. Ὑδροῦς BH, Ὑδροῦσα R, Ὑδροῦσα AV. 4. αὐτῇ libri. Βρεντέσιον RV, Βρεντήσιον A. ἔστι δὲ H, ἔστι καὶ libri. 5. Ἰταλίας RV, ἐν Ἰταλίᾳ A. γ' [Σικελίας] ἐστὶ B. Συρακοσίων V, Συρακουσίων AR. δ' add. R. 6. ζ' om. Π. Κύπρος Π. 7. τὸ θηλυκὸν Ἀκραία καὶ τὸ ἐθνικὸν Ἀκραῖος libri, emendavit B. περὶ pro ὑπέρ? 8. Ἀκραῗτα R, Ἀκραῗται P, Ἀκραῗται AV, Ἀκρῖται Salmasius. 9. Πίγρητος PpRV, de qua forma alias dictum est. 12. Συρακόσας R. 13. Ἐρύκαν RV. Καμικόν RV, Κάμικον A. 14. Ἁλικύας M, ἁλυ‴ R, Ἀλυκόν AV. Θέρμα? Καμάρινον ΠR, Καμάριον V. 17. τὸν τόπον R. 18. εὔγεων R, εὔγειον AV.

Ἀκραιφία, πόλις Βοιωτίας. οἱ δὲ Ἀκραίφιον, Πανσανίας δὲ [Ἀκραίφνιον] καὶ οὐδετέρως. ἦν δ' ὑπὸ Ἀθάμαντος κτισθεῖσα ἢ ὑπὸ Ἀκραιφέως τοῦ Ἀπόλλωνος. καὶ ὄρος κληθῆναι ἀπὸ Πτώου παιδὸς αὐτοῦ καὶ Εὐξίππης, ἢ ὅτι Λητὼ ἐκεῖ βουλομένην τεκεῖν κάπρος ἐπιφανεὶς ἐπτόησε. τὸ ἐθνικὸν Ἀκραιφιαῖος καὶ Ἀκραίφιος (οὕτω γὰρ Ἀπόλλων τιμᾶται) καὶ [Ἀκραιφιεὺς καὶ] Ἀκραιφιάς, ὡς Σουνιεὺς Σουνιάς, καὶ Ἀκραιφὶς λίμνη. Ἔφορος δὲ καὶ Ἀκραιφνίους καὶ Ἀκραιφνιώτας. Θεόπομπος δὲ τὰ Ἀκραίφνια φησὶ καὶ τὸ ἐθνικὸν Ἀκραιφνιεύς.

Ἄκριλλα, πόλις Σικελίας οὐ πόρρω Συρακουσῶν. τὸ ἐθνικὸν Ἀκριλλαῖος, ὡς Ἄγυλλα Ἀγυλλαῖος.

Ἀκρόθωοι, πόλις ἐπὶ τῆς ἄκρας τοῦ Ἄθω. τὸ ἐθνικὸν Ἀκρόθωος καὶ Ἀκροθωίτης. ἔστι δὲ [ὡς] παρὰ τὸ Κρῶς [πόλις δέ ἐστιν Ἀράβων] τὸ ἐθνικὸν Κρωίτης νομὸς διὰ τοῦ ω̄.

Ἀκροκόρινθος, ἀρρενικόν. οἱ κατοικοῦντες Ἀκροκορίνθιοι. λέγεται δὲ καὶ Κόρινθος ἁπλῶς.

Ἀκροχύλεια. κεῖται ἐν τῷ χ̄.

Ἀκρόπολις, πόλις Λιβύης. ἔστι δὲ καὶ Αἰτωλίας. ὁ πολίτης Ἀκροπολίτης. δύναται καὶ Ἀκροπολιεύς, ὡς Τετραπολιεύς.

---

1. 2. *Πανσανίας*] 9, 23, 5 et 9. 2. *Ἀκραίφνιον* add. X. 2. et 3. *ἀπὸ* libri. 3. 4. *ὄρος κληθῆναι*] Ex his apertum est in genuino Stephani opere de situ urbis in monte Ptoo aliquid dictum fuisse. cf. Pausan. 9, 23, 6. 5. *κάπρος ἐπιφανεὶς* Salmasius, *προσεπιφανεὶς* libri. 6. *Ἀκραίφιος* om. *Π*. 7. *Ἀκραιφιεύς καὶ* add. M. huius gentilis exemplum habemus apud Boeckh. Inscr. 1587. *συνουσίας* V. 8. *Ἀκραιφνίς* RV. *Ἀκραιφνίους* om. *Π*. 9. *καὶ* add. *Π*R. 13. *Ἀκρόθωοι* Pp*Π*RV, *Ἀκρόθυνοι* A. 14. *Ἀκρόθωος καὶ Ἀκροθωίτης* *Π*RV, *Ἀκρόθυνος καὶ Ἀκροθυνίτης* A. *ὡς* add. B. *Κρῶς* RV, *Κρῷς* A. vid. Io. Alexandr. p. 7, 37. Arcad. p. 126, 25. 15. *πόλις δέ ἐστιν Ἀράβων* ut inepte addita seclusi. Stephanum de Cro Aegyptiaca non de Arabica agere ostendit gentilis exemplum *Κρωίτης νομός*. 18. *Κόρινθος* B, *Κορίνθιος* libri. 20. *Λιβύης* V, *Λιβύας* AR.

Ἀκρώρεια, ἄκρον ὄρους, ἐν ᾧ οἱ οἰκοῦντες Ἀκρωρεῖται. οὕτω δὲ παρὰ Σικυωνίοις ἐτιμᾶτο [ὁ Διόνυσος]. „ἐκαλεῖτο δὲ παρὰ μὲν Σικυωνίοις Ἀκρωρείτης, παρὰ δὲ Μεταποντίνοις Ἐρίφιος" Ἀπολλόδωρός φησιν.

Ἀκρώρειοι, πόλις Τριφυλίας. τὸ ἐθνικὸν ὁμόφωνον.

Ἀκτή. οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός. ἀνὴρ δὲ ἦν αὐτόχθων, ὡς Φαβωρῖνος, ὃς ἐβασίλευσεν ἐκεῖ καὶ ἀφ' ἑαυτοῦ οὕτως τὴν χώραν ὠνόμασε καὶ τοὺς λαούς. Ἀπολλόδωρος δὲ τἀναντία φησίν „οὕτω γὰρ ἐκλήθη διὰ τὸ πολὺ μέρος αὐτῆς καθικνεῖσθαι εἰς θάλασσαν· τριγώνου γὰρ οὔσης αἱ συννεύουσαι ἐπὶ τὸ Σούνιον ἑκατέρωθεν δύο πλευραὶ παράλιοι τυγχάνουσι, δι' ἃς τῶν ἐπὶ Κέκροπος φυλῶν τεττάρων οὐσῶν δύο προσηγόρευσαν Ἀκταίαν καὶ Παραλίαν". τὸ ἐθνικὸν Ἀκταῖος καὶ Ἀκταία καὶ Ἀκταιίς καὶ Ἀτθίς καὶ Ἀκτίτης, ἐξ οὗ τὸ Ἀκτίτου πέτρα ἐν τῇ τραγῳδίᾳ ἀντὶ τοῦ Ἀττικοῦ, ὡς αὐλή αὐλίτης. ἔστι καὶ „Ἄκτιος Αἰγεύς" ὡς Εὐφορίων Διονύσῳ. ἔστι καὶ Ἀκτιάς καὶ τὸ Ἄκτιον, ἀφ' οὗ τὸ Ἀκτιώτης, ὡς Πηλιώτης Ζεφυριώτης. ἄμεινον δὲ τοῦτο εἶναι ἀπὸ τοῦ Ἀκτία τοῦ δηλοῦντος τήν τε χώραν καὶ τὴν γυναῖκα, ὡς Πελασγία Πελασγιώτης. ἔστι καὶ Ἀττικός καὶ Ἀττική κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν. ἔστι καὶ Ἀκτὴ Μαγνησίας, ἀφ' ἧς Ἄκτιος καὶ Ἐπάκτιος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἑτέρα Ἀκαρνανίας, ἧς μέμνηται Δημάγητος. ἔστι καὶ Πελοποννήσου, ὡς Θουκυδίδης, καὶ ἄλλη ἐν Βοσπόρῳ, καὶ ἑ

---

2. ὁ *Διόνυσος* add. Tanaquil Faber. *καλεῖται?* 6. οὕτως X, οὐ noto compendio libri. 11. ἐπὶ H, ὑπὸ libri. 13. *Παραλίαν* X, *παλίναν* V, *παλίαν* AR. 14. *Ἀκτίς* pro *Ἀτθίς* Casaubonus. 15. ἀκτῖ pro *Ἀκτίτου* RV. cf. Anall. Alex. p. 48. *τῇ* om. R. 17. *Εὐφορίω Διονυσίων* R. 20. *ἔστι δὲ?* 23. *Ἀκαρνίας* V. *Δημάγητος* AR, *Δαμάγητος* PpV. Demagetum habes apud schol. Apoll. Rh. 1, 224. 24. *Θουκυδίδης*] Peloponnesiacam sive Argolicam Acten nusquam memorat Thucydides, at memorat Actaeas civitates in Ionia (4, 52): itaque nescio an scribendum sit *καὶ ἑ ἐν Ἰωνίᾳ, ὡς Θουκυδίδης, καὶ ἄλλη ἐν Βοσπόρῳ.* nisi Thucydidis nomen ad Acten Chalcidicam spectat, quam memorasse scriptorem ex postremis verbis intelligitur. *Βοσφόρῳ* RV. ἕκτη pro ἑ X.

ἐν Ἰωνίᾳ. Δημήτριος δὲ τῆς σημαντικῆς τοῦ αἰγιαλοῦ καὶ τῆς περὶ τὸν Ἄθω χώρας μόνον ἐμνημόνευσεν.

Ἄκτιον, πόλις Ἀκαρνάνων, ἀπὸ τοῦ Ἀμβρακικοῦ κόλπου ἀρξαμένοις. ἐν ταύτῃ Ἀπόλλωνος γυμνικὸς ἀγὼν καὶ ἱππικὸς καὶ πλοίων ἅμιλλα διὰ τριετηρίδος ἦν. ὁμωνύμως δὲ λέγεται καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος καὶ ἡ ἄκρα ἡ ποιοῦσα τὸ στόμα τοῦ κόλπου καὶ ἡ πόλις καὶ ὁ Ἀπόλλων καὶ ὁ πολίτης. λέγεται καὶ Ἀκταῖος Ἀπόλλων καὶ Ἀκτιακός. λέγεται [καὶ Ἀκταιώτης] καὶ Ἀκταιῶτις θηλυκόν. Ἀρκάδιος δ' ἐν τῇ ὀρθογραφίᾳ φησίν „Ἀκτία καὶ ἡ πόλις καὶ ἡ ἑορτή". ἀλλ' ἡ μὲν ἑορτὴ βαρύνεται, τὰ Ἄκτια, ἡ δὲ πόλις λέγεται οὐδετέρως, τὸ Ἄκτιον.

Ἀκυληία, πόλις Ἰταλίας. Στράβων. τὸ ἐθνικὸν Ἀκυλήιος, ὡς Μεσσαπία Μεσσάπιος Λευτερνία Λευτέρνιος καὶ Λυκία Λύκιος. λέγεται καὶ Ἀκύλεια. ἔστι καὶ Ἀκυλήιος κόλπος. λέγεται καὶ Ἀκυλεήσιος Ἰταλικῷ τύπῳ.

Ἀκυλῖνα, πόλις Ἰλλυρική. Θεόπομπος. τὸ ἐθνικὸν Ἀκυλιναῖος, ὡς Κωνσταντιναῖος ἀπὸ τοῦ Κωνσταντῖνα.

Ἀκυτανία, ἐπαρχία τῆς Κελτογαλατίας, μία τῶν τεσσάρων. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

---

1. *Δημήτριος*] Credo in libro de synonymis. 3. *Ἄκτιον* PpRV, *Ἄκτια* A. sequentia e Strab. 10 p. 451. excerpta sunt, ex quo *πρώτη* ante *ἀπὸ* supplebat B. 5. *πεντετηρίδος*? 6. 7. *ἡ κόλπου ποιοῦσα στόμα* R. *τὸ* om. etiam V. 9. *καὶ Ἀκταιώτης* add. B. praestat fortasse *Ἀκτιώτης* et *Ἀκτιῶτις*. 11. *ἀλλ' ἡ μὲν ἑορτὴ* om. RV. hoc quidem apparet Aldinae scripturae nihil sani inesse. Arcadius dixisse videtur *Ἀκτία καὶ πόλις καὶ ἡ ἑορτή. βαρύνεται.* id si refellere volebat ethnicographus, scribere debebat: *ἀλλ' ἡ μὲν ἑορτὴ λέγεται τὰ Ἄκτια, ἡ δὲ πόλις ἑνικῶς τὸ Ἄκτιον.* 13. *Στράβων*] 5 p. 214. 14. *Μεσσαπία Μεσσάπιος* M, *Μεσαπία Μεσάπιος* RV, *Μεσάπεια Μεσάλεια* A. *Λευτερνία Λευτέρνιος* (*Λευτέρινα Λευτέρινος* R) *καὶ Λυκία Λύκιος. λέγεται καὶ Ἀκύλεια* add. RV, quorum R pro *Ἀκύλεια* habet *Ἀκήλεια*. 16. *Ἀκυλήσιος*? 17. *Ἰλλυρικαί* V. 18. *Κωνσταντιναῖος* et *Κωνσταντῖνα* RV, *Κονσταντιναῖος* et *Κονσταντῖνα* A. 19. *Κελτογαλατίας* RV, *Κελτικῆς Γαλατίας* A.

Ἄκυτος, νῆσος περὶ Κυδωνίαν τῆς Κρήτης. ὁ νησιώτης Ἀκύτιος.

Ἀκύφας, πόλις μία τῆς Δωρικῆς τετραπόλεως, ὡς Θεόπομπος.

Ἀκχηνοί, ἔθνος Ἀράβιον, ὡς Οὐράνιός φησι τετάρτῃ, ἐπὶ τῷ αὐχένι τῆς Ἐρυθρᾶς θαλάσσης.

Ἀλάβανδα, πόλις Καρίας, ἥ ποτε Ἀντιόχεια. ἐκλήθη δὲ ἀπὸ Ἀλαβάνδου, τοῦ εὐίππου, ὡς Χάραξ. ἔστι καὶ ἑτέρα πόλις Καρίας εὐτυχεστάτη ἀφ' ἧς ἡ παροιμία „Ἀλάβανδα Καρῶν εὐτυχεστάτη [πόλις]". κτίσμα δὲ Καρὸς ἦν, ἀπὸ τοῦ παιδὸς αὐτοῦ κληθεῖσα τοῦ γεννηθέντος ἀπὸ Καλλιρρόης τῆς Μαιάνδρου, μετὰ νίκην ἱππομαχικήν, καὶ κληθέντος Ἀλαβάνδου, ὅ ἐστι κατὰ τὴν Καρῶν φωνὴν ἱππόνικος. ἄλα γὰρ τὸν ἵππον, βάνδα δὲ τὴν νίκην καλοῦσιν. [ἔνθεν καὶ παρὰ Ῥωμαίοις βάνδον τὴν νίκην φασίν.] ὁ πολίτης Ἀλαβανδεὺς οὕτως ἀναγράφεται. λέγεται καὶ κτητικὸν Ἀλαβανδιακὸς καὶ Ἀλαβανδιακὸν σύγγραμμα, ἐξ οὗ καὶ Ἀλαβανδιακὸς σολοικισμός, ὡς Φιλόξενος τὴν Ὀδύσσειαν ἐξηγούμενος, ὅταν ἡ μὴ ἀπαγόρευσις ἀντὶ τῆς οὐ κεῖται, ὡς τὸ „μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων".

Ἀλάβαστρα, πόλις Φρυγίας. Ἡρόδοτος. ἐν ταύτῃ

---

3. τετράπολις RV. 8. τοῦ[τ] εὐίππους R. fort. τοῦτ' ἔστιν εὐίππου R. ἑτέρα] fallitur. 9. Καρίας R, Καρῶν AV. εὐτυχεστάτη fortasse delendum. 10. πόλις add. M. metricum enim est proverbium. cf. Exerc. philol. in Athen. Spec. 2 p. 23. κτίμα R. Καρὶς RV. ἀπὸ om. V. 11. αὐτῷ V. 13. ἀλλὰ V. γὰρ ΠRV, μὲν A. τὸν om. RV. 14. μάνδα RV. ἔνθα V. ineptissimum additamentum seclusit M. 15. 16. οὕτως ἀναγέγραπται] Nihil excidit; de οὕτως sic posito vide ne plura afferam s. v. Ἀλή. cf. Schaeferi Melet. crit. p. 14. 19. μὴ δι' ἐμὴν] Il. 15, 41. 21. Ἀλάβαστρα] Plurale est, non ut quibusdam visum est ἡ Ἀλαβάστρα. cf. Ptolem. 4, 5, 59 Ἀλαβαστρὰ (Ἀλάβαστρα) ἢ Ἀλαβάστρων πόλις. Plinius NH. 5, 9, 61. oppida Mercurii, Alabastron, Canum, i. e. ἀλαβάστρων, more Aegyptiaco, de quo supra p. 57 dictum est. singulari tamen Ἀλάβαστρον usus est Plinius 37, 10, 143 loco controverso. Φρυγίας] Imo Aegypti. error inde natus videtur

λίθος διάσημος, ὥς φησι Νικάνωρ. τὸ ἐθνικὸν Ἀλαβαστρίτης ὡς Ἀβδηρίτης.

Ἀλαβούριον, πόλις Συρίας. Χάραξ ὀγδόῃ χρονικῶν. τὸ ἐθνικὸν Ἀλαβούριος.

Ἀλαβών, πόλις [Σικελίας] καὶ ποταμός, ὡς Δημήτριος ἐν συνωνύμοις. κλίνεται Ἀλαβῶνος. τὸ ἐθνικὸν Ἀλαβώνιος ὡς Κολοφώνιος.

Ἀλαζών, ἔθνος ὅμορον τοῖς Σκύθαις. ὀξύνεται διὰ τὸ ἐπιθετικὸν καὶ φυλάττει τὸ ω πρὸς ἀντιδιαστολήν.

Ἁλαὶ Ἀραφηνίδες καὶ Ἁλαὶ Αἰξωνίδες, δῆμοι, ὁ μὲν τῆς Αἰγηίδος, ὁ δ' Αἰξωνεὺς τῆς Κεκροπίας φυλῆς. ἑκατέρου ὁ δημότης ἄνευ τοῦ ι Ἁλαεύς, καὶ Ἁλῆθεν καὶ Ἁλῆσι καὶ Ἁλήνδε. „Ξενόφαντος [Ἁλῆθεν] εἶπε". Τρύφων δ' ἐν παρωνύμοις „Ἁλαῖος τρισυλλάβως καὶ Ἁλαιαῖος τετρασυλλάβως ... ὡς Ληναῖος Ληναιεύς, Κρηταῖος Κρηταιεύς". ἀλλ' ἐν τοῖς ἑξῆς κατ' ἔθος Ἀττικὸν ἔνδειάν φησι τοῦ ι. ἔστι δὲ ὁ δῆμος τῆς Ἀραφηνίδος μεταξὺ Φηγέως τοῦ πρὸς Μα-

---

quod scriptor, quo usus erat Stephanus, Alabastritem lapidem etiam in Phrygia nasci dixerat. Ἡρόδοτος] Nihil de Alabastris Herodotus. suspicor Ἡρωδιανός, qui de accentu huius nominis Catholicorum libro undecimo agere potuit. 5. Σικελίας add. B. 8. ὀξύνεται] v. Arcad. p. 11, 19. 10. Ἁλαὶ Ἀραφηνίδες X, Ἀλαραφήνιδες AHV, Ἀχαραφανίδες Pp, Ἀλαιαφηνίδες R. καὶ ἅγιαι αἰξωνίδες H. 11. Κεκροπίδος W. Κεκροπίας dictum ut Ἀντιγονία et Δημητρία φυλή ap. schol. Aristid. p. 331 Dind. 13. Ἁλήνδε M, Ἅληθένδε A, Ἄληθες δέ HRV, Ἀληθέσδε Pp. correxit etiam Bergkius, qui sequentibus verbis Ἁλῆθεν interponendum esse vidit. Xenophantus fortasse is est quem commemorat Aristoph. Nub. 348. 14. τρισυλλάβως R, τρισύλλαβα V, τρισύλαβον A. Ἁλαῖος pro Ἁλαιαῖος V. Haec forma cuius nullum exemplum exstat, ad Ἁλαία revocanda, quod pro Ἁλή dici potuit, ut Ἐρυθραία pro Ἐρυθρά et similia. nec Ἁλαῖος de Halarum cive dici memini. 14. 15. τετρασυλλάβως R, τετρασύλλαβον A, τετρασσύλλαβα V. lacuna, quam indicavi, ita fere supplenda est: ἀπὸ δὲ τοῦ Ἁλαῖος λέγεται Ἁλαιεύς. 16. ἔνδειάν φησι τοῦ ι] I. e. Atticos dixisse Ἁλαεύς. utriusque formae exempla reperiuntur in titulis. malim vero ἐνδεῖν. cf. s. v. Μῶβα. 17. Φηγέως] Φηγοῦντος H, Φηγαιέως O. Müllerus Attic.

ραθῶνι καὶ Βραυρῶνος, αἱ δ' Αἰξωνίδες ἐγγὺς τοῦ ἄστεος. ἔστι καὶ λίμνη ἐκ θαλάσσης. „δασύνεται δὲ τὸ Ἁλαί, ὡς καὶ ἐν τῷ δράματι Μενάνδρου ἀπὸ τοῦ Ἀραφηνίσιν Ἁλαῖς διακεῖσθαι τὰ πράγματα, ὅς ἐστι τόπος Ἀττικῆς".

Ἁλαί, πόλισμα Βοιωτίας, Παυσανίας ἐνάτῳ. καὶ ἡ πρόσχωρος τῇ Ἀργείᾳ οὕτως Ἁλή λέγεται ὀξυτόνως. ἔστι καὶ ἑτέρα καταντίον Μάσητος. καὶ τῆς Κιλικίας δὲ πόλις πληθυντικῶς λεγομένη Ἁλαί. ἀπὸ δὲ τούτου Ἀλήιον πεδίον. [Ἁλαί] τὸ ἐθνικὸν Ἁλεύς, ἀφ' οὗ τὸ Ἁλήιος. ἔστι καὶ Ἁλικός κτητικὸν [τῆς] Κιλικίας, καὶ Ἁλική ἡ χώρα, καὶ χωρίον Ἁλικόν πρὸς τῇ Αὐγούστᾳ, καὶ ὄρος ὁμώνυμον.

Ἀλαλκομένιον, πόλις Βοιωτίας, ἀπὸ τοῦ Ἀλαλκομενέως, ὅς καὶ ἵδρυσε τὴν Ἀθηνᾶν Ἀλαλκομενηίδα. οὐ γὰρ παρὰ τὸ ἀλαλκεῖν, ὡς Ἀρίσταρχος· ἦν γὰρ ἂν καὶ Ἀλαλκηίς· ἀλλ' ὡς Θησεύς Θησηίς, οὕτως Ἀλαλκομενεύς Ἀλαλκομενηίς, ὥσπερ καὶ Βρισεύς Βρισηίς καὶ Νηρεύς Νηρηίς. „ἐκ τοῦ Ἀλαλκομενέως δὲ καὶ Ἀθηναΐδος τῆς Ἱπποβότου Γλαύκωπος, ἀφ' οὗ τὸ Γλαυκώπιον καὶ Γλαυκῶπις. καὶ Ζεὺς Πολιεύς καὶ Ἀθηνᾶ Πολιάς". τὸ ἐθνικὸν Ἀλαλκομενιεύς καὶ Ἀλαλ-

---

p. 221. quod quid sit non indicavit. recte sine dubio legitur Φηγέως, quo nomine locus appellari potuit fagorum ferax. cf. Cratinus apud Polluc. 10, 105. ἐπέδωκε βαλάνων ἄβυκα τῶν ἐκ Φηγέως. ita enim haec corrigenda esse monui Comic. graec. ed. min. p. VI.

1. Βραύρωνος X, Βαύρωνος libri. 3. Μενάνδρου] Fortasse addendum οὕτως ἐπιγεγραμμένῳ. cf. Com. gr. vol. 4 p. 73. postrema huius tmematis verba, ὅς (ὥς RV) ἐστι τόπος Ἀττικῆς, nisi ab aliena manu accesserunt, ostendere videntur omnia illa inde a δασύνεται grammatici alicuius, fortasse Herodiani, verba esse. Ἀραφινῖσι R. 5. ἐνάτῳ sive θ' ΠR, πέμπτῳ A. Pausaniae locus est 9, 24, 5. 6. γίνεται R. ὀξύτονον libri. 7. ἑτέρα] Imo eadem cum Argiva. 8. πληθυντικῶς V, '(πκῶς R, ἐπιθετικῶς A. 9. Ἁλήιος M, Ἁλήιον R, Ἁλήιον AV. 9. 10. Ἁλικός κτητικὸν τῆς Κιλικίας M, Ἅλικος κτῆμα Κιλικίας libri. 10. Ἁλίκη libri. 11. Ἁλικόν M, Ἅλικος libri. παρὰ V. 16. Νιρεύς Νιρηίς R. sequentia nescio cuius historici scriptoris verba sunt, sed lacera et lacunosa. cf. Naekius de Callim. Hec. cap. 6 p. 53 sqq.

κομένιος, καὶ Ἀλαλκομενία ἡ Ἀθηνᾶ ἐκεῖ τιμᾶται. τοῦ δ' Ἀλαλκομεναί Ἀλαλκομεναῖος.

Ἀλαμανοί, ἔθνος Γερμανοῖς πρόσχωρον.

Ἀλανός, ὄρος Σαρματίας.

Ἀλαρόδιοι, ἔθνος περὶ τὸν Πόντον, ὡς Ἡρόδοτός φησιν.

Ἄλβα, πόλις Ἰταλίας, ἣν ἔκτισαν οἱ ἀπὸ τοῦ Λαυινίου Λατῖνοι, Τρῶες ὄντες. ἔστι δ' ἡ Ἄλβα καθ' Ἑλλάδα λευκή. κλίνεται δὲ Ἄλβας, ὡς Χάραξ. ἔστι καὶ ποταμὸς Ἄλβας, ὁ νῦν λεγόμενος Τίβερις, Τιβερίνου τοῦ βασιλέως ἐν αὐτῷ θανόντος. λέγεται καὶ Ἄλβη. ὁ πολίτης Ἀλβανός, ὡς καὶ οἶνος Ἀλβανὸς ἡδύς τε καὶ καλός. λέγεται καὶ Ἀλβανὸς ἐν Ἰταλίᾳ τόπος ἐν ᾧ ἱεροποιίαι ἐγένοντο, καὶ λίμνη Ἀλβανίς. ἔστι καὶ Ἄλβη πόλις Κρήτης, τὸ ἐθνικὸν Ἀλβαῖος ὡς Θηβαῖος.

Ἀλβανία, χώρα πρὸς τοῖς ἀνατολικοῖς Ἴβηρσιν.

Ἀλβίων, νῆσος Πρεττανική, Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν Ἀλβιώνιος.

Ἄλγιδος, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ἀλγίδιος ὡς Τενέδιος Ἀράδιος.

Ἀλέα, πόλις Ἀρκαδίας, Θεόπομπος πεντηκοστῇ ἕκτῃ.

---

2. *Ἀλαλκομεναί* H, *Ἀλαλκομενή* libri. 3. *Ἀλαβανοί* V. 4. *Ἀλανός, ὄρος Σαρματίας*] Haec libri post sequens tmema habent. *Σαρματίας* Eust. Dion. 305, *Ἀρματίας* libri. 5. *Ἡρόδοτος*] 3, 94. 7, 79. 7. *Λαυινίου* R, *Λαβινίου* AV. 8. *ἔστι δ' ἡ* AR, *ἔστι δ'* V. 9. *Ἀλβάς* RV. *καὶ Χάραξ* V. *Ἀλβούλας* Cluverus. vid. Bernhardy ad Eustath. Dion. Per. 350. editum tuetur Georgius Syncell. Chron. ed. Bonn. p. 366. *ποταμοῦ τοῦ τότε μὲν Ἀλβᾶ καλουμένου, νῦν δὲ Τιβέρεως.* item Diodorus apud Phot. Bibl. p. 388, 19. 10. *Τιβερίου* ex nostro Eustath. in Dion. l. l. 11. *Ἀλβή* libri. 12. *ἡδύς τε καὶ ἁπαλός?* per se quidem recte dicitur *οἶνος καλός* (Eust. ad Hom. p. 346, 32), non item post *ἡδύς*. Albanum vinum omnium dulcissimum dicitur Dionysio Halic. apud Maium Exc. 2 p. 489. 13. *ὄρος* pro *τόπος* Cluverus. 14. *Ἄλβη* V, *Ἀλβή* AR. 16. *Πρεττανική* M, *Πραιττανική* RV, *Βρεττανική* A. *Μαρκιανός*] p. 15 Mill. pluribusque aliis locis. 18. *Ἄλγιδος* RV, *Ἀλγίδος* A.

ἔστι καὶ Θετταλίας. καὶ ἄλλη Καρπητανῶν ἔθνους Κελτικοῦ. ὁ πολίτης Ἀλεός ὁμοφώνως τῷ οἰκιστῇ ὡς Δάρδανος Δαναός. ἔστι καὶ ἄλλο ἐθνικὸν Ἀλεάτης ὡς τῆς Τεγέας Τεγεάτης. Ἡρωδιανὸς δέ φησιν „ἀλέα ἐπὶ τῆς θερμασίας καὶ ὁπότε δηλοῖ τὴν φυγὴν βαρύνεται, ἐπὶ δὲ τῆς Ἀθηνᾶς ὀξύνεται". ἐχρῆν δὲ καὶ τοῦτο βαρύνειν. ἀπὸ τοῦ Ἀλεοῦ λέγεται καὶ Ἀλεαῖος.

Ἀλεξάνδρειαι πόλεις ὀκτωκαίδεκα. πρώτη ἡ Αἰγυπτία ἤτοι Λίβυσσα, ὡς οἱ πολλοί, ἀπὸ Ἀλεξάνδρου τοῦ Φιλίππου. Ἰάσων δὲ ὁ τὸν βίον τῆς Ἑλλάδος γράψας ἐν δ' βιβλίῳ φησί „τὸν μὲν οὖν τόπον τῆς πόλεως ὄναρ ἐχρησμοδοτήθη οὕτως

νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε, Φάρον δέ ἑ κικλήσκουσιν.

ἐκέλευσε δὲ διαγράφειν τὸ σχῆμα τοὺς ἀρχιτέκτονας· οὐκ ἔχοντες δὲ λευκὴν γῆν ἀλφίτοις διέγραφον, ὄρνιθες δὲ καταπτάντες τὰ ἄλφιτα αἴφνης διήρπασαν· ταραχθεὶς οὖν Ἀλέξανδρος, οἱ μάντεις θαρρεῖν ἔλεγον· πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι". ταῦτα καὶ Ἀρριανός. ἐκλήθη δὲ Ῥακῶτις καὶ Φάρος καὶ Λεοντόπολις, διὰ τὸ τὴν τῆς Ὀλυμπιάδος γαστέρα ἐσφραγίσθαι λέοντος εἰκόνι. ἐλέγετο δὲ κατ' ἐξοχὴν πόλις καὶ πολῖται ἐξ αὐτοῦ, ὡς ἄστυ αἱ Ἀθῆναι καὶ

---

1. *Θετταλίας*] Harpocrat. p. 10. 17. *Ἀλέας· ἔστι δὲ πόλις Θεσσαλική*, ubi *Ἀλέα* scribendum. *Καρπητάνων* A, *Καρπιτανῶν* ΠV, *Καρπιτάνων* R. 2. *Ἀλεός*] Hoc in *μαλεός* corruptum videtur apud Arcad. p. 38, 18. *Δάρδανος Δαναός* M, *Δαρδανός Δαρδαναός* R, *Δάρδανος δαρδανός* V, *Δάρδανος* A. cf. s. v. *Ἀβαντίς* et *Τροία*. 5. *Ἀθηνᾶς*] De Minerva Alea cf. Müller Min. Pol. p. 7 et Com. Graec. vol. 4 p. 323. 6. *ἀπὸ τοῦ* RV, *ἀπὸ δὲ τοῦ* A. *Ἀλέου* R. fortasse *Ἀλέα*. nisi etiam *Ἀλεός* de urbe dictum est, a quo *Ἀλεαῖος* formari potuit ut *Φενεαῖος* a *Φενεός*. 8. *βιβλίον δ'* ante *Ἀλεξάνδρειαι* ΠR. *Ἀλεξάνδρειαι* R, *Ἀλεξάνδρεια* AV. cf. Eustathius ad Dionys. Per. 254: *ἀριθμοῦνται δὲ ἐν ταῖς ἱστορίαις Ἀλεξάνδρειαι ὑπὲρ τὰς ιή. τούτων μία καὶ αὕτη πόλις Λίβυσσα ἤτοι Αἰγυπτία*. 10. *ἐν δ' βιβλίῳ* PpRV, *ἐν τέσσαρσι βιβλίοις* A. 12. *νῆσος ἔπειτα*] Hom. Od. 4, 354. 18. *Ἀρριανός*] Exp. Alex. 3, 2. 19. *τὴν* om. Π. 21. *ἐξ αὐτοῦ* ΠRV, *ἐξ αὐτῆς* A.

ἀστοί καὶ ἀστικοί οἱ Ἀθηναῖοι [ὡς καὶ ἐπὶ Ῥώμης λέγεται οὔρψ]. ἐκλήθη δὲ ἐπὶ τῶν Ῥωμαϊκῶν Σεβαστή καὶ Ἰουλία καὶ Κλαυδία καὶ Δομετιανή καὶ Ἀλεξεντηρία. τῷ δὲ συνοικισμῷ τριακοντατεσσάρων ἐστὶ σταδίων τὸ μῆκος, ὀκτὼ δὲ τὸ πλάτος, ἡ δὲ ὅλη περίμετρος σταδίων ἑκατὸν δέκα. δευτέρα ἐστὶ πόλις Τρῳάς, ἐν ᾗ ἐγένετο Ἡγήμων ἐποποιός, ὃς ἔγραψε τὸν Λευκτρικὸν πόλεμον τῶν Θηβαίων καὶ Λακεδαιμονίων. περὶ ἧς Δημοσθένης ἐν τετάρτῳ Βιθυνιακῶν. τρίτη Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ, ἣν ἔκτισε πρὸ τῆς μεγάλης Ἀλεξανδρείας ἑπτακαίδεκα ὧν ἐτῶν. τετάρτη πόλις Ὠριτῶν, ἔθνους Ἰχθυοφάγων, κατὰ τὸν περίπλουν τῆς Ἰνδικῆς. πέμπτη ἐν τῇ Ὠπιανῇ, κατὰ τὴν Ἰνδικήν. ἕκτη πάλιν Ἰνδικῆς. ἑβδόμη ἐν Ἀρίοις, ἔθνει Παρθυαίων κατὰ τὴν Ἰνδικήν. ὀγδόη τῆς Κιλικίας. ἐνάτη ἐν Κύπρῳ. δεκάτη πρὸς τῷ Λάτμῳ τῆς Καρίας, ἐν ᾗ Ἀδώνιον ἦν ἔχον Πραξιτέλους Ἀφροδίτην. ἑνδεκάτη κατὰ Βάκτρα. δωδεκάτη ἐν Ἀραχώτοις. τρισκαιδεκάτη ἐν Μαχαρήνῃ, ἣν παραρρεῖ ποταμὸς Μαξάτης. τεσσαρεσκαιδεκάτη παρὰ Σωριανοῖς, Ἰνδικῷ ἔθνει. πεντεκαιδεκάτη παρὰ τοῖς Ἀραχώτοις, ὁμοροῦσα τῇ Ἰνδικῇ. ἑκκαιδεκάτη κατὰ τὸν Μέλανα κόλπον. ἑπτακαιδεκάτη ἐν τῇ Σογδιανῇ παρὰ Παροπαμισάδαις. ὀκτωκαιδεκάτη ἐπὶ τοῦ Τανάιδος αὐτοῦ κτίσμα,

---

1. *ἀστυκοί* R. *ὡς καὶ ἐπὶ* X, *ὡς καὶ ὁ ἀπὸ* RV, *ὡς καὶ ἀπὸ* AΠ. 2. *οὔρψ*] *ἐπίουψ* ΠRV. *Ῥωμαίων* V. 3. *Ἀλεξεντηρία* PᵃV, *Ἀλλεξεντηρία* ΠR, *Ἀλλεγξεντηρία* Pᵇ, *Ἀλεξυντηρία* A. 4. *τριάκοντα* B. 4. 5. *δέκα δὲ τὸ πλάτος* B. 5. *σταδίων ὀγδοήκοντα* B. 9. *Μακεδονίᾳ* Salmasius, *Λακεδαιμονίᾳ* libri. 10. *Ὠριτῶν* BH, *Νεαρτῶν* libri; cf. Wesseling. ad Diod. Sic. vol. 2 p. 241. 12. *Ὠπιανῇ* H, *Ὀπιανῇ* libri, *Ὀξιανῇ* Freinshemius, *Ἀριανῇ* Salmasius. 17. *Μακαρίνῃ* R, *Μαξαρηνῇ* H, *Σακασηνῇ* Salmasius. *Μαξύρης* H, *Ἰαξάρτης* Salmasius. 18. *περὶ* V. *Σαριανοῖς* PᵇΠ, *Σαρισανοῖς* PᵃRV, *Ἀρειανοῖς* Freinshemius et Salmasius. 19. *ἑκκαιδεκάτη*] Haec non diversa ab ea quam tertio loco memoravit. 20. 21. *παρὰ Παροπαμισάδαις* H, *παρὰ Παροπαμισσάδαις* H, *παρ' ὀπανισάδαις* AΠRV. 21. *αὐτοῦ* [*Ἀλεξάνδρου*] *κτίσμα* Pp. nisi ea Salmasii coniectura est.

ὡς ἐν τῷ τρίτῳ Πτολεμαῖος ἀποφαίνεται. ἔστι καὶ τόπος ἐν τῇ Ἴδῃ τῇ Τρωικῇ Ἀλεξάνδρεια λεγόμενος, ἐν ᾧ φασι τὸν Πάριν διακρῖναι τὰς θεάς, ὡς Τιμοσθένης. τὸ ἐθνικὸν Ἀλεξανδρεύς ἐκ τῆς Ἀλεξάνδρου γενικῆς. τὸ θηλυκόν, ὡς ἀπὸ τοῦ Σινωπεύς Σινωπίς, οὕτως ἀπὸ τοῦ Ἀλεξανδρεύς Ἀλεξανδρίς. Δίδυμος δὲ παρατίθεται χρῆσιν ἐξ Ἐρατοσθένους τοῦ Ἀλεξανδρίτης. Φαβωρῖνος δὲ ἐν τῷ περὶ Κυρηναϊκῆς πόλεως Ἀλεξανδρειώτην φησὶ παρὰ τὴν... Ἀλεξανδρειανός, ὡς Μύρλεια Μυρλειανός, Ἡράκλεια Ἡρακλειανός. λέγεται καὶ Ἀλεξάνδρειος κτητικόν. Νικάνωρ δὲ ὁ Ἑρμείου ἐν τῇ περὶ Ἀλεξανδρείας πρώτῃ ταῦτα πάντα κυροῖ, καὶ τὸ Ἀλεξανδρῖνος καὶ τὸ Ἀλεξανδρίνης, οὐ μέντοι τὸ Ἀλεξανδρεώτης. ἔστι καὶ ἀλεξάνδρεια βοτάνη καὶ φυτόν, παρ' ἄλλοις δὲ ἀλεξάνδρα, ἐξ ἧς ἐστέφετο Ἀλέξανδρος ἐν τοῖς ἀγῶσι. τινὲς δὲ δανάην αὐτὴν καλοῦσιν, οἱ δὲ χαμαιδάφνην, οἱ δὲ ἐπιφυλλάκανθον ἢ φυλλόκαρπον.

Ἀλήσιον, τῆς Ἤλιδος „πέτρης τ' Ὠλενίης καὶ Ἀλησίου". ἀπὸ Ἀλησίου τοῦ Σκιλλοῦντος υἱοῦ. οὗτος δ' ἦν τῶν Ἱπποδαμείας μνηστήρων. οἱ δὲ Γαργηττοῦ υἱόν, ἕνα τῶν μετὰ Πέλοπος ἀφικομένων. τὸ ἐθνικὸν Ἀλησιεύς ὡς Βουπρασιεύς.

---

1. ἐν τῇ γ' Η. Πτομαῖος R. 3. Τιμοσθεσθένης V. 7. τοῦ RV, τὸ A. ἐν τῷ] Excidisse videtur numerus libri; non enim dubium est, quin haec ad Phavorini παντοδαπὰς ἱστορίας pertineant. 8. πάλης HRV. nec πόλεως nec πάλης expedio. [καὶ] παρὰ τὸ [Ἀλεξάνδρεια] Ἀλεξανδρειανός B. quod non sufficit. suspicari possis Ἀλεξανδρειώτης φησὶ παρὰ τὸ [Ἡρακλειώτης. καὶ] Ἀλεξανδρειανός. interim lacunam indicavi. 13. ἀλεξανδρεῖ V. 14. ἐστέφετο Ἀλέξανδρος] Haec spectant fortasse ad Euripidis Alexandrum. 15. δάφνην Salmasius. 15. 16. ἐπιφυλλάκανθον P^{a}Π, ἐπιφυλλάκεθον R, ἐπιφυλλάκαιθον AV, ἐπιφυλλόκαρπον X. 16. φυλλόκαρπον X, φυλλόκαπον AV, φυλόκαπον R. 17. Ἀλήσιος libri. τῆς] πόλις W. πέτρης τ' ex Homero (Il. 11, 757) repositum, πέτρης τῆς AR, πέτρης τῶν V. 17. 18. Ἀλεισίου codd. Homeri. 18. Σκιλλοῦντος Eustathius ad Hom. p. 304, 29, Σκηλοῦντος libri. δ' ἦν RV, ἦν A. 20. Βουπρασιεύς BH, Συμπρασιεύς libri.

ἔστι καὶ Ἀλήσιον πεδίον τῆς Ἠπείρου, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. ὁ δὲ Εὐφορίων „οὐ γὰρ Ἀλήσιοί ἐστε" φησίν.

Ἀλθαία, πόλις Ὀλκάδων. οἱ δὲ Ὀλκάδες ἔθνος Ἰβηρίας, πλησιόχωροι Καρχηδόνος, ἣν ἐκάλουν καὶ καινὴν πόλιν. τὸ ἐθνικὸν Ἀλθαῖος ὡς Αἰαῖος, ἢ Ἀλθαιάτης ἢ Ἀλθαιανός. εὕρομεν δὲ ἐν ταῖς συγγραφαῖς Δημητρίου Ἀλθαιέα.

Ἁλίαρτος, πόλις Βοιωτίας, ἀρσενικῶς. Ὅμηρος „ποιήενθ' Ἁλίαρτον". λέγεται δὲ κτισθῆναι ὑπὸ Ἁλιάρτου τοῦ Θερσάνδρου. τὸ ἐθνικὸν Ἁλιάρτιος ὡς Βοιώτιος. Ἀρμενίδας δ' ἐν τῷ ρ̄ Ἀρίαρτόν φησι.

Ἁλιεῖς, πόλις Ἀργολικῆς παραθαλασσία. τὸ ἐθνικὸν ὁμοίως, ὡς ἀπὸ τοῦ Ἁλιεύς. Ἔφορος ἐν τῷ ἕκτῳ ὅτι Τιρύνθιοί εἰσιν οὗτοι καὶ ἐξαναστάντες ἐβουλεύοντο οἰκεῖν τινα τόπον καὶ ἠρώτων τὸν θεόν. ἔχρησε δὲ οὕτως „ποῖ τυ λαβὼν καὶ ποῖ τυ καθίξω καὶ ποῖ τυ οἴκησιν ἔχων ἁλιέα τε κεκλῆσθαι". ἐλέγοντο δ' οὕτως διὰ τὸ πολλοὺς τῶν Ἑρμιονέων ἁλιευομένους κατὰ τοῦτο τὸ μέρος οἰκεῖν τῆς χώρας. τὸ θηλυκὸν Ἁλιάς. καὶ Ἁλικός τὸ κτητικόν.

---

1. 2. ἵνα πηγνυμένου πολλοῦ ἁλός PpΠR, ἵνα πήγνυται πολὺ ἅλας A. correxit M ex Eustathio ad Il. p. 304, 30: ἔστι δέ, φησίν (ὁ τὰ ἐθνικὰ γράψας), καὶ Ἁλήσιον Ἠπείρου παρώνυμον τῷ ἁλί, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. cf. idem p. 883, 3. 2. Ἀλήσυ ἐστε R. 4. Καρχηδόνος X, Καλχηδόνος libri. 5. Ἀλθαιαῖος? 6. συγγραφαῖς PpΠRV, γραφαῖς A. Δημήτριον RV. Ἀλθαιλέα Π. 7. Ἄλαρτος R. ἀρσενικῶς RV et Eustath. ad Hom. p. 268, 27, ἀρσενικόν A. Ὅμηρος] Il. 2, 503. 9. Θεσάνδρου V. ὡς Βηρύτιος? 11. Ἀργολικῆς B, Λακωνικῆς libri. 12. 13. Τιρύνθιοί εἰσιν οὗτοι R, οὗτοι Τιρύνθιοί εἰσι AV. 14. ποῖ τυ λαβὼν] Primum oraculi versum ita redintegrare licet [δίζῃ] ποῖ τυ λαβὼν [ἄξω] καὶ ποῖ τυ καθίξω. post hunc unus vel duo versus videntur excidisse, quibus locus novae coloniae accuratius sed oraculorum more per ambages (ut apud Diod. Sic. Exc. Vat. 13) indicabatur. quae proxime sequuntur post καθίξω verba καὶ ποῖ τυ ex superioribus temere sunt repetita. postrema in hunc fere modum deus cecinerat ἔνθα τὺ τὰν οἴκησιν ἔχειν ἁλιῆ τε (vel ἔχων ἁλιῆα) κεκλῆσθαι. 18. Ἁλίας libri. v. Thucyd. 2, 56. cui 1, 105 reddendum Ἁλιᾶς i. e. Ἁλιέας. cf. Dindorf. praef. Aesch. ed. Taeubn. p. 4.

Ἀλιζῶνες, ἔθνος. Ὅμηρος „αὐτὰρ Ἀλιζώνων“. Ἔφορος οἰκῆσαί φησι τοὺς Ἀλιζῶνας τὴν παραλίαν τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας κειμένην. ἴσως δὲ διὰ τὸ ὑπερήφανον τοῦ πλούτου κατ' ἐναλλαγὴν τοῦ ᾱ εἰς ῑ οὕτως ὠνομάσθησαν.

Ἁλικαρνασσός, πόλις Καρίας. ... Ἄνθης, φασίν, ... ἀπὸ τοῦ ἀλὶ περιέχεσθαι τὴν Καρίαν. αὐτὸς δὲ ὁ Ἄνθης ἐκ Τροιζῆνος μετῴκησε, λαβὼν τὴν Δύμαιναν φυλήν, ὡς Καλλίμαχος. ἢ ἀπὸ τοῦ νάσασθαι αὐτὸν ἀπὸ Τροιζῆνος, ὡς Ἀπολλόδωρος. ἐκαλεῖτο δὲ Ἰσθμός καὶ Ζεφύριον, ὡς Φίλων, καὶ Ζεφυρία. λέγεται ἀρσενικῶς. ὁ πολίτης Ἁλικαρνασσεὺς ὡς Ἀψυρτεύς, Ἀνδροτίων δ' ἐν τρίτῃ Ἀτθίδος Ἁλικαρνάσσιος φησί. καὶ Ἁλικαρνασσίς θηλυκόν, καὶ Ἁλικαρνασσοῖ τὸ τοπικόν, καὶ ἐκ τόπου Ἁλικαρνασσόθεν.

Ἁλικύαι, πόλις Σικελίας. Θεόπομπος. μεταξὺ κειμένη Ἐντέλλης καὶ Λιλυβαίου. τὸ ἐθνικὸν Ἁλικυαῖος καὶ Ἁλικυαία.

Ἁλίκυρνα, κώμη Ἀκαρνανίας. Στράβων. ὁ οἰκήτωρ Ἁλικυρναῖος, ὥσπερ Μηκύβερνα Μηκυβερναῖος.

Ἁλιμοῦς, δῆμος τῆς Λεοντίδος φυλῆς. Καλλίμαχος δὲ

---

1. Ὅμηρος] Il. 2, 856. 2. τὴν παραλίαν τὴν add. RV et Eustath. ad Hom. p. 363, 40. ad sequentia, quae luxata sunt, cf. Epimer. Hom. p. 78, 28: Ἐπαφρόδιτος δὲ ἀλαζονίας (leg. ἀλαζόνας) τινὰς εἶναι αὐτοὺς ὑπὸ τῆς εὐδαιμονίας τῆς χώρας ἐπηρμένους, τοῦ ᾱ εἰς τὸ ῑ τραπέντος. 3. Μακαρίας H. 6. φασίν scripsi et indicavi lacunas ita fere explendas [ἦν] Ἄνθης, φασίν, [ὠνόμασεν] ἀπὸ τοῦ. libri Ἄνθης φησίν. imperite Anthen dici existimant hymnographum a Plutarcho Mus. p. 1132 a. memoratum; nec immunis erroris Welckerus Opusc. 1 p. 32. potest vero φησίν retineri si scriptoris nomen excidisse statuas, qui illam nominis Ἁλικαρνασσός originationem tradiderit. 7. ἀλὶ Salmasius, ἀλίᾳ libri. οὗτος? 7. 8. Τροίζηνος V. 8. μετῴκησε M, μετῴκισε libri. Δύμαιναν HR, Δυμάναν V, Δύμαναν A. 10. Ζεφύριον R, Ζεφυρίων V, Ζεφυρία A. 12. δ' ἐν RV, ἐν A. Ἁλικαρνάσσιος RV, Ἁλικαρνάσιος A. 15. Ἁλικύα R. 16. Ἐντέλλης X, Ἐντελλῆς R, Ἐντελῆς AV. 17. Στράβων] 10 p. 459. 19. Ἁλιμοῦς om. R.

πόλιν ἡγεῖται. ὁ δημότης Ἁλιμούσιος. τὰ τοπικὰ Ἁλιμουντόθεν Ἁλιμοῦντάδε Ἁλιμοῦντι.

Ἄλινδα, πόλις Καρίας, ὡς Πολυίστωρ. ὁ πολίτης Ἀλινδεύς.

Ἀλίμαλα, χωρίον Λυκίας. Καπίτων ἐν Ἰσαυρικῶν δευτέρῳ. οἱ ἐνοικοῦντες Ἀλιμαλεῖς.

Ἀλίνδοια, πόλις Μακεδονίας, ὡς Βέροια. τὸ ἐθνικὸν Ἀλινδοιαῖος ὡς Βεροιαῖος.

Ἁλίσαρνα, πόλις τῆς Τρωάδος χώρας, Θεόπομπος. τὸ ἐθνικὸν ὁ αὐτὸς Ἁλισαρναῖος.

Ἀλίφηρα, πόλις Ἀρκαδίας, ἀπὸ Λυκάονος παιδὸς Ἀλιφήρου. ὁ πολίτης Ἀλιφηρεύς. εὕρηται ἡ παραλήγουσα διὰ διφθόγγου.

Ἀλκομεναί, πόλις ἐν Ἰθάκῃ τῇ νήσῳ, ἀφ' ἧς Ἀλκομενεὺς ὁ Ὀδυσσεύς. ἔστι καὶ τῆς Ἰλλυρίας πόλις. ὁ πολίτης ἀμφοτέρων Ἀλκομενεύς καὶ τὸ θηλυκὸν Ἀλκομένεια.

Ἀλλαλία, πόλις ἐν Κύρνῳ τῇ νήσῳ, κτίσμα Φωκαέων, ὡς Ἡρόδοτος. τὸ ἐθνικὸν Ἀλλαλιαῖος.

---

1. ἡγεῖτο R. 1. 2. Ἀλιμουντάθεν RV. 3. Ἄλινδα Salmasius. Ἄλινα libri. nisi locus luxatus est et in hunc modum supplendus: Ἄλινα, [νῆσος Λυκίας. Ἄλινδα,] πόλις Καρίας. de insula Ἄλινα vide infra s. v. Κρύα. 4. Ἀλινδεύς X, Ἀλινδρεύς libri.
5. Ἀλίμαλα aut corruptum est aut hoc tmema ante Ἁλιμοῦς transponendum. ἐν add. RV. Ἰσαυρικῷ ΠV. 9. τῆς add. ΠRV. 11. 12. Ἀλίφηρα Ἀλιφήρου et Ἀλιφηρεύς BH, Ἀλίφειρα Ἀλιφείρου et Ἀλιφειρεύς libri. 12. 13. διὰ διφθόγγου] δίφθογγος PpRV. cf. ad p. 2, 12. 14. Ἀλκομεναί X, Ἀλκόμεναι AV, Ἀλκόμενα R. vera huius nominis scriptura fuit haud dubie Ἀλαλκομεναί, qua forma de Ithacensi sive urbe sive insula utitur Plutarchus Quaest. gr. p. 301 c. de Illyrica Strabo 7 p. 327. eandem habes apud Stephanum s. v. Ἀκεσαμεναί et Ἀλαλκομένιον. quod Ligorius, monente Holstenio, dicit se numum vidisse cum epigraphe ΑΛΚΟΜΕΝΑΙΩΝ, non credam nisi ipse numum videro. itaque nescio an hoc tmema rectius ante Ἀλαλκομένιον transponatur. mutarunt ordinem librarii falsa scriptura decepti. 14. 15. ὁ Ἀλκομενεὺς Ὀδυσσεύς ἐστι. καὶ RV.
17. Ἀλλαλία V, Ἀλλάλια A, Ἀλλάλεια R. Φωκαέων R, Φωκαέως V, Φωκέων A, Φωκυέων Π. 18. Ἡρόδοτος] 1, 165. Ἀλλαλιαῖος

Ἀλλάντη, πόλις Μακεδονίας καὶ Ἀρκαδίας. Θεόπομπος δ' ἐν πρώτῳ Φιλιππικῶν Ἀλλάντιον αὐτὴν εἶπε. τὸ ἐθνικὸν Ἀλλάντιος ὡς Παλλάντιος.

Ἀλλαρία, πόλις τῆς Κρήτης, Πολύβιος τρισκαιδεκάτῃ. τὸ ἐθνικὸν Ἀλλαριάτης, ὡς αὐτός φησιν.

Ἀλλόβρυγες, ἔθνος δυνατώτατον Γαλατικόν, ὡς Ἀπολλόδωρος. Πολύβιος δὲ διὰ τοῦ ῑ αὐτοὺς καλεῖ Ἀλλόβριγας, Χάραξ δὲ διὰ τοῦ ō μικροῦ Ἀλλόβρογας, οἱ πλείους δὲ διὰ τοῦ ῑ. ὁ δὲ τεχνικός „Ἀλλόβροξ, ἔθνος Γαλατικόν".

Ἀλμήνη, πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, ὡς Ἀρριανός. τὸ ἐθνικὸν Ἀλμήνιος ὡς Παλλήνιος, ἢ Ἀλμηνίτης ὡς Σινωπίτης.

Ἄλμος, πόλις Βοιωτίας, ὡς Ἑλλάνικος· καὶ Σάλμον αὐτήν φησι κακῶς. τὸ ἐθνικὸν ἀπὸ τῆς Ἄλμωνος γενικῆς Ἀλμώνιος καὶ Ἀλμωνία.

Ἀλμωπία, χώρα τῆς Μακεδονίας, ἣν ᾤκουν Ἄλμωπες. Λυκόφρων „ἐκ δ' Ἀλμωπίας παλιμπλανήτην δέξεται Τυρσηνία"

RV, Ἀλαλιαῖος A. 3. Παλάντιος P^a, Παλλήνιος P^b, Παλλήνιος (κυ suprascr.) R, Κυπαλήνιος V, Κυλλήνιος A. 4. Ἀλλάρια P^a, Ἀλλάριον P^bRV, Ἀλλώρια A. Πολύβιος RV, Πο̂ Π, πολυίστωρ A, quod ferri non potest, quoniam nec Cretica scripsit Alexander, nec, si scripsisset, tantae molis opus fuisse credibile est, ut quattuordecim libris constiterit, cum ne Aegyptiaca quidem vel Libyca plus quam tribus libris explicuerit. 5. Ἀλλαριώτης? ita certe vocantur in titulo apud Boeckh. 2557. 7. αὐτὴν V. 8. μικροῦ om. R. 9. τεχνίτης (κός suprascr.) V. 10. Ἀλμήνη] Hoc lemma libri post Ἀλλαρία habent. Ἀλμήνη (Ἀλλήνη e corr. R) autem non diversa est ab ea, quae infra Ἀρμένη et Ἀρμήνη dicitur. similiter, ut in urbium nominibus consistam, fluctuant Ἁρίαρτος et Ἁλίαρτος, Ἀλερία et Ἀλαλία, Ἀνεμώλεια et Ἀνεμώρεια, Ἀμοργός et Ἄμολγος (Arcad. p. 47, 17 et Const. Them. ed. Bonn. p. 43, 12), Δυρράχιον et Δυλλάχιον (Procop. de aedif. p. 277, 28), Ἄζιρις et Ἄζιλις, Ἄθριβις et Ἄθλιβις, Ἀρβάνιος et Ἀλβάνιος, Ὀρβηλός et Ὀλβηλός (Lobeck. Path. p. 110), Τύρος et Τύλος, Δέρβη et Δέλβεια, Βαρβαλισσός et Βαρβαρισσός, Βέλγη (Hesych.) et Βέργη. 13. Ἄλμος RV, Ἄλμων A. cf. s. v. Σάλμος. 17. Λυκόφρων] vs. 1238. παλιμπλανίτην R. Τυρσηνίων PpV.

περὶ Αἰνείου λέγων. ἐκλήθη δὲ ἀπὸ Ἄλμωπος γίγαντος. τὸ ἐθνικὸν Ἄλμωψ καὶ Ἀλμώπιος καὶ Ἀλμωπία. ἀπὸ Ἄλμωπος τοῦ Ποσειδῶνος καὶ Ἕλλης τῆς Ἀθάμαντος.

Ἁλόννησος, περὶ ἧς Φίλιππος καὶ Ἀθηναῖοι διεφέροντο. τὸ ἐθνικὸν Ἁλοννήσιος ὡς Προκοννήσιος, καὶ Ἁλοννησίτης ὡς Χερρονησίτης. ἔστι καὶ ἑτέρα τῆς Ἰωνίας. τὸ ἐθνικὸν ταὐτόν.

Ἀλόπη, πόλις Θεσσαλίας, ἀπὸ Ἀλόπης τῆς Κερκυόνος ὡς Φερεκύδης, ἢ τῆς Ἄκτορος ὡς Φίλων. ἔστι δὲ μεταξὺ Λαρίσσης τῆς Κρεμαστῆς καὶ Ἐχίνου. δευτέρα ἐστὶ καὶ τῆς Ἀττικῆς Ἀλόπη. τρίτη Πόντου, ἀφ' ἧς Πενθεσίλεια. τετάρτη περὶ Εὔβοιαν. πέμπτη περὶ Δελφούς. ἕκτη περὶ Λοκρίδα. Ὅμηρος τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας παράλιόν φησιν „ἐλθόντ' ἐξ Ἀλόπης, ὅθ' Ἀμαζονίδων γένος ἐστίν". ὁ πολίτης κατὰ τέχνην Ἀλοπίτης. ἔστι δὲ καὶ Ἀλοπεύς.

Ἅλος, πόλις Ἀχαΐας. καὶ Φθιώτιδος ὑπὸ τῷ πέρατι τῆς Ὄθρυος. ἀπέχει δὲ Ἴτωνος ὡς ἑξήκοντα σταδίους. κτίσαι

---

1. ἀπὸ Ἄλμωπος deleri et reliqua post γίγαντος transponi vult B. 2. 3. Ἄλμων πόλιν pro Ἄλμωπος V. 4. Ἀλόνησος libri. 5. Ἀλονήσιος libri. Προκοννήσιος M, Προκονήσιος B, Προικονήσιος libri. 5. 6. Ἁλοννησίτης R, Ἁλονησίτης A. 9. Φίλων M, Φιλωνίδης libri. 10. 11. ἔστι τῆς Ἀττικῆς R. cf. Hesychius Ἀλόπη· πόλις ἐν Ἄργει (Πελασγικῷ) καὶ κρήνη ἐν Ἐλευσῖνι. 11. Πεντεσίλεια RV. 12. κατὰ Εὔβοιαν B, ut eadem sit cum sexta. 13. Ὅμηρος] v. Strabo 12 p. 550. cll. Heynio ad Il. 2, 856. 14. ἐλθόντες V. Λυδίας M, Λυκίας libri. cf. s. v. Ἀλιζῶνες. eodem errore apud Themistagoram in Crameri An. Ox. vol. 1 p. 80, 11. legitur κατὰ τὴν Ἀλόπην τὴν νῦν Λυκίαν καλουμένην τὴν πρὸς τῇ Ἐφέσῳ. ipsam Ephesum Ἀλόπη vocatam fuisse constat ex Hygini fab. 14. 15. Ἀλυπεύς ΠV. 16. Φθιώτιδος ὑπάρχει τῷ V, unde Vossius conicit ὑπ' ἀρκτείῳ cll. Strab. 9 p. 433: ὁ δὲ Φθιωτικὸς Ἅλος ὑπὸ τῷ πέρατι κεῖται τῆς Ὄθρυος ὄρους πρὸς ἄρκτον κειμένου τῇ Φθιώτιδι. enimvero illud ὑπάρχει ex male intellecto ὑπό praepositionis compendio natum videtur, ut pag. 78, 5 et s. v. Ἀραχωσία aliisque locis. 17. τῆς Ὄθρυος ΠV, τῆς Ὀθρύος AR, τοῦ Ὀθρύος X.

δ' αὐτὴν Ἀθάμαντα ἀπὸ τῆς συμβάσης αὐτῷ ἄλης. Θέων δέ φησιν ὅτι Ἅλος θεράπαινα ἦν Ἀθάμαντος ἡ μηνύσασα τὴν Ἰνὼ φρύγειν τὰ σπέρματα, ἧς εἰς τιμὴν τὴν πόλιν ὠνόμασε. δύο δὲ Παρμενίσκος Ἅλους ἱστορεῖ, τὸν μὲν Μαλιακὸν ὑπὸ Ἀχιλλεῖ, τὸν δὲ ὑπὸ Πρωτεσιλάῳ. λέγεται δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς. τὸ ἐθνικὸν Ἁλεύς, Σοφοκλῆς δὲ Ἀλουσίους, τινὲς δὲ τῶν γλωσσογράφων Ἀλίους.

Ἄλπεια, ἠιὼν πρὸς ἄρκτον τῆς Τυρρηνίδος καὶ Ἰονίας θαλάσσης. οἱ κατοικοῦντες Ἄλπειοι. καὶ Ἄλπεις καὶ Ἄλπεια ὄρη καὶ Ἄλβια. διχῇ γὰρ ἡ γραφή, καὶ διὰ τοῦ π καὶ διὰ τοῦ β. καὶ Ἀλβία ἡ χώρα διὰ τοῦ β.

Ἀλπηνοί, κώμη πλησίον Θερμοπυλῶν. Ἡρόδοτος. ἔστι καὶ μητρόπολις Λοκρῶν. τὸ ἐθνικὸν ὁμοίως Ἀλπηνοί.

Ἄλπωνος, πόλις καὶ ὄρος ἐν Μακεδονίᾳ, ὡς Εὐφορίων. ὁ πολίτης Ἀλπώνιος, ἡ χώρα καὶ ἡ γυνὴ Ἀλπωνία. τινὲς δὲ Θετταλίας αὐτήν φασιν. ἔστι καὶ ἄλλη Λοκρῶν τῶν Ἐπικνημιδίων, ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας.

Ἄλτος, χωρίον πλησίον Θεσσαλονίκης, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. τὸ ἐθνικὸν Ἄλτιος.

---

1. forsan Ἀθάμαντα [καὶ ὀνομάσαι] ἀπό. αὐτῷ συμβάσης RV. 2. 3. τὴν Ἰνὼ A et Eustathius ad Hom. p. 320, 8, τῇ Ἰνοῖ ΠRV. 3. εἰς τὴν τιμὴν R. ὠνόμασε RV, ὠνόμασαν A. 4. Ἄλος RV. Μαλιακὸν V, Παλλιακὸν Π, Μαλλιακὸν AR. 5. ὑπὸ Πρωτεσιλάου R, ὑπάρχειν Πρωτεσιλάου V, ὑπὰρ τ Πρωτεσιλάου Pp, ὑπάρκτειον Πρωτεσιλάου Vossius. 7. γλωσσοφάγων V. Ἀλίοις RV. 8. κιὼν PpRV. in edito ἠιών iure haeserunt interpretes. fortasse igitur κίων reponendum, quo nomine scriptor, cuius verba delibavit sive Stephanus sive epitomator, uti potuit eodem iure quo iisdem de montibus scripsit Scymnus Per. 188 sq. τούτων (Κελτῶν) δὲ κεῖται λεγομένη τις ἐσχάτη στήλη βόρειος. ἔστι δ' ὑψηλὴ πάνυ εἰς κυματῶδες πέλαγος ἀνατείνουσ' ἄκραν (ἄκρα?). οἰκοῦσι τῆς στήλης δὲ τοὺς ἐγγὺς τόπους Κελτῶν ὅσοι λήγουσιν ὄντες ἔσχατοι Ἑνετοί κτλ. Τυρηννίδος V. Ἰωνίας libri. 11. Ἀλπία R. 12. Ἡρόδοτος] 7, 176. 13. δὲ pro καὶ? 15. Σαλπώνιος V. 17. Δευκαλιωνίας libri. 18. Ἀλτός libri. χωρίον add. RV. 19. Μακεδονίᾳ libri.

Ἀλύαττα, χωρίον Βιθυνίας, ἀπὸ Ἀλυάττου κρατήσαντος τὸν τόπον. ὁ οἰκήτωρ Ἀλυαττηνός.

Ἀλύβας. τοῦτον οἱ μὲν Μεταπόντιον ἤκουσαν τῆς Ἰταλίας, τινὲς δὲ Θρᾴκης πόλιν, ὡς Ὅμηρος. τὸ ἐθνικὸν Ἀλυβάντιος.

Ἀλύβη. „τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη". παρὰ ταύτην ἐλθεῖν Ῥέα λέγεται Δία φέρουσα νεογνόν. οἱ ταύτην οἰκοῦντες Ἄλυβες, ἀντὶ τῶν ἀργυρείων μετάλλων σιδηρᾶ ἔχοντες. οἱ νῦν Χαλδαῖοι, ὡς Στράβων. ἔστι καὶ Ἀλυβεὺς καὶ Ἀλυβηίς. Εὐφορίων ἐν Ἀραῖς ἢ Ποτηριοκλέπτῃ „ὅστις μεῦ κελέβην Ἀλυβηίδα μοῦνος ἀπηύρα" τουτέστι τὴν ἀργυρᾶν, διὰ τὰ μέταλλα. Ἑλλάνικος δέ φησι λίμνην εἶναι Ποντικήν. τὸ ἐθνικὸν Ἀλυβαῖος.

Ἀλύζεια, πόλις Ἀκαρνανίας, ἀπὸ τοῦ παιδὸς Ἰκαρίου κληθεῖσα Ἀλύζου. τὸ ἐθνικὸν Ἀλυζεύς καὶ Ἀλυζαῖος.

Ἄλυκος, πόλις Πελοποννήσου. „εἰς Ἀσίνην Ἄλυκόν τε καὶ ἂμ πόλιν Ἑρμιονήων" Καλλίμαχος. τὸ ἐθνικὸν Ἀλύκιος.

Ἀλύχμη, ... ἐν ᾗ τιμᾶται Ἀλύχμιος Ἑρμῆς. τὸ ἐθνικόν, ὡς τοῦ Βοίβη Βοίβιος Ἀκτή Ἄκτιος, οὕτως καὶ Ἀλύχμιος.

Ἀλώιον, πόλις Θεσσαλίας ἐπὶ τῶν Τέμπεων, ἣν ἔκτισαν

---

2. τοῦ τόπου R. 4. πόλεως V. ὡς Ὅμηρος (Od. 24, 303) add. PpRV. 6. τηλόθεν] Hom. Il. 2, 857. ὅθεν Homerus, ὥστ' RV, ὅθ' A. 7. Ῥέα λέγεται Δία φέρουσα Salmasius, Ῥέα τε Δία φέρουσα V, Ῥέα λε Δία φέρουσα P^a, Ῥέα δὲ Δία φέρουσα P^b, Ῥέα τὸν Δία φέρουσαν R, Ῥέα τε Δία φέρουσαν A.
9. Χαλδαῖοι e Strabone 12 p. 549 correctum, Χαλαῖοι libri, Χαλύβαι H, Χάλδοι B, eandem correctionem Straboni adhibens.
10. ποτιροκλέπτη R. 11. μευ R, μὲν AV. κελέβην Pp, κέλβην RV, κέλκην A. ἀπούρα X. 13. [καὶ] Ἀλυβαῖος? 14. Ἰκαρίου M, Ἰκάρου libri. 15. Ἀλυζέως pro Ἀλύζου B. Ἀλυζαῖος] Malim Ἀλύζειος, quod habes apud Boeckh. tit. 1793. 17. Ἑρμιονίων ante B. 18. Ἀλύχαν (μη supra scr.) R, Ἀλυχαν V, Ἀλύμνη [πόλις μεγάλης Φρυγίας] B. Ἀλύχμιος PpRV, Ἄλυχμιος A. 19. Βοίβιος B, Βοίβιος R, Βοίβαιος AV. Ἀλύμνιος B.

οἱ Ἀλωάδαι καθελόντες τοὺς Θρᾷκας. ὡς εἶναι αὐτὴν ἀπὸ Ἀλωέως. τὸ ἐθνικὸν Ἀλωεύς.

Ἀλώνη, νῆσος πρὸς τῇ Κυζίκῳ, ἥτις καὶ Νεβρὶς καὶ Προχώνη ἐκαλεῖτο. τὸ ἐθνικὸν Ἀλωνήσιος. ὠνομάσθη δὲ οὕτως, ὁπότε οἱ ἐποικοῦντες τὴν τῶν ἁλῶν ἐργασίαν ἐπενόησαν. τινὲς δὲ αὐτὴν εἶπον πόλιν Παφλαγονίας.

Ἀλωνίς, νῆσος καὶ πόλις Μασσαλίας, ὡς Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Ἀλωνίτης.

Ἀλωπεκή, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Ἀλωπεκεύς. τὰ τοπικὰ Ἀλωπεκῆθεν Ἀλωπεκήνδε Ἀλωπεκῆσι.

Ἀλωπεκία, νῆσος. Στράβων ἑνδεκάτῃ. τὸ ἐθνικὸν Ἀλωπεκιεὺς ὡς Οἰχαλιεὺς τῆς Οἰχαλίας.

Ἀλωπεκόννησος, πόλις τῆς Ἑλλησποντίας χερρονήσου, κατὰ χρησμὸν κτισθεῖσα, κελεύσαντα, ἔνθα ἂν σκύλακας ἴδωσιν ἀλώπεκος, ἐκεῖ πόλιν οἰκίσαι. τὸ ἐθνικὸν Ἀλωπεκοννήσιος. ἐκλήθησαν δὲ ὅτι, ὅτε ἔκτιζον τὴν πόλιν, ἀλώπηξ σκύμνον ἄλλοθεν φέρουσα κατετίθετο.

Ἄλωρος, πόλις Μακεδονίας. ἔστι δὲ τὸ μυχαίτατον τοῦ Θερμαίου κόλπου. τὸ ἐθνικὸν Ἀλωρίτης καὶ Ἀλωρῖτις.

Ἀμάδοκοι, Σκυθικὸν ἔθνος, Ἑλλάνικος ἐν Σκυθικοῖς. ἡ γῆ δὲ τούτων Ἀμαδόκιον.

Ἀμαζόνειον, τόπος ἐν τῇ Ἀττικῇ, ἔνθα Θησεὺς τῶν Ἀμαζόνων ἐκράτησεν. οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη, ἐν ᾗ αἱ Ἀμαζόνες ᾤκουν. Ἑκαταῖος δ' ἐν τοῖς Αἰολικοῖς διὰ τοῦ ι γράφει τὸ ὄνομα. ἔστι καὶ ἄλλο διὰ τοῦ κ Ἀμαζονικόν ἐν

---

1. ἑλόντες R. 2. Ἀλωιεύς B. 3. Νεβρίς M, Νευρίς libri. cf. Plinius NH. 5, 44 et schol. Apollonii Rh. 2, 279. 5. ἐπιοικοῦντες V. 9. Ἀλωπέκη libri. 10. Ἀλωπεκῆδε Ἀλωπεκῆς ante B. 11. ἑνδεκάτῃ] p. 493. 12. Ἀλωπεκιεύς V, Ἀλωπεκεύς AR. 13. Ἀλωπεκόνησος libri. χερρονήσου R. 14. κτισθεῖσα V, χρησθεῖσα AR. κελεύσαντος ΠRV. fortasse excidit τοῦ θεοῦ. cf. Epimer. Hom. p. 80, 5. 15. οἰκῆσαι R. Ἀλωπεκοννήσιος R, Ἀλωπεκονήσιος AV. 16. ὅτε om. V. 17. ἄλλοθι R. 18. δὲ [κατὰ] τὸ? 19. Θερμαίου BH, Ἑρμαίου libri.

Βοιωτίᾳ. ἔστι καὶ ἐν Βιθυνίᾳ Μαζαῖον κατὰ παραφθοράν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς. τὸ ἐθνικὸν Μαζαεύς ὡς Μιδαεύς καὶ Δορυλαεύς.

Ἀμαζόνες, ἔθνος γυναικεῖον πρὸς τῷ Θερμώδοντι, ὡς Ἔφορος, ἃς νῦν Σαυροματίδας καλοῦσι. „φασὶ δὲ περὶ αὐτῶν ὅτι τῇ φύσει τῶν ἀνδρῶν διαφέροιεν, αἰτιώμενοι τοῦ τόπου τὴν κρᾶσιν, ὡς γεννᾶν εἰωθότος τὰ θήλεα σώματα ἰσχυρότερα καὶ μείζω τῶν ἀρσενικῶν. ἐγὼ δὲ φυσικὸν νομίζω τὰ κοινὰ πάντων πάθη, ὥστ' ἄλογος ἡ αἰτία. πιθανωτέρα δ' ἣν φασιν οἱ πλησιόχωροι. οἱ γὰρ Σαυρομάται ἐξ ἀρχῆς ἐπὶ τὴν Εὐρώπην στρατεύσαντες καὶ πάντες διαφθαρέντες, τὰς γυναῖκας οὔσας μόνας .... καὶ αὐξησάντων τῶν ἀρρένων, στασιάσαι πρὸς τὰς γυναῖκας, ὑπερεχουσῶν δὲ τῶν γυναικῶν καταφυγεῖν τοὺς ἄρρενας εἰς δασύν τινα τόπον καὶ ἀπολέσθαι. ·φοβηθεῖσαι δὲ μή πως ἀπὸ τῶν νεωτέρων τιμωρία τις γένηται, δόγμα ἐποίησαν ὥστε τὰ μέλη συντρῖψαι καὶ χωλοὺς πάντας ποιῆσαι". ἐκαλοῦντο δὲ καὶ Σαυροπατίδες παρὰ τὸ σαύρας πατεῖν καὶ ἐσθίειν, ἢ [Σαυροματίδες] διὰ τὸ ἐν τῇ Σαυροματικῇ Σκυθίᾳ οἰκεῖν. ἔστι καὶ Ἀμαζονία πόλις Μεσσαπίας. λέγεται καὶ Ἀμαζών ἀρσενικῶς.

---

1. *Μαζάειον?* 2. *Μαζαεύς* Salmasius, *Μαζαιεύς* libri. 3. *Μιδαεύς* R, *Μιδακεύς* AV. *Δορυλαεύς* R, *Δορυαλεύς* AV.
5. *Ἔφορος* X, *Εὔφορος* libri. *Σαυροπατίδας* *Π.* *φασὶ δὲ*] Videtur tota haec expositio ex Ephoro ducta esse. 7. *γενναῖον* V. *ἰσχυρώτερα* R. 8. *φυσικὸν* PpRV, *φυσικὰ* A.
8. 9. *νομίζω τὸ κοινὰ πάντων εἶναι τὰ πάθη?* nisi potius aliquid excidit: *ἐγὼ δὲ [οὐ] φυσικὸν νομίζω τὰ κοινὰ πάντων πάθη [παρ' ἐκείνοις μόνοις ἠλλοιῶσθαι].* cf. Procop. B. G. 4, 3. *ἀλλά μοι δοκοῦσι μάλιστα πάντων τά γε κατὰ τὰς Ἀμαζόνας ξὺν τῷ ἀληθεῖ λόγῳ εἰπεῖν, ὅσοι ἔφασαν οὐπώποτε γένος γυναικῶν ἀνδρεῖον γεγονέναι, οὐδ' ἐν ὄρει μόνῳ τῷ Καυκασίῳ τὴν τῶν ἀνθρώπων φύσιν θεσμῶν τῶν οἰκείων ἐξίστασθαι.* 12. lacunam indicavit M.
13. *πρὸς τοὺς ἄνδρας* B. an *πρὸς [αὐτοὺς] τὰς?* 15. *φοβηθείσας* R. 17. 18. *Σαυροματίδες περὶ* V. 18. *πατεῖσθαι?* *Σαυροματίδες* add. Salmasius. 20. *Μεσαπίας* libri. *Ἀμαζών* de pauperculo dictum ap. Etym. M. p. 75, 53. videtur comici poetae

λέγεται καὶ Ἀμαζόνιον τὸ οὐδέτερον διὰ τοῦ ι καὶ Ἀμαζονίδης.

Ἄμαθα, οὐδετέρως, τῆς Ἀραβίας χωρίον, ὅπερ μετὰ τοῦ κ̄ νῦν λέγουσιν Ἄχμαθα. κέκληται δὲ ἀπὸ τῆς ἄμμου. φασὶ γὰρ τὸ πολὺ τῆς Ἀραβίας ὑπὸ τῆς Ἐρυθρᾶς πάλαι κατακλύζεσθαι. οἱ οἰκήτορες Ἀμαθηνοί.

Ἀμάθη, πόλις Φοινίκης. ἔστι καὶ Σικελίας Ἀμαθαί, πληθυντικῶς. τὸ ἐθνικὸν ἀμφοτέρων Ἀμαθαῖος.

Ἀμαθοῦς, πόλις Κύπρου ἀρχαιοτάτη, ἐν ᾗ Ἄδωνις Ὄσιρις ἐτιμᾶτο, ὃν Αἰγύπτιον ὄντα Κύπριοι καὶ Φοίνικες ἰδιοποιοῦνται. ἀπὸ Ἀμαθοῦντος δὲ τοῦ Ἡρακλέους ἐκλήθη ἢ ἀπὸ τῆς Κινύρου μητρὸς Ἀμαθούσης.

Ἀμαληκῖται, ἔθνος Ἑβραϊκόν.

Ἀμαμασσός, πόλις Κύπρου, ἐν ᾗ τιμᾶται Ὑλάτης Ἀπόλλων. τὸ ἐθνικὸν Ἀμαμάσσιος καὶ Ἀμαμασσεύς.

Ἄμανον, ὄρος πρὸς τῇ Κιλικίᾳ ἀπὸ τοῦ Ταύρου καθῆκον. ἱστοροῦσι δὲ τὸν Ὀρέστην ἀπὸ Ταύρων σὺν Ἰφιγενείᾳ τὴν Ἄρτεμιν κομίσαντα [ἐν τούτῳ τῷ ὄρει] τῆς μανίας λύσιν εὑρεῖν. ὁ οἰκήτωρ Ἀμανίτης. εἰσὶ καὶ Ἀμμανῖται διὰ δύο μμ, γένος τῶν Ναβαταίων Ἀράβων, ὡς Ἰώσηπος. ἐκλήθησαν δὲ ἀπὸ Ἀμμάνου τοῦ παιδὸς Λώτου καὶ τῆς νεωτέρας θυγατρός.

Ἀμαντία, Ἰλλυριῶν μοῖρα, πλησίον Ὠρικοῦ καὶ Κερκύρας, ἐξ Ἀβάντων τῶν ἀπὸ Τροίας νοστησάντων ᾠκισμένη. Καλλίμαχος Ἀμαντίνην αὐτήν φησιν. ἧς τὸ κτητικὸν Ἀμαντι-

lusus esse. 1. 2. Ἀμαζονίδες B. 4. ἄμμου H, ψάμου R, ψάμμου AV. fort. ἀμάθου. 7. Κιλικίας? 7 8. Ἀμαθαὶ πληθυντικῶς V, Ἀμαθαι π̄ κῡ R, ἀμαθαίπων κύριον A. 9. 10. Ἀδωνόσιρις B. 11. Ἀμαθοῦντος M, Ἀμάθους libri. cf. Tacit. Ann. 3, 62. 16. τοῦ add. ΠR. 17. ἀπὸ Ταύρων add. Pp, ἀπὸ Ταύρου R. 18. ἐν τούτῳ τῷ ὄρει addidi ex gl. Suidae s. v. Ἄμανον. 20. τῶν ἀβαταίων RV. ὡς Ἰώσηπος (Ant. Iud. 1, 11, 5.) post ἐκλήθησαν δὲ transponendum videtur. 21. Ἀμάνου R. ἐκ τῆς pro καὶ τῆς H. 23. 24. Κερκύρας AV, Κορκύρας ΠR. 25. Καλλίμαχος] Vide s. v. Ἀβαντίς.

νική. λέγονται καὶ Ἄμαντες. τὸ ἐθνικὸν Ἀμαντιεύς. καὶ Ἄβαντας αὐτούς φασιν.

Ἄμαξα, χωρίον Βιθυνίας, ὡς Ἐρατοσθένης. τὸ ἐθνικὸν Ἀμαξαῖος καὶ Ἀμαξίτης καὶ τὸ κτητικὸν Ἀμαξικός.

Ἁμαξαντιά, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἁμαξαντιεύς. τὰ τοπικὰ Ἁμαξαντιᾶθεν καὶ Ἁμαξαντιάνδε καὶ Ἁμαξαντιᾶσιν.

Ἀμαξία, πόλις τῆς τραχείας Κιλικίας. Στράβων ιδ'. τὸ ἐθνικὸν Ἀμαξιεύς, ὡς τῆς Ἀμαντίας Ἀμαντιεύς.

Ἀμαξιτός, πολίχνιον τῆς Τρωάδος. Στράβων ιγ'. τὸ ἐθνικὸν Ἀμαξιτεύς. Ἀπολλόδωρος δὲ ἐν χρονικῶν τρίτῃ Ἀμαξιτηνούς φησιν.

Ἀμαραντοί, ὀξυτόνως, Κολχικὸν ἔθνος, ἀφ' ὧν ὁ Φᾶσις ῥεῖ, ὅθεν καὶ Ἀμαράντιον τὸν Φᾶσίν φασιν.

Ἀμαρδοί, ἔθνος Ὑρκανῶν ἐγγύς. Στράβων ιά. εἰσὶ καὶ Περσῶν Μαρδοί δίχα τοῦ ᾱ.

Ἀμάρυνθος, νῆσος Εὐβοίας, ἀπό τινος κυνηγοῦ τῆς Ἀρτέμιδος Ἀμαρύνθου. τὸ ἐθνικὸν Ἀμαρύνθιος καὶ Ἀμαρύσιος ὡς Τρικορύσιος· οὕτω γὰρ Παυσανίας ἐν πρώτῃ. ἀναλογώτερον δέ μοι δοκεῖ τὸ διὰ τοῦ σ̄.

Ἀμάσεια, πόλις Ποντική, ἀφ' ἧς Στράβων ὁ στωικὸς φιλόσοφος. ὁ πολίτης Ἀμασεύς, ὡς αὐτὸς Στράβων. κατὰ

---

1. Ἄμαντες et Ἀμαντιεύς M, Ἄβαντες et Ἀβαντιεύς libri. quae retinens B 2. pro Ἄβαντας conicit Ἄμαντας. 3. χώρα RV. 5. Ἁμαξαντιά M, Ἁμαξάντεια libri. 6. Ἁμαξαντιεύς M, Ἁμαξαντεύς libri. Ἁμαξαντίαθεν libri. 6. 7. Ἁμαξαντίανδε B, Ἁμαξίανδε libri. 8. ιδ'] p. 669. δ' R, om. V. 10. ιγ'] p. 612. 11. δὲ add. R. 11. 12. Ἀμαξητηνούς R. 13. ὀξυτόνως] Ex Herodiano, quem vide apud schol. Apoll. Rh. 2, 401. cll. Arcad. p. 83, 5. 14. Ἀμαράντιον] Apoll. Rh. 3, 1217. 15. Ἄμαρδοι V. ιά] p. 507. 17. νῆσος] πόλις vel κώμη B, πόλις νήσου H. ut alias saepe, ita etiam hic νῆσος de urbe vel vico mari vicino dixisse videtur. 19. Τρικορύσιος PRV, Τρικαρύσιος A. πρώτῃ] 31, 5. 20. διὰ τοῦ ϑ̄ Salmasius. 22. Στράβων] 12 p. 560.

δὲ Καπίτωνα Ἀμασεώτης. πειστέον δὲ μᾶλλον Στράβωνι ὡς πολίτῃ.

Ἄμαστρις, πόλις Παφλαγονίας, ἡ πρότερον Κρῶμνα. „Κρῶμνάν τ' Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους". ἀπὸ γυναικὸς Περσίδος Ἀμάστριδος, θυγατρὸς Ὀξυάθρου τοῦ ἀδελφοῦ Δαρείου, ἡ συνῴκησε Διονυσίῳ τῷ Ἡρακλείας τυράννῳ. Δημοσθένης δ' ἐξ Ἀμαζόνος οὕτω λεγομένης. Ἀμάστρεως δὲ κλίνει Στράβων, ἄλλοι Ἀμάστριδος. τὸ ἐθνικὸν Ἀμαστριανός. Στράβων δωδεκάτῃ „πλείστη δὲ καὶ ἀρίστη φύεται πύξος κατὰ τὴν Ἀμαστριανὴν καὶ μάλιστα περὶ τὸ Κύτωρον". ὡς Κάλλατις Καλλάτιος Καλλατιανός καὶ Φᾶσις πόλις Φασιανός καὶ Σάρδις Σαρδιανός. τὰ γὰρ τοιαῦτα ἢ ἀπὸ τῶν εἰς $\overline{ος}$ εὐθειῶν, ὡς Βάκτριος Βακτριανός, [ἢ ἀπὸ τῶν εἰς $\overline{ος}$ γενικῶν]. οἱ δὲ νῦν ἐν τῇ συνηθείᾳ κακῶς Ἀμαστρανοὺς λέγουσιν αὐτούς.

Ἄμβασον, μητρόπολις τῶν Φρυγῶν. ὁ πολίτης Ἀμβασίτης, ὡς ὁ πολυίστωρ Ἀλέξανδρος.

Ἄμβλαδα, πόλις Πισιδίας. Στράβων δωδεκάτῃ „εἰσὶ δὲ τοῖς Φρυξὶν ὅμοροι καὶ τῇ Καρίᾳ Τάβαι καὶ Ἴσινδα καὶ Ἄμβλαδα". ὁ πολίτης Ἀμβλαδεύς. ὅθεν καὶ Ἀμβλαδεὺς οἶνος, πρὸς διαίτας ἰατρικὰς ἐπιτήδειος.

Ἀμβρακία, πόλις Θεσπρωτίας, ἀπὸ Ἄμβρακος τοῦ

---

1. πιστέον R. 4. Κρῶμναν] Hom. Il. 2, 855. ὑψηλοὺς Ἐρυθινούς V, ὑψηλὰς Ἐρυθ' R, ὑψηλὴν Ἐρύθειαν A, ὑψηλοὺς Il. 8. Στράβων] 12 p. 544. τὸ ἐθνικὸν Ἀμαστριανός om. R. 9. δωδεκάτῃ (p. 545) X, ιδ' HRV, τεσσαρεσκαιδεκάτῃ A. 10. περὶ τὸ Κύτωρον Strabo, παρὰ τὸ Κύτωρα AR, περὶ τὰ Κύτωρα Pp. 11. Κάλλατις Καλλάτιος Καλλατιανός HRV, Κάλατις Καλάτιος Καλατία A. πόλις Φᾶσις X. 12. 13. εἰς $\overline{ιος}$ W. 13. 14. ἢ ἀπὸ τῶν εἰς $\overline{ος}$ γενικῶν addidi ex Etym. M. p. 79, 24. 14. Ἀμαστρανεύς V. 14. 15. λέγει RV, unde conicias ἡ δὲ νῦν συνήθεια. 16. 17. Ἀμβασίτης X, Ἀμβαΐτης libri. 17. ὁ add. RV. 18. δωδεκάτῃ] p. 570. 19. Τάβαι καὶ Ἴσινδα PpV, Τάβαι καὶ Ἴσιδα R, Τάβα καὶ Ἴσιδα A, Τάβα καὶ Σίνδα libri Strabonis. 20. Ἄμβλαδα add. PpRV. 21. ἰατρικὸς RV. 22. Ἀμπρακία RV. Ἄμπρακος V.

παιδὸς Θεσπρωτοῦ τοῦ Λυκάονος, ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέου θυγατρός, περὶ ἧς Φιλέας. τὸ ἐθνικὸν Ἀμβρακιεὺς καὶ Ἀμβρακιώτης. Φίλιστος δὲ Ἀμβρακῖνος φησὶ Σικελικῷ τύπῳ. εἴρηται καὶ διὰ τοῦ π̅ ἀντὶ τοῦ β̅, ὅθεν καὶ τὸ Ἀμπρακιώτης ἀπὸ τῆς Ἄμπρακος γενικῆς καὶ Ἀμπρακία. τὰ γὰρ εἰς ι̅α̅ θηλυκὰ καὶ εἰς ι̅ο̅ν̅ οὐδέτερα διὰ τοῦ ω̅τ̅η̅ς̅ ποιεῖ τὰ ἐθνικά, Σικελιώτης Πηλιώτης. λέγεται καὶ Ἀμβράκιος καὶ Ἀμβρακία ἡ γυνή. τὸ δ' Ἀμβρακία ἀπὸ τῆς Ἄμβρακος γενικῆς, οὐκ ἀπὸ τοῦ Ἀμβράκιος· ἦν γὰρ Ἀμβρακιακός.

Ἄμβρακος, πολίχνιον τῆς Ἠπείρου, παρὰ τὴν Ἀμβρακίαν ἰδιάζον. ὁ οἰκήτωρ Ἀμβράκιος.

Ἀμέριον, πόλις Ἰταλίας, ὡς Ῥήγιον. τὸ ἐθνικὸν Ἀμερῖνος.

Ἀμήστρατος, πόλις Σικελίας, Ἀπολλόδωρος τετάρτῃ χρονικῶν. τὸ ἐθνικὸν Ἀμηστρατῖνος.

Ἀμίκου, μία νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν ἐξ Ἀμίκου νήσου κατὰ περίφρασιν, καὶ Ἀμικουνησίτης.

Ἄμιλος, πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῃ. τὸ ἐθνικὸν Ἀμίλιος. καὶ γὰρ Στυμφάλιος καὶ Μαινάλιος παρ' αὐτοῖς.

Ἄμισα, πόλις Γερμανίας. Μαρκιανὸς ἐν τοῖς ἀπὸ Ῥώμης ἐπὶ τὰς διασήμους πόλεις. τὸ ἐθνικὸν Ἀμισαῖος.

Ἀμισός, „πόλις ἀξιόλογος, διέχουσα Σινώπης σταδίους ἐνακοσίους". ἔστι δ' ἐν τῷ Πόντῳ. λέγεται καὶ ἀρσενικῶς. [τὸ ἐθνικὸν] Ἀμισηνός. λέγεται καὶ Ἀμίσιος, ὡς Φίλων ἐν τῷ περὶ πόλεων.

---

1. Λυκάονος BH, Λαόκωνος PpV, Λαοκόωντος AR. 2. Αἰγέου BH, Αἰγέου libri. 5. 4. τοῦ Ἀμ$\overset{\pi}{\beta}$ρακιώτης R. 5. Ἄμβρακος γενικῆς καὶ Ἀμβρακία R. 6. εἰς ι̅α̅ et εἰς ι̅ο̅ν̅ X, εἰς α̅ et εἰς ο̅ν̅ libri. 8. τὸ δ' Ἀμβρακία [ἡ χώρα] ἀπὸ τῆς Ἄμβρακος γενικῆς? 16. Ἀμίκου, μία M, Ἀμικουσία libri, Ἀμίκου νῆσος BH. 18. ὀγδόῃ] 13, 5. 19. Ἀμήλιος R. 20. Ἄμισα RV, Ἄμισσα A. 22. πόλις] Strabonis verba 12 p. 541. 23. ἐνακοσίους RV, ἐννακοσίους A, περὶ ἐννακοσίους Strabo. 24. τὸ ἐθνικὸν add. B. Ἀμηνός R. Ἀμισίσιος V.

Ἀμμωνία, ἡ μεσόγειος Λιβύη. καὶ αὐτὴ δὲ πᾶσα ἡ Λιβύη οὕτως ἐκαλεῖτο ἀπὸ Ἄμμωνος. ὁ οἰκήτωρ Ἀμμώνιος. ταῦτα δὲ διὰ τοῦ ῑ. τὸ δ' Ἀμμώνειον διὰ διφθόγγου ὡς Δημήτρειον καὶ Ἀπολλώνειον.

Ἀμνισός, ποταμὸς Κρήτης. αἱ τούτου νύμφαι Ἀμνισιάδες καὶ Ἀμνισίδες.

Ἄμολβος, πόλις Μαγνήτων, ὡς Βάλακρος Μακεδονικῶν β'. τὸ ἐθνικὸν Ἀμόλβιος.

Ἀμοργός, νῆσος μία τῶν Κυκλάδων, ἔχουσα πόλεις τρεῖς, Ἀρκεσίνην Μίνωαν Αἰγιάλην. ἐκαλεῖτο δὲ καὶ Παγκάλη καὶ Ψυχία. ἀπὸ τῆς Μινώας ἦν Σιμωνίδης ὁ ἰαμβοποιός, Ἀμοργῖνος λεγόμενος, ὡς Ἐρυκῖνος. λέγεται καὶ Ἀμόργιος, ὥς φησι Χάραξ. Νικόλαος δ' Ἀμοργίτην αὐτὸν καλεῖ. ἥν τινα Καρχήσιος ἀνὴρ Νάξιος ᾤκισε καὶ Καρχησίαν ὠνόμασε. τὸ δ' ἀμόργινος χιτὼν χρώματος ἴδιον.

Ἀμόριον, πόλις τῆς μεγάλης Φρυγίας, Στράβων δωδεκάτῃ. τὸ ἐθνικὸν Ἀμοριεύς ὡς Νοτιαεύς Δορυλαεύς.

---

1. *Ἀμμωνεία* R. *Λιβύη* R, *Λιβύης* A, *λιγύς* V. *αὐτὴ* Pp, *αὕτη* ARV. 3. *Ἀμμιώνειον* V, *Ἀμμωνεῖον* A, *Ἀμώνεῖον* R. 4. *Δημήτρειον καὶ Ἀπολλώνειον* M, *Δημητριεῖον καὶ Ἀπολλωνιεῖον* libri. ceterum multum ab his discrepat aliorum doctrina, de qua v. Lobeck. ad Phryn. 367 sqq. 5. *Ἄμνισος* libri. *ποταμὸς* H, *πόλις* libri. *ἀφ' αἳ* (vel *αιαι*) *τούτου* Pp, *αι αι του του* R, *ἢ αἳ τούτου* V, *αἳ ἀπὸ τούτου* Salmasius. 7. *Ἄμολβος*] Haec in hanc sedem revocavi, cum in libris post tmema de Amorgo legantur. *Βάλακρος* M, *Βάλαγρος* AV, *Μάλαγρος* R. 7. 8. *Μακεδονικῶν β'* R, *Μακεδονικῷ β'* V, *Μακεδονικὴ δευτέρα* A, *Μακεδονικῇ δευτέρᾳ* X. 10. *Μινώαν* AR, om. acc. V. *Αἰγιάλην*] Suidas s. v. *Σιμμίας* vocat *Αἰγίαλον*, *Μελανίαν* noster s. v. *Ἀρκεσίνη*. 12. *Ἄμοργος* R. *ὡς Ἐρυκῖνος*] Rectius compares *Ἀραντῖνος Φολεγανδρῖνος* et *Λεοντῖνοι* Thessalicae urbis (Eustathius ad Hom. p. 333, 22) gentile. *Ἀμόργιος* Welckerus, *Ἀμόργιον* libri. 13. *δ' Ἀμοργίτην αὐτῆν* R, *δὲ μόργην αὐτὴν* PpV, *δ' Ἀμοργὴν αὐτὴν* A. 14. *Καρκίσιος* R. fort. *Καρκησός*. *Νάξιος* Valesius, *ἄξιος* libri. *ᾤκησε* RV. 15. *ἀμόργινος* (*ἀμόργιον* V) *χιτὼν* Antiphanis verba esse videntur. v. Fragm. Com. gr. vol. 3 p. 84. 16. 17. *δωδεκάτῃ*] p. 576. 17. *ὡς*] *καὶ* R. *Νοτιεύς* H, quod convenit sane cum *Ἀμοργιεύς*, non

Ἄμος, πόλις Καρίας, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας δευτέρῳ. τὸ ἐθνικὸν Ἄμιος ὡς Σάμιος Καύνιος.

Ἄμπελος, πόλις τῆς Λιγυστικῆς, Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄκρα Τορωναίων Ἄμπελος λεγομένη. ἔστι καὶ ἑτέρα ἄκρα τῆς Σάμου. καὶ ἄλλη ἐν Κυρήνῃ. Ἀγροίτας δὲ δύο πόλεις εἶναί φησι, τὴν μὲν ἄνω τὴν δὲ κάτω. ἔστι καὶ Ἰταλίας ἄκρα καὶ λιμὴν καὶ πόλις. ὁ πολίτης Ἀμπελῖνος ὡς Ἀσσωρῖνος Ἀβακαινῖνος· ὁ γὰρ τύπος τῶν Ἰταλῶν. τῶν δὲ λοιπῶν δυνατὸν Ἀμπελῖται εἶναι.

Ἄμπη, πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Ἡρόδοτος ἕκτῃ. τὸ ἐθνικὸν Ἀμπαῖος ὡς Λαμπαῖος.

Ἀμυδών, πόλις Παιονίας. τὸ ἐθνικὸν Ἀμυδώνιος, ὡς Καλυδὼν Καλυδώνιος.

Ἀμυθαονία, μοῖρα τῆς Ἤλιδος, ἀπὸ Ἀμυθάονος τοῦ Κρηθέως, ὡς Ῥιανός.

Ἀμύκλαι, πόλις Λακωνικὴ τῶν ἑκατὸν πόλεων, ἣν Ἀμύκλας ὁ Λακεδαίμονος υἱὸς ἔκτισε. κλίνεται δὲ καὶ Ἀμύκλα τὸ ὄνομα τοῦ κτίσαντος καὶ Ἀμύκλαντος, ὡς Σιμίας ἐν Μησίν „ὅν ῥ' [ἀπ'] Ἀμύκλαντος παιδὸς ἀποφθιμένου λαοὶ κικλήσκουσιν" τὸ ἐθνικὸν τοῦ Ἀμύκλαι Ἀμυκλαῖος, καὶ Ἀμυκλαιεύς

---

convenit cum sequente *Δορυλαεύς*, quod satis ostendit pro *Νοτιαεύς* scribendum esse *Κοτιαεύς*. ex his intelligitur Stephani verba esse luxata et ita fere redintegranda: *τὸ ἐθνικὸν Ἀμοριεύς. [λέγεται καὶ Ἀμοριάειον. τὸ ἐθνικὸν Ἀμοριαεύς] ὡς Κοτιαεύς Δορυλαεύς. Δορυλαεύς* V, *Δορυλλαεύς* R, *Δορυαλεύς* A. 3. *Λυγιστικῆς* RV. 4. *Τοροναίων* R. *Ἄμπελα* *Π*. 5. *ἐν Κυρήνῃ*] Vid. Hemsterhusius ad Aristoph. Plut. p. 322. *Ἀγροίτας*] Libycorum libro primo, ut conicias ex schol. Apoll. Rh. 2, 498. 6. *εἶναι* add. *Π*R. *τὴν μὲν ἄνω τὴν δὲ κάτω*] Haec non de Ampelo dicuntur, sed de Cyrene urbe, quae duplex fuit, vetus et nova, teste Theophrasto HP. 5, 3, 7. harum alteram, *τὴν νέαν*, Agroetas *τὴν κάτω*, alteram *τὴν ἄνω* dixerat. sed de his fortasse iam Thrigius admonuit, cuius librum de Cyrenaica nunc consulere non licet.
9. *Ἀμπελῖται* V, *Ἀμπελί*ᵃ R, *Ἀμπελίτην* A. 11. *ἕκτῃ*] c. 20. 13. *Καλυδών* R, *Καλυδῶνος* AV. 18. *Σιμμίας* PpRV. *ἐμμησίν* R. 19. *ἀπ'* addidi et Simiae locum explicui Del. Anth. Pal. p. 100. 20. *Ἀμυκλαί* R. *καὶ Ἀμυκλαιεύς — τοῦ Ἀμυκλαῖος*

ἐξ αὐτοῦ, ὡς Κρηταῖος Κρηταιεύς. καὶ τὸ θηλυκὸν τοῦ Ἀμυκλαῖος Ἀμυκλαία καὶ Ἀμυκλαΐς. λέγεται καὶ Ἀμυκλαΐτης ὡς Θηβαΐτης. ἔστι καὶ πόλις Ἀμύκλαιον ἐν Κρήτῃ καὶ ὅρμος.

Ἄμυμνοι, ἔθνος Ἠπειρωτικόν, Ῥιανὸς ... λέγεται καὶ Ἀμυμναῖος καὶ Ἀμυμναία.

Ἀμύνται, ἔθνος Θεσπρωτικόν „μένος πνείοντες Ἀμύνται". καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἠπειρωτῶν πολιτείᾳ.

Ἀμύργιον, πεδίον Σακῶν, Ἑλλάνικος Σκυθικοῖς. τὸ ἐθνικὸν Ἀμύργιος, ὡς αὐτός φησιν.

Ἄμυρος, πόλις Θεσσαλίας, ἀπὸ ἑνὸς τῶν Ἀργοναυτῶν [πολυβότρυος αὐταμύροιο.] ... ἡ πόλις θηλυκόν. ἄδηλον δὲ τὸ Ἡσιόδειον „Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἀντ' Ἀμύροιο". τὸ ἐθνικὸν Ἀμυρεύς, ὡς Κάμειρος Καμειρεύς. καὶ τὸ κτητικὸν Ἀμυρήιος. καὶ Ἀμυρηίς τὸ θηλυκόν. Εὔπολις δὲ Ἀμύρους αὐτοὺς λέγει, πλησιοχώρους τῆς Μολοττίας. ἐκ τούτου καὶ Ἀμυραῖοι λέγονται. Σουίδας δ' ἐν ταῖς γενεαλογίαις

---

absunt ab R, sed alia manu margini adscripta, omisso Κρηταιεύς, quod om. etiam V. 1. ἐθνικὸν pro θηλυκὸν V. 3. καὶ ante πόλις add. V. ὕρος R. cf. Eustath. in Hom. p. 295, 7. 4. Ῥιανός. [τὸ κτητικὸν Ἀμύμνιος] λέγεται? Salmasius, qui Ἀμύμονες scribi voluit pro Ἄμυμνοι, Rhiani versum excidisse putabat quem servavit Stephanus s. v. Παραυαῖοι, in quo cum libri ἀμύμονας habeant, ille Ἀμύμνονας restituendum existimat. 6. Ἀμύντα R. μένος πνείοντες Ἀμύνται] Haec videntur Rhiani esse, vid. Anall. Alex. p. 188. 6. 7. Ἀμύντου libri; correxit X. 7. τῷ pro τῇ R. 8. πεδίον RV, πέδον A. Σκυθικοῖς X, Σκύθαις libri, Σκυθῶν Salmasius. 9. αὕτως RV. 11. ἀντ' Ἀμύροιο corrigunt. seclusi haec ut ex inferioribus repetita. nisi ex alio versu, in quo Amyrus heros memoratus erat, corrupta dicas. lacunam indicant AR. excidisse videtur ἔστι καὶ ποταμός, καὶ λέγεται ἀρσενικῶς. ἡ πόλις ΠRV, καὶ πο** A. θηλυκῶς B. 12. ἄδηλον] Quoniam ex Hesiodi versu genus nominis Ἄμυρος non apparet. 12. 13. αὐταμύροιο libri, correctum e Strab. 9 p. 442. ἄγχ' Ἀμύροιο Casaubonus. cf. Kretschmann Rer. Magnes. spec. p. 31. 14. κτηρήιος pro κτητικὸν Ἀμυρήιος R. 15. Ἀμύρους] fort. Ἀμυρίους. certe s. v. Ὠλίαρος gentile Ἀμύριος memorat noster. 16. Σουίδας. [Ἑκαταῖος] δ' ἐν ταῖς? an Σουίδας δὲ [καὶ Ἑκαταῖος] ἐν ταῖς?

ὅτι οὗτοι ἐκαλοῦντο Ἑορδοί, ὕστερον δὲ Λέλεγες. οἱ αὐτοὶ καὶ Κένταυροι καὶ Ἱπποκένταυροι. καὶ τὴν πόλιν Ἀμυρικὴν καλεῖ.

Ἀμφαναί, πόλις Δωρική. Ἑκαταῖος ἐν πρώτῃ γενεαλογιῶν. Θεόπομπος Ἀμφαναίαν αὐτὴν καλεῖ ἐν πέμπτῳ Φιλιππικῶν. ἔστι καὶ χωρίον Θετταλίας ὡσαύτως. τὸ ἐθνικὸν Ἀμφαναῖος καὶ Ἀμφαναιεύς.

Ἀμφάξιον. δύο μέρη λόγου. πόλις. τὸ ἐξ αὐτοῦ Ἀμφαξίτης. Στράβων ἑβδόμῃ.

Ἄμφεια, πόλις Μεσσήνης. Παυσανίας τετάρτῳ. τὸ ἐθνικὸν Ἀμφεύς. καὶ ὁ τύπος γὰρ Ἀρκάς, ὡς τὸ Ἡραιεύς.

Ἀμφιγένεια, πόλις Μεσσηνιακή. Στράβων ὀγδόῃ. ἔστι δὲ κατὰ μὲν Ἀπολλόδωρον τῆς Μακιστίας, κατὰ δὲ Ἀντίμαχον τῆς Μεσσηνίας. ἔχει δὲ ἡ πόλις Λητοῦς ἱερόν· φασὶ γὰρ ὅτι ἐκεῖ παραγενομένην Λητὼ τεκεῖν τὸν Ἀπόλλωνα. Μενέλαος δέ φησι καὶ Ἀμφιγένειον εἰρῆσθαι. τὸ ἐθνικὸν Ἀμφιγενειάτης διὰ τὸν Πελοποννήσιον χαρακτῆρα, ἢ καὶ Ἀμφιγενεύς.

Ἀμφίδολοι, πόλις τῆς Τριφυλίας. καὶ οἱ πολῖται

---

1. *οὗτοι* [*πρότερον μὲν*] *ἐκαλοῦντο?* 6. *Θετταλίας*] Non diversa videtur a superiore quam Doricam dicit. *ὡσαύτως* R cum *Θετταλίας* coniungit, cum sequenti *τὸ ἐθνικὸν* AV. malim *ὡς αὐτός*, quod centies epitomator scripsit pro *ὁ αὐτός*. 8. *Ἀμφάξιον* RV, *ἀμφ' Ἄξιον* A. *πόλις* V, *πο̄* R, *ποταμός* A. numum Macedonicum cum epigraphe *Ἀμφαξίων* habemus apud Eckhelium DN. 1, 2 p. 65. 9. *ἑβδόμῃ*] p. 330. ubi est *Ἀμφαξῖτις γῆ*. 10. *Μεσσήνης* V, *Μεσήνης* AR. *τετάρτῳ*] 5, 8. 11. *Ἀμφειεύς* H. 12. *ὀγδόῃ*] p. 349. 13. *καὶ* pro *δὲ* R. *Μακιστίας* RV, *Μαστικίας* A. *κατὰ δὲ* RV, *κατὰ δὲ τὸν* A. 14. *ἡ πόλις ἡ* RV. 15. *ὅτι* om. BH. *ὅτι* sequente accusativo et infinitivo nostro familiare est; vide s. v. *Ἀχόναι, Ἄρειος πάγος, Γάλλος, Γυναικόπολις, Γέλα, Διομήδεια, Τοπάζιον, Τρεμιθοῦς*. cf. Wesseling. ad Diod. Sic. 4, 26. *παραγενομένη* X. *Λητὼ τεκεῖν* AV, *κατατεκεῖν* R. 16. *Ἀμφιγένειον* PpRV et Eustath. ad Hom. p. 297, 24, *Ἀμφιγένειαν* A. 17. *τῶν Πελοποννησίων* RV. 19. *Τρυφυλίας* V.

ὁμοίως, ὡς Θούριοι καὶ Θαύμακοι καὶ Λεοντῖνοι καὶ Δελφοί, οὕτως Ἀμφίδολοι.

Ἀμφίκαια, πόλις Φωκίδος, Παυσανίας δεκάτῃ· ὁ αὐτὸς Ἀμφίκλειαν εἶπεν. ὁ πολίτης Ἀμφικαιεύς.

Ἀμφίλοχοι, πόλις Ἀκαρνανίας, οἱ καὶ Ἀμφιλοχικὸν Ἄργος κληθέντες ἀπὸ Ἀμφιλόχου τοῦ Ἀμφιαράου, καὶ Ἀμφιλοχία ἡ χώρα. οἱ πολῖται Ἀμφίλοχοι καὶ Ἀμφιλοχικοί ἐκ τοῦ Ἀμφιλοχικὸν Ἄργος.

Ἀμφιμάλιον, πόλις Κρήτης, ἀπὸ Ἀμφιμάλου. ὁ πολίτης Ἀμφιμαλιεύς ἢ Ἀμφιμάλιος. λέγεται καὶ Ἀμφίμαλα καὶ τὸ ἐθνικὸν Ἀμφιμαλαῖος.

Ἀμφίπολις, πόλις Μακεδονίας κατὰ Θρᾴκην, ἥ τις Ἐννέα ὁδοὶ ἐκαλεῖτο. κεκλῆσθαι δὲ Μυρίκην καὶ Ἠιόνα, Ἀμφίπολιν δὲ διὰ τὴν περίρροιαν τοῦ Στρυμόνος, ὡς Θουκυδίδης τετάρτῃ. ἐκαλεῖτο δὲ καὶ Κράδεμνα καὶ Ἀνάδραιμος. ἔστι καὶ πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, κτίσμα Σελεύκου. καλεῖται δὲ ὑπὸ τῶν Σύρων Τούρμεδα. τὸ ἐθνικὸν Ἀμφιπολίτης.

Ἄμφισσα, πόλις Ὀζολῶν Λοκρῶν. ἐκλήθη δὲ διὰ τὸ ἐμπεριέχεσθαι τοῖς ὄρεσι τοῖς παρακειμένοις. παραγωγὴ δέ, ὡς ἐκ τῆς ἀντὶ Ἄντισσα καὶ ἐκ τῆς ἐπὶ ἔπισσα, οὕτως ἀμφί Ἄμφισσα. ὁ πολίτης Ἀμφισσαῖος καὶ Ἀμφισσεύς. τὸ ἐκ

---

1. *Θαυμακοί* W. 2. *Ἀμφίδουλοι* R. 3. *δεκάτῃ*] 23, 9. ubi v. intpp. 5. *Ἀμφίλοχοι*] Huius sectionis A nihil habet nisi haec *Ἀμφίλοχοι καὶ Ἀμφιλοχικοὶ ἐκ τοῦ Ἀμφιλοχικοῦ Ἄργους*. supplent Pp*Π*RV. 6. *ἀπὸ* Pp*Π*, *ὑπὸ* RV. 8. *Ἀμφιλοχικὸν Ἄργος* *Π*RV, *Ἀμφιλοχικοῦ Ἄργους* APp. 9. *Ἀμφιμάλιον* V, *Ἀμφιμάλλιον* R, *Ἀμφιμάλλιον* A. *Ἀμφιμάλου* V, *Ἀμφιμάλλου* R, *Ἀμφιμάλλου* A. atque ad eandem rationem iidem libri etiam in gentilibus. 13. *Μυρρίκην* RV, *Μύρκινον* Vossius, *Μύρκινον* vel *Μυρκινίαν* H. *Ἠιόναν* RV, qua forma epitomator uti potuit, non Stephanus. 15. *τετάρτῃ*] c. 102. 16. *τῷ* om. R. 20. *παραγωγὴ* R, *παραγώγως* AV. 21. *ὡς*] *καὶ* R. *ἐκ* om. V. 22. *Ἀμφισεύς* R.

τόπου Ἀμφίσσηθεν. ἔστι καὶ χώρα τῆς μικρᾶς Ἀρμενίας Ἀμφισσήνη, ὡς Στράβων ια'.

Ἀμφιτροπή, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Ἀμφιτροπαιεύς. τὰ τοπικὰ Ἀμφιτροπῆθεν ἐκ τόπου, Ἀμφιτροπήνδε εἰς τόπον καὶ Ἀμφιτροπῆσι ἐν τόπῳ. δοκεῖ δὲ τὸ Ἀμφιτροπαιεύς ἐξ ἄλλου εἶναι, τοῦ Ἀμφιτροπαῖος. τὰ γὰρ εἰς ευς ἀπὸ τῶν εἰς η θηλυκῶν ἰσοσυλλαβεῖ τοῖς πρωτοτύποις, Σινώπη Σινωπεύς.

Ἄμφρυσος, πόλις Φωκίδος. τινὲς δὲ διὰ τοῦ β φασίν. ἔστι καὶ ποταμὸς Μαγνησίας. τὸ ἐθνικὸν Ἀμφρύσιος, ὡς Λυκόφρων „Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων". ἔστι καὶ Ἀμφρυσεύς.

Ἀναγυροῦς, δῆμος Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Ἀναγυρουντόθεν, ὁμοίως τῇ ἐκ τόπου, καὶ Ἀναγυροῦντάδε εἰς τόπον, καὶ ἐν τόπῳ Ἀναγυροῦντι. λέγεται καὶ Ἀναγυράσιος. ἐζήτηται δὲ πῶς ἔχει τὸ α, ἔδει γὰρ ὡς Ῥαμνούσιος· ἀλλ' ἔοικε τὸ ρ αἴτιον εἶναι, φιληδοῦν τῇ συντάξει τοῦ α. εἰς τὸ Φλιοῦς Φλιάσιος.

Ἀνάζαρβα, πόλις Κιλικίας. κέκληται ἀπὸ τοῦ προκειμένου ὄρους ἢ ἀπὸ Ἀναζάρβα τοῦ κτίσαντος. τὸ ἐθνικὸν Ἀναζαρβεύς ὡς Καρυανδεύς. ἀφ' ἧς ἦν Διοσκουρίδης ὁ διασημότατος ἰατρός, χρηματίζων Ἀναζαρβεύς, καὶ Ἀσκληπιάδης

---

2. Ἀμφισσίκη R, Ἀκισηνή libri Strabonis. 2. ιά RV, ιβ' A. Strabonis locus est 11 p. 528. 3. Ἀμφιτρόπη ante W. 5. Ἀμφιτροπῆσι B, Ἀμφιτρόπης libri. 6. Ἀμφιτροπαιεύς habet Lysias c. Agorat. § 55. Ἀμφιτροπαῖος] Vid. Lobeck. Paral. p. 27. 6. εἰς ante η om. *Π*. 9. δὲ add. R. 11. Λυκόφρων] vs. 900. Εὐρυάμπιον *Π*, εὐρυαμπνον V, εὐρὺ ἄμπιον AR. 12. Ἀμφρυσσεύς V. 13. βιβλίον ε ante Ἀναγυροῦς *Π*R. 16. ὡς om. V. 17. 18. εἰς τὸ Φλιοῦς Φλιάσιος RV, ὡς τὸ Φλυοῦς Φλυάσιος A. cf. Lobeck. Path. p. 432. 19. Ἀναζαρβά libri. 20. ὄρους add. *Π*RV. Ἀναζάρβα M, Ἀζάρβα libri, Ἀναζάρβου B. 21. Καρυανδεύς V, Καριανδεύς R, σκαριανδεύς A. ἧς om. R. Διοσκουρίδης RV, Διοσκορίδης A.

ὁ Ἀναζαρβεύς, ὁ πολλά τε καὶ ἄλλα καὶ περὶ ποταμῶν γράψας βιβλίον.

Ἀναία, παροξυτόνως, οὐχ ὡς Λίλαια Ἱστίαια Κάρθαια. ἔστι δὲ Καρίας. „ἀντικρὺ Σάμιοιο". κέκληται ἀπὸ Ἀναίας Ἀμαζόνος ἐκεῖ ταφείσης, ὡς Ἔφορος. τὸ ἐθνικὸν Ἀναῖος. ἐντεῦθεν ἦν Μενέλαος ὁ περιπατητικὸς φιλόσοφος. καὶ Μέλας ἱστορικὸς Ἀναῖος. Θουκυδίδης ἐν τρίτῃ Ἀναΐτας φησὶ τοὺς πολίτας. καὶ θηλυκόν.

Ἀνακαία, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἀνακαιεύς. τὰ τοπικὰ Ἀνακαίαθεν Ἀνακαίαζε Ἀνακαίασιν. οἱ δὲ λέγοντες Ἀνακωνόθεν Ἀνακῶνάδε Ἀνακωνᾶς οὐ καλῶς φασίν.

Ἀνάκη, ὡς Ἀνάφη, πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Ἀνακαῖος ὡς Ἀναφαῖος.

Ἀνακτόριον, Ἀκαρνανίας πόλις, οὐδετέρως, Κορινθίων ἄποικος. Θουκυδίδης τετάρτῃ. ἀρσενικῶς παρὰ Σοφοκλεῖ. τὸ ἐθνικὸν Ἀνακτόριος καὶ Ἀνακτορία ἡ γῆ καὶ Ἀνακτοριεύς. Σοφοκλῆς δέ φησι διὰ τῆς ει „Ἀνακτόρειον τῆσδ' ἐπώνυμον

---

1. πολλά τε ἄλλα? βοτανῶν pro ποταμῶν H. 2. βιβλίων R. 3. παροξυτόνως] Ita Pausan. 7, 4, 3. at Ἄναια, genere neutro, Thucyd. 3, 32. 4, 75. 8, 10. ὡς οὐχὶ V. Λίλαια AR, Λύλαια H, Λίγαια V. βάρθαια R. 4. Σάμιοιο RV, Σάμιου A. verba ἀντικρὺ [δὲ] Σάμιοιο fortasse epici versus laciniae. 5. ταιφείσης V. Εὔφορος V. 6. μέγας X, qui haec coniunxit φιλόσοφος καὶ μέγας ἱστορικός. Μέλας nomen, quamquam non sine exemplo (Keil. Anall. epigr. p. 197.), fortasse tamen corruptum est. 7. τρίτῃ] c. 19. Ἀναΐας R. 8. θηλυκόν RV, θηλυκῶς A. Ἀναΐτις add. B. 10. Ἀνακαιᾶθεν RV, quae si vera est τόνωσις, ad eandem normam etiam reliqua conformanda sunt. Ἀνακαίαζε M, Ἀνακαίασε V, Ἀνακαίαδε AR, Ἀνακαίανδε B. Ἀνακαίασιν M, Ἀνακαίας libri, Ἀνακαιᾶσι B. 11. Ἀνακῶνόθεν R. Ἀνακωνάδε RV, Ἀνακώναδε A. Ἀνακωνᾶς AV, Ἀνακωνᾶσε R, Ἀνακωνᾶσι B. verum videtur Ἀνακῶνι. 11. 12. οὐκ ἀσφαλῶς φασί V. 13. Ἀνάγκη et Ἀναγκαῖος V. 15. Ἀνακτόριον B, Ἀνακτόρειον R, Ἀνακτόρεια AV. 16. τετάρτῃ (ά RV) c. 49. ἀρσ παρὰ σοφ R. 17. ἐθνικὸν Salmasius, θηλυκὸν libri. 18. Σοφοκλῆν δέ φασι V. διὰ τῆς ει M, διὰ τοῦ ι libri. Ἀνακτόριον libri.

χθονός". καὶ Εὐγένιος δέ, ὁ πρὸ ἡμῶν τὰς ἐν τῇ βασιλίδι σχολὰς διακοσμήσας, ἐν συλλογῇ λέξεων διὰ διφθόγγου φησίν. ἔοικε δ' ἀστιγεῖ ἐντετυχηκέναι βιβλίῳ· ἡμεῖς γὰρ διὰ τοῦ ι εὕρομεν.

Ἀναριάκη, πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. Στράβων. τὸ ἐθνικὸν Ἀναριάκαι, ὡς λέσχη Λέσχης καὶ ἀράχνη ἀράχνης. ἐν ᾗ δείκνυσθαί φασι μαντεῖον κοιμωμένων.

Ἄνανα, πόλις Φρυγίας, ὡς Ἡρόδοτος. τὸ ἐθνικὸν Ἀναναῖος ἢ Ἀνανεύς· ἐπειδὴ χαίρουσι [τοῖς] εἰς ευς οἱ Φρύγες.

Ἀνάφη, νῆσος μία τῶν Σποράδων πλησίον Θήρας, ἥ τις ἀπὸ Μεμβλιάρου τοῦ σὺν Κάδμῳ πλεύσαντος εἰς ἀναζήτησιν Εὐρώπης Μεμβλίαρος ἐκαλεῖτο. τοῖς δ' Ἀργοναύταις ὑπὸ χειμῶνος τρυχομένοις καὶ σκοτομήνης ἀναφανεῖσα Ἀνάφη ἐπικέκληται. καὶ Ἀναφαῖος τὸ ἐθνικόν.

Ἀνάφλυστος, δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Ἀναφλύστου ἥρωος. Παυσανίας δευτέρῳ „Τροιζῆνος οἱ παῖδες Ἀνάφλυστος καὶ Σφῆττος". ὁ δημότης Ἀναφλύστιος. τὰ τοπικὰ Ἀναφλυστόθεν Ἀνάφλυστόνδε Ἀναφλυστοῖ.

Ἀνδανία, πόλις Μεσσήνης, ὁμώνυμος τῇ χώρᾳ. οὕτω γὰρ καὶ ἡ Μεσσήνη Ἀνδανία ἐκαλεῖτο, ἣν οἰκῆσαί φασί τινας τῶν Κρεσφόντου καὶ οὕτως καλέσαι διὰ τὸ μὴ ἁνδάνειν αὐτοῖς.

---

1. *Εὐγένειος* R. 3. *ἀστιγεῖ* RV, *ἀστεγεῖ* Π, *ἀγενεῖ* A. cf. s. v. *Βύβρας: εὕρηται καὶ ἰσοσύλλαβος ἡ κλίσις ἐν ἀστιγεῖ βιβλίῳ.* ita dicit librum interpunctionibus non distinctum ideoque non correctum. ita Cometas Anthol. Pal. 15, 38. *εὑρὼν Κομητᾶς τὰς Ὁμηρείους βίβλους ἐφθαρμένας τε κοὐδαμῶς ἐστιγμένας, στίξας διεσμίλευσα ταύτας ἐντέχνως.* cf. Villois. Diatr. 307. et Lehrs Arist. 371. ceterum haec de Eugenio epitomatoris potius videntur quam Stephani.
5. *ὀστράβων* R. locus est 11 p. 507 sq. 514. 6. *Ἀναριάκαι* RV, *Ἀναριακός* Pa, *Ἀναριακαί* Pb, *Ἀναριάκης* A. 7. *φασι* RV, *φησι* A. *ἐγκοιμωμένων* Casaubonus e Strab. 8. *Ἡρόδοτος*] 7, 30.
9. *Ἀναβαῖος ἢ Ἀναβεύς* RV. *τοῖς* add. Casaubonus. 11. *Μεμβλιάρου* Pp, *Μεμβλιάρους* RV, *Μεμβλίαρος* A. 12. *Βεμβίαρος* V, *Μεμβίαρος* R. 13. *σκοτομήνης* PpΠRV, *σκοτομήνη* A, *σκοτομήνη* X. 16. *δευτέρῳ*] 30, 9. *Τροίζηνος* libri. 20. *οἰκῆσαι* R, *οἰκίσαι* AV. 21. *Κραισφόντου* R. *αὐτούς* PpRV.

τὸ ἐθνικὸν Ἀνδανιεύς, ὡς Φίλων ἐν τῇ περὶ πόλεων. ἐκ ταύτης Ἀριστομένης ἐγένετο, ἐπιφανέστατος στρατηγός. τοῦτον οἱ Λακεδαιμόνιοι πολλάκις αὐτοὺς νικήσαντα θαυμάσαντες, ὡς μόλις ἐκράτησαν ἐν τοῖς Μεσσηνιακοῖς, ἀνατεμόντες ἐσκόπουν εἰ παρὰ τοὺς λοιποὺς ἐστί τι, καὶ εὗρον σπλάγχνον ἐξηλλαγμένον καὶ τὴν καρδίαν δασεῖαν, ὡς Ἡρόδοτος καὶ Πλούταρχος καὶ Ῥιανός. τὸ θηλυκὸν Ἀνδανιάς. λέγεται δὲ καὶ Ἀνδάνιος, ὡς Ῥιανός.

Ἄνδειρα, πόλις [τῆς Τρωάδος], οὐδετέρως, ἐν ᾗ λίθος „ὃς καιόμενος σίδηρος γίνεται· εἶτα μετὰ γῆς τινὸς καμινευθεὶς ἀποστάζει ψευδάργυρον· εἶτα κραθεὶς χαλκῷ ὀρείχαλκος γίνεται" Στράβων ιγ' καὶ Θεόπομπος ιγ'. τὸ ἐθνικὸν Ἀνδειρηνός καὶ Ἀνδειρηνή. οὕτω γὰρ ἐκαλεῖτο ἡ μήτηρ τῶν θεῶν ἐκεῖ. ἔστι καὶ Ἄνδειρα θηλυκῶς, Φρυγίας.

Ἀνδρία, πόλις Ἠλείας, καὶ ἑτέρα Μακεδονίας, ὡς Φιλέας ἐν περίπλοις. ὁ πολίτης Ἀνδριεύς. Τεύπαλος ὁ γράψας Ἠλειακά.

Ἄνδρος, νῆσος μία τῶν Κυκλάδων, ἐκλήθη ἀπὸ Ἄνδρου τοῦ Εὐρυμάχου, ἢ τοῦ Ἀνίου ἀδελφοῦ, τοῦ πατρὸς τῶν Οἰνοτρόπων. τινὲς δέ φασιν Ἀνδρέα τοῦτον καὶ Ἀνίου παῖδα. τὸ ἐθνικὸν Ἄνδριος ὡς Λίνδιος Κνίδιος Μύνδιος.

---

1. τὸ ἐθνικὸν Ἀνδανιεύς] Haec fortasse l. 7 post Ῥιανός transponenda sunt. 4. ἐν τοῖς Μεσσηνιακοῖς PpΠR, ἐν τῇ Μεσσηνιακῇ A. haec verba, quae Siebelisius post Ῥιανός transponi voluit, melius legerentur post ἐπιφανέστατος στρατηγός. 5. περὶ RV. 6. 7. Ἡρόδοτος καὶ Πλούταρχος] Vid. Anall. Alex. p. 195 sqq. 9. τῆς Τρωάδος add. B. 10. 11. ὃς — ψευδάργυρον] Strabonis verba hic illic mutata. 12. ὁ Στράβων RV. ιγ'] p. 610. 16. περίπλῳ? 17. Ἠλειακά PaΠR, Ἰλιακά AV. Teupali, Eliacorum scriptoris, nomen suspectum; fortasse Τευτίαπλος legendum, cuius nominis hominem Eliensem memorat Thucyd. 3, 29. nisi potius apud hunc Τεύπαλος scribendum. 19. Ἀνίου PpRV, Ἀνανίου A. 20. Ἀνδρέα B, Ἀνδριέα libri. Ἀνίου PpRV, Ἀνανίου A. fort. Πηνειοῦ. vid. Pausan. 9, 34, 6 et 10, 13, 4. 21. Λίνδιος ante B. Μύνδιος X, Μύδιος libri.

Ἀνεμώρεια, πόλις Φωκίδος, ἡ νῦν Ἀνεμώλεια. Ὅμηρος „οἵ τ᾽ Ἀνεμώρειαν καὶ Ὑάμπολιν ἀμφενέμοντο". καὶ Λυκόφρων „πάτραν Λίλαιαν κἀνεμωρείας πέδον". ὠνόμασται ἀπὸ τοῦ συμβαίνοντος· ὑπερκείμενον γὰρ αὐτῆς τὸ καλούμενον Κατοπτήριον χωρίον, [ἐξ οὗ] δι᾽ ἡμέρας καὶ νυκτὸς καταιγίζεται πανταχόθεν. ἔστι δὲ μεθόριον Φωκίδος καὶ Δελφῶν, κειμένη ἐπὶ λόφου ὑψηλοῦ. ὁ πολίτης Ἀνεμωρεύς ὡς Λυκωρεὺς Ἀπόλλων.

Ἀνητοῦσσα, πόλις Λιβύης. ὁ πολίτης Ἀνητουσσαῖος ὡς Σκοτουσσαῖος, ὡς ὁ πολυΐστωρ φησίν.

Ἀνθάνα, πόλις Λακωνική, μία τῶν ἑκατόν. κέκληται δέ, ὡς Φιλοστέφανος, παρὰ Ἄνθην τὸν Ποσειδῶνος, ὃν Κλεομένης ὁ Λεωνίδου ἀδελφὸς ἀνελὼν καὶ ἐκδείρας ἔγραψεν ἐν τῷ δέρματι τοὺς χρησμοὺς ὧδε τηρεῖσθαι. Χάραξ Ἀνθήνην αὐτήν φησιν. ὁ πολίτης Ἀνθανεύς. ἔστι καὶ Ἀρκαδίας πόλις.

---

1. *Ἀνεμώρειαν* PpV, *Ἀνεμώρειον* AR. *Ὅμηρος*] Il. 2, 521. 2. 3. *Λυκόφρων*] vs. 1073. 3. *κἀνεμωρείας* V, *Ἀνεμωρείας* AR. *ὠνόμασται*] Haec noster ex Strabon. 9 p. 423. ex Stephano Eustathius ad Hom. p. 274, 42. 4. *ἀμβαίνοντος* ante X. *πάθους* addit Strabo et Eustathius. 5. *καὶ τὸ πτήριον* V. *Κατοπτευτήριον* vocat schol. Hom. Il. 13, 521. *ἐξ οὗ* add. ex Eustathio. 6. *καταιγίζεται* RV, *καταιγιζόμενον* A. *μεθώριον* R. 7. *Ἀνεμωρεύς* Salmasius, *Ἀνεμωριεύς* libri. 9. *Ἀνήτουσσα* libri. in huiuscemodi nominum scriptura hanc ubique legem secutus sum, ut quae unum sigma haberent, proparoxytonôs, quae duo, properispomenôs scriberem. itaque perinde est *Πιτύουσα* scribatur an *Πιτυοῦσσα*, *Αἴγουσα* an *Αἰγοῦσσα*, *Αἰγείρουσα* an *Αἰγειροῦσσα*, *Ῥόδουσα* an *Ῥοδοῦσσα*, *Ἀνήτουσα* an *Ἀνητοῦσσα*. vitiose contra *Πιτύουσσα* et *Πιτυοῦσα*, *Αἴγουσσα* et *Αἰγοῦσα* etc. cf. Herodiani praeceptum apud Arcad. p. 97, 15. *πόλις Λιβύης*, quae hoc loco habent RV, post *φησίν* add. A. *Ἀνητουσσαῖος* ΠRV, *Ἀνητουσαῖος* A. 10. *Σκοτουσσαῖος* V, *Σκοτουσαῖος* AR. *ὡς ὁ* R, *ὡς* AV. 11. *Ἀνθάνα* R, *Ἀνθήνη* V. fort. *Ἀνθάνα ἢ Ἀνθήνη*. *τῶν* om. V. 12. *παρὰ Ἄνθην τὸν Ποσειδῶνος* om. R. post *Ποσειδῶνος* fortasse lacuna indicanda erat; ineptum enim est Anthen, Neptuni filium, a Cleomene interfectum et excoriatum dici. excidisse videtur: *ἐκ ταύτης ἐγένετο* [*ὁ δεῖνα*]. 13. *ἔγραψεν* APpV, *ἔγραφεν* R. 14. *ὧδε* add. R. 15. *αὐτήν* om. R.

Ἄνθεια, πόλις Πελοποννήσου, πλησίον Ἄργους, ὡς Φίλων. τὸ ἐθνικὸν Ἀνθεύς. ἔστιν Ἄνθεια καὶ τοῦ Πόντου πόλις πρὸς τῇ Θρᾴκῃ, Μιλησίων καὶ Φωκαέων ἄποικος, ἧς μέμνηνται πολλοὶ καὶ Φιλέας. ἔστι καὶ κώμη Λιβύης. ἔστι καὶ Ἰταλίας Ῥώμης πλησίον, ἥ τις καὶ Ἄντιον μετωνομάσθη, ὡς εἰρήσεται.

Ἀνθεμοῦς, πόλις Μακεδονίας καὶ Συρίας, ἀπὸ ἀνθέμου. ὁ πολίτης Ἀνθεμούσιος καὶ Ἀνθεμουσία. ἔστι καὶ Ἀνθεμουσὶς λίμνη Μαριανδυνῶν, ἣν Ἀπολλώνιος διαλύσας ἐν τοῖς Ἀργοναυτικοῖς Ἀνθεμοεισίδα φησίν.

Ἀνθηδών, πόλις Βοιωτίας. Ὅμηρος „Ἀνθηδόνα τ' ἐσχατόωσαν". ἀπὸ Ἀνθηδόνος τοῦ Δίου τοῦ Ἄνθου τοῦ Ποσειδῶνος καὶ Ἀλκυόνης τῆς Ἄτλαντος. συνῴκισαν δ' αὐτὴν Θρᾶκες, ὡς Λυκόφρων „ἀστῷ σύνοικος Θρῃκίας Ἀνθηδόνος". ἢ διὰ τὸ πασῶν ἀνθηροτάτην εἶναι. ἔστι καὶ ἑτέρα πόλις πλησίον Γάζης πρὸς τῷ παραλίῳ μέρει. ὁ πολίτης τῆς προτέρας Ἀνθηδόνιος. ἔστι καὶ λιμὴν Ἀνθηδόνιος. „ἀνηγορεύθη Νίκων παγκρατιαστὴς Ἀνθηδόνιος". καὶ Λεωνίδης ζωγράφος, Εὐφράνορος μαθητής, Ἀνθηδόνιος. τῆς δευτέρας ὁ πολίτης Ἀνθηδονίτης.

Ἀνθήλη, κώμη .... Ἡρόδοτος ἑβδόμῃ. Ἡρωδιανὸς

---

1. Ἄνθα V. 2. Πόντου libri et Eustathius ad Hom. p. 743, 22, Ἑλλησπόντου X. 7. 8. ἀνθέμου M, ἀνθεμοῦντος libri. 9. Ἀνθεμουσῆς V. Μαριανδηνῶν R. 10. τοῖς Ἀργοναυτικοῖς M, τῇ Ἀργοναυτικῇ libri. locus est 2, 726. Ἀνθεμοεισίδα ex Apollonio X, Ἀνθεμουσίδα libri. 11. Ὅμηρος] Il. 2, 508. 12. ἐσχατόωσαν R, ἐσχατόεσσαν AV. 13. Ἀλκυόνης PpRV, Ἄλκης A. Ἄτλαντος HB, Ἄβαντος libri. 14. Λυκόφρων] vs. 754. 15. πόλις om. ΠRV. 17. et in seqq. Ἀνθηδόνιος et Ἀνθηδονίτης R, Ἀνθηδώνιος et Ἀνθηδωνίτης AV. ἔστι καὶ — παγκρατιαστὴς Ἀνθηδόνιος om. V. 17. 18. ἀνηγορεύθη Νίκων PpRV et Eustathius ad Hom. p. 271, 33, ἀνηνίκων A. sunt fortasse Phlegontis Tralliani verba. 21. Ἀνθηλη R. lacunam libri om. ἑβδόμῃ] c. 200, ubi κώμη Ἀνθήλη legitur; at 176 Ἀνθηλῆς πόλιος. Ἡρωδιανὸς] Duodecimo τῆς καθόλου, ut videre licet ex Arcad. p. 109, 5. ubi Ἀθήλη editur.

δὲ πόλιν αὐτήν φησι καὶ ἄλλοι. καὶ Ἀνθήνη ἐκλήθη. τὸ ἐθνικὸν Ἀνθηναῖος. καὶ „Ἀνθήνηθεν ἵκοντο".

Ἄνθιον, πόλις Ἰταλίας. Κουάδρατος ἐν δευτέρᾳ Ῥωμαϊκῆς χιλιάδος. ὁ πολίτης Ἀνθιανός, ὡς αὐτός.

Ἄνθυλλα, πόλις Αἰγύπτου. Ἡρόδοτος δευτέρᾳ „τουτέων δὲ ἡ μὲν Ἄνθυλλα ἐοῦσα λογίμη πόλις ἐς ὑποδήματα ἐξαίρετος". τὸ ἐθνικὸν Ἀνθυλλαῖος, ὡς Ἄβολλα Ἀβολλαῖος, καὶ Ἀνθυλλίτης, διὰ τὸν τύπον.

Ἄννα, πόλις τῆς Ἰουδαίας ὑπὲρ Ἱεριχοῦντα. τὸ ἐθνικὸν Ἀννίτης, ὡς Ἰώσηπος, καὶ Ἀννιανός ἀπὸ τοῦ Ἀννία.

Ἀννίχωρον. μέμνηται Ἀλκμάν. οἱ οἰκοῦντες Ἀννίχωροι καὶ Ἀννίχωρες, πλησίον Περσῶν κείμενοι.

Ἀνταιούπολις, πόλις ἐν Αἰγύπτῳ. τὸ ἐθνικὸν Ἀνταιοπολίτης. λέγεται καὶ Ἀνταίων ὡς Ἀκταίων. ἀφ' οὗ ἡ πόλις.

Ἄντανδρος, πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων. τὸ ἐθνικὸν Ἀντάνδριος. Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι, ἢ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη. τὰ ἐθνικὰ τῆς μὲν Ἠδωνίδος Ἠδωνοί, τῆς δὲ Κιμμερίδος Κιμμέριοι.

Ἄντεμνα, πόλις Σαβίνων, μία τῶν ἀνθεστηκυιῶν Ῥωμύλῳ. τὸ ἐθνικὸν Ἀντεμνάτης ὡς Ῥαβεννάτης.

---

2. Ἀνθήνηθεν ἵκοντο fortasse Rhiani sunt ex Achaicis. 5. δευτέρᾳ] c. 98. 6. ἐοῦσα om. V. 7. ἐξαίρετος Herodotus, ἐξαιρέτως libri. Ἀνθυλαῖος (λ suprascr.) R. 8. διὰ τὸν τύπον] I. e. διὰ τὸν Αἰγύπτιον τύπον. 9. Ἱεριχοῦντα RV, Ἱερουχοῦντα A. 10. Ἀννίτης PpRV, Ἀνναvίτης A. Ἰώσηπος] Al. 5, 1, 12, qui urbem Ἄϊναν et incolas Ἀϊνίτας vocat. Ἀναριανός R. Ἀννία Salmasius, Ἀνναvία libri. 16. 17. τῆς Αἰολίδος melius legeretur post πόλις. 17. τοῦ om. RV. 18. φησὶ om. V. 19. διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι ἢ add. Pp*Π*RV. malim vero Ἠδωνοὺς Θρᾷκας. οἰκῆσαι PpV, οἰκίσται *Π*, οἰκίσαι R. καὶ pro ἢ Vossius. 20. οἰκούντων Pp*Π*RV. 21. Κιμμερίδος Pp*Π*RV, Κιμμερίας A.

Ἄντεια, πόλις Ἰταλίας ὑπήκοος Ῥωμαίων. ἐκλήθη δὲ ἀπὸ Κίρκης παιδός. „Ὀδυσσέως γὰρ καὶ Κίρκης υἱοὺς [γενέσθαι] τρεῖς, Ῥῶμον Ἀντείαν Ἀρδείαν". ὁ πολίτης Ἀντεάτης ὡς Ἀρδεάτης. ἔστι καὶ Ἄντιον πόλις, οὐδετέρως, μετὰ Λωρεντὸν τῆς Ἰταλίας. τὸ ἐθνικὸν Ἀντιεὺς ὡς Σουνιεύς.

Ἀντιγόνεια, πόλις Χαονίας ἐν Ἠπείρῳ. ὁ πολίτης Ἀντιγονεύς. ἔστι καὶ πόλις Ἀρκαδίας, ἡ πρότερον Μαντίνεια. τρίτη Μακεδονίας, Ἀντιγόνου κτίσμα τοῦ Γονατοῦ. τετάρτη Βιθυνίας πρὸς τῷ Δασκυλίῳ. πέμπτη ἐν τῇ Συρίᾳ πλησίον Ἀντιοχείας. ἔστι καὶ φρούριον τῆς Κυζικηνῆς ἀπέχον τῆς προσεσπέρου θαλάσσης ὡς σταδίους ν'. τὸ ἐθνικὸν τὸ αὐτό.

Ἀντιγονίς, φυλὴ τῆς Ἀττικῆς, ἀπ' Ἀντιγόνου. ὁ φυλέτης Ἀντιγονεὺς ὡς Αἰγικορεύς.

Ἀντικονδυλεῖς, οἱ ἐν Βοιωτίᾳ Κολοίφρυγες, ὡς Ἀριστοφάνης ὁ τοὺς Θηβαίους ὅρους γεγραφώς.

1. *Ἀντία* postulat literarum series; *Ἄντεια* si recte habet (et fidem facit huic formae gentilicium *Ἀντεάτης*), haec sectio praecedenti de Antemnis praeponenda est. 2. *υἱοὺς* M, *υἱοὶ* libri. 3. *γενέσθαι* add. M. *Ῥῶμον Ἀντείαν Ἀρδείαν* M, *Ῥῶμον Ἄντειαν Ἄρδῖαν* R, *Ῥῶμος Ἄντεια Ἄρδικος* V, *Ῥῶμος Ἄντεια Ἄρδεια* A. vid. Dionys. Hal. 1, 72: *Ξεναγόρας δὲ ὁ συγγραφεὺς Ὀδυσσέως καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς, Ῥῶμον Ἀντίαν Ἀρδέαν*, ubi Vat. *Ἀρδείαν* habet pro *Ἀρδέαν*, Eusebius Cram. AP. 2 p. 162 *Ἀρχιέαν*. 4. *Σαρδεάτης* fere libri. *Ἄντιον*] Eadem quae superior. 5. *Λώρεντον* libri. 6. *Ἀντιγόνεια* X, *Ἀντιγένεια* libri. 8. *Γονάτου* libri. 9. *Δασυσκυλίου* R. 10. *τῆς Κυζικηνῆς*] Falso hanc eandem fuisse cum Alexandria Troica arbitratur B. 11. *πρὸς ἑσπέρου* B. 12. *Ἀντιγονίς*] Hoc tmema in libris post *Ἀντικύραι* legitur. 12. 13. *φυλῆς* V. 14. *Ἀντικονδουλεῖς* V. *Κολοίφρυγες* B, *Κόλοι Φρύγες* libri. Hesychius: *Κολοίφρυξ· Ταναγραῖος ἀλεκτρυών, καὶ ὄρος Βοιωτίας* quae obscura laborant brevitate. *Ἀντικονδυλεῖς* dicti fuisse videntur qui Anticondylum Boeotiae vicum in colle (*κονδύλῳ*) positum inhabitarent, ex adverso Condyli, ut Cragus et Anticragus et Phellus et Antiphellus in Lycia. ii cur dicti sint Colophryges obscurum est. fuisse videntur in vicinia Tanagrae, gallis nobilitatae. 15. *τοὺς Θηβαίους ὅρους*] Videtur idem liber significari quem Thebaica appellat Photius v. *Ὁμολώιος*, Boeotica noster v. *Χαιρώνεια*. ex eodem ducta videntur quae de Argynno Boeoto leguntur infra v. s. *Ἀργύννιον*. Aristophanes autem ille genere

Ἀντικύραι πόλεις δύο, ἡ μία Φωκίδος, ὡς Δημήτριος ὁ Καλλατιανός, ἡ δὲ ἐν Μαλιεῦσιν, ὡς Ἀπολλόδωρος. ἐνταῦθά φασι τὸν ἐλλέβορον φύεσθαι τὸν ἀστεῖον. ὁ πολίτης Ἀντικυρεὺς ὡς Παλαιρεύς. ἦν δὲ καὶ ἀνήρ τις Ἀντικυρεύς, ὅν τινά φασιν ἐλλεβορίσαι τὸν Ἡρακλέα μετὰ τὴν μανίαν. καὶ Ἀντικυραῖος, ὡς Μάρκελλος ἰατρός.

Ἀντινόεια, πόλις Αἰγύπτου, ἀπ' Ἀντινόου παιδός. τὸ ἐθνικὸν Ἀντινοεύς. ἐκλήθη ἡ πόλις καὶ Ἀδριανούπολις.

Ἀντιόχεια. δέκα πόλεις ἀναγράφονται, εἰσὶ δὲ πλείους. πρώτη Σύρων. ἡ δευτέρα ἐκλήθη ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, Λυδίας. τρίτη Μεσοποταμίας, Μυγδονία καλουμένη, ἥ τις πρὸς τῶν ἐπιχωρίων Νάσιβις καλεῖται, ὅθεν Ἀπολλοφάνης ὁ στωικὸς φιλόσοφος Νασιβηνὸς καὶ Φαρνοῦχος ὁ Περσικὰς ἱστορίας συγγεγραφώς. ἥ τις [καὶ] Νέσιβις λέγεται καὶ Νίσιβις. τετάρτη Πισιδίας. πέμπτη μεταξὺ κοίλης Συρίας καὶ Ἀραβίας, Σεμιράμιδος. ἕκτη Κιλικίας ἐπὶ τοῦ Πυράμου.

---

fuit Boeotus teste Plutarcho Mal. Herod. p. 864 c. *Ἀριστοφάνους τοῦ Βοιωτοῦ γράψαντος, ὅτι χρήματα μὲν αἰτήσας (Ἡρόδοτος) οὐκ ἔλαβε παρὰ Θηβαίων, ἐπιχειρῶν δὲ τοῖς νέοις διαλέγεσθαι καὶ συσχολάζειν ὑπὸ τῶν ἀρχόντων ἐκωλύθη δι' ἀγροικίαν αὐτῶν καὶ μισολογίαν.* eundem iterum ad partes vocat p. 867 c. *οὔτε Λεοντιάδης ἐν Θερμοπύλαις ἦν στρατηγός, ἀλλ' Ἀνάξανδρος, ὡς Ἀριστοφάνης ἐκ τῶν κατ' ἄρχοντας ὑπομνημάτων ἱστόρηκεν.* quae omnia non dubium est quin ex eodem sive *Βοιωτιακῶν* sive *Θηβαϊκῶν* libro ducta sint, quem cum noster *Θηβαίους ὅρους* ineptissime vocet, videndum ne id *Θηβαίων ὥρους*, Thebanorum annales, scribendum sit. 1. *Ἀντίκυραι* V, *Ἀντίκυρα* AR. *πόλις* R. 2. *Μαλλιεῦσιν* R. 2. 3. *ἐνταῦθα*] Apud Malienses. cf. Strabo 9 p. 418. 4. *Ἀντισαρεύς* pro *Παλαιρεύς*? 6. *Ἀντικυραῖος*] Hoc ad patriam Marcelli spectat, non ut exemplum huius formae ex Marcello affertur. 7. *ἀπ'* add. RV. 9. *ἀναγράφονται*] A Philone, ut probabiliter H. 10. *ἡ* add. R. *ὑπὸ* R. 11. *Λυδιάς* R. 12. *πρὸς* M, *πρὸ* RV, *παρὰ* A. *Νάσιβις* B, *Νασίβη* H, *Ἀσίβη* AR, *Ἀσήβη* V. 13. *Ἀσιβηνὸς* libri. *Βαρνοῦχος* Π. *ὁ* add. R. 14. *καὶ* add. H. *Νέσιβις* M, *Νισίβη* libri. 15. *Ποσιδίας* V. 16. *Ἀραβίας* [*ἡ πρότερον Γάδαρα λεγομένη,*] *Σεμιράμιδος* [*κτίσμα*]? cf. s. v. *Γάδαρα*.

ἑβδόμη Πιερίας, ἣν Ἄραδον οἱ Σύροι καλοῦσιν. ὀγδόη ἡ ἐπὶ τῆς Καλλιῤῥόης λίμνης. ἐνάτη ἐπὶ τῷ Ταύρῳ ἐν Κομμαγηνῇ. δεκάτη ἐν Σκυθίᾳ. ἑνδεκάτη Καρίας, ἥ τις καὶ Πυθόπολις ἐκαλεῖτο. „Ἀντιόχῳ γὰρ τῷ Σελεύκου τρεῖς γυναῖκες ἐπέστησαν ὄναρ, κτίσαι πόλιν ἐν Καρίᾳ ἑκάστη λέγουσα· ὁ δὲ ὑπολαβὼν τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὴν ἀδελφήν, κτίζει [τρεῖς πόλεις] ἀπὸ μὲν τῆς ἀδελφῆς Λαοδίκης Λαοδίκειαν, ἀπὸ δὲ τῆς γυναικὸς Νύσης Νῦσαν, ἀπὸ δὲ τῆς μητρὸς Ἀντιοχίδος Ἀντιόχειαν". Ἀντιοχὶς οὖν ὄνομα καὶ τῆς μητρὸς καὶ ἐθνικὸν τῆς πόλεως καὶ φυλῆς ὄνομα. δωδεκάτη ἐν τῇ Μαργιανῇ Παρθυαίων, περὶ ἧς Στράβων ἑνδεκάτῃ. τρισκαιδεκάτη ἡ Ταρσός. τεσσαρεσκαιδεκάτη Ἰσαυρίας, ἡ Λαμωτὶς λεγομένη. τὸ ἐθνικὸν πασῶν Ἀντιοχεύς καὶ Ἀντιόχειος καὶ Ἀντιοχίς τὸ θηλυκόν.

Ἀντιπατρίς, πόλις [Ἰουδαίας], Ἡρώδου κτίσμα ἐπὶ Ἀντωνίου Καίσαρος. τὸ ἐθνικὸν Ἀντιπατρίτης.

Ἀντισάρα, ἐπίνειον Δατηνῶν. Ἡρωδιανός „Ἀντισάρη, καὶ αὕτη πόλις". τινὲς δὲ Τισάρη γράφουσι. τὸ ἐθνικὸν Ἀντισαρεύς, ὡς Ἀντικυρεύς τῆς Ἀντικύρας.

---

1. *Ἄραδον* suspectum. 1. 2. *ἡ ὀγδόη ἐπὶ Καλλιρόης* R. 2. *Κομμαγήνῃ* X, *Κομμαγίνῃ* libri. 4. *Ἀντιόχῳ*] Haec Arriani esse videntur; leguntur item paucis mutatis apud Eustathium ad Dion. Per. 918. *Σελεύκου* X, *Σελεύκῳ* libri. 4. 5. *τρεῖς ἐφάνησαν κατ' ὄναρ γυναῖκες* Eustathius. 5. *ἐν Καρίᾳ* om. Eustathius. *θέλουσα* Eustathius. 5. 6. *ὑπολαβὼν αὐτὰς τὴν γυναῖκα εἶναι καὶ τὴν μητέρα* Eustathius. 6. *κτίζει* AR, *κτήζει* V. fort. *κλήζει*, quo utitur Arrianus, cuius haec esse suspicor, apud Eustath. ad Dion. 976. 7. *τρεῖς πόλεις* om. Eustathius. 8. *Νύσσης Νύσσαν* Eustathius. 8. 9. *Ἀντιοχίδος — τῆς μητρὸς* om. V. 10. *ὄνος* pro *ὄνομα* V. 11. *ἑνδεκάτῃ* (p. 516) B, *πεντεκαιδεκάτῃ* A, *ιβ'* V, *ιε'* R. 12. 13. *τεσσαρεσκαιδεκάτη — λεγομένη* add. PpRV. cf. Tzschuck. ad Strab. 14 p. 690. *Λαμῶτις* R. 13. *πασῶν* Salmasius, *πᾶς* RV, *πᾶν* A. 15. *Ἰουδαίας* add. B. *Ἡρώδου* PpRV, *Ἡρωδιανός* A. *ὑπὸ* RV. 16. *Ἀντωνίου* AR, *Ἀντωνίνου* PpV, *Ὀκταυΐου* H. aut hoc aut *Αὐγούστου* scribendum. *Ἀντιπάτρης* libri, correxit B. 17. *Ἀντίσαρα* libri. *Δατηνῶν* H, *Δατόνων* libri. 19. *Ἀντισάρη* Pp. cf. ad *Ἄσχρη*.

Ἄντισσα, πόλις Λέσβου ἐφεξῆς τῷ Σιγρίῳ· ἀφ᾽ ἧς Τέρπανδρος ὁ Ἀντισσαῖος, διασημότατος κιθαρῳδός. ἀπὸ Ἀντίσσης τῆς Μάκαρος θυγατρός, ἐν τοῖς Φίλωνος. ἔστι καὶ νῆσος μία τῶν Κυκλάδων. καὶ τρίτη Ἰνδικῆς, ἣν ἀναγράφει Φίλων καὶ Δημοδάμας ὁ Μιλήσιος.

Ἀντίφελλος καὶ *Φελλός*, χωρία Λυκίας. οἱ οἰκοῦντες Φελλῖται καὶ Ἀντιφελλῖται.

Ἀντίφρα, πολίχνιον Ἀλεξανδρείας ἐγγύς, οὐ πολὺ ἀπωτέρω θαλάσσης, οὐκ εὔοινον. τὸν δ᾽ οἶνον καλοῦσι βύκιον. ὁ πολίτης Ἀντιφραῖος.

Ἄντρον, τὸ σπήλαιον. τὸ τοπικὸν ἔδει ἀντρίτης, ὡς λίχνον λιχνίτης. εὕρηται δὲ ἀντραῖος, ὡς Εὐριπίδης ἐν Αἰγεῖ, καὶ ἀνταία.

Ἀντρών, πόλις Θετταλίας .... Ζηνόδοτος δὲ γράφει „ἀγχιάλην Ἀντρῶνα". λέγεται δὲ διὰ τὸ τοὺς τόπους ἀντρώδεις εἶναι. ὁ πολίτης Ἀντρώνιος. ἐξ οὗ καὶ παροιμία „Ἀντρώνιος ὄνος". [εὐφυεῖς γὰρ πρὸς μύλωνας ἔχει λίθους.]

Ἄνυσις, πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Ἀνυσίτης, ὡς Ὄασις Ὀασίτης.

Ἄνωλος, πόλις Λυδίας. ἐκλήθη ἀπὸ Ἀνώλου, τοῦ Ἀσίου παιδός. οἱ πολῖται Ἄνωλοι, καὶ τὸ θηλυκὸν Ἀνωλιάς.

---

4. καὶ] στ᾽ V. 8. *Ἀντίφραι* Strabo 17 p. 799. 9. *βύκιον* M, *βύκον* ARV, *βῦκον* Π, *Λιβυκόν* X e Strabone, ubi leg. *βύκιον* vel *βίκιον*, a *βῖκος* vel *βῦκος* i. e. *ἄγγος οἰνοδόχον*. cf. Galenus ed. Kuhn. vol. 6 p. 802: *δυσώδεις (οἴνους) καὶ ἀηδεῖς καὶ αὐστηρούς, οἷός ἐστιν ὁ φαῦλος βικὸς* (leg. *βύκιος*) *ἐν τοῖς μεγάλοις κεραμίοις.* 12. *ἀτραῖος* RV. *Αἰγεῖ* Meursius, *Αἶξί* libri. 14. indicavi lacunam. de genere nominis *Ἀντρών* actum fuisse indicat schol. Hom. Il. 2, 697: *ἀγχίαλόν τ᾽ Ἀντρῶνα· ἡ διπλῆ περιεστιγμένη, ὅτι Ζηνόδοτος γράφει ἀγχιάλην τ᾽ Ἀντρῶνα. καὶ εἰ θηλυκῶς δὲ λέγεται ἡ Ἀντρών, κοινόν ἐστι τὸ ὄνομα, ὁ ἀγχίαλος καὶ ἡ ἀγχίαλος.* 15. *ἀγχιάλην τ᾽* M, *ἀγχίαλον* libri. 17. *οἶνος* pro *ὄνος* R. *εὐφυεῖς — λίθους*] Haec addidi ex Eustathio ad Hom. p. 324, 37: *ὁ δὲ τὰ ἐθνικὰ συλλέξας καὶ τὸν ἐν παροιμίαις Ἀντρώνιον ὄνον ἐντεῦθεν εἰρῆσθαι λέγει. εὐφυεῖς γάρ, φησί, πρὸς μύλωνας ἔχει λίθους.* atque haec eadem verba supra v. *Ἀγκών* male sedula manus ex hoc loco, in quo e libris exciderunt, intulit. 21. *Ἀνώλιοι?* *ἐθνικὸν* pro *θηλυκὸν*

Ἀξία, πόλις Λοκρῶν τῶν Ὀζολῶν, ἀπὸ Ἀξίας τῆς θυγατρὸς Κλυμένου ἢ τοῦ παιδὸς τοῦ Ἀξίου. ἔστι καὶ πόλις Ἰταλίας. τὸ ἐθνικὸν τῆς Λοκρίδος Ἀξιεύς καὶ τὸ θηλυκὸν Ἀξιάς, τῆς δ' Ἰταλικῆς Ἀξιάτης καὶ θηλυκῶς [Ἀξιᾶτις] διὰ τὸν δυτικὸν χαρακτῆρα.

Ἄξος, πόλις Κρήτης, ὡς Ἡρόδοτος ἐν τετάρτῃ. τὸ ἐθνικὸν Ἄξιος.

Ἄξουμις, ἀρσενικῶς, μητρόπολις Αἰθιόπων. ὁ πολίτης Ἀξουμίτης.

Ἄονες, ἔθνος Βοιωτίας, ἀφ' ὧν ἡ Ἀονία. καὶ Ἄων τὸ ἐθνικόν, καὶ Ἀόνιος καὶ Ἀονία.

Ἄορνος, πόλις [Βακτρίων]. ἀρσενικῶς καὶ θηλυκῶς. τὸ ἐθνικὸν Ἀορνεύς ὡς Ἀβαρνεύς.

Ἄορσοι, ἔθνος [Σκυθικόν], περὶ οὗ Στράβων ἑνδεκάτῃ. ἐθνικὸν τὸ αὐτό.

Ἀπαισός, πόλις κατὰ τὴν Τρωάδα. Ὅμηρος „οἵτ' Ἀδρήστειάν τ' εἶχον καὶ δῆμον Ἀπαισοῦ". καὶ δίχα τοῦ ᾱ „ὅς ῥ' ἐνὶ Παισῷ ναῖε πολυκτήμων". ὡς ἄρ' Ἄταρνα πόλις καὶ Τάρνα. Ὅμηρος „ὃς ἐκ Τάρνης ἐριβώλακος". τὸ ἐθνικὸν Ἀπαισηνός καὶ θηλυκὸν καὶ οὐδέτερον. ἔστι καὶ τῆς Δαυνίας πόλις Παῖσος κατ' Ἀργύριππα, ἧς τὸ ἐθνικὸν Παίσιος, ὡς

Π. Ἀνωλιάς ΠRV, Ἀνωλύας A. 2. τοῦ Ἀξίου X, ταυτξίου RV, Ταυξίου AΡΠ, τούτου Ἀξίου Salmasius. 4. Ἰταλικῆς ΠRV, Ἰταλίας A. Ἀξιᾶτις add. B. 6. τετάρτῃ] c. 154. ubi Ἀξός editur. 8. Ἄξουμις Salmasius, Ἀξιουμίτης R, Ἀξουμίτης AV. ἀρσενικῶς suspectum est et ad praecedentem sectionem de Axo pertinere videtur. 9. Ἀξιουμίτης R. 10. Ἀών V. 11. ἐθνικόν H, ἔθνος libri. 12. Βακτρίων add. M. cf. Arrianus Anab. 3, 29: τὴν στρατιὰν ἐς Ἄορνόν τε ἦγε καὶ Βάκτρα, αἳ δὴ μέγισται εἰσι πόλεις ἐν τῇ Βακτρίων χώρᾳ. 14. Σκυθικόν add. M. ἑνδεκάτῃ] p. 492. 506. 16. Ὅμηρος] Il. 2, 828. 18. ὅς ῥ' ἐνὶ] Il. 5, 612. Πασῷ V. ὡς ἄρ' Ἄταρνα RV, ὡς Ἄταρνα A. ὥσπερ A.? 19. Ὅμηρος] Il. 5, 44. Τάρνα] Haec non eadem quae Atarna. schol. Iliad. l. l. Τάρνης· πόλις Λυκίας (leg. Λυδίας) ἡ νῦν Σάρδεις. 21. πόλις om. V. κατ' Ἀργύριππα M, κατ' Ἀργυρίπα A, κατ' Ἀργυρίππα V, καταγυρίππα R, κατ' Ἀργυρίππην B.

τῆς Ῥωσοῦ Ῥώσιος, ἢ ὅπερ ἄμεινον Παισῖνος, διὰ τοῦ ῑ καὶ περισπωμένως τῷ ἔθει τῆς χώρας.

Ἀπάμεια, Συρίας πόλις, ἀπὸ Ἀπάμας τῆς Σελεύκου μητρός. ἐκλήθη καὶ Χερρόνησος ἀπὸ τῆς περιοχῆς τῶν ὑδάτων, καὶ Πέλλα ἀπὸ τῆς ἐν Μακεδονίᾳ. ἔστι καὶ ἄλλη ἐν τῇ Μεσηνῶν γῇ „τῷ Πίγρητι περιεχομένη, ἐν ᾗ σχίζεται ὁ Πίγρης ποταμός, καὶ ἐν μὲν τῇ δεξιᾷ μοίρᾳ περιέρχεται ποταμὸς Σέλλας, ἐν δὲ τῇ ἀριστερᾷ Πίγρης, ὁμώνυμος τῷ μεγάλῳ". τὰ ἐθνικὰ Χερρονησίτης καὶ Πελλαῖος καὶ Ἀπαμεύς. ἔστι καὶ τῆς μικρᾶς Φρυγίας, ἥ τις ἐκαλεῖτο Κελαιναί. τὰ ἐθνικὰ Κελαινίτης [καὶ] Ἀπαμεύς. ἔστι καὶ Βιθυνίας, κτίσμα Νικομήδους τοῦ Ἐπιφανοῦς, ἐκαλεῖτο δὲ πρῶτον Μύρλεια. τὸ ἐθνικὸν Μυρλεανός. ἔστι καὶ τῆς Περσαίας, Ἐδέσσης πρὸς ἄρκτους.

Ἀπασιάκαι, Μασσαγετῶν ἔθνος. Στράβων ἑνδεκάτῃ, καὶ Πολύβιος δεκάτῃ „οἱ δ' Ἀπασιάκαι νομάδες κατοικοῦσι μὲν ἀνὰ μέσον Ὤξου καὶ Ταναΐδος".

Ἀπάτουρον, τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν Φαναγορείᾳ, Στράβων ἑνδεκάτῃ „ἐτυμολογοῦσι δὲ οὕτως. ἐπιθεμένων ἐκεῖ

---

1. Ῥώσου libri. διὰ τοῦ ῑ] Hoc dixit propter Ἀπαισηνός, nec scribi debuit διὰ τοῦ ν̄. 3. ἀπὸ Ἄμας R, ἀπὸ ἀμοῦς V. 3. 4. Σελεύκου γυναικός? cf. Strabo 16 p. 749. et Appian. Syr. 57. nisi scriptoris error subest consimilis Liviano (38, 13) Apameae nomen ab Apama S e l e u c i s o r o r e inditum dicentis, ubi u x o r e corrigunt. 6. Μεσσηνῶν HRV. quae sequuntur Arriani esse suspicor etiam propter formam Πίγρης, quae utut vitiosa in antiquis Arriani exemplaribus frequenter legebatur. v. Eustath. ad Dion. 976. Πίγρητι RV, Τίγρητι A. 7. Πίγρης RV, Τίγρης A. 8. Σέλλας V, Σέλας R, Δέλας A. Πίγρης RV, Τίγρης A. ὁμώνυμος Pp, ὁμωνύμως ARV. 10. μεγάλης pro μικρᾶς B. 11. Κελαινέτης V. καὶ add. M. 12. Μύρλεα libri. 13. Περσίας Salmasius, qui debebat Περσίδος. Παρθυαίας H. fort. περαίας sc. τοῦ Εὐφράτου. cf. Strabo 16 p. 748. Αἰδέσσης R, Ἐδέσης AV. 15. ἑνδεκάτῃ] p. 513. 16. δεκάτῃ] c. 48. ubi Ἀσπασιάκαι legitur et νομάδες om. 17. Ὤξου P[a]RV, Ἄξου A, Ὄξου X. καὶ Ταναΐδος add. P[a]. 18. Φαναγορίᾳ libri. 19. ἑνδεκάτῃ] p. 495:

τῶν Γιγάντων ἐπικαλεσαμένη τὸν Ἡρακλέα ἔκρυψεν ἐν κευθμῶνί τινι, καὶ τῶν Γιγάντων ἕκαστον δεχομένη καθ' ἕνα τῷ Ἡρακλεῖ παρεδίδου δολοφονεῖν ἐξ ἀπάτης". Ἑκαταῖος δὲ κόλπον οἶδε τὸν Ἀπάτουρον ἐν τῇ Ἀσίᾳ. τὸ τοπικὸν Ἀπάτουρος, ἀλλὰ καὶ Ἀπατουρίτης. δύναται καὶ Ἀπατούριος καὶ Ἀπατουρεύς.

Ἀπέννιον, ὄρος διὰ μέσης Ἰταλίας τεταμένον „τὴν μέν τι μέσην ὄρος ἄνδιχα τέμνει, ὅ ῥά τε κικλήσκουσιν Ἀπέννιον". τὸ κτητικὸν Ἀπέννειος, τὸ ἐθνικὸν Ἀπεννῖνος ὡς Ῥηγῖνος, ὃ παρὰ Πεισάνδρῳ κεῖται ιγ.

Ἀπεράντεια, πόλις Θεσσαλίας. Πολύβιος εἰκοστῷ. τὸ ἐθνικὸν Ἀπεραντοί ὡς Ἀμαραντοί, ὀξυτόνως.

Ἀπέσας, ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ, ἀπὸ Ἀφέσαντος ἥρωος βασιλεύσαντος τῆς χώρας, ἢ διὰ τὴν ἄφεσιν τῶν ἁρμάτων ἢ τοῦ λέοντος· ἐκεῖ γὰρ ἐκ τῆς σελήνης ἀφείθη. ἀφ' οὗ Ζεὺς Ἀπεσάντιος. Καλλίμαχος δὲ ἐν τοῖς ἰάμβοις τὸ ἐθνικὸν Ἀπέσας φησί

κοὐχ ὦδ' Ἀρείων τῷ Ἀπέσαντι πὰρ Διί
ἴθυσεν Ἀρκὰς ἵππος.

Ἀπία, οὕτως οἱ νεώτεροι τὸ Ἄργος, καὶ τοὺς κατοικοῦντας Ἀπιδόνας. ἀπὸ Ἄπιδος τοῦ Φορωνέως, ὡς Ῥιανὸς ἐν Ἀχαϊκῶν δευτέρῳ

ὑμετέρη τοι, τέκνα, Φορωνέος Ἰναχίδαο

ἐτυμολογοῦσι δὲ τὸ ἐπίθετον τῆς θεοῦ μῦθόν τινα προστησάμενοι, ὡς ἐπιθεμένων ἐνταῦθα τῇ θεῷ τῶν Γιγάντων — κρύψειεν — εἶτα τῶν Γιγάντων — παραδιδοίη δολοφονεῖν ἐξ ἀπάτης. 7. τεταμμένον V. τὴν μέν] Dion. Per. 340. 343. 8. τε pro τι V. τέμνειν RV. ὅ ῥά Dionysius, ὄν ῥά libri. 10. περὶ V. 14. Ἀπέσαντος X. 16. ἀφείθη M, ἀφέθη libri. de re vide Anall. Alex. p. 85. Ἀπεσάντειος? 18. ὧδ' Ἀρείων R, ὧδ' Ἀρίων Bentlejus Callim. fr. 82, ὡδαρείων AV. τῷπέσαντι (τὰ πέσαντι) Bentlejus. 19. ἴθυσεν M, ἔθυσεν ARV, ἔθυσαν Π. Ἀρκὰς ἵππος ΠRV, Ἀρκάδας ἵππους A. 21. Φρονέως RV. 22. Ἀχαϊκῶν H, Ἀχαϊκῷ libri. β'ῳ R. 23. ὑμετέρη RV, ἡμετέρη A. Φορωνέως libri. Ἰναχίδαο Schubartus aliique, ἦν δ' libri. cf. Anall. Alex. p. 183.

ἀρχῆθεν γενεή. τοῦ δὲ κλυτὸς ἐκγένετ' Ἄπις,
ὅς ῥ' Ἀπίην ἐφάτιξε καὶ ἀνέρας Ἀπιδανῆας.

τὸ ἐθνικὸν Ἀπιεύς δηλῶν τὸν Πελοποννήσιον, καὶ Ἀπίηθεν τὸ ἐκ τόπου, καὶ Ἀπιδόνες καὶ Ἀπιδονῆες. Ἀπιδόνες δὲ καὶ οἱ Ἀρκάδες, ἀπὸ Ἀπιδόνος ποταμοῦ ἢ τοῦ υἱοῦ Φορωνέως Ἄπιδος. Δημήτριος δὲ καὶ ποταμὸν Ἀπιδανὸν τῆς Τρωάδος φησίν „ἐκβάλλων εἰς τὴν ἑσπέριον θάλασσαν". ὡς Τιμοσθένης. φησὶ δὲ καὶ τὰς ἀχράδας τὰς ἐν ταύτῃ τῇ χώρᾳ γινομένας Ἴστρος ἀπίους ἀπὸ ταύτης ὑπὸ τῶν ἔξωθεν λεχθῆναι. λέγεται καὶ Ἀπίς θηλυκόν, ἧς ἡ γενικὴ Ἀπίδος. οὕτω τὴν χώραν Ἐρατοσθένης ἐν Ἑρμῇ προσαγορεύει.

Ἀπίολα, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ἀπιολανός, ὡς Νῶλα Νωλανός.

Ἀποδωτοί, ὡς Βοιωτοί, ἔθνος Αἰτωλίας. Θουκυδίδης τρίτῃ „ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα Ὀφιονεῦσιν".

Ἀπόκοπα, οὐδετέρως, κόλπος ἐν τῷ Βαρβαρικῷ μυχῷ. Μαρκιανὸς ἐν περίπλῳ. τὸ τοπικὸν Ἀποκοπίτης ἢ Ἀποκοπηνός.

Ἀπολλωνία. ά πόλις Ἰλλυρίας, ἣν ᾤκουν Ἰλλυριοί, κατ' Ἐπίδαμνον. ὕστερον διακοσίων Κορινθίων ἀποικία εἰς αὐτὴν ἐστάλη, ἧς ἡγεῖτο Γύλαξ, ὃς Γυλάκειαν ὠνόμασε. τὸ

---

1. κλυτὸς ἐγένετ' R. 2. ἐφάτιξε codex Eustathii ad Dion. Per. 415, qui sua Stephano debet, ἐφάτιζε libri. Ἀπιδανῆας Eustathius, Ἀπιδονῆας A, Ἀποδονῆας RV. 6. Ἄπιδος H, Ἀπιδόνος libri. 7. ἐκβαλῶν ΠRV, ἐκβάλλοντα A. ἑσπέριον R, ἑσπέρειον AV. cf. in Ἀντιγόνεια. 8. ταύτῃ M, αὐτῇ libri. 9. ἀπίους V, ἀπίας AR. 10. Ἄπις libri. cf. ad Theocr. 25, 183. Ἄπιδος libri. 13. Νῶνα R. Νωλαός V. 14. Ἀποβωτοί ΠRV, Ἀποβοιωτοί A, correxit Ortelius. ἐθνικὸν R. 15. τρίτῃ] c. 94. Ἀποβωτοῖς ΠRV, Ἀποβοιωτοῖς A, Ἀποδώτοις Thucydides. ἔπειτα δ' Thucydides. 17. Βαρβαρικῷ Marcianus, Ἀραβίῳ RV, Ἀραβικῷ A. 18. ἐν περίπλῳ] p. 21 ed. Mill. τὸ ἐθνικὸν? 20. Ἰλλυρίας RV, Ἰλλυριάς AΠ. Ἰλλυροί Π. 21. διακοσίων] σ̄ Π, ε̄ R, ξ̄ V. 22. Γυλάκειαν M, Γυλακίαν libri.

ἐθνικὸν Ἀπολλωνιάτης καὶ θηλυκὸν Ἀπολλωνιᾶτις. β' ἐν νήσῳ πρὸς τῇ Σαλμυδησσῷ, ἀποικία Μιλησίων καὶ Ῥοδίων. γ' Μακεδονίας. δ' πόλις Λιβύης. ε' ἐν νήσῳ τῆς Ἀκαρνανίας, μία τῶν Ἐχινάδων. ϛ' ἐν Κρήτῃ πρὸς τῇ Κνωσσῷ. ζ' πλησίον Ἀλοντίνων καὶ Καλῆς ἀκτῆς. η' Μυσίας. θ' πόλις Μυσίας ἐπὶ Ῥυνδάκῳ ποταμῷ. ι' κατὰ Θυάτειρα καὶ Ἔφεσον. ια' Φωκίδος, ἣν Ὅμηρος Κυπάρισσόν φησι, διὰ τὸ πολλὰς ἔχειν κυπαρίσσους, ὡς Δίδυμος. ιβ' περὶ τὴν κοίλην Συρίαν. ιγ' κατὰ Ἰόπην. ιδ' τῆς Μεσοποταμίας. ιε' Λιβύης, ἣ Κυρήνη ἐκαλεῖτο. ιϛ' Λυδίας. ιζ' Πισιδίας, ἡ πρότερον Μορδιάιον. ιη' Φρυγίας, ἡ πάλαι Μάργιον. ιθ' ἐν Σίφνῳ τῇ νήσῳ. κ' Συρίας κατὰ Ἀπάμειαν. κα' νῆσος πρὸς τῇ Λυκίᾳ. κβ' τῶν ἐπὶ Θρᾴκης Ἰώνων, ἣν Δημοσθένης φησίν. κγ' Κρήτης, ἡ πάλαι Ἐλεύθερνα, Λίνου πατρίς. ἐκ ταύτης ὁ φυσικὸς Διογένης. κδ' ἐν Αἰγύπτῳ. κε' μεταξὺ Βαβυλῶνος καὶ Σούσων. Τρύφων ἐν τῷ περὶ παρωνύμων τὸ ἐθνικὸν εἶπεν Ἀπολλωνιεύς· ἀλλ' οὐκ ἔστιν ἐκ τῆς πόλεως, ἀλλ' ἐκ τοῦ Ἀπολλώνιον, ὡς Δουλίχιον Δουλιχιεύς.

Ἀπολλωνιεῖς, δῆμος προστεθεὶς τῇ Ἀτταλίδι φυλῇ. ὁ δημότης ὁμοίως Ἀπολλωνιεύς.

Ἀπόλλωνος νῆσος, ἐν Λιβύῃ. τὸ ἐθνικὸν Ἀπολλωνησίτης. λέγεται καὶ νησαῖος.

---

1. 2. *ἐν νήσῳ* om. Pp. 2. *ἀποικία* X, *ἄκρα* libri. fort. *πρὸς τῇ Σαλμυδησσοῦ ἄκρᾳ, Μιλησίων καὶ Ῥοδίων.* 4. *μιᾷ?* 5. *Ἀλοντίνων* Cluverus, *Λεοντίνων* libri. 6. *Θυάτειραν* IIR. *Ἄφεσον* V. 7. *Ὅμηρος*] Il. 2, 519. *τὸ τοῦ* V. 10. *Μορδιάιον* R, *Μορδιαῖον* AV. malim *Μορδιάειον.* eadem *Μόρδιον* dicitur apud Athenaeum 3 p. 81 b. compares *Ἀμόριον* = *Ἀμοριάειον*, de quo supra dictum est. 13. *Δημοσθένης*] Philipp. 3. p. 117. 14. *Ἐλευθερναλίνου* R, *Ἐλευθερναλίου* V, *Ἐλεύθερα ἀλίνου* II, *Ἐλευθερακλίνου* A, *Ἐλεύθερα Κλίνου* X, *Ἐλευθεραὶ Λίνου* H. cf. ad v. *Οἰχαλία.* 15. *Σούσων* R, *Σούνων* AV. 16. *ἐν τῇ* V. 17. 18. *Ἀπολλώνιον*] *Ἀπολλωνιεύς* non ad *Ἀπολλωνία*, sed ad *Ἀπολλώνιον*, Apollinis delubrum, revocandum esse dicit. 19. *Ἀπολλωνηίς* R. 20. *ὁμοίως* add. RV. 21. 22. *Ἀπολλωνονησίτης* Casaubonus. 22. *καὶ Ἀπολλωνονησαῖος* Salmasius.

Ἀπόλλωνος πόλις, ἐν Αἰγύπτῳ πρὸς τῷ μέρει τῆς Λιβύης, ἡ μικρά, ἧς μέμνηται Ἀπίων. δευτέρα ἡ μεγάλη ἐν Αἰγύπτῳ. τρίτη ἐν Αἰθιοπίᾳ τῇ Ἐρυθρᾷ παρακειμένη. τὸ ἐθνικὸν Ἀπολλωνοπολίτης.

Ἄπρος, θηλυκόν, πόλις Θρᾴκης. Θεόπομπος εἰκοστῇ ἕκτῃ „τοῦ δ' Ἀντιπάτρου διατρίβοντος περὶ τὴν Ἄπρον". τὰ ἐθνικὰ Ἀπραῖος [καὶ Ἄπριος].

Ἄπτερα, πόλις Κρήτης, ἀπὸ τῆς τῶν Μουσῶν καὶ Σειρήνων ἔριδος, τῆς ἐν τῷ μουσείῳ πλησίον τῆς πόλεως καὶ τῆς θαλάττης τόπῳ τοιῶσδε καλουμένῳ γενομένης, ἐν ᾧ μετὰ τὴν ἐν μουσικῇ νίκην τῶν Μουσῶν αἱ Σειρῆνες δυσφοροῦσαι τὰ πτερὰ τῶν ὤμων ἀπέβαλον καὶ λευκαὶ γενόμεναι εἰς τὴν θάλασσαν ἐνέβαλον ἑαυτάς· ὅθεν ἡ πόλις Ἄπτερα, αἱ δὲ πλησίον νῆσοι Λευκαί. οἱ δὲ ἀπὸ Γλαύκου τοῦ Κυρηναίου. ὁ πολίτης Ἀπτεραῖος. ἔστι καὶ Λυκίας πόλις, οὐδετέρως καὶ αὕτη. καὶ τὸ ἐθνικὸν Ἀπτερεύς.

Ἀραβία, ἡ χώρα, ὡς Αἰθιοπία. δύο δ' εἰσίν, ἡ μὲν ἀρωματοφόρος μεταξὺ Περσικῆς καὶ Ἀραβικῆς θαλάσσης, ἡ δὲ μᾶλλον δυτικὴ συνάπτουσα πρὸς μὲν τὴν δύσιν Αἰγύπτῳ πρὸς ἄρκτον δὲ Συρίᾳ. περὶ ἧς ὁ περιηγητὴς Διονύσιός φησι

τῆς δ' ἂν ἴδοις προτέρω νοτιώτερον οἶμον ὁδεύων
Ἀραβίου κόλπου μύχατον ῥόον, ὅστε μεσηγὺ
εἱλεῖται Συρίης τε καὶ Ἀραβίης ἐρατεινῆς.

τὸ ἐθνικὸν Ἀράβιος, ὡς ἡ παροιμία „Ἀράβιος αὐλητής", ἣν ἔταττον ἐπὶ τῶν ἀπαύστως διαλεγομένων, ἢ διὰ τὸ μηδένα Ἑλλήνων διασκευάσασθαι τὴν αὐλητικὴν ὡς οὖσαν βάναυσον καὶ παντελῶς ἀνελεύθερον, ἀλλὰ βαρβάροις αὐληταῖς χρῆσθαι.

---

6. δ' add. *Π*RV. 7. καὶ Ἄπριος add. Salmasius. 9. ἐν τῇ RV. 10. τόπων R. καλουμένων R, καλουμένης *Π*. 12. ἀπέβαλλον RV. 18. ἀροματοφόρος RV. 20. Διονύσιος] Per. 923. 21. ἴδῃς R. ὅρμον RV. 22. ῥόον] Dionysius πόρον. 23. Ἀραβίας ἐρατῆς libri. 24. τὸ κτητικόν? 25. ἐπὶ M, περὶ libri. 26. διασκευάσαι RV. 27. καὶ] τοὺς RV.

διὸ καὶ ὁ Ἀράβιος αὐλητής, ὃς „δραχμῆς μὲν ηὔλει τεττάρων δ' ἐπαύετο". τὸ ἐθνικὸν [Ἀράβιος] καὶ Ἄραβος καὶ Ἀράβισσα.

Ἄραβις, ποταμὸς Ἰνδικῆς, ἐν αὐτονόμῳ χώρᾳ, περὶ ὃν οἰκοῦσιν Ἀραβῖται, ὡς ὠκεανῖται.

Ἀράβυζα, πόλις τῆς Καυκωνίδος, ἥ τις νῦν Πεσηνοῦς ὀνομάζεται. τὸ ἐθνικὸν Ἀραβυζαῖος ἢ Ἀραβύζιος.

Ἀραδήν, πόλις Κρήτης, ἣ καὶ Ἀνώπολις λέγεται διὰ τὸ ἄνω εἶναι. ὁ πολίτης ἀπὸ τῆς γενικῆς Ἀραδήνιος, ὡς Ἀραφῆνος Ἀραφήνιος.

Ἄραδος, νῆσος Φοινίκης. ἔστι καὶ ἑτέρα τῆς Ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν Ἀράδιος. τρίτη Κρήτης. τὸ ἐθνικὸν Ἀράδιος Ἀραδία.

Ἄραζος, πόλις πρὸς τῷ Πόντῳ, ἀπὸ Ἀράζου τοῦ ἡγησαμένου. τὸ ἐθνικὸν Ἀράζιος ὡς Σαβάζιος.

Ἀραιθυρέα, οὕτως ἡ Φλιοῦς πάλαι. Ὅμηρος „Ἀραιθυρέην τ' ἐρατεινήν". Πανσανίας δευτέρῳ περιηγήσεως Ἑλλάδος φησὶν ὅτι „Ἄραντος υἱὸς Ἄορις ἐγένετο καὶ θυγάτηρ

---

1. δραχμῆς] V. Zenob. 2, 58. 2. Ἀράβιος καὶ Ἄραβος Pp, Ἄραβος καὶ Ἄραβος RV, καὶ Ἄραβος om. A. Ἀράβιος, quod huc non pertinet, seclusi, pro Ἄραβος autem fortasse Ἄραβες scribendum. certe mirum est usitatissimum gentile omitti, commemorari autem formam latinis quidem poetis haud incognitam (v. Heinsius ad Ovidii Her. 15, 76) a graecorum autem scriptorum usu prorsus alienam. at fortasse scribendum τὸ ἐθνικὸν Ἄραβες, καὶ Ἀραβίς καὶ Ἀράβισσα. 3. Ἀραβίς V. idem fluvius infra Ἄρβις dicitur. αὐτονόμων? 5. Ἀράβυζα] Huius nomen restitui Herod. Dict. sol. p. 31, 26. ubi παρὰ Βυζάντης Καυκωνίδος legitur pro Ἀράβυζα τῆς Καυκωνίδος. Καυκωνίδος X, Καυκανίδος libri. Πεσηνοῦς APpRV, Πεσηνούς Π, Πεσινῆς X, Πεσσινοῦς B, cui coniecturae, nisi Cauconum fines latius patuerunt quam vulgo existimantur, parum favent quae de Pessinuntis situ aliunde cognita sunt. 8. ἄνω εἶναι RV, εἶναι ἄνω A. 10. β' ante ἔστι add. V. 11. post Κρήτης pro τὸ ἐθνικὸν Ἀράδιος Ἀραδία in V. sequitur ἀπὸ Ἀράζου τοῦ ἡγησαμένου. τὸ ἐθνικὸν Ἀράζιος ὡς Σαβάζιος, quae infra s. v. Ἄραζος repetit. 13. Ἄρακος Pp. 15. Φλοιοῦς R. Ὅμηρος] Il. 2, 571. 16. τῆς pro τ' RV. ἐρατήν V. δευτέρῳ] c. 12, 5. ubi haud pauca aliter scripta sunt.

Ἀραιθυρέα. τούτους Φλιάσιοί φασι θῆρας ἐμπείρους γενέσθαι καὶ τὰ ἐς πόλεμον ἀνδρείους· προαποθανούσης δὲ τῆς ἀδελφῆς Ἄορις ἐς μνήμην τῆς ἀδελφῆς τὴν χώραν οὕτως ἔφη". τὸ ἐθνικὸν Ἀραιθυρεεύς καὶ Ἀραιθυρέηθεν.

Ἀραί, Ἰωνίας νῆσοι τρεῖς, οὕτω λεγόμεναι διὰ τὰς ἀρὰς ἃς Δωριεῖς ἐποιήσαντο πρὸς τοὺς Πενταπολίτας, ὡς Ἀριστείδης. ἄλλοι δ' ἄλλως. τὸ ἐθνικὸν Ἀραῖος.

Ἀράκυνθος, ὄρος Βοιωτίας, ἀφ' οὗ ἡ Ἀθηνᾶ Ἀρακυνθιάς, ὡς Ῥιανὸς ἐν τῇ Φήμῃ „κλῦθί μοι εὐχάων Ἀρακυνθιὰς εὐπατέρεια". ἔστι γὰρ Ἀρακύνθιος τὸ τοπικὸν καὶ Ἀρακυνθία.

Ἀραντία, [Πελοποννήσου] πόλις, ἡ ὕστερον Φλιοῦς, ἀπό τινος Ἄραντος αὐτόχθονος. οἱ πολῖται Ἀραντῖνοι.

Ἄραξα, πόλις Λυκίας, ὡς Ἀλέξανδρος ἐν δευτέρῳ τῶν Λυκιακῶν. τὸ ἐθνικὸν Ἀραξεῖς, ὡς Πιναρεῖς Λιμυρεῖς καὶ Μυρεῖς.

Ἀράξαι ἢ Ἄραξοι, ἔθνος Ἰλλυρίας, ὡς Ἀλέξανδρος Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς εἰρημένων.

Ἀράξης, ποταμὸς Ἀρμενίας. καὶ Θετταλίας· οὕτως γὰρ ὁ Πηνειὸς ἐκαλεῖτο ἐκ τοῦ ἀράξαι. τὸ τοπικὸν „Ἀράξιον ὕδωρ".

Ἀράφεια, νῆσος Καρίας. Παρθένιος ἐν Ἰφίκλῳ „καὶ εἰναλίην Ἀράφειαν". καὶ τὸ ἐθνικὸν Ἀραφεύς.

---

2. κατὰ pro καὶ τὰ V. 4. Ἀραιθυρέηθεν ex Apoll. Rh. 1, 115. 5. Ἀραιαί Casaubonus ad Athen. 6 p. 262 e. Ἰωνίας] Imo Καρίας. νῆσος ιγ' V. διὰ τῆς ἀρᾶς RV. 8. Ἀράκινθος RV. 8. 9. Ἀρακυνθιάς B, Ἀρακυνθίν Π, Ἀρακυνθίς A, Ἀρακινθίς RV. fort. Ἀρακυνθίς ἢ Ἀρακυνθιάς. 10. γὰρ om. V. Ἀρακινθίας pro Ἀρακυνθία R. 11. Ἀράντεια s. v. Φλιοῦς. Πελοποννήσου add. B. ἡ om. R. 16. Ἀράξαι] Hanc sectionem vulgo cum praecedenti coniunctam ab hac separavi. Ἀραξοί libri. recte s. v. Ἀσκάλων scriptum est Ἄραξος. cf. Arcad. p. 66, 11. et Lobeck. Paral. p. 404. 17. τῶν om. Π. Ἀλκμάνων ΠRV. 18. Ἀράξης] Ἄραξις, εως, formatur a Scymno Per. 869: τὸ ῥεῦμ' Ἀράξεως, ubi possis sane Ἀράξεω, sed Ἄραξις, ιδος, legitur etiam apud Zonar. Hist. 18, 25. 19. ἀράξαι Salmasius, ἀράξαντος libri. 22. εἰναλίην RV, εἰναλίαν A. καὶ om. R.

Ἀραφήν, δῆμος Αἰγηίδος φυλῆς. ὁ δημότης Ἀραφήνιος καὶ Ἀραφηνίς θηλυκόν. τὸ τοπικὸν Ἀραφηνόθεν Ἀραφηνῆσιν Ἀραφῆνάδε.

Ἀραχναῖον, ὄρος Ἄργους. Καλλίμαχος Αἰτίων ά. προπερισπαστέον δέ· τὰ γὰρ διὰ τοῦ αιον ἁπλᾶ ὑπὲρ τρεῖς συλλαβὰς ἔχοντα τὴν τετάρτην ἀπὸ τέλους διὰ τοῦ ᾱ καὶ τὴν ἑξῆς διὰ τοῦ ᾱ ἢ διὰ τοῦ ῡ προπερισπᾶται, Χαλαστραῖον Καναστραῖον Ἀμυκλαῖον. πρόσκειται δ' ἁπλᾶ διὰ τὸ καταγαιον.

Ἀραχωσία, πόλις οὐκ ἄπωθεν Μασσαγετῶν, Στράβων ἑνδεκάτῃ, ὑπὸ Σεμιράμεως κτισθεῖσα, ἥ τις καὶ Κωφὴν ἐκαλεῖτο. οἱ πολῖται Ἀραχώσιοι, τῆς δὲ Κωφῆνος Κωφήνιοι.

Ἀραχωτοί, πόλις Ἰνδικῆς, ἀπὸ Ἀραχωτοῦ ποταμοῦ, ῥέοντος ἀπὸ τοῦ Καυκάσου, ὡς Φαβωρῖνος καὶ Στράβων ἑνδεκάτῃ. εἰσὶ καὶ ἄλλοι πλησίον Μασσαγετῶν, ὡς Στράβων ἑνδεκάτῃ. διχῶς δὲ λεκτέον, καὶ Ἀραχώτης καὶ Ἀραχωτός.

Ἀρβάκη, πόλις ἐν Κελτιβηρίᾳ, ὡς Ἰόβας. τὸ ἐθνικὸν Ἀρβακαῖος.

Ἀρβάνιον, πόλις πρὸς τῷ Πόντῳ. τὸ ἐθνικὸν Ἀρβάνιος, καὶ τὸ θηλυκὸν ἐν κοινῷ γένει „Ἀρβάνιος ἀκτή".

Ἀρβαξανοί, ἔθνος Λιγυστικόν „παρέπλεον δὲ τὴν

---

2. Ἀραφηνῆσιν] Tanquam ab Ἀραφηναί, nisi scribere praestat Ἀραφῆνι. 6. τέταρτον V. ἀπὸ τοῦ τέλους Π. 7. διὰ ῡ R. 8. Ἀμυκλαῖον BH, Ἀμυσχναῖον libri. ad canonem illum cf. Arcad. p. 120, 27: τὰ διὰ τοῦ αιον μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύνεται — χωρὶς τοῦ χαλκουστραῖον ἰατρός, καὶ στεφαναῖον καὶ ἠλεκταῖον καὶ καστραῖον, ubi scribendum Χαλαστραῖον νίτρον, καὶ Στεφαναῖον, καὶ Ἠλακαταῖον καὶ Καναστραῖον. 10. ἄπωθεν RV, ἄποθεν A. 11. ἑνδεκάτῃ] p. 516. ὑπάρχει pro ὑπὸ V. 12. Κωφήν pro Κωφῆνος Π. 13. Ἀραχώτου ποταμοῦ RV, ποταμοῦ Ἀραχωτοῦ A. 14. 15. ἑνδεκάτῃ] p. 513. 17. ante Ἀρβάκη ΠR add. βιβλίον ς'. 18. Ἀρβάκιος libri, correxerunt HB. 21. Ἀρβαζανοί R. παρέπλεον] Theopompi verba apud nostrum in Ἰψίκουροι, unde post ἐνέμοντο addidi πρότερον.

χώραν τὴν μὲν πρώτην ἔρημον, ἣν ἐνέμοντο [πρότερον] Ἰψίκουροι καὶ Ἀρβαξανοί".

Ἀρβέλη, πόλις Σικελίας. τὸ ἐθνικὸν Ἀρβελαῖος, Φίλιστος Σικελικῶν ὀγδόῃ.

Ἄρβηλα, πόλις Περσική, ἀπὸ Ἀρβήλου τοῦ Ἀθμονέως, Στράβων ἑκκαιδεκάτῃ. οἱ κατοικοῦντες Ἀρβηλῖται, τὸ θηλυκὸν Ἀρβηλῖτις. καὶ τὰ κτητικὰ Ἀρβηλιτικός καὶ θηλυκῶς.

Ἄρβις, ποταμὸς τῆς Ἰνδικῆς. ἔθνος Ἄρβιες ἢ Ἀρβῖται. ἔστι καὶ ἐν Κρήτῃ Ἄρβιον ὄρος, ἔνθα τιμᾶται Ἄρβιος Ζεύς. Ἄρβιος οὖν καὶ ὁ κατοικῶν τὸ ὄρος.

Ἀρβουκάλη, πόλις μεγίστη τῶν ἐντὸς Ἴβηρος ποταμοῦ, ἣν μόλις εἷλεν Ἀννίβας, ὡς Πολύβιος τρίτῃ.

Ἀρβών, πόλις Ἰλλυρίας. Πολύβιος δευτέρᾳ. τὸ ἐθνικὸν Ἀρβώνιος καὶ Ἀρβωνίτης, ὡς Ἀντρώνιος καὶ Ἀσκαλωνίτης.

Ἀργαΐς, νῆσος πρὸς τῇ Λυκίᾳ. ὁ οἰκήτωρ Ἀργαΐτης. ἔστι καὶ πρὸς τῷ Κανώβῳ μικρὰ νῆσος Ἀργέου.

Ἀργανθών, ὄρος Μυσίας ἐπὶ τῇ Κίῳ, ἀπὸ Ἀργανθώνης Ῥήσου γυναικός. λέγεται καὶ Ἀργανθώνη καὶ ἡ γυνὴ καὶ τὸ ὄρος. τὸ κτητικὸν Ἀργανθώνειος, ὡς τὸ Κιθαιρών Κιθαιρώνειος „λέπας Κιθαιρώνειον".

Ἀργάντη, πόλις Ἰνδίας, ὡς Ἑκαταῖος. τὸ ἐθνικὸν ἔδει

---

1. 2. Ὑψίκοροι R, Ἰψίκοροι V. 2. Ἀρβαζανοί R. 5. Ἀθμονέως] V. Tzschucke ad Strabon. 16 p. 247. 6. ἑκκαιδεκάτῃ] p. 737. κατοικοῦντες RV, κάτοικοι A. 7. Ἀρβηλιτικός B, Ἀρβηλιτικῶν (ο superscr.) V, Ἀρβηλίτιον R, Ἀρβηλικός A. 8. Ἄρβης R. Ἄρβιες H, Ἄρβιος libri. Ἄρβιον H, Ἄρβιος libri. 9. ὄρος om. V. ἔνθα et cetera usque ad finem om. *Π*. 12. τρίτῃ] c. 14, 1. 13. Ἀρβενική V, Ἀρμένιον R. Ἰλλυρίας RV, Ἰλλυριάς A. δευτέρᾳ] c. 11, 15. 16. Καριώβῳ *Π*. Ἀργαίου ante B. 17. Ἀργανθιώη *Π*, Ἀργαθώνη RV, Ἀργανθιώνη APp, Ἀργανθώνις X, Ἀργανθών usus postulabat. cf. s. v. Σιρβών. 17. 18. Ἀργανθώνης PpV, Ἀργαθώνης R, Ἀργάθωνος A, Ἀργάνθωνος X. 18. Ῥοίσου superscr. η R. Ἀργανθιώνη Pp, Ἀργαθών *Π*RV, Ἀργανθών A. 19. Ἀργαθώνειος RV. 20. λέπας Κιθαιρώνειον tragici poetae sunt. cf. Euripid. Bacch. 1053 Κιθαιρῶνος λέπας.

Ἀργανταῖος, ἀλλὰ ὁ τύπος τῶν Ἰνδῶν ἢ Ἀργαντηνός ἢ Ἀργαντίτης.

Ἀργέννουσα, νῆσος πρὸς τῇ ἠπείρῳ τῆς Τρῳάδος παρὰ τὸ Ἀργεννὸν ἀκρωτήριον, ἀφ' οὗ ἀργεννόεις, καὶ κατὰ συναίρεσιν ἀργεννοῦς καὶ Ἀργέννουσα. τὸ ἐθνικὸν Ἀργεννούσιος. Ἀνδροτίων ἐν τῷ τετάρτῳ τῆς Ἀτθίδος διὰ τοῦ ῑ.

Ἀργέου [νῆσος], νῆσος μικρὰ πρὸς τῷ Κανώβῳ Αἰγυπτία, ἀπὸ Ἀργέου τοῦ Μακεδόνος, ἀφ' οὗ Ἀργεάδαι. οἱ οἰκήτορες Ἀργεῶται, ὡς τῆς Νικίου Νικιῶται καὶ τῆς Χαιρέου Χαιρεῶται. καὶ αὗται γὰρ Αἰγύπτου πόλεις.

Ἄργιλα, πόλις Καρίας. τὸ ἐθνικὸν Ἀργιλίτης, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β'.

Ἄργιλος, πόλις Θρᾴκης, ὡς Θουκυδίδης ε' καὶ Φαβωρῖνος ἐν παντοδαπαῖς „Ἄργιλος ἡ πρὸς τῷ Στρυμόνι ποταμῷ πόλις. ὠνομάσθη δὲ ἐπειδὴ ὑπὸ Θρᾳκῶν ὁ μῦς ἄργιλος καλεῖται, σκαπτόντων δὲ εἰς τὸ θεμελίους καταβαλέσθαι πρῶτος μῦς ὤφθη". λέγεται δὲ θηλυκῶς. οἱ πολῖται Ἀργίλιοι.

Ἄργος, διασημοτάτη πόλις Πελοποννήσου, ἥ τις „Φορωνικὸν ἄστυ" ἐκέκλητο, καὶ Αἰγιάλεια, καὶ ἱππόβοτον διὰ τὸ Ποσειδῶνι νομὴν ἵππων ἀποδειχθῆναι, εἶτα Ἴασον ἀπὸ Ἰάσου τοῦ κατ' ἐνίους πατρὸς Ἰοῦς, καὶ δίψιον διὰ τὴν δίψαν τῶν ὑδάτων. δευτέρα Ἄργος τὸ Ἀμφιλοχικόν. τρίτη Θεσσαλίας [ἡ νῦν Λάρισσα]· τετάρτη Κιλικίας ἡ νῦν Ἀργειόπολις. πέμπτη ἐν Νισύρῳ μιᾷ τῶν Κυκλάδων. ἕκτη κατὰ Τροιζῆνα.

---

1. *Ἀργαντηνός* B, *Ἀργαντῖνος* libri. 3. *Ἀργεννοῦσα* libri. *νῆσος*] *μικρὰ* in marg. add. V. 4. *ἀρσεννὸν* V. apud Thucyd. 8, 34 male editur *Ἀργῖνον*. *ἀργενόεις* RV. 5. *ἀργενοῦς καὶ ἀργενοῦσα* R. 6. *Ἀνωτίων* ΠRV. *τῷ* add. R. 7. *νῆσος*, quod in R suppositis punctis notatur, seclusit M. vide infra ad v. *Μενέλαος*. *μιὰ* R. 8. *Ἀργαίου* R. 11. *Ἀργιλίτης* RV, *Ἀργυλίτης* A. 13. *ε*] c. 18. *ἢ* libri, corr. W. 15. *ἡ πόλις* RV. *δὲ* om. V. 17. *θηλυκόν* R. 20. [*εἰς*] *νομὴν*? *Ἴασον* X et Eustath. ad Dion. Per. 419, *Ἴασος* libri. cf. Hom. Od. 18, 246. et schol. Townl. ad Iliad. 3, 75. 23. *ἡ νῦν Λάρισσα* add. Eustathius l. l. *Κιλίας* R. *Ἀργιόπολις* R.

ἑβδόμη κατὰ Μακεδονίαν. ὀγδόη Ἄργος Ὀρέστιον ἡ ἐν Σκυθίᾳ. ἐνάτη Καρίας. δεκάτη τὸ Ἀργολικόν. ἑνδεκάτη ἡ Φαιάκων Ὑπέρεια. Ἄργος δὲ σχεδὸν πᾶν πεδίον κατὰ θάλασσαν. τὸ ἐθνικὸν πασῶν Ἀργεῖος, οὐ παρὰ τὸ Ἄργος οὐδέτερον (ἦν γὰρ διὰ τοῦ ῑ), ἀλλὰ παρὰ τὸν Ἄργον τὸν κτίστην· λέγεται γὰρ καὶ Ἀργόλας. Ἀριστοφάνης Ἥρωσιν

οὐκ ἠγόρευον; οὗτός ἐστ' οὐκ Ἀργόλας.
μὰ Δί' οὐδέ γ' Ἕλλην, ὅσον ἔμοιγε φαίνεται.

καὶ Εὐριπίδης ἐν Πλεισθένει „ἐγὼ δὲ Σαρδιανός, οὐκέτ' Ἀργόλας". καὶ Ἀργολίς ἡ χώρα καὶ ἡ γυνή. καὶ Ἀργολικός καὶ Ἀργολική. καὶ Ἀργείωνες λέγονται ὡς Καδμείωνες, καὶ Ἀργειώνη, ὡς Ἀντίμαχος, καὶ Ἀργειώτης παρὰ τὸ Ἀργεῖος, καὶ Ἀργειῶτις τὸ θηλυκόν, καὶ ἀργολίζω ῥῆμα, οὗ τὴν μετοχὴν Ἔφορος ἐννεακαιδεκάτῃ. λέγονται καὶ πατρωνυμικῶς, ὡς πολλοὶ καὶ Ἡρόδωρος, ἐν μὲν τῷ νῦν χρόνῳ Ἡρακλεῖδαι, πρὸ δ' Ἡρακλέους Περσεΐδαι, πρὸ Περσέως δὲ Λυγκεΐδαι καὶ Δαναΐδαι, πρὸ δὲ Δαναοῦ Ἀργειάδαι καὶ Φορωνεΐδαι, ἃς Ἄβρων ποιηταῖς ἀνατίθησιν.

Ἄργουρα, πόλις Θεσσαλίας, ἡ πρότερον Ἄργισσα. ἔστι

---

1. Ὀρέστιον R, Ὀρεστικόν AV. ἢ libri. 2. τὴν Ἀργολικήν RV. 4. τὸ ante Ἄργος om. R. 5. γὰρ om. RV. 7. ἐστί γ' οὐκ et 8. οὐδ' Ἕλλην libri. correxit Scaliger App. ad Coniect. in Varr. p. 184. 9. Πλησθένει libri. cf. Lobeck. Paral. p. 5. οὐκέτ' Barnesius, οὐ γὰρ οὐκέτ' AV, γὰρ οὐκέτ' R. 11. Ἀργείων pro Ἀργείωνες V. 11. 12. Ἀργειώθη pro Ἀργειώνη Π. 12. Ἀργειώτης Salmasius, Ἀργειῶτις libri. 13. Ἀργειῶτις Salmasius, Ἀργεῶτις libri. 14. Εὔφορος R. 15. πολλοὶ RV, οἱ πολλοὶ A. Ἡρόδωρος R, Ἡρόδωτος V. νῦν χρόνῳ Ἡρακλεῖδαι RV, νῦν χρόνῳ Ἡρακλεῖσθαι Π, νῦν Ἡρακλεῖς τε A. χρόνῳ addunt etiam Pp. 16. Περσεῖδαι RV, Περσίδαι A. Λυγγίδαι R. 17. Ἀργεάδαι? Φορωνεῖδαι M, Φορωνῖδαι V, Φορωνίδαι AR. post Φορωνεῖδαι fort. excidit πρὸ δὲ Φορωνέως Ἰναχίδαι. ἃς, sc. παρωνυμίας vel λέξεις, non tentandum erat. 19. Ἄργισσα] Eustathius ad Hom. p. 333, 20 ex nostro: Ἄργισσα δὲ ὠνομάσθη ἢ ἀπὸ Ἀργείων ἢ διὰ τὸ προσκυροῦν τοῖς πεδίοις τῆς Θεσσαλίας, ἣν Πελασγικὸν Ἄργος Ὅμηρος εἶπεν. ἐκαλοῦντο δέ, φασίν, οἱ ἐκεῖ καὶ Λεοντῖνοι ἀπὸ Λεοντέως.

καὶ τόπος τῆς Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην Ἑρμῆς πεφονευκέναι. τὸ ἐθνικὸν δὲ ἔδει Ἀργουραῖος, ὡς καὶ Φίλων. Ἀπολλόδωρος δέ φησιν ἐν πρώτῳ νεῶν καταλόγου Ἀργείους ὀνομάζεσθαι „ἢ τῆς προσηγορίας μεταπεσούσης ἢ διὰ τὸ προσκυροῦν τὰ πεδία τῆς Θετταλίας, ἣν δὴ Πελασγικὸν Ἄργος εἶπεν Ὅμηρος. καλοῦνται δὲ [*καὶ*] *Λεοντῖνοι ἀπὸ Λεοντέως". καὶ Ἀργούριος τὸ ἐθνικόν.*

[*Ἀργύννιον*]..... *Ἄργυννος, υἱὸς Πεισιδίκης τῆς Λεύκωνος τοῦ Ἀθάμαντος τοῦ Σισύφου τοῦ Αἰόλου, ἐρώμενος Ἀγαμέμνονος, Βοιωτός, ὃς ἀνιὼν εἰς τὸν Κηφισσὸν τελευτᾷ. ἀφ' οὗ Ἀργυννίδα τὴν Ἀφροδίτην ἐτίμησε. λέγεται καὶ Ἀργουνίς. Ἀριστοφάνης δὲ Ἀργύνειον διὰ διφθόγγου. ὁ οἰκήτωρ Ἀργύννιος.*

---

1. *Εὐβοίας Ἄργουρα*] Eadem *Ἄργουσα*. Gramm. Bekk. p. 443, 18. *Ἄργουσα· πόλις τῆς Εὐβοίας.* cf. Lobeck. Aglaoph. p. 1132. 2. *δὲ* add. R. 3. *καταλόγου* HRV, *καταλόγῳ* A. 5. *τοῖς πεδίοις* Eustathius. 6. *Ὅμηρος*] Il. 2, 681. 7. *καὶ* add. Eustathius. *Ἀργούριοι* V. 8. *Ἀργύννιον* addidi et lacunam indicavi ita fere supplendam: *ἱερὸν Ἀφροδίτης ἐν Βοιωτίᾳ. Ἀργύννιον* recte additum esse et res ipsa docet et ex iis intelligitur, quae scriptor de gentili nomine accolarum illius fani subiicit. favet item admonitio de altera forma: *Ἀριστοφάνης δὲ Ἀργύννειον διὰ διφθόγγου.* sic enim scribendum. de hac duplice temenicorum formatione vide Lobeck. ad Phryn. p. 567 sqq. ceterum de illo Veneris fano iam Leopardus Emend. 4, 4. attulit testimonia Clementis Alex. Protr. p. 32 Pott. *Φανοκλῆς ἐν Ἔρωσιν ἢ Καλοῖς Ἀγαμέμνονα τὸν Ἑλλήνων βασιλέα (Ἀργύννου) νεὼν Ἀφροδίτης εἵσασθαι ἐπ' Ἀργύννῳ* (cod. *Ἀργύνῳ*) *τῷ ἐρωμένῳ,* et Athen. 13 p. 603 d. *Ἀγαμέμνονα Ἀργύννου ἐρασθῆναι λόγος ἰδόντα ἐπὶ τῷ Κηφισσῷ νηχόμενον, ἐν ᾧ καὶ τελευτήσαντα αὐτὸν (συνεχῶς γὰρ ἐν ποταμῷ τούτῳ ἀπελούετο) θάψας εἵσατο καὶ ἱερὸν αὐτόθι Ἀφροδίτης Ἀργυννίδος.* *Ἄργυννος* RV, *Ἄργυνος* Pa, *Ἄργεννος* A. *Πεισιδίκης* Leopardus, *Πισιδίκης* PpRV, om. A. 10. *νέων* pro *ἀνιὼν*? *εἰς* enim pro *ἐν* noster saepius dixit. *Κηφισσὸν* R, *Κηφισὸν* AV. 11. *Ἀργυννίδα* Π, *Ἀγυννίδα* RV, *Ἀργεννίδα* A. *ἐτίμησαν* citat Leopardus. 11. 12. *Ἀργουνίς* V, *Ἀργυννίς* R, *Ἀργεννίς* X. *Ἀργουνίς* boeoticum est pro *Ἀργυνίς,* ut *σουγγραφεύς, ἀργούριον* alia. v. Ahrens Dial. 1 p. 181. *Ἀριστοφάνης*] Aristophanem dicit, opinor, eum de quo supra dictum p. 98, 15. *Ἀργύνειον* M, *Ἀργύνει* libri, *Ἀργεινίς* Leopardus, *Ἀργεῖνος*

Ἀργυρᾶ, μητρόπολις [τῆς] ἐν Ἰνδικῇ Ταπροβάνης νήσου, ὅ ἐστι κριθῆς νήσου· καὶ γὰρ εὐφορωτάτη ἐστὶ καὶ πλεῖστον ποιεῖ χρυσόν. τὸ ἐθνικὸν Ἀργυρίτης ἢ Ἀργυρηνός· ἀμφότεροι γὰρ οἱ τύποι συνήθεις.

Ἀργυρῖνοι, ἔθνος Ἠπειρωτικόν, ὡς Τίμαιος καὶ Θέων. καὶ Λυκόφρων „εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας".

Ἀργύριππα, πόλις τῆς Δαυνίας κατὰ τὸν Ἰόνιον κόλπον. Λυκόφρων „ὁ δ' Ἀργύριππα Δαυνίων παγκληρίαν". αὕτη Ἄρποι ἐκαλεῖτο. Διομήδης μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου ἐτείχισε καὶ μετωνόμασεν Ἄργος Ἵππιον. τὸ ἐθνικὸν Ἀργυριππανός. Στράβων Ἀργυριππηνός φησιν.

Ἄργυρος, πόλις. Φίλιστος ἐν ἐνάτῃ.

Ἀρδαλίδες καὶ *Ἀρδαλιώτιδες* τιμῶνται αἱ Μοῦσαι ἐν Τροιζῆνι, ἀπὸ Ἀρδάλου τινὸς ἱδρυσαμένου ἢ καὶ ἀπὸ τόπου. ἔστιν οὖν τοῦ μὲν Ἀρδαλιῶτις τὸ ἀρσενικὸν Ἀρδαλιώτης, τοῦ δ' Ἀρδαλὶς Ἀρδαλός ὡς Θετταλός.

Ἀρδέα, κατοικία τῆς Ἰταλίας. Στράβων πέμπτῃ. ἐκλήθη ἀπὸ ἑνὸς τῶν παίδων Ὀδυσσέως καὶ Κίρκης. αὕτη Τροία ἐλέγετο, ὡς Χάραξ. οἱ οἰκοῦντες Ἀρδεᾶται. ἔστι καὶ

Schneidewinus Philol. 1 p. 379. 13. *Ἀργύννιος* AV, *Ἀργύννειος* R.
1. *Ἄργυρα* libri. *τῆς* add. M. *Ταπροβάνης νήσου* ΠRV, *Ταπροβάνκει νήσῳ* A, *Ταπροβάνῃ νήσῳ* X, *Ἰαβαδίου* Bochartus propter Ptolem. 7, 2, 27: *Ἰαβαδίου (ἢ Σαβαδίου) ὃ σημαίνει κριθῆς νῆσος. εὐφορωτάτη δὲ λέγεται ἡ νῆσος εἶναι καὶ ἔτι πλεῖστον χρυσὸν ποιεῖν. ἔχειν τε μητρόπολιν ὄνομα Ἀργυρῆν ἐπὶ τοῖς δυσμικοῖς πέρασιν.* cf. id. 8, 27, 10. fort. igitur post *νήσου* excidit *ὡς δὲ ἄλλοι Ἰαβαδίου*. 2. *νῆσος* V. 3. *ποιεῖν* V. 5. *Ἀργύρινοι* libri. 6. *Λυκόφρων*] vs. 1017. 8. *Λυκόφρων*] vs. 592. *Ἀργυρίππα* libri, *Ἀργυρίππαν* X. *Ἀργύριππα, ων*, est etiam apud Polemon. fr. 20 et Dionys. Hal. Exc. Vat. 20, 6. 9. *Ἄρποι* B, *Λάπη* Π, *Λάμπη* ARV. 10. 11. *Ἀργυριππιανός* libri, correxit Cluverus. 11. *Στράβων*] 6 p. 283. ubi est *Ἀργυριππηνός*. alteram formam per simplex π scriptam, ut *Κεντόριπα*, agnoscit Virgil. Aen. 11, 246 et Silius Ital. 13, 30. praeterea Italicorum gentilium typus postulat *Ἀργυριπῖνος*. 12. *Ἄργυρος*] v. Goellerum ad Philisti fr. 36. *ἐν* add. ΠRV. 14. *καὶ* add. AR, om. V. 17. *Ἄρδεια* libri. *πέμπτῃ*] p. 228. 19. *ὡς Χάραξ*] Haec errore nata esse suspi-

πόλις Ἰλλυρίας διὰ τοῦ ι. ὡς Στράβων. τὸ ἐθνικὸν Ἀρδιαῖος.

Ἀρδύνιον, πόλις ἐν Θήβης πεδίῳ, ὡς Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ. τὸ ἐθνικὸν Ἀρδύνιος.

Ἀρέθουσα, πόλις Συρίας καὶ Θρᾴκης καὶ Εὐβοίας καὶ κρήνη Σικελίας. αὕτη Κυπάρα ἐλέγετο. ἔστι καὶ Ἰθάκης. „πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ" Ὅμηρος. Δίδυμος ὑπομνηματίζων τὴν ν̄ τῆς Ὀδυσσείας φησίν „Ἀρέθουσαι δέ εἰσιν ὀκτώ". Ἡρακλέων δὲ ὁ Γλαύκου τὴν αὐτὴν ὑπομνηματίζων φησίν „ἄρω ἐστὶ τὸ ποτίζω, οὗ τὸ ἄρδω παράγωγον, ἐκ τούτου ἀρέθω, ὡς φλέγω φλεγέθω, ἀφ' οὗ πᾶσα κρήνη ἐπιθετικῶς οὕτω λέγεται". τὸ ἐθνικὸν Ἀρεθούσιος.

Ἀρεία κρήνη, ἐν Θήβαις. καὶ τόπος ὃν οἱ κατοικοῦντες Ἄρειοι καλοῦνται. καί ἐστιν ἀπὸ δύο ἓν ἐθνικόν, ὡς ἀπὸ τοῦ Μόψου ἑστία Μοψεάτης, καὶ τῆς μητρὸς τῶν θεῶν τὸ μητρῷον.

---

catur H, allato Dionysio Hal. 1, 53: τελευτῶντες δὲ ἀφικνοῦνται τῆς Ἰταλίας εἰς Λωρεντόν, ἔνθα τῆς πλάνης παυσάμενοι χάρακα ἔθεντο καὶ τὸ χωρίον ἐν ᾧ κατεστρατοπεδεύσαντο ἐξ ἐκείνου Τροία καλεῖται. fortasse idem locus dicebatur Χάραξ. ita commode legi possit Τροία ἐλέγετο καὶ Χάραξ. 1. ὡς Στράβων (7 p. 314 sq.) post Ἀρδιαῖος transponendum, nisi malis καὶ Στράβων τὸ ἐθνικόν. 1. 2. Ἀρδαῖος V. 6. αὕτη Κυπάρα ἐλέγετο libri post Ὅμηρος habent, ex quo loco huc revocavi praeeunte Bocharto. Hesychius, Κυπάρα· ἡ ἐν Σικελίᾳ κρήνη Ἀρέθουσα. praeterea malim [καὶ] Κυπάρα. 7. Ὅμηρος] Od. 13, 408. 8. τὴν ν̄ X, τὴν π̄ libri. 9. εἰσιν η̄ R, εἰσὶ νη V. fort. εἰσι δ̄. cf. schol. Homeri l. l. Ἀρέθουσαι δὲ τέτταρες, ἐν Συρακούσαις ἐν Σμύρνῃ ἐν Χαλκίδι καὶ ἐν Ἰθάκῃ. γλαῦκος V. 10. ἀρῶ libri. 12. πᾶσα κρήνη] cf. Herodianus Dict. sol. p. 13, 5. πᾶσαι κρῆναι κατ' ἐπιθετικὴν ἔννοιαν οὕτω (Ἀρέθουσαι) καλοῦνται, ἀπὸ τοῦ ἄρδην (leg. ἄρδειν) ἴσως σχηματισθεῖσαι. schol. Theocr. 1, 117: ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ Ἀρέθουσα, καὶ ἄλλη ἐν Σάμῳ, [καὶ ἐν Ἰθάκῃ] „πὰρ Κόρακος πέτρῃ καὶ ἐπὶ κρήνῃ Ἀρεθούσῃ", χαριέντως τοῦ Ἐπαφροδίτου λέγοντος ἐν τῷ περὶ στοιχείων, ὡς Ἀρεθούσας καλοῦσι τὰς (leg. πάσας) κρήνας. ἀγνοήσας δὲ Κράτης μεταγράφει „ἐπὶ κρήνης μελανύδρου".
13. Ἄρεια, κρήνη libri. v. Ungeri Parad. Theb. p. 104.

Ἄρειος πάγος, ἀκρωτήριον Ἀθήνησιν, ὡς Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἐνάτῳ, ἐν ᾧ τὰς φονικὰς κρίσεις ἐδίκαζον, διὰ τὰς ἀπὸ τοῦ σιδήρου γινομένας μιαιφονίας. Φιλόχορος δ' ἐν Ἀτθίδος δευτέρῳ βιβλίῳ, ὅτι Ἁλιρρόθιον τὸν Ποσειδῶνος ἀποθανεῖν ὑπὸ Ἄρεος βιαζόμενον τὴν Ἀλκίππην τὴν αὐτοῦ θυγατέρα. τὸ ἐθνικὸν ἐκ δύο ἓν Ἀρεοπαγίτης. ἔστι καὶ ἐν Ῥώμῃ *Ἄρειον πεδίον*. τὸ ἐθνικὸν ἔδει Ἀρειοπεδιεύς, ἀλλ' οὐχ ἁρμόζει Ῥωμαίοις ὁ τύπος. ἔσται οὖν τοῦ πεδίον πεδῖνος ἢ πεδιανός καὶ Ἀρεοπεδῖνος καὶ Ἀρεοπεδιανός. ἔστι καὶ Θρᾴκης ἔρημον πεδίον χαμαιπετῆ δένδρα ἔχον, ὡς Πολύβιος τρισκαιδεκάτῃ.

Ἄρεος νῆσος, πρὸς τοῖς Κόλχοις ἐν τῷ Πόντῳ. Σκύμνος ἐν Ἀσίᾳ. τὸ ἐθνικὸν Ἄρειος ἐξ ἑνὸς τοῖν δυοῖν παρῃγμένον.

Ἀρῆναι πόλεις δύο, Μεσσήνης καὶ Τριφυλίας. Ὅμηρος „καὶ Ἀρήνην ἐρατεινήν". τὸ ἐθνικὸν Ἀρηναῖος. τὸ τοπικὸν Ἀρήνηθεν.

Ἄρης Ἄρητος, ὡς Μένδητος, χωρίον Εὐβοίας. Θεόπομπος εἰκοστῇ τετάρτῃ Φιλιππικῶν. τὸ ἐθνικὸν Ἀρήσιος ὡς Μενδήσιος Φαγρήσιος.

Ἀρία, θηλυκῶς καὶ οὐδετέρως, Περσικὴ χώρα ὡς

---

3. *γινομένας* R, *γιγνομένας* A, *γενομένας* V. 5. *βιαζόμενον ὑπὸ Ἄρεος διὰ τὴν Ἀλκίππην* libri, correxit Heynius ad Apollod. vol. 2 p. 323. qui tamen *ὅτι* sequente infinitivo tentare non debebat.
6. *τὸ ἐθνικὸν — Ἄρειον πεδίον* add. PpRV. *Ἀρεοπαγίτης* Pp*Π*R, *Ἀρειοπαγίτης* V. cf. Lobeck. ad Phryn. p. 698. 7. 8. *Ἀριοπεδιεύς* V. 9. 10. *Ἀρεοπεδινός καὶ Ἀρεοπεδιανός* R, *Ἀρεοπεδῖνος καὶ Ἀρεοπεδινός καὶ Ἀρειοπεδιανός* V, *Ἀρεοπεδῖνος καὶ Ἀρεοπεδινός* A. 10. *Ἄρειον* pro *ἔρημον* B. 11. *ὡς ἀπολύβιος ἐν ιγ' Π.* 12. *Κολχοῖς* R. 12. 13. *Σκύμνος*] V. Praef. ad Scymn. p. XV. 13. *τῶν δυοῖν* RV, *τῶν δυεῖν* *Π*. 15. *Ἄρηναι* AV, *Ἄρηνα* R. *Τριφυλλίας* RV. *Ὅμηρος*] Il. 2, 591. 17. *Ἀρήνηθεν* ex Apoll. Rh. 1, 152, 471. 19. *ἐθνικὸν* B, *ἔθνος* libri. 20. *Φαγρήσιος* BH, *Ἀγρήσιος* libri. 21. *Ἄρια* libri. *οὐδετέρως*] Itaque etiam *τὰ Ἄρια* dictum? non credo: nec dubium est quin hic aliquid turbatum sit. suspicor verba haec cum praecedentibus coniungenda esse: *τὸ ἐθνικὸν Ἀρήσιος ὡς Μενδήσιος Φαγρήσιος, καὶ θηλυκῶς καὶ*

Ἑλλάνικος. τὸ ἐθνικὸν Ἄριοι, ὡς αὐτός φησι, καὶ Ἀριεύς.

Ἀριάνθη, πόλις Οἰνώτρων, Ἡρωδιανὸς ιβ'.

Ἀριανοί, ἔθνος προσεχὲς τοῖς Καδουσίοις, Ἀπολλόδωρος δευτέρῳ.

Ἀριαράθεια, πόλις πλησίον Καππαδοκίας, ἀπὸ Ἀριαράθου Καππαδοκίας βασιλεύσαντος, γαμβροῦ Ἀντιόχου.

Ἀρίνδηλα, πόλις τρίτης Παλαιστίνης. Γλαῦκος δὲ κώμην αὐτὴν καλεῖ. τὸ ἐθνικὸν Ἀρινδηληνός.

Ἀρικία, πόλις Λατίνων. Διονύσιος [ἐν πέμπτῃ] ἐπιτομῆς ς'. ὁ πολίτης Ἀρικῖνος.

Ἄριμα, ὄρη. Ὅμηρος „εἰν Ἀρίμοις ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς". οἱ μὲν ἐν Κιλικίᾳ, οἱ δὲ ἐν Συρίᾳ, οἱ δὲ ἐν Πιθηκούσαις παρὰ Τυρρηνοῖς φασι γενέσθαι τὸν μῦθον. τὸ τοπικὸν Ἀριμαῖος. ἐκαλοῦντο καὶ Ἄριμοι.

Ἀριμασποί, ἔθνος Ὑπερβορέων. τὸ κτητικὸν Ἀριμάσπειος.

οὐδετέρως, h. e. καὶ Ἀρησία καὶ Ἀρήσιον. 1. Ἄριοι X, Ἄρειοι R, Ἄρειος V, Ἄρσιοι A. 2. Ἀρειεύς R. 3. Ἀριάνθη] Hoc tmema vulgo post Ἀριαράθεια legitur. pro Ἀριάνθη infra suo loco est Ἀρίνθη. Οἰνώτρων] Eodem accentu hoc nomen constanter in codicibus Stephani legitur decies octies. itaque nihil mutandum duxi, quamquam Herodianum Οἰνωτρός probavisse ex Arcadio p. 75, 1. nostroque s. v. Οἰνωτρία intelligitur. eadem, ut videtur, constantia librorum Dionysii Halicarnassensis. Ἡρωδιανὸς] Hinc supple Arcad. p. 106, 6. 4. Ἀριανοί Salmasius, Ἀριάρια AR, Ἀριάρεια V, Ἀριάνια X. 8. Ἀριήδηλα vel Ἀρίδηλα propter literarum ordinem BH. sed Ἀρίνδηλα tuetur noster s. v. Ἄβιλη. itaque turbatus ordo transpositione restituendus videtur. 9. Ἀρινδηλενός R. 10. Ἀρικία M, Ἀρίκεια libri, quod ferri non posse ostendit gentile Ἀρικῖνοι. cf. s. v. Λαμπέτεια. Λαμπετῖνος γὰρ οὐ δύναται διὰ τὴν παράληξιν τῆς διφθόγγου. ἐν πέμπτῃ om. RV. 11. ς' delet Cluverus. 12. ὄρη add. RV. Ὅμηρος (Il. 2, 783) om. RV. Τυφωέος R et cod. Maffei, Τυφωέως X, Τυφῶνα AV. 13. ἔμμεναι εὐνάς add. cod. Maffei. sequentia e Strabon. 12. p. 627 derivata sunt. Σικελίᾳ pro Κιλικίᾳ V. 14. Πιθηκούσσαις V, ut apud Strabonem. φη pro φασι R. 15. τοπικὸν RV, ἐθνικὸν A. 16. κτητικὸν RV, ἐθνικὸν A.

Ἀρίμινον, πόλις Ἰταλίας. ἔστι καὶ ποταμός.

Ἀρίνθη, πόλις Οἰνώτρων ἐν μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ.

Ἀρίσβη, πόλις τῆς Τρῳάδος, Μυτιληναίων ἄποικος, ἧς οἰκισταὶ Σκαμάνδριος καὶ Ἀσκάνιος υἱὸς Αἰνείου. κεῖται μεταξὺ Περκώτης καὶ Ἀβύδου. Κεφάλων δέ φησιν ὅτι Δάρδανος ἀπὸ Σαμοθράκης ἐλθὼν εἰς τὴν Τρῳάδα τὴν Τεύκρου τοῦ Κρητὸς θυγατέρα γαμεῖ Ἀρίσβην. Ἑλλάνικος δὲ Βάτειαν αὐτήν φησιν. ἔστιν ἑτέρα ἐν Λέσβῳ ἀπὸ Ἀρίσβης τῆς Μάκαρος θυγατρός. Ἔφορος δὲ Μέροπος αὐτὴν γενεαλογεῖ καὶ πρώτην Ἀλεξάνδρῳ τῷ Πριάμου γαμηθῆναι. Ἡρόδοτος δὲ καὶ ἰάζων Ἀρίσβαν καλεῖ ἐν πρώτῃ. τὸ ἐθνικὸν Ἀρισβαῖος καὶ Ἀρισβαία. ἔστι καὶ ποταμὸς Θρᾳκῶν Ἄρισβος. τὸ ἐθνικὸν Ἀρισβαιεύς.

Ἀρκάδες, πόλις Κρήτης, ὡς Ξενίων ἐν Κρητικοῖς. οἱ πολῖται ὁμοίως Ἀρκάδες. Δημήτριος δὲ οὐκ Ἀρκάδας τὴν πόλιν, ἀλλ' Ἀρκαδίαν φησίν. εἰκότως οὖν καὶ τὸ ἐθνικὸν ταύτης Ἀρκάδες.

[Ἀρκαδία] ..... Ἀρκὰς Ἀρκάδος, ἀφ' οὗ Ἀρκάδιος καὶ

---

1. Ἀρίμινον X, Ἀρίμῑνον RV, Ἀρίμεινον A. 2. Ἀρίνθη ex Ἀριάνθη corruptum videtur. μεσοποταμίᾳ (γεία supra scr.) R, μεσοποταμία AV. 5. Περκώπης Π. Κεφαλέων R. tradiderat ista Cephalo sive Cephalio in Troicis, ex quibus etiam ea desumpta sunt quae s. v. Γραικός referuntur. vid. Lobeck. Aglaoph. p. 1223. 8. Βάτειαν Meursius, Ἄτειαν AV, Ἄντειαν R. 11. Ἀρίσβαν X, Ἀρίσβην ARV. hanc Lesbiacam urbem praeter Herodotum etiam Strabo 13 p. 590 et Eust. ad Hom. p. 357, 9. Ἀρίσβαν dicunt, quod rectius Ἄρισβαν scribi videtur, ut est Strab. 14 p. 635. πρώτῃ] c. 151. 12. καὶ Ἀρισβαία (Ἀρισβαῖο R.) add. RV. 13. Ἀρισβαιεύς ARV, Ἀρισβαῖος Pp, Ἀρισβεύς Salmasius. quodsi Ἀρισβαιεύς recte habet, id suo loco motum dixerim et postrema haec ita scribenda esse coniciam: τὸ ἐθνικὸν Ἀρισβαῖος καὶ Ἀρισβαία καὶ Ἀρισβαιεύς. ἔστι καὶ κτλ. haec ultima de Arisbo Thraces fluvio e Strabone habet l. l. de gentilibus paragogicis, quale est Ἀρισβαιεύς, alio loco dictum est. formae Ἀρισβεύς exemplum habet numus imperatorius cum capite Traiani apud Eckhel. vol. 2 p. 482. 17. Ἀρκαδεύς V. 18. Ἀρκαδία cum lacunae indicio add. M.

Ἀρκαδία, ὡς Τέμμιξ Τέμμικος Τεμμικία. ἐκαλεῖτο δὲ Πελασγία, ὡς Νικόλαος πέμπτῃ. Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν ἑκκαιδεκάτῳ βιβλίῳ περὶ Δήμητρός φησιν ὅτι Ἀρκάδια τῇ Δήμητρι μέλλοντες θύειν οἱ ἄνθρωποι, ταύτην γὰρ τὴν θυσίαν συνεστήσαντο μετὰ τὸν πρῶτον σπόρον, ὅτι αὐτοῖς ἐκ τῆς γῆς ἔμολεν ὁ καρπὸς εἰς τροφὴν καὶ σπόρον. καὶ οὕτω τὰ Ἀρκάδια τιμῆς χάριν. ἐκλήθη δὲ καὶ Παρρασία καὶ Λυκαονία. οἱ δὲ καὶ Γιγαντίδα φασὶ καὶ Ἀζανίαν καὶ Πανίαν. Ἵππυς δὲ ὁ Ῥηγῖνος λέγεται πρῶτος καλέσαι προσελήνους τοὺς Ἀρκάδας. καὶ τὸ ἄστρον λέγεται ἐν τῷ οὐρανῷ τότε ἄρκτος κληθῆναι, ἣ ἅμαξα ἐλέγετο. Ἴστρος δέ φησιν ὅτι Θεμιστοῦς καὶ Διὸς ὁ Ἀρκὰς ἐγένετο, διὰ δὲ τὴν τῆς μητρὸς ἀποθηρίωσιν (ἄρκτῳ γὰρ ὑφ' Ἥρας αὐτὴν ὁμοιασθῆναι) ταύτης τυχεῖν τῆς προσηγορίας. τὸ πατρωνυμικὸν Ἀρκασίδαι. ὤφειλεν οὖν Ἀρκαδίδης, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτως ἐγένετο. τὸ θηλυκὸν Ἀρκασίς. ἔστι καὶ Ἀρκαδία παραθαλάσσιος πόλις. λέγεται καὶ Ἀρκαδικός καὶ Ἀρκαδική καὶ Ἀρκαδικόν καὶ Ἀρκαδικά. καὶ τὸ Ἀρκάδισσα παραλόγως. ἐκ τόπου Ἀρκαδίηθεν. ἐκάλουν αὐτοὺς καὶ Ἀρκαδιώνδας τοῦ δ πλεονάσαντος. ἔστι καὶ Ἀρκαδία Αἰγύπτου πόλις.

---

1. 2. *Πελασγία* RV, *Πελασγίη* A. 3. *Ἀρκαδία* ante X. 4. *μέλλοντας* R. *οἱ* add. R. post *ἄνθρωποι* aliquid excidit; nisi *γὰρ* delendum. 5. *πόρον* Pp, *πυρόν* H. *ὅτι αὐτοῖς — καὶ σπόρον* add. PpRV. *αὐτοῖς* PᵃHR, *αὐτῆς* AV. 7. *χάριν*] Post hoc aliquid excidisse videtur. *Παρασία* RV. 9. *Ἵππυς* X, *ἵππους* ARV, *ἴπους H.* *δὲ* om. R. de re cf. Schneidew. Phil. 1 p. 428. 10. *οὐρανῷ* libri, *Ἀρανῷ* operarum errore X. 12. *Καλλιστοῦς* vel *Μεγιστοῦς* B. editum servat Eustath. ad Il. p. 300, 30. et ad Dionys. Per. 414. 13. *ἀφ' Ἥρας* R. *ταύτην H.* *ὁμοιασθῆναι* M, *ὀνομασθῆναι* libri, *ὁμοιωθῆναι* H et Heynius ad Apollod. vol. 1 p. 266. 14. *Ἀρκασίδαι* P, *Ἀρκεσίδαι* ceteri. 15. *ὤφειλε μὲν?* 16. *Ἀρδία* et 17. *Ἀρδικός H.* 17. post *πόλις* excidit opinor *ἐν Ζακύνθῳ τῇ νήσῳ.* *καὶ Ἀρκαδικόν* om. RV. 18. *παράλογον* e corr. R. nonne [*οὐ*] *παράλογον?* 20. *Ἀρκαδία Αἰγύπτου πόλις*] Imo *ἑπτάπολις*, de qua vide Eustath. ad. Dion. 251.

[*Ἀρκεσίνη*,] μία τῶν τριῶν πόλεων τῶν ἐν Ἀμοργῷ τῇ νήσῳ. ἦσαν γὰρ Μελανία Μίνωα Ἀρκεσίνη. Πολύβιος δὲ ἀρσενικῶς τὸν Ἀρκεσίνην φησί. τὸ ἐθνικὸν Ἀρκεσινεύς. Ἀνδροτίων ἕκτῃ Ἀτθίδος „Ἀμοργίοις Μινωίταις καὶ Ἀρκεσινεῦσιν".

Ἄρκη, πόλις Φοινίκης, ἡ νῦν Ἄρκαι καλουμένη. Ἰώσηπος ἐν πέμπτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ἀρκαῖος.

Ἀρκιρόεσσα, πόλις ἐν Πόντῳ, Ἡρακλείας ὑποτελής. Δομίτιος Καλλίστρατος ἐν τετάρτῃ περὶ Ἡρακλείας. τὸ ἐθνικὸν Ἀρκιροεσσαῖος ὡς Πιτυουσσαῖος.

Ἀρκόνησος, νῆσος Καρίας. Ἀπολλώνιος ἑβδόμῃ Καρικῶν. τὸ ἐθνικὸν Ἀρκονήσιος.

---

1. *Ἀρκεσίνη* addidit et sequentia, quae libri sine distinctione praecedentibus coniungunt, ab his separavit X. 2. *Μελανία*] V. supra s. v. *Ἀμοργός*. 4. *Ἀμοργίων*? 4. 5. *Ἀρκινεῦσιν* R. 7. *πέμπτῳ*] 1, 22. ubi *Ἀρχή*. 10. *ἐν ϛ'* V. 12. *Ἀρκόννησος* Pp, quod non rectius scriptum videtur quam e. c. *Χερσόννησος* apud Strab. 14 p. 656 aliosque. recte contra habet *Πελοπόννησος Προκόννησος* et si quae alia cum nominibus tertiae declinationis composita sunt. regulae veritatem praeter alia demonstrant nomina *Πελοπόννησος* et *Χερσόνησος*, quorum cum frequens sit apud poetas usus, nullus tamen adhuc locus oblatus est, in quo vel *Χερσόννησος* vel *Πελοπόνησος* scribi metrum postulet. non perspexerunt rei rationem nec Boeckhius C. I. vol. 1 p. 18. neque Strabo 13 p. 618. *καλοῦνται δ' Ἑκατόννησοι συνθέτως, ὡς Πελοπόννησος, κατὰ ἔθος τι τοῦ ν̄ γράμματος πλεονάζοντος ἐν τοῖς τοιούτοις, ὡς Μυόννησος καὶ Προκόννησος λέγεται καὶ Ἁλόννησος, ὥστε Ἑκατόννησοί εἰσιν οἷον Ἀπολλώνησοι. Ἕκατος γὰρ ὁ Ἀπόλλων.* qui quae duplicatae literae exempla affert plane confirmant quod dixi de horum nominum compositione; male autem iudicat de *Ἑκατόννησοι* nomine, quod sane, si recte de eo statuisset geographus, legi illi adversaretur. at non dubium est quin illud rectius *Ἑκατὸν νῆσοι* scribatur, ut est apud Herod. 1, 151. *ἐν τῇσι Ἑκατὸν νήσοισι*, et disertius etiam apud Diod. Sic. 13, 77. *ηὐλίσθη πρός τινι νήσῳ τῶν Ἑκατὸν καλουμένων.* quam Strabo huius nominis etymologiam commentus est, ea hanc rationem habet, quod insulae illae re vera non centum fuere numero, sed viginti tantum sive, ut Timostheni placuit, quadra-

Ἀρκτᾶνες, ὡς Αἰνιᾶνες, ἔθνος Ἠπειρωτικόν. Ῥιανὸς ἐν τετάρτῃ Θεσσαλικῶν.

Ἄρκτων νῆσος. οὕτως ἡ Κύζικος ἐκαλεῖτο, καὶ πόθεν, εἰρήσεται ἐν τῷ περὶ αὐτῆς. λέγεται καὶ συνθέτως Ἀρκτόνησος.

Ἅρμα, πόλις Βοιωτίας τῆς Ταναγρικῆς. Παυσανίας ἐνάτῳ. ἐκλήθη [δὲ οὕτως ἢ διότι ἐκεῖ κατεάγη τὸ τοῦ Ἀδράστου ἅρμα, ἢ] ἀπὸ Ἀμφιαράου τοῦ ἅρματος. ἐνταῦθα γὰρ καταφυγεῖν φασι μετὰ τοῦ ἅρματος καὶ οὐκ ἐκδοθῆναι τοῖς διώκουσιν ὑπὸ τῶν κατοικούντων. ἔστι καὶ τῆς Ἀττικῆς Ἅρμα [ἐν Πάρνηθι] περὶ τὴν Φυλὴν καλουμένην· ὑπάρχει δὲ οὗτος δῆμος ἔχων φρούριον ὀχυρόν, ὅμορον τῇ Ταναγρικῇ. καλεῖται καὶ λουτρὰ Ἀμφιαράου. τὸ ἐθνικὸν Ἁρματεύς. ἔστι καὶ *Ἅρματα* πόλις πληθυντικῶς Ἰνδικῆς. ἐθνικὸν τὸ αὐτό, ἢ διὰ τὸ τῆς χώρας ἔθος Ἁρματηνὸς ἢ Ἁρματίτης (ἔστι καὶ πόλις Ἁρματίτης), ὡς τοῦ ἕρμα ἑρματίτης.

Ἀρμένη, κώμη Παφλαγονίας. Μένιππος ἐν περίπλῳ. παρὰ δὲ Ξενοφῶντι ἐν Ἀναβάσεως [ς′] Ἀρμήνην διὰ τοῦ η. τὸ ἐθνικὸν τῆς Ἀρμένης Ἀρμεναῖος, ὡς τῆς Κασμένης Κα-

---

ginta. at vero centenarius numerus quam late pateat notissimum est. cf. Exerc. phil. ad Athen. II p. 29. νῆσος Ἰωνίας B, praeter necessitatem. v. Strab. 14 p. 656. et Arrian. Exp. 1, 23. ubi item Ἀρκόννησος editur. probabile vero etiam Ionicam Arconesum a Stephano memoratam sed per negligentiam epitomatoris omissam esse. Ἀπολλώνιος RV, Ἀπολλόδωρος A. 1. Αἰνιᾶνες H, Ἀνιᾶνες libri. 2. Θεσσαλικῶν RV, Θετταλικῶν A. 3. Ἀρκτόννησος PpV. 6. Ταναγραϊκῆς R. 7. ἐνάτῳ] c. 19, 4. 7. 8. verba uncis inclusa ex Eustathio ad Hom. p. 266, 38 suppleta. 11. ἐν Πάρνηθι add. Eustathius. οὗτος] Hoc ad Phylen spectat, non ad Harma, de quo intellexit Eustathius. 14. Ἰνδικῆς RV, Ἰνδική A. 15. πολίτης pro πόλις X. 16. Ῥῆγμα Ῥηγματίτης B. at non semper explicandis gentilium formis Stephanus urbium nomina adhibet. si Ἁρματίτης urbis nomen fuit (ut Αἰγινήτης et similia), postrema tmematis verba fortasse ita sunt transponenda: Ἁρματηνός ἢ Ἁρματίτης, ὡς τοῦ ἕρμα ἑρματίτης. ἔστι καὶ πόλις Ἁρματίτης. 18. ς′ (1, 9) add. H. 19. τῆς ante Ἀρμένης (Ἀρμήνης V) om. RV.

σμεναῖος, τῆς δ' Ἀρμήνης Ἀρμήνιος ὡς Μεσσήνιος Παλλήνιος.

Ἀρμενία, χώρα πλησίον τῶν Περσῶν, ἀπὸ Ἀρμένου Ῥοδίου, ὡς Ἀντίπατρος ἐν τρίτῳ περὶ Ῥόδου. οἱ οἰκήτορες Ἀρμένιοι, ὡς Εὔδοξος πρώτῃ γῆς περιόδου „Ἀρμένιοι δὲ τὸ μὲν γένος ἐκ Φρυγίας καὶ τῇ φωνῇ πολλὰ φρυγίζουσι. παρέχονται δὲ λίθον τὴν γλύφουσαν καὶ τρυπῶσαν τὰς σφραγῖδας". καὶ Ἀρμενία τὸ θηλυκὸν παρὰ Ξενοφῶντι. ἔστι καὶ Ἀρμένιον ὄρος περὶ τὴν ἀρχὴν τῆς Ὑρκανίας, ὡς Διονύσιος

θοὴν ἀπερεύγεται ἄχνην,
ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος Ἀρμενίοιο.

Ἄρνα, πόλις Λυκίας. οὕτω γὰρ ἡ Ξάνθος ἐκαλεῖτο ἀπὸ Ἄρνου τοῦ καταπολεμήσαντος Πρωτόγονον. τὸ ἐθνικὸν Ἀρναῖος καὶ Ἀρνεύς.

Ἀρνεαί, πόλις Λυκίας μικρά, ὡς Καπίτων Ἰσαυρικῶν τρίτῳ. τὸ ἐθνικὸν Ἀρνεάτης. ἔστι δ' ὡς Ὀρνεαί. Ὅμηρος „Ὀρνειάς τ' ἐνέμοντο".

Ἄρνη, πόλις Βοιωτίας. Ὅμηρος „οἵ τε πολυστάφυλόν τ' Ἄρνην ἔχον". καὶ Λυκόφρων „Ἄρνης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι". δευτέρα πόλις Θεσσαλίας, ἄποικος τῆς Βοιωτίας, περὶ ἧς ὁ χρησμός „Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα". ἣ Κιέριον καλεῖται. θυγατέρα δέ φασιν Αἰόλου

---

1. Ἀρμένιος (η supra ε) V. *Μεσσήνιος* V, *Μεσήνιος* ΠR, om. A. 5. *Ἀρμένιοι τὸ γένος* Eustathius ad Dion. Per. 694. 6. *ἐκ Φρυγίας* [*ὄντες*] *καί*? post *φρυγίζουσι* aliqua omisisse videtur. 7. *δὲ καὶ λίθον* Eustathius. 9. *περὶ* Eustathius et V, *παρὰ* AR. *Διονύσιος*] Per. 693. 13. *καταπολεμήσαντος* M, *καὶ πολεμήσαντος* R, *πολεμήσαντος* AV. *Πρωτόγονον*] cf. Lactantius Inst. 1, 5. Orpheus — deum verum et magnum *Πρωτόγονον* appellat, quod ante ipsum nihil sit genitum, sed ab ipso cuncta generata. 16. *Ὅμηρος*] Il. 2, 571. 17. *Ὀρνείας* RV, *Ἀρνείας* A. 18. *Ὅμηρος*] Il. 2, 507. 19. *Λυκόφρων*] v. 644. 21. *χρησμός*] Habet etiam Eustathius ad Hom. p. 270, 33. cf. Mülleri Orchom. p. 392. 22. *Κιερικόν* V. Cierium quo loco situm fuerit primus docuit Leake Transact. of the Royal Soc. of Litt. vol. 1

τὴν Ἄρνην. τρίτη Μεσοποταμίας. τετάρτη τῆς Ἐρασινίων πρὸς τῇ Θρᾴκῃ. τὸ ἐθνικὸν Ἀρναῖος, τὸ θηλυκὸν Ἀρναία.

Ἀρόερνοι, ἔθνος μαχιμώτατον τῶν πρὸς τῇ Κελτικῇ Γαλατῶν. Ἀπολλόδωρος τετάρτῃ χρονικῶν „Κελτῶν Ἀροέρνους".

Ἀρόη, πόλις Ἀχαΐας. Παυσανίας ἑβδόμῳ. ἐκλήθη ἀπὸ τῆς ἐργασίας τῆς γῆς. λέγεται καὶ Πάτραι. τὸ ἐθνικὸν Ἀροεύς ὡς Ἀρσινοεύς.

Ἁρπάγια, οὐδετέρως, τόπος περὶ Κύζικον, ὅθεν ἡρπάσθαι φασὶ Γανυμήδην. οἱ οἰκήτορες Ἁρπαγιανοί.

Ἁρπαλύκεια, πόλις Φρυγίας, κτίσμα Γορδιοτειχιτῶν. τὸ ἐθνικὸν Ἁρπαλυκεύς.

---

p. 154. adde Theophr. de caus. plant. 5, 14. p. 573. *τῆς Θετταλίας περὶ Κίθρον μάλισθ' ὡς εἰπεῖν ἔκπηξίς ἐστιν· ὁ δὲ τόπος κοῖλος καὶ ὕφυδρος.* ubi leg. *Κίερον.* nam haec quoque forma proba est docente Strab. 9 p. 435. cuius de loco v. Mülleri Beil. zu den Doriern p. 21. qui eandem urbem forma paullulum mutata Pieriam dici arbitratur apud Livium 32, 15 et 36, 14. quorum locorum primo nunc Piera altero Ciera editur. mihi non dubium est quin eadem utroque loco forma, sive Cieria sive Ciera, restituenda sit, ut voluit Leakius. denique Cierii memoria obliterata est apud Theophrast. de vent. p. 775. ubi haec leguntur: *φθείρει δὲ (ὁ ζέφυρος) καὶ τὰ ἐν τῷ Μηλιακῷ κόλπῳ πάντα καὶ τὰ ἐπέτεια* (fort. *ἐπίγεια*) *καὶ τὰ (τἀπὸ?) δένδρων· καὶ τῆς Θετταλίας περὶ τὸν Πιέριον· ἀμφοτέρων δὲ τῶν τόπων ἡ αὐτὴ φύσις καὶ τὰ περιέχοντα ὅμοια· κεῖνται μὲν γὰρ ἄμφω πρὸς ἀνατολήν, περιέχονται δ' ὑψηλοῖς ὄρεσιν, ὁ μὲν τῇ Οἴτῃ καὶ τοῖς συνεχέσιν [ὁ δὲ τῷ Πιέρῳ]. ὁ δὲ πνέων ἀπὸ δυσμῆς ἰσημερινῆς τὴν ὑπὸ (ἀπὸ?) τοῦ ἡλίου θερμότητα προσπίπτουσαν τοῖς ὄρεσιν, ἀνακλωμένην καθῆκεν εὐθὺς εἰς τὸ πεδίον καὶ ἀπέκαυσεν.* in his *τὸν Πιέριον* ex infelici Furlani coniectura scripsit Schneiderus, nescio quem Pierium sinum intelligens. revocanda librorum scriptura *τὸ Κιέριον.* iam simul intelligitur male suppleta esse verba *ὁ δὲ τῷ Πιέρῳ*, quibus potius *ὁ δὲ τῷ Πίνδῳ* substituendum est. 1. *τῆς Ζηρανίων* B, *τῆς Ἐορδαίων* vel *Δερσαίων* H. fort. *τῆς Κρηστωνίων.* 4. *χρονικῶν* X, *χαιρονικῶν* AHR, *χαιρονικον* V. 6. *ἑβδόμῳ*] c. 18, 2. 9. *Ἁρπάγεια* R. 11. *τῆς Φρυγίας* R.

Ἅρπασα, πόλις Καρίας, ἀπὸ Ἁρπάσου ποταμοῦ. τὸ ἐθνικὸν Ἁρπασεύς, ὡς Μύλασα Μυλασεύς, Πηγασεύς.

Ἅρπινα, πόλις Ἤλιδος, ἀπὸ Ἁρπίνης τῆς Ἀσωποῦ, ἀφ' ἧς καὶ Ἄρεος Οἰνόμαος. ὁ πολίτης Ἁρπιναῖος, καὶ Ἁρπίνηθεν ἐκ τόπου.

Ἅρπυια, πόλις ἐν Ἰλλυρίᾳ παρ' Ἐγχελέαις, εἰς ἣν Βάτων ὁ Ἀμφιαράου ἡνίοχος μετὰ τὸν ἀφανισμὸν αὐτοῦ ἀπῴκησε. Πολύβιος. τὸ ἐθνικὸν Ἁρπυιήτης, τροπῇ τοῦ ᾱ εἰς η. ἔστι γὰρ Ἁρπυιάτης.

Ἄρρα, πόλις Ἰλλυρική. τὸ ἐθνικὸν Ἀρραῖος. καὶ γὰρ ὁ τύπος συνήθης, ὡς Πελλαῖος καὶ Βεροιαῖος.

Ἀρρεντία, πόλις Ἰταλίας. ὁ πολίτης Ἀρρεντῖνος, ὡς Πλακεντία Πλακεντῖνος.

Ἀρρήτιον, πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Ἀρρητῖνος.

Ἀρρηχοί, ἔθνος Μαιωτῶν. Στράβων ἑνδεκάτῃ.

Ἄρσα, πόλις Ἱσπανίας, ὡς Χάραξ ἐν δεκάτῃ χρονικῶν. τὸ ἐθνικὸν Ἀρσαῖος.

Ἀρσακία, πόλις Μηδίας ἐπίσημος, ἀνατολικωτέρα Μηδίας. οἱ οἰκήτορες Ἀρσακίδαι ἀπὸ Ἀρσάκου, καὶ Ἀρσακὶς τὸ θηλυκόν.

Ἀρσινόη, πόλις Λιβύης, ἀπὸ τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου ἀδελφῆς καὶ γυναικός. δευτέρα πόλις Παραιτονίου Λιβύης, ἡ πρότερον Ταύχειρα. τρίτη πόλις Συρίας ἐν Αὐλῶνι. ἡ περίμετρος αὐτῆς στάδια ή. τετάρτη τῆς κοίλης Συρίας. πέμπτη Κιλικίας. ἕκτη τῆς Αἰγύπτου πόλις ἐπὶ τοῦ Δέλτα. ἑβδόμη Κύπρου, ἡ πρότερον Μάριον λεγομένη. ὀγδόη

---

2. ὡς add. ΠRV. Μύλασα BH, Μύλα libri. 3. Ἅρπινα] V. Lobeck. Path. p. 222. 4. καὶ ante Ἄρεος om. V. 4. 5. Ἀρπινῆθεν libri. 6. Ἀγχελέαις R. 7. 8. ἀπῴκισε R. 8. Ἀρπαϊάτης V. 11. Βεροιαῖος H, Βερουαῖος RV, Βεροαῖος A. 12. Ἀρρεντία M, Ἀρρέντεια libri. Ἀρεντῖνος V. 15. ἑνδεκάτῃ] p. 495. 16. Ἱππανίας RV. ἐν add. RV. 18. Μηδείας libri. 19. Ἀρκασίδαι V. Ἀρσακοῦ libri. 22. 23. Παραιτωνίου R, Παραιτωνίου V. 24. περίμετρα Π. ή ΠRV, ὀκτακισχίλια A. fort. ὀγδοήκοντα. τετάρτη ΠRV, τέσσαρα A.

Αἰτωλίας. ἐνάτη Λύκτου. δεκάτη τῆς Τρωγλοδυτικῆς, ἡ πρότερον Ὀλβία καλουμένη. ἔστι καὶ ἄλλη Λυκίας. τὸ ἐθνικὸν Ἀρσινοΐτης καὶ Ἀρσινοεύς ἐπὶ τῆς Αἰτωλικῆς, ὡς Πολύβιος ἐνάτῳ. ἀλλὰ καὶ τῆς ἐν Λιβύῃ Ἀρσινοεύς, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ.

Ἀρσυσία, χώρα τῶν Ψύρων καὶ Χίου, τραχεῖα καὶ ἀλίμενος, ὅσον σταδίων τριάκοντα, οἶνον ἄριστον ἔχουσα καλούμενον Ἀρσυηνόν, οὗ μέμνηται Στράβων ιδ΄. καὶ τοὺς ἐνοι-

---

1. *Λύκτου* AV, *Λίκτου* R, *Λυκίας* B. 3. *Ἀρσινοΐτης* RV, *Ἀρσινοήτης* A, *Ἀρνοΐτης* Π. vide ad *Νινόη*. 6. *χώρα* PpR, *χωρίον* AV. *χώρα* [*μεταξὺ*] *τῶν* B. 7. *τριακόσια* inepte Strabonis libri. *οἷον* V. 8. *Ἀρσυηνόν* M, *ἀρσύθινον* R, *ἀρσύσινον* V, *ἀρσυσικόν* A. *ιδ΄*] p. 645. ubi de Chio insula agit: *εἶτα Μέλαινα ἄκρα, καθ᾽ ἣν τὰ Ψύρα νῆσος ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας — εἶθ᾽ ἡ Ἀριουσία χώρα, τραχεῖα καὶ ἀλίμενος, σταδίων ὅσον τριακοσίων, οἶνον ἄριστον φέρουσα τῶν Ἑλληνικῶν.* hinc viri docti, cum Arsysiam aliunde cognitam non haberent, apud Stephanum *Ἀρσυσία* ex *Ἀριουσία* corruptum esse suspicati sunt, non facturi opinor, si Arsyenum vinum simul cum Ariusio commemorari scivissent a Galeno ed. Kuhn. vol. 6 p. 276. *ἐπὶ δὲ τῆς Ἀσίας ἐκ μὲν τοῦ προτέρου (γένους) Λέσβιός τε καὶ Ἀριούσιος, ἐκ δὲ τοῦ δευτέρου Τιτακαζηνός τε καὶ Ἀρσυϊνός (Ἀρσυηνός).* ibid. p. 335. *Σαβίνῳ δὲ καὶ Ἀδριανῷ Τιτακαζηνός τε καὶ Ἀρσυϊνὸς (Ἀρσυηνὸς) ἐοίκασι. τούτων οὖν μετρίως παλαιωθέντων πίνειν χρὴ τοὺς πρεσβύτας ὅσοι μὴ πάνυ γε κεφαλὴν ἰσχυρὰν ἔχουσιν· οἷς δ᾽ ἰσχυρά, τούτοις Φαλερῖνός τε καὶ Σουρρεντῖνος Ἀριούσιός τε καὶ Λέσβιος ἐπιτήδειοι.* ib. p. 806. *ὅτι Τιβηνός ἐστι τοιοῦτος καὶ ὁ Ἀρσύϊνος (Ἀρσυηνὸς) καὶ μετ᾽ αὐτοὺς ὁ Τιτακαζηνός.* vol. 10 p. 483. *ὁ Σαβῖνος μὲν ἐπὶ τῆς Ἰταλίας, Ἀρσύνιος (Ἀρσυηνὸς) δὲ κατὰ τὴν Ἀσίαν.* ib. p. 485. *ὁμοίως δὲ Ἀρσύνιόν (Ἀρσυηνόν) τε καὶ Τιτακαζηνόν.* ib. p. 833. *ἐπὶ τῆς Ἀσίας ὅ τε Τιβηκῖνος* (leg. *Τιβηνὸς*) *καὶ ὁ Τιτακαζηνὸς καὶ τρίτος μετ᾽ αὐτοὺς ὁ Ἀρσυϊνός (Ἀρσυηνός).* vol. 11 p. 87. *ὁ Σαβῖνος καὶ Ἀδριανὸς καὶ Ἀρσύϊνος (Ἀρσυηνός).* denique vol. 12 p. 517. *Τιτακαζηνὸς καὶ Ἀρσυήνιος (Ἀρσυηνὸς) καὶ Ἀριούσιος.* ex horum locorum comparatione hoc certe intelligitur rectissime apud Stephanum legi *Ἀρσυσία*, qui cum ad Strabonis fidem provocet, aut apud hunc *Ἀρσυσία* scriptum repperit pro eo quod nunc legitur *Ἀριουσία*, aut Ariusii et Arsyeni agri memoriam coniunxerat epitomatoris culpa obliteratam. diversos enim, quamquam sine dubio contiguos, fuisse agros e Galeno intelligitur, ut qui aliam vim Ariusio aliam

κουντας τοιῶσδε κλητέον κατὰ συγκοπὴν τῆς σι. ἦν γὰρ Ἀρσυσιηνός. ἢ Ἀρσυανός, ὡς Καρδία Καρδιανός, Ὀλβία Ὀλβιανός, Ἀδρία Ἀδριανός.

Ἀρταία, Περσικὴ χώρα, ἣν ἐπόλισε Πέρσης ὁ Περσέως καὶ Ἀνδρομέδας Ἑλλάνικος ἐν Περσικῶν πρώτῃ. οἱ οἰκοῦντες Ἀρταῖοι. ἀρταίους δὲ Πέρσαι, ὥσπερ οἱ Ἕλληνες τοὺς παλαιοὺς ἀνθρώπους, ἥρωας καλοῦσι. τάχα δὲ καὶ ἐντεῦθέν μοι δοκεῖ Ἀρταξέρξαι καὶ Ἀρτάβαζοι, ὥσπερ ἐν Αἰγυπτίοις καὶ Νειλάμμωνες καὶ Πανάπόλλωνες. Ἡρόδοτος Ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ ε ψιλοῦ. ἔστι καὶ Ἀρταίων τεῖχος πολίχνιον ἐπὶ τῷ Ῥυνδάκῳ ποταμῷ, ὡς Κρατερὸς ἐνάτῳ περὶ ψηφισμάτων. τὸ ἐθνικὸν Ἀρταιοτειχίτης.

Ἀρτάκη, πόλις Φρυγίας, ἄποικος Μιλησίων. Δημήτριος δὲ νησίον εἶναί φησι καὶ Τιμοσθένης λέγων „Ἀρτάκη τοῦτο μὲν ὄρος ἐστὶ τῆς Κυζικηνῆς, τοῦτο δὲ νησίον [ἐστὶν] ἀπὸ γῆς ἀπέχον στάδιον· κατὰ τοῦτο λιμὴν ὑπάρχει βαθὺς ναυσὶν ὀκτὼ ὑπὸ τῷ ἀγκῶνι ὃν ποιεῖ τὸ ὄρος ἔχεσθαι τοῦ αἰγιαλοῦ". τὸ ἐθνικὸν Ἀρτακηνός. Σοφοκλῆς δὲ ἀπὸ τοῦ Ἀρτακεύς εἶπε „τί μέλλετ' Ἀρτακῆς τε καὶ Περκώσιοι"; καὶ Ἀρτάκιος εἶπε Δημοσθένης ἐν ἐνάτῳ Βιθυνιακῶν „νάσσατο δ' Ἀρτακίοισιν ἐφέστιος αἰγιαλοῖσιν". [καὶ Ἀρτακία.] οὕτω γὰρ αὐτόθι ἡ Ἀφροδίτη καλεῖται.

Ἀρτακοί, ἔθνος Θρᾴκιον.

Arsyeno vino tribuat. 2. Ἀρσυσιηνός. ἢ Ἀρσυανός M, Ἀρσυσιηνός ἢ Ἀρσυηνός libri, Ἀρσυσιανός ἢ Ἀρσυανός H. 4. Ἀρταῖα libri. Πέρσης Lehrsius, Περσεὺς libri. 6. Ἀρκταῖοι V. 7. ἥρωας add. RV. 7. 8. ἐντεῦθεν — ὥσπερ om. R. 8. ὥς που V, ὡς παρ' W. ἐν add. R. Ἀρταβαζοί libri. 9. καὶ ante Νειλάμμωνες om. ΠR. Νειλάμμωνες B, Μιλλάμμωνες R, Μιλλάμωνες VA. 9. Ἡρόδοτος Pp, ηρο^δ R, Ἡρωδιανὸς A, ηρο .... V. cf. infra ad Ἀρτεᾶται. 10. Ἀρταίων RV, Ἀρταίου A. 14. Τιμοσθένην V. fort. κατὰ Τιμοσθένην. Ἀρτάκη RV, Ἀρτάκης A. 15. ἐστὶν seclusit M. 17. ἔγγιστα pro ἔχεσθαι B. 18. ἀπὸ τοῦ R, ἀπὸ Π, om AV. 19. Ἀρτακεῖς libri. 21. ἐφέστιον Π. καὶ Ἀρτακία add. B.

Ἀρτάξατα, πόλις Ἀρμενίας. Στράβων ἑνδεκάτῃ. ἣν καὶ Ἀρταξιάσατα καλοῦσι. λέγεται δὲ τὴν πόλιν οἰκίσαι Ἀρταξίαν Ἀρμενίας βασιλεύσαντα. τὸ ἐθνικὸν Ἀρταξατηνός.

Ἀρτεᾶται, γένος Περσικόν. Ἡρόδοτος πρώτῃ.

Ἀρτεμίσιον, πόλις Οἰνώτρων ἐν μεσογείῳ, Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Ἀρτεμισιάτης. Φίλιστος δὲ Ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴσως δωρικῶς. ἔστι καὶ πόλις Εὐβοίας.

Ἀρτεμίτα, νῆσος Τυρρηνικὴ παρὰ τὴν Αἰθάλειαν νῆσον, ὡς Φίλων. ὡς δὲ Στράβων πόλις Παρθυαίων. ὁ δὲ Ἀρτεμίδωρός φησιν ὅτι χερρόνησος περὶ τὴν ἐκβολὴν τοῦ Ἀχελῴου ποταμοῦ λεγομένη Ἀρτεμίτα. ἡ γενικὴ Ἀρτεμίτας. τὸ ἐθνικὸν Ἀρτεμιτηνός. Ἀπολλόδωρος δ' Ἀρταμιτηνός φησι διὰ τοῦ ᾱ. ἔστι καὶ πλησίον τῶν Ὀξειῶν νήσων νῆσος Ἀρτεμίτα. Ῥιανὸς ἡ Θεσσαλικῶν „νήσοις Ὀξείῃσι καὶ Ἀρτεμίτῃ ἐπέβαλλον". τὸ ἐθνικὸν τὸ αὐτό, ἢ Ἀρτεμιταῖος διὰ τὸ τὸν τύπον τοῖς Πέρσαις ἀναλογεῖν.

---

1. ἑνδεκάτῃ (p. 527) X, ιδ' libri. 2. Ἀρταξιάσατα ΠV, Ἀρταξιασάτα R, Ἀρταξιασῶτα A. οἰκῆσαι R. 4. πρώτῃ] c. 125. ubi ἀρτέαται legitur, quod non gentis nomen, sed verbum est. cf. s. v. Ἀρταία et iterum in Μάσπιοι. ἔθνος Περσικόν, ὡς εἴρηται ἐν τῷ περὶ Μαραφίων Ἀρτεατῶν καὶ Πασαργαδῶν. ex quo apparet totum Herodoti locum a Stephano appositum fuisse. 7. δωρικόν V. 8. περὶ V. Ἀρτέμητα (sic) R, Ἀρτέμιτα AV. Αἰθάλειαν Cluverus, Θάλειαν libri. 9. Στράβων] 16 p. 744. Παρθιαίων R. 11. Ἀρτεμία V, Ἀρτέμιτα AR. cf. Kramer ad Strab. I. p. 90. Ἀρτεμίτας] Hanc genitivi formam ad Persicam urbem spectare docet Strabo 11. p. 519. ad eandem referendum gentile Ἀρτεμιτηνός. 12. Ἀρταμιτηνός] Hac forma de ipso Apollodoro, qui Artemitam patriam habuitur utitur Strabo 11 p. 516. itaque φησί fortasse ad Strabonem spectat. Stephanus certe Apollodoro Artemitano nunquam utitur. potest vero etiam Apollodorus intelligi Atheniensis. 13. Ἀρτέμιτα libri. 14. ἡ PpRV, οἱ A. Ἀρτεμίτῃ Pp, Ἀρτεμίῃ ARV. hanc Rhiani Artemitam eandem esse cum Artemidori peninsula monuerunt BH. ἐπέβαλον R. 15. τὸ αὐτό om V. fort. τὸ ἐθνικὸν Ἀρτεμιταῖος, ceteris post Ἀρτεμιτηνός lin. 12 reiectis, siquidem neque αιος Persicus neque ηνος Graecus typus est.

Ἀρτύμνησος, πόλις Λυκίας, ἄποικος Ξανθίων. τὸ ἐθνικὸν Ἀρτυμνησεύς. Μενεκράτης ἐν πρώτῃ τῶν Λυκιακῶν φησιν ὅτι πολυανθρωπήσασαν τὴν Ξάνθον τοὺς πρεσβύτας εἰς τρία μέρη διελεῖν, τούτων δὲ τοὺς μὲν ἐπὶ τὸν Κράγον ἐλθεῖν καὶ οἰκῆσαι ἐν τῷ ὄρει λόφον στρογγύλον κατοικίσαι καὶ καλέσαι τὴν πόλιν Πινάραν, ἣν μεθερμηνεύεσθαι στρογγύλην. τὰ γὰρ στρογγύλα πάντα πίναρα καλοῦσιν....

Ἄρυββα. τὸ ἐθνικὸν Ἀρύββας. οὕτω γὰρ Ἀλκμάν.

Ἀρύκανδα, πόλις Λυκίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν δευτέρῳ. τὸ ἐθνικὸν Ἀρυκανδεύς ὡς Ἀλινδεύς.

Ἀρύπη, πόλις [ἐν Αἰγύπτῳ], ἧς οἱ πολῖται Ἄρυπες, ὡς Ἡρωδιανός.

Ἀρχανδρούπολις, πόλις ἐν Αἰγύπτῳ, Ἡρόδοτος δευτέρῳ. τὸ ἐθνικὸν Ἀρχανδροπολίτης.

Ἄρωμα, πόλις Αἰθιόπων, ὡς Μαρκιανός. ὁ πολίτης Ἀρωμεύς..... Στράβων „ἄριστος Μεσσωγίτης οἶνος ὁ Ἀροματεύς".

---

2. Ἀρτιμνησεύς R. 3. πολυανθρωπῆσαν R. 4. τοὺς μὲν H, τὴν μὲν libri. 5. οἰκῆσαι AR, οἰκῖσαι V, οἰκίσαι Pp. κατοικίσαι PpRV, κατοικῆσαι A, Salmasius delet. forsan καὶ κτίσαι. 6. Πίναρα? hanc enim solam noster ipse formam agnoscit s. v. Πίναρα. Plinius tamen etiam Pinaram dixit NH 2, 108. 7. lacunam indicavit M. exciderunt ea quae ad Artymnesum spectant. 8. Ἄρυββα et Ἀρύββας W, Ἄρυβα et Ἀρύβας Gronovius, Ἄρρυββα et Ἀρύββας RV, Ἄρρυβα et Ἀρρύβας A. cf. Schneidewini Conject. crit. p. 25. 10. Ἀλινδεύς V, Ἀλυνδεύς AR. 11. ἐν Αἰγύπτῳ om. IIRV, ac sane Arypes in Aegypto reperiuntur nulli. dicendum potius erat ἐν Ἀχαΐᾳ. sunt enim iidem qui reliquis dicuntur Ῥύπες vel Ῥύπαι. Theognostus Cram. AO. vol. 2 p. 98: εἰς ῡψ σπάνια Κίνυψ ὁ λιμήν, Χάλυψ, Ἄρυψ οἱ μέχρι Ἰσθμοῦ, ὅπερ καὶ μονοσυλλάβως λέγεται. de monosyllabo testimonia collegit Lobeckius Paral. p. 117. rectius vero illud ἐν Αἰγύπτῳ, quod solus A agnoscit et e sequenti articulo per errorem repetitum videtur, plane deleas, cum ne Herodianum quidem Arypae situm accuratius indicasse ex Arcadio p. 113, 14. conicias. 13. 14. δευτέρῳ] c. 97. 14. Ἀρχανδρουπολίτης V. 16. indicavi lacunam; excidisse videtur: ἔστι καὶ Ἀρόματα κατοικία Λυδίας. τὸ ἐθνικὸν Ἀροματεύς. Στράβων] 14 p. 650. Μεσσωγίτης ὁ Strabo, Μεσογείτης libri. 16. 17. Ἀροματεύς B, Ἀρωμεύς libri.

Ἀσαί, κώμη Κορίνθου. Θεόπομπος λβ' Φιλιππικῶν „Ἀσαὶ καὶ Μαυσὸς κῶμαι μεγάλαι καὶ πολυάνθρωποι". τὸ ἐθνικὸν Ἀσαῖος. ἔστι καὶ κώμη Θρᾴκης Ἀσαί. τὸ ἐθνικὸν τὸ αὐτό.

Ἀσβύστα, πόλις Λιβύης. καὶ ὁ πολίτης Ἀσβύστης. „οἵη τε Τρίτωνος ἐφ' ὕδασιν Ἀσβύσταο" Καλλίμαχος Αἰτίων πρώτῃ. δύο δέ εἰσι Τρίτωνες, ὁ μὲν Λιβύης ὁ δὲ Βοιωτός.

Ἄσβωτος, πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Ἀσβώτιος. Εὐφορίων Θρακί

τὸν μὲν ἄρ' ἐκ φλοίσβου Ἀσβώτιοι ὦκα φέροντες
ὑστάτιον ῥώσαντο κονισαλέῃσιν ἐθείραις
ἵπποι καλὰ νάουσαν ἐπορνύμενοι Φυσάδειαν.

περὶ τῶν ἵππων Ἀμφιαράου.

Ἄσδυνις, νῆσος κατὰ τὴν Μοίριδος λίμνην. Εὔδοξος δευτέρῳ „κατελαμβάνοντο ἐν Ἀσδύνει τῇ νήσῳ". ὁ νησιώτης Ἀσδυνίτης ὡς Μεμφίτης.

Ἀσέα, κώμη τῆς Ἀρκαδίας, ἀφ' ἧς ὁ Ἀλφειὸς ῥέει, ὃς καὶ Ἀσεάτης λέγεται. καὶ ὁ κωμήτης ὁμοίως, ὡς Κορσεάτης Ὀρνεάτης.

Ἀσία, πόλις Λυδίας παρὰ τῷ Τμώλῳ, ἐν ᾗ τρίχορδος εὑρέθη κιθάρα, διὸ [καὶ Ἀσιὰς ἐκλήθη.] καὶ Ἀσία ἡ ἤπειρος. οἱ μὲν ἀπὸ πόλεως Λυδίας, οἱ δὲ ἀπὸ Ἀσίου τοῦ Λυδοῦ, ἢ ἐκ τῆς Προμηθέως γυναικός, ἢ ἀπὸ τοῦ πολλὴν ἄσιν ἔχειν, τουτέστιν ἰλύν. ὁ ἐνοικῶν Ἀσιάτης καὶ τὸ θηλυκὸν Ἀσιᾶτις.

---

1. *Ἀσαί*] Ante hanc vocem *βιβλίον ζ' Π*R. *λβ' Π*V, *τριακοστῇ ἐννάτῃ* A, om. R. cf. s. v. *Μαυσός*. 5. *Ἄσβυστα* V, om. acc. R. si *Ἄσβυστα* urbis nomen fuit, gentile libyco more esset *Ἀσβυστίτης*. est vero constanter *Ἀσβύσται*. itaque urbi quoque nomen *Ἀσβύσται* fuisse conicio. 6. *οἵτε* R, *οἵη τε* AV, *οἵε τε Π*. *οἵη*, quod vulgo legitur, IGronovius de Oea urbe intelligebat. *αἰτιῶν* libri. 11. *ῥύσαντο* Pflugk. 12. *Φυσάδειαν* R, *Φυγάδειαν* AV. v. Anall. Alex. p. 55. 17. *ἀδελφειὸς* e corr. V. 18. *Ἀσεάτις* R. *κωμίτης* R. 21. *καὶ Ἀσιὰς ἐκλήθη* add M. cll. Kustero ad Aristoph. Thesm. 120. cuius exemplis adde poetam incertum apud Strab. 10 p. 471: *κιθάραν Ἀσιᾶτιν ἀράσσων*. 22. 23. *Λυδοῦ ἐκ τῆς* R.

λέγεται καὶ Ἀσίς „ἰσθμὸς ἄνω τέταταί τις ὑπέρτατος Ἀσίδος αἴης". καὶ Ἀσιάς. τὸ δὲ Ἀσιανός, ὡς Στράβων ἑνδεκάτῃ „ἦν δὲ ἐμπόριον κοινὸν τῶν τε Ἀσιανῶν καὶ τῶν Εὐρωπαίων Νομάδων". καὶ τὸ θηλυκὸν Ἀσιανή. ἔστι καὶ Ἀσιανὴ πόλις Ἠλείας. λέγεται καὶ Ἀσιαῖος. ἔστι καὶ Ἀσία νῆσος Αἰθιοπίας. ὁ πολίτης Ἀσιάτης. τὸ ἐθνικὸν Ἀσιεύς, ὡς Ὑρία Ὑριεύς. ἔστι καὶ Ἄσιος λειμών. Ὅμηρος „Ἀσίῳ ἐν λειμῶνι". ἢ μᾶλλον Ἀσίας, ἀντὶ τοῦ Ἀσίου (γενικὴ γάρ ἐστιν, οὐκ Ἀσιανῷ· ἀγνοεῖ γὰρ Ὅμηρος τὴν Ἀσίαν ὡς καὶ τὴν Εὐρώπην) καὶ ἰωνικῶς Ἀσίεω καὶ Ἀσίω ὡς ἐμμελίω.

Ἀσίνη, πόλις Λακωνικὴ ἀπὸ Ἀσίνης θυγατρὸς Λακεδαίμονος. δευτέρα Μεσσήνης παρὰ τὴν Λακωνικήν, οἰκισθεῖσα ὑπὸ Ἀργείων. τρίτη Κύπρου. τετάρτη Κιλικίας. τὸ ἐθνικὸν Ἀσιναῖος καὶ Ἀσινεύς, καθὼς Εὔδοξος ἐν ἕκτῃ γῆς περιόδου.

Ἀσκάλων, πόλις Συρίας πρὸς τῇ Ἰουδαίᾳ. Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν φησιν ὅτι Τάνταλος καὶ Ἄσκαλος παῖδες Ὑμεναίου. τὸν δὲ Ἄσκαλον ὑπὸ Ἀκιαμοῦ τοῦ Λυδῶν βασιλέως αἱρεθέντα στρατηγὸν εἰς Συρίαν στρατεῦσαι, κἀκεῖ παρθένου ἐρασθεὶς πόλιν κτίσαι, ἣν ἀφ' ἑαυτοῦ οὕτως ὠνόμασε. τὰ αὐτὰ καὶ Νικόλαος ἐν τετάρτῃ ἱστοριῶν. λέγεται οὖν Ἄσκαλος καὶ ἐξ αὐτοῦ Ἀσκάλης, ὡς δάμαλος „δαμάλης ἔρως", Ἄραξος Ἀράξης, ὡς ἀπὸ τοῦ χαράξω Χάραξος Χαράξης, Λά-

---

1. ἰσθμὸς] Dion. Per. 20. 2. ἑνδεκάτῃ] p. 493. δεκάτῃ ante B. 3. Εὐρωπέων R. 4. καὶ Νομάδων libri. 4. 5. Ἀσία ἡ πόλις Salmasius. 6. ὁ πολίτης Ἀσιάτης fortasse delenda. τὸ RV, καὶ τὸ A. 7. Ὅμηρος] Il. 2, 461. 8. ἢ μᾶλλον Ἀσίας, quae vulgo post Εὐρώπην leguntur, huc transponenda esse vidit B. praeterea malim ἢ μᾶλλον Ἀσίω. 10. ἐνμελίω libri. 12. Μεσήνης R. 14. καθὼς M, καχῶς ὡς R, καχῶς ὡς AV. 17. Ἀλυάττου IGronovius. 19. ἐρασθέντα cum Bocharto? an ἔκτισε pro κτίσαι? 20. ἱστοριῶν U, ἱστορίᾳ ARV. 21. δάμαλος δαμάλης ἔρης Π, δάμαλος ἔρως R, δάμαλις δαμάλης ἄρης Pp, δάμαλος δαμάλης ἄρης V, δάμαλος δαμάλης A. sunt Anacreontis verba fr. 2. 22. Ἄραρος ΠRV. Ἀράρης Pp. Araxi sive Araxae populi Illyrici nomen est, de quo supra egit noster p. 109.

πιθος Λαπίθης. λέγεται καὶ Ἀσκαλώνιον ἡ πόλις. τὸ ἐθνικὸν Ἀσκαλωνίτης καὶ Ἀσκαλώνιος παρὰ τὸ Ἀσκαλώνιον, ὡς Ξάνθος ὁ Λυδός, καὶ Ἀσκαλωνίς θηλυκόν. πολλοὶ δὲ ἐξ αὐτῆς κεχρηματίκασι, φιλόσοφοι μὲν Ἀντίοχος ὁ Κύκνος καὶ Σῶσος καὶ Ἀντίβιος καὶ Εὔβιος στωικοὶ ἐπιφανεῖς, γραμματικοὶ δὲ Πτολεμαῖος Ἀριστάρχου γνώριμος καὶ Δωρόθεος, ἱστορικοὶ Ἀπολλώνιος καὶ Ἀρτεμίδωρος ὁ τὰ περὶ Βιθυνίας γεγραφὼς καὶ ἄλλοι. παρὰ δ' Εὐδόξῳ διὰ τῆς ᾱῑ ἐν τῷ ά „καὶ ἡ μὲν πόλις, οὗ πρῶτόν φασι τὰ κρόμμυα γενέσθαι". καὶ κατὰ τὴν Ἀλεξανδρέων συνήθειαν. Ἀσκαλωναῖα κεράμια.

Ἀσκανία, πόλις Τρωική. Νικόλαος τετάρτῃ ἱστοριῶν „Σκαμάνδριος Ἕκτορος καὶ Ἀνδρομάχης ἐκ τῆς Ἴδης καὶ τοῦ Δασκυλείου καὶ τῆς Ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ Αἰνείου παῖς Ἀσκάνιος ....". οὐ μόνον δὲ ἡ λίμνη ἀλλὰ καὶ ἡ χώρα δισσὴ καὶ ὁμώνυμος .... Φρυγίας μέν „Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς τῆλ' ἐξ Ἀσκανίης" τῆς δὲ Μυσίας „[οἵ ῥ' ἐξ Ἀσκανίης] ἐριβώλακος ἦλθον ἀμοιβοί." καὶ τῆς μὲν Φρύγιον τῆς δὲ Μύσιον. τὸ τοπικὸν Ἀσκάνιος

Χάραξος] Charaxus Sapphus poetriae frater notus ex Herod. 2, 135 Ovidii Her. 15, 117 aliisque. eius nominis paronymon fuisse Χαράξης ex hoc tantum loco discitur; nec magis aliunde de forma Λάπιθος constat. 5. [ὁ] καὶ Εὔβιος Heumannus Act. phil. 3 p. 121. 8. διὰ τοῦ ᾱῑ V. ἐν τῷ ά RV, ἐν τῇ πρώτῃ A. 9. οὗ πρῶτόν φασι τὰ κρόμμυα γενέσθαι] Miro errore Eustath. ad Il. p. 365 in. Ἀσκανία κατὰ τὸν ἐθνικογράφον πόλις Τρωική, οὗ πρῶτόν φασι κρόμυα γενέσθαι. Eudoxi testimonium, quod propter Ἀσκαλωναῖος affertur, lacunosum est. 10. καὶ fort. delendum. Ἀλεξανδρέως ΠRV. [καὶ] Ἀσκαλωναῖα? κεράμια PpΠRV, κρόμμυα A. 11. ἱστοριῶν U, ἱστορίᾳ ceteri. 12. Ἴδης R. an igitur Ἴγνης? quod oppidi nomen est prope Priapum siti. v. infra. 13. σκυλείου Π. 14. post Ἀσκάνιος indicavi lacunam, non ut alii post καλουμένης. 15. ὁμώνυμος] Post hoc exciderunt verba ἡ μὲν Φρυγίας ἡ δὲ Μυσίας. ἀμφοτέρων δὲ μνημονεύει ὁ ποιητής, post quae ita pergebat: τῆς Φρυγίας μὲν — Φόρκυς] Hom. Il. 2, 862. 16. τῆλ' ἐξ Homerus, τῆδ' ἐξ RV, τοὶ δ' ἐξ A. 16. 17. τῆς δὲ Μυσίας, quae huc posuit Π, libri habent post ἀμοιβοί. 17. οἵ ῥ' ἐξ Ἀσκανίης addidi ex Hom. Il. 13, 793. ἦλθεν V. 18. καὶ τῆς μὲν Φρύ-

ὁμοίως τῷ κυρίῳ. ἔστι καὶ Ἀσκάνιος ποταμός. Εὐφορίων Χιλιάσι „καὶ Ψίλιν Ἀσκάνιόν τε Ναυαίθοιο". Ψίλις Μυσίας, Ναύαιθος Ἰταλίας.

Ἀσκῖται, *ἔθνος παροικοῦν τὸν Ἰνδικὸν κόλπον καὶ ἐπὶ ἀσκῶν πλέον, ὡς Μαρκιανὸς ἐν τῷ περίπλῳ αὐτοῦ „παροικεῖ αὐτὸν ἔθνος καὶ αὐτὸ καλούμενον Σαχαλιτῶν. ἔτι μὴν καὶ Ἀσκιτῶν ἕτερον ἔθνος [ἐπὶ ἀσκῶν πλέον]". ἔστιν οὖν παρὰ τὸν ἀσκὸν Ἀσκίτης, ὡς παρὰ τὸν ἀστὸν ἀστίτης, μέσος μεσίτης.*

Ἄσκλος, *πόλις Ἰταλίας. Διονύσιος ἐν κ' Ῥωμαϊκῆς ἀρχαιολογίας. ἔστι καὶ οὐδέτερον. τὸ ἐθνικὸν Ἀσκλίτης, ὡς λίχνον λιχνίτης καὶ ὁπλίτης.*

Ἄσκρη, *πόλις Βοιωτίας, ἰωνικῶς σχηματισθεῖσα, ὡς*

γιον τῆς δὲ Μύσιον] Haec corrupta sunt e Strabonianis *καὶ ἦν αὐτῆς τὸ μὲν Φρύγιον τὸ δὲ Μύσιον.* 2. *Ψίλιν* ΠR, *Ψιλὸν* V, *Ψιλοὶ* A. *Ἀσκάνιόν τε Ναυαίθοιο*] *Ἀσκάνιόν τε καὶ εὐνάοντα* (vel *εὖ ναίοντα*) *Ναύαιθον* ex Pp affert H, quod si librorum fide niteretur, scribendum dicerem *καὶ εὐνάοντα Νέαιθον*, cll. Aeschyl. ap. Ath. 13 p. 600 b. *εὐνάοντος οὐρανοῦ.* sed vereor ne hic quoque Holstenius Salmasii coniecturam pro librorum lectione dederit. *Ψιλὶς* HRV, *ψιλῆς* A. 5. *ἀσκῶν* PΠRV, *ἀσκῷ* A. 6. *αὐτὸν*] Scil. *τὸν Σαχαλίτην κόλπον.* *Σαχαλιτῶν* M, *Ἀσχαλιτῶν* libri. *ἔστι* R. 7. *Ἀσκητῶν* R. *ἐπὶ ἀσκῶν πλέον* add M. 9. *κ'* RV, *πρώτῳ* A. 10. *οὐδετέρως* R. *Ἀσκιλίτης* R. 11. *καὶ* [*ὅπλον*] *ὁπλίτης* X. 12. *ἰωνικῶς σχηματισθεῖσα*] Ex Herodiano, qui de ionicis complurium nominum formis duodecimo *τῆς καθόλου* libro dixerat. Arcadius p. 113, 18. *τὰ εἰς ρη ἰωνικώτερα κατὰ τροπὴν τοῦ ᾱ εἰς η̄ βαρύνεται, κόρη* (*Κέρη*?) *ἄγκρη* (*Ἄσκρη*) *Ὀλίσκρη* (*Ὀλύκρη*) *Ἀντισάρη.* plenius Herodiani exempla rettulit Choeroboscus Bekk. p. 1173. *Ἄσκρη πόλις Βοιωτίας .... Ἐφύρη ὄνομα πόλεως, Κέρη ὄνομα κρήνης .... Ὀθύκρη* (leg. *Ὀλύκρη*) *πόλις, Κάτρη, καὶ αὕτη πόλις ἀπὸ Κατρέως, Ἄγρη πόλις Λυδίας, Ἀντικάρη* (leg. *Ἀντισάρη*) *πόλις· τινὲς δὲ Τισάρη φασίν.* ad quae confer quae apud nostrum leguntur in *Ἄγρη Ἀντισάρα Κάτρη Κέρη Ὀλύκρη.* postrema haec, *Ὀλύκρη* et *Ἀντισάρη*, memorat etiam incertus apud Cramerum AO. vol. 4 p. 412, et *Ἐφύρη* ex Thucyd. 1, 46 alius ibid. vol. 1 p. 159. qua forma usus est etiam Stephanus s. v. *Ἡλίου πόλις.* *Ἄσκρη* habes apud Polluc. 6, 63 et Anonymum V. Hom. p. 21, 11 ed. West.

κόρη, Τερψιχόρη. τὸ ἐθνικὸν Ἀσκραῖος Ἡσίοδος καί „ἀπ' Ἄσκρηθεν".

Ἄσος, πολίχνιον Κρήτης. ὁ πολίτης Ἄσιος. οὕτω γὰρ ὁ Ζεὺς ἐκεῖ τιμᾶται „καὶ Ἀσίου Διὸς ἱερὸν ἀρχαιότατον".

Ἀσπαλάθεια, πόλις Ταφίων. Νίκανδρος ἑτεροιουμένων πρώτῃ „Ἀσπαλάθεια βοήροτος". τὸ ἐθνικὸν Ἀσπαλαθεύς.

Ἀσπαλαθίς, νῆσος Λυκίας. λέγεται οὕτω διὰ τὰς ἐν αὐτῇ πεφυκυίας ἀσπαλάθους. τὸ ἐθνικὸν Ἀσπαλαθίδιος ὡς Ψωφίδιος καὶ Αὐλίδιος, ἢ Ἀσπαλαθίτης ὡς Μεμφίτης.

Ἄσπενδος, πόλις Παμφυλίας, Ἀσπένδου κτίσμα, ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. ὁ πολίτης Ἀσπένδιος. Θεόπομπος τετάρτῃ Ἑλληνικῶν „ἀποτυχὼν δὲ τῶν Ἀσπενδίων". καὶ τὸ θηλυκὸν ὁ αὐτὸς Ἀσπενδία. καὶ Ἀσπενδίς „Ἀσπενδίδα γαῖαν".

Ἀσπίς, πόλις Λιβύης, ὡς Φίλων. ἔστι καὶ ἀκρωτήριον Αἰθιοπίας τῆς κατ' Αἴγυπτον, ὡς Μαρκιανὸς πρώτῃ περιόδων. ἔστι καὶ νῆσος πρὸς ταῖς Κυκλάσιν. ἔστι καὶ Μακεδονίας, κτίσμα Φιλίππου τοῦ πατρὸς Περσέως τὰς πόλεις ὀνομάσαντος ἀπὸ τῆς αὐτοῦ πανοπλίας Ἀσπίδα Περικεφαλαίαν. ἔστι καὶ νῆσος πρὸς τῇ Λυκίᾳ. ἔστι καὶ νῆσος ἄλλη μεταξὺ Λεβέδου καὶ Τέω, σταδίων ὡς δυοῖν, πρὸς μέν τινων Ἀρκόνησος πρὸς δέ τινων Ἀσπὶς ὀνομαζομένη. ἔστι καὶ νῆσος ἄλλη Ψύρων ἐγγύς. ἔστι καὶ ἄλλη, ὡς Κλέων ὁ Συρακόσιος ἐν τῷ περὶ τῶν λιμένων, ἄδενδρος οὖσα. ἔστι καὶ πέραν Πίσης, ὡς Πανύασις ἐν Ἡρακλείας ἑνδεκάτῃ. τὸ ἐθνικὸν δύναται Ἀσπι-

---

1. *Κύρη?* 1. 2. *ἀπ' Ἀσκρῆθεν* AR, *ἀπασκριῆθεν* V. sunt nescio cuius epici poetae verba, comparanda illa cum Homer. Il. *θ'*, 304. *ἐξ Αἰσύμηθεν.* adde illud Hesiodi *ἀπὸ κρῆθεν.* 4. *ὁ* om. RV. *καὶ Ἀσίου*] Xenionis similisve scriptoris verba. 5. 6. *ἑτεριουμένων* RV. 6. *Ἀσπαλάθη* R. 7. *τοὺς ἐν Π.* 8. 9. *Ἀσπαλαθίδος ὡς Ψωφίδος καὶ Αὐλίδος* libri, correxerunt BH. 9. *καὶ Αὐλίδιος* om. *Π.* 10. *Ἀσπενδός* libri. 11. *Δευκαλιωνείας* RV, *Δευκαλιωνίας* A. 13. *ὁ αὐτὸς ΠV* et qui post *Ἀσπενδίς* ponit R, *ὡς αὐτός* A. *Ἀσπένδεια* pro *Ἀσπενδία* V. 23. *Συρακόσιος* V, *Συρακούσιος* AR. 24. *Πίσσης* libri.

δίτης, τῷ ἔθει τῶν Αἰθιοπικῶν πόλεων καὶ Λιβυσσῶν. τὸ δ' ἀσπιδιώτης παρὰ τῷ ποιητῇ κατὰ πλεονασμὸν τοῦ ω. ἔστι δὲ τοῦτο παρὰ τὸ ἀσπίδιον. Μένανδρος „ἀσπίδιον ἐπριάμην τι καὶ μαχαίριον". τὸ δὲ ἀσπιδίτης καὶ ἀσπιδοῦχος Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι „ἀλλ' ἀσπιδίτην ὄντα καὶ πεφραγμένον". [καὶ] „ὡς ἀσπιδοῦχος ἢ Σκύθης τοξεύμασι". δύναται καὶ Ἀσπίδιος καὶ Ἀσπιδεύς.

Ἀσπληδών, πόλις Φωκίδος. Παυσανίας ἐνάτῳ. ἀπὸ Ἀσπληδόνος υἱοῦ νύμφης Μιδείας καὶ Ποσειδῶνος. τὴν δὲ παρ' Ὁμήρῳ τῆς Βοιωτίας φασὶ .... τοὺς Αἰολεῖς πρότερον Βοιωτοὺς καλεῖσθαι, τοὺς δὲ Ὀρχομενὸν καὶ Ἀσπληδόνα. γράφεται καὶ χωρὶς τοῦ α, ἀλλ' οὐ παρ' Ὁμήρῳ. τὸ ἐθνικὸν Ἀσπληδόνιος. Ὀρχομενοῦ δὲ υἱεῖς „Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής".

Ἀσπουργιανοί, ἔθνος τῶν περὶ τὴν Μαιῶτιν λίμνην. Στράβων ἑνδεκάτῃ „τούτων δ' εἰσὶ καὶ Ἀσπουργιανοὶ μεταξὺ Φαναγορείας [οἰκοῦντες καὶ Γοργιππίας".]

Ἄσσα, πόλις πρὸς τῷ Ἄθῳ. Ἡρόδοτος ἑβδόμῃ. ἔστι καὶ κώμη Σκυθίας. οἱ οἰκήτορες Ἀσσαῖοι.

Ἀσσακηνοί, ἔθνος Ἰνδικόν. Ἀρριανὸς τετάρτῃ τῆς Ἀλεξάνδρου ἀναβάσεως „ἤει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς".

---

1. *τὸ*] *τῷ* R. 2. *ποιητῇ*] Il. *β'* 554. *π'* 167. 2. 3. *ἔστι γὰρ* R. 5. 6. Sophoclea in duo fragmenta dispescui et interposui *καί*. 6. *σύνθης* Π. 8. *ἐνάτῳ*] c. 38, 9. 9. *υἱὸν* R. *Μιδείας* B, *Μηδείας* libri. 10. *παρ' Ὁμήρῳ*] Il. 2, 511. *Ὅμηρον* R. indicavi lacunam. 10. 11. *τοὺς Βοιωτοὺς πρότερον Αἰολεῖς* Müllerus Orchom. p. 210. 11. 12. *Ἀσπληδόνα [οἰκοῦντας Μινύας.] γράφεται* Müllerus. 12. *οὐ παρ' Ὁμήρῳ*] Nonne ex his conicias fuisse qui apud Hom. Il. 2, 511 legerent *οἱ δὲ Σπληδόνα ναῖον*? de *Σπληδών* cf. Strab. 9 p. 415 et Delect. Anth. p. 110. ubi quod de Asclepiade dixi nunc retracto propter Lehrsium Anal. gramm. p. 2. 13. *Ἀσπληδὼν*] V. Marckscheffel. Hesiodi fr. 47. ex Stephano habet Eustath. ad Il. p. 272, 19. 16. *ἑνδεκάτῃ* (p. 495) X, *τεσσαρεσκαιδεκάτῃ* A, *ιδ'* ΠRV. 17. *Φαναγορίας* minus recte libri Strabonis. *οἰκοῦντες καὶ Γοργιππίας* e Strabone addita sunt. 18. *ἑβδόμῃ*] c. 122. 20. *τετάρτῃ*] c. 25, 6. *τῶν* pro *τῆς* R. 21. *ὡς* add ΠRV.

Ἄσσηρα, οὐδετέρως, πόλις Χαλκιδέων. Θεόπομπος εἰκοστῇ τετάρτῃ. τὸ ἐθνικὸν Ἀσσηρίτης ὡς Ἀβδηρίτης Γαδειρίτης.

Ἀσσησός, πόλις Μιλησίας γῆς. Θεόπομπος Φιλιππικῶν εἰκοστῇ τετάρτῃ. ὁ οἰκήτωρ Ἀσσήσιος. καὶ Ἀσσησία Ἀθηνᾶ παρ' Ἡροδότῳ.

Ἀσσός, πόλις Λυδίας πλησίον Ἀτάρνης ἐφ' ὑψηλοῦ καὶ ὀξέος καὶ δυσανόδου τόπου, πρὸς ὃν Στρατόνικος κιθαριστὴς ἔλεγε παίζων „Ἀσσὸν ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πεῖραθ' ἵκηαι." δευτέρα πόλις Αἰολίδος κατὰ τὸν Ἑλλήσποντον ἢ Κεκρόπειον. Ἀλέξανδρος δ' ὁ Κορνήλιος ἐν τῷ περὶ τῶν παρ' Ἀλκμᾶνι τοπικῶς ἱστορημένων Μιτυληναίων ἄποικον ἐν τῇ Μυσίᾳ φησὶν Ἀσσόν, ὅπου ὁ σαρκοφάγος γίνεται λίθος. ἔστι καὶ λειμὼν ἐν τῷ Κιλβιανῷ πεδίῳ τῆς Λυδίας περὶ τὸν Καΰστριον ποταμόν. ἔστι καὶ ἑτέρα πόλις ἐν Ἠπείρῳ μικρά. ἐκ δὲ τῆς Ἀσσοῦ Κλεάνθης ἦν ὁ στωικὸς φιλόσοφος, διάδοχος

---

2. 3. Ἀβδηρίτησταδειρίτης R. an igitur Σταγειρίτης pro Γαδειρίτης? 4. Ἀσσησσός V. 4. 5. Φιλιππικῶν ιζ R. 5. Ἀσσήσσιος καὶ Ἀσσησσία V. 6. Ἡροδότῳ] 1, 19. 7. Ἀσσός R, Ἄσσος A. vid. Arcad. p. 76, 12. idem error constans apud Strabon. 13 p. 610 sq. Ἄσος dupliciter vitiosum apud Theophr. fr. 3. p. 46. Λυδίας H, Λυκίας libri. Ἀταρνέως B. sed vide infra ad Ἄταρνα. 8. πρὸς ἣν? Στρατόνικος B, Νικόστρατος libri. 9. Ἄσσον R, Ἀσσὸν AV. versus est Homericus Il. ζ 143. θᾶσσον om. R. πάραθ' V. 10. δευτέρα] Imo eadem, quam supra Lydiae infra Mysiae dicit. κατὰ τὸν Ἑλλήσποντον] En novum exemplum, quo Hellesponti nomen latius quam vulgo creditur patuisse intelligitur. huic simillimum est quod legitur apud Nicephorum Greg. Hist. Byz. 6, 1 p. 162. ubi Adramyttium situm esse dicitur πρὸς τὰ ἑῷα πλευρὰ τοῦ Ἑλλησπόντου. ea de re dixi in Bergkii Annal. 1844 p. 22. 10. 11. ἢ Κεκρόπειον] ἢ καὶ Κρόπειον Schubartus, sed ut Κρόπειον corruptum sit. 12. Μυτιληναίων W. fort. Μηθυμναίων, ut est apud Strab. 13 p. 610. 13. Ἄσσον libri. 14. λειμὼν] Cogitabat de Asio prato. Κιλβιανῷ H, Κελβιανῷ libri. παρὰ R. 14. 15. Καΰστριον AR, Κάϋστρον V. 15. μικρά V, μικρᾷ AR. 16. Ἀσσοῦ V, Ἄσσου A, Ἄσου R. cetera sunt e Strabone 13 p. 610.

τῆς σχολῆς Ζήνωνος τοῦ Κιτιέως, ἣν καταλέλοιπε Χρυσίππῳ. τὸ ἐθνικὸν Ἄσσιος ὡς Ῥώσιος, καὶ Ἀσσεύς.

Ἀσσυρία, χώρα περὶ Βαβυλῶνα. οἱ οἰκήτορες Ἀσσύριοι. εἰσὶ καὶ ἕτεροι παρὰ τοὺς Σύρους. Ξενοφῶν οὕτω διαστέλλει ἐν πρώτῃ Ἑλληνικῶν. λέγονται καὶ Ἀσσυρικοί. καὶ Ἄσσυρες παρὰ Ἐρατοσθένει, ἴσως ὡς ἀπὸ τοῦ Ἰλλυριοί Ἴλλυρες.

Ἀσσώριον, πόλις Σικελίας. ταύτην τρισυλλάβως Ἄσσωρον καλεῖ Ἀπολλόδωρος ἐν δ' χρονικῶν. τὸ ἐθνικὸν Ἀσσωρῖνος ὡς Ῥηγῖνος.

Ἀσσωρόν, ὄρος Σάμου ὅθεν ῥεῖ ὁ Ἀμφίλυσος. Εὐφορίων Ἀρτεμιδώρῳ „δαῖμον ὃς Ἀμφιλύσοιο ῥόον. . . .

Ἀσταί, ἔθνος Θρᾴκης. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. τὸ κτητικὸν Ἀστικός καὶ Ἀστική.

Ἀστακός, πόλις Βιθυνίας, ἀπὸ Ἀστακοῦ τοῦ Ποσειδῶνος καὶ νύμφης Ὀλβίας, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς ἱστορεῖ. ἔστι καὶ χώρα Βυζαντίων, ὡς Θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ. ἔστι καὶ Ἀκαρνανίας πόλις. οἱ δὲ Κεφαλληνίας ἄποικον. τὸ ἐθνικὸν Ἀστακηνός ὡς Ῥυνδακηνός Πριαπηνός, καὶ Ἀστακηνή καὶ Ἀστάκιος καὶ Ἀστακία, ἀφ' οὗ Ἀστακιεύς

---

1. *Κιττέως* V. 4. *περὶ* V. 5. *Ἑλληνικῶν*] In Hellenicis neque Syri neque Assyrii memorantur. at in Anab. I, 4, 9. Syros et 7, 8, 15. Assyrios habemus. 7. *Ἀσσώριον*] Haec in libris post sequentem sectionem leguntur. 8. *ἐν δ'* ΠRV, *ἐν πρώτῃ* A. 11. *Ἀπολλοδώρῳ* dubitanter H. *δαῖμον ὃς* Schubartus, ut ipse etiam conieceram Anal. Alex. p. 44. *δαίμονος* libri. *Ἀμφιλύσοιο* Pp, *Ἀμφιλύσιο* RV, *Ἀμφιλύσιον* A. versus hic fortasse ita redintegrandus est: *δαῖμον ὃς Ἀμφιλύσοιο [νέμεις] ῥόον [Ἀσσωρίνου]*. 12. *Ἄσται?* 12. 13. *τῶν ἕνδεκα* PpΠRV, *τῶν ἐν ἑνδεκάτῃ* A. 13. *τὸ ἐθνικὸν* R. *Ἀστική*] Vide ad l. 16. 15. *Βιθυνικοῖς* ante Salmasium. 16. *χώρα Βυζαντίων*] Ad Astarum terram haec refert B. recte, nec dubium mihi quin haec suo loco mota et l. 13 addenda sint: *τὸ κτητικὸν Ἀστικός. καὶ Ἀστική χώρα Βυζαντίων, ὡς Θεόπομπος ἐν τεσσαρακοστῇ ἑβδόμῃ.* de *Ἀστικῇ* cf. ad Scymn. p. 134. 17. *Κεφαλληνίας* V, *Κεφαληνίας* AR. 19. *Ἀστακηνή* RV, *Ἀστακηνοί* A.

ὡς Οἰχαλία Οἰχαλιεύς, καὶ Ἀστακιήτης, καὶ Ἀστακίδης πατρωνυμικόν, Πείσανδρος δεκάτῃ.

Ἀσταπαῖοι, Λιβύης ἔθνος, Ἀππιανὸς ἕκτῳ.

Ἀστάρτη, νῆσος ἐν Αἰθιοπίᾳ. Μαρκιανὸς ἐν περίπλῳ πρώτῳ „ἐντεῦθεν ἄρχεται Αἰθιοπία ἡ ὑπὲρ Αἴγυπτον. ἀπὸ δὲ τοῦ Βαζίου ἄκρου ἐκδέχεται Πριονωτὸν ὄρος. κατὰ δὲ τοῦτο νῆσος Ἀστάρτη". τὸ ἐθνικὸν Ἀσταρταῖος ἢ Ἀσταρτίτης.

Ἀστελέβη, πόλις Λυδίας, Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν. οἱ οἰκοῦντες Ἀστελεβαῖοι.

Ἀστερία, πόλις Συρίας. [Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν.] λέγεται καὶ Ἀστερίς. ὁ πολίτης Ἀστεριώτης καὶ Ἀστέριος. ἔστι καὶ νησίον Ἀστερία μεταξὺ Κεφαλληνίας καὶ Ἰθάκης. Ὅμηρος Ἀστερίδα ταύτην φησίν

ἔστι δέ τις νῆσος μέσσῃ ἁλὶ πετρήεσσα
μεσσηγὺς Ἰθάκης τε Σάμοιό τε παιπαλοέσσης,
Ἀστερίς, οὐ μεγάλη.

Ἀστέριον, πόλις Θετταλίας. Ὅμηρος „οἵ τ' ἔχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα". ἡ νῦν Πειρεσία. οὕτω

---

3. *Λιβύης*] Imo *Ἰβηρίας*. *ἕκτῳ*] c. 33. 4. *περίπλων* H. 5. *πρώτῃ* A, *α'* RV. 6. *τῆς* pro *τοῦ* R. *Βαζίου* Salmasius, *Βαξίου* libri. *Πριονωτὸν* M, *Τριώνοτον* R, *Τριόνωτον* AV. cf. Ptolem. 4, 7, 5. *μετὰ τὸ Βάζιον ἄκρον, ὃ εἴρηται, Πριονωτὸν ὄρος.* cognominem montem in Arabia felice idem memorat 6, 7, 10. ubi *Πριώνοτον ὄρος* editur, sed corrigendum *Πριονωτόν*. aptissimum nomen montis montiumve tractus serrae instar fastigiati. nec omittendum nomen loci *Πρίων*, de quo Polyb. 1, 85, 7: *περὶ τὸν τόπον Πρίονα καλούμενον ὃν συμβαίνει διὰ τὴν ὁμοιότητα πρὸς τὸ νῦν καλούμενον ὄργανον ταύτης τετευχέναι τῆς προσηγορίας.* nota item Hispanorum montium nomina Sierra Leona, Sierra Morena etc. 10. *Συρίας* PpRV, *Λυδίας* A. *Συρίας* etiam Eustathius legerat ad Hom. p. 332, 19. *ἡ δέ γε Ἀστερία οὐχ Ἑλληνική, ἀλλὰ Συρίας πόλις ἐστίν.* hinc probabile fit, Xanthi testimonium e superioribus temere esse repetitum; itaque seclusi. 12. *Κεφαλληνίας* RV, *Κεφαληνίας* A. 13. *Ὅμηρος*] Od. 4, 844. 14. *μέσσῃ* V, *μέσῃ* AR. 15. *τε* om. libri. 17. *Ὅμηρος*] Il. 2, 735. *οἳ δ' ἔχον* R. 18. *λευκὰ καὶ κάρηνα* V. *Πιρεσία* ARV, *Πρεσία* H.

δὲ καλεῖται διὰ τὸ λαμπρόν, ὅτι ἐφ' ὑψηλοῦ ὄρους κειμένη τοῖς πόρρωθεν ὡς ἀστὴρ φαίνεται. ἢ ἀπὸ Ἀστερίου τινὸς [ἥρωος]. τὸ ἐθνικὸν Ἀστεριώτης, καὶ θηλυκὸν Ἀστερηίς, καὶ Ἀστεριεύς.

Ἀστερουσία, ὄρος Κρήτης πρὸς τὸ νότιον μέρος, ἀποβλέπον εἰς θάλασσαν, ἀφ' οὗ καὶ πόλις περὶ τὸν Καύκασον Σινδικὴ Ἀστερουσία κέκληται, Κρητῶν ἀποικίας ἐκεῖ σταλείσης. οἱ οἰκήτορες Ἀστερουσιανοὶ καὶ Ἀστερουσιεῖς καὶ Ἀστερούσιοι.

Ἄστραια, πόλις Ἰλλυρίας. Ἀδριανὸς Ἀλεξανδριάδος ά „οἳ δ' ἔχον Ἄστραιάν τε Δόβηρά τε".

Ἄστυ, ἡ κοινῶς πόλις. διαφέρει δέ, ὅτι τὸ μὲν κτίσμα δηλοῖ ἡ δὲ πόλις καὶ τοὺς πολίτας. „ἐκλήθη δὲ ἄστυ" ὡς Φιλόχορος ἐν ά τῆς Ἀτθίδος „διὰ τὸ πρότερον νομάδας καὶ σποράδην ζῶντας τότε συνελθεῖν καὶ στῆναι ἐκ τῆς πλάνης εἰς τὰς κοινὰς οἰκήσεις, ὅθεν οὐ μετανεστήκασιν. Ἀθηναῖοι δὲ πρῶτοι τῶν ἄλλων ἄστη καὶ πόλεις ᾤκησαν". ὁ πολίτης ἀστός καὶ ἀστή, καὶ ἀστόν. ἀπὸ τοῦ ἀστός τὸ ἀστίτης. Σοφοκλῆς Ἀλεξάνδρῳ „οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει". καί „βοτῆρα νικᾶν ἄνδρας ἀστίτας. τί γάρ;" ἐντεῦθεν καὶ τὸ ἐν τῇ συνηθείᾳ προαστίτης. οὐ γὰρ παρὰ τὸ προάστιον· ἦν γὰρ προαστιεὺς ὡς Δουλιχιεύς, ἢ προάστιος ὡς Βυζάντιος. οὕτω γὰρ καὶ τὸ θηλυκὸν εὑρίσκεται προαστία γῆ ἐν Φρίξῳ

---

3. ἥρωος addidi ex Eustathio ad Hom. p. 332, 18. Ἀστερῖτις? 5. τὸ add ΠRV. 6. περὶ Schubartus, ἐπὶ libri. 7. Σινδικὴ Vossius, Ἰνδικὴ libri. aliter Eustath. ad Hom. p. 332, 20: πόλις περὶ τὸν Ἰνδικὸν Καύκασον. Κρητῶν ἀποικίας] De Cretica ista colonia, cuius dux Asterius Minois filius fuisse perhibetur, v. Nonnum Dion. 13, 245 sqq. ἐκεῖ ΠRV, ἐκεῖσε A. 8. 9. Ἀστερούσιος R. 10. Ἀστραῖα RV, Ἀστραία A. Ἀδριανὸς] V. Anal. Alex. p. 371. Ἀλεξανδρειάδος libri. 11. Δόβηρά τε PpRV, Δόβηράν τε A, Δόβηρόν τε BH. 14. ἐν ά Salmasius, ιά RV, ἐν ἑνδεκάτῃ A. 16. μετανασtήκασιν ante X. 17. ᾤκησαν R, ᾤκισαν AV. 19. Ἀλεξάνδρῳ RV, Ἀλε ... A. 20. ἄνδρας om. V. τί γάρ PpRV, τοιγάρ A. 21. προάστιον R, προάστειον A, ἄστειον V. 23. εὑρίσκεται προαστικὴ προαστεία γῆ R.

Σοφοκλέους „ὅρια κελεύθου τῆσδε γῆς προαστίας". ἀπὸ δὲ τῆς ἄστεος γενικῆς ἀστεῖος, ὅπερ ἀντιδιέσταλται τῷ ἄγροικος, καὶ ἀστεΐζω καὶ ἀστεϊσμός. λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς Ἐρατοσθένης ἐν Ἠριγόνῃ „ἡ δ' ὅτε δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος...." ὅτι δὲ δῆμος Θορικός δῆλον. ἔστι καὶ κώμη πλησίον Κανώβου παρὰ τὴν Ἀλεξάνδρειαν. τὸ ἐθνικὸν τὸ αὐτό. ὅτι δὲ καὶ ἡ Ἀλεξάνδρεια ἄστυ ἐκλήθη εἴρηται.

Ἀστυπάλαια, νῆσος μία τῶν Κυκλάδων. ἐκαλεῖτο δὲ Πύρρα Καρῶν κατεχόντων, εἶτα Πύλαια, εἶτα Θεῶν τράπεζα διὰ τὸ ἀνθηρὸν αὐτῆς. ἐκλήθη δὲ ἀπὸ Ἀστυπαλαίας τῆς Ἀγκαίου μητρός. δευτέρα πόλις ἐν Κῷ. τρίτη νῆσος πόλιν ἔχουσα μεταξὺ Ῥόδου καὶ Κρήτης. τετάρτη πόλις ἐν Σάμῳ. πέμπτη ἄκρα πλησίον Ἀττικῆς. τὸ ἐθνικὸν Ἀστυπαλαιεύς καὶ Ἀστυπαλαιάτης.

Ἄστυρα, πόλις Μυσίας, οὐδετέρως, πρὸς τῇ Τρωάδι. λέγεται καὶ ἑνικῶς Ἄστυρον. ἔστι καὶ κώμη πλησίον τοῦ Ἀδραμυττίου, ὡς Στράβων. ἔστι καὶ πόλις Φοινίκης κατ' Ἄραδον, ἐν ᾗ ἐτιμᾶτο ἡ Ἀθηνᾶ Ἀστυρίς. ἔστι καὶ Βοιωτίας πρὸς ταῖς Ποτνίαις, ὡς Χάραξ ἐν δευτέρᾳ. ἔστι καὶ χωρίον Ἰταλίας. τὸ ἐθνικὸν Ἀστυρηνός, ἀφ' οὗ τὸ τῆς Ἀστυρηνῆς Ἀρτέμιδος ἱερόν.

Ἄσφαξ, ὡς Ἄτραξ, ἔθνος ἐποικίσαν τὴν Κύπρον. μή τις

1. προαστείας R. 3. ἀστεΐζων V. 4. Ἠριγόνῃ RV, Ἠριγόνῳ A. ἡ δ' ὅτε M, εἰδὅτε R, εἰ ὅτε PpHV, εἰς τε A, εἰσόκε Salmasius. in fine fragmenti lacunam indicavi; excidit ἄστυ περίκλειτον vel simile quid. certe ἄστυ necessarium est. Θορικοῦ ἕδος autem comparandum cum Homer. Il. 4, 406 Θήβης ἕδος et Od. 19, 344 Ἰθάκης ἕδος, Aeschyl. Pers. 862 Ἰκάρου ἕδος, Prom. 419 Ἀσίας ἕδος. 5. θορκός R. 6. περὶ V. 9. Πέρα RV. 11. ἐν Κῷ] ἐνῆν V. 16. ἑνικὸν RV. 17. Στράβων] 13 p. 606. 17. 18. κατ' Ἄραδον H, κατὰ Ῥόδον libri. 19. χωρίον V, χώρα AR. χωρίον requirebat iam Cluverus Ital. 3, 7. 20. Ἰποταλίας V. 20. 21. Ἀστυρηνῆς Ἀρτέμιδος] V. Strab. 13 p. 606 et 613. Xenoph. Hell. 4, 2, 41. 22. ἀποικίσαν V. μή τις] Herodiani, ut videtur, admonitio, qui de Ἄσφαξ et ἀσφάξ in secundo τῆς καθόλου egerat. v. Arcad. p. 18, 25.

δὲ τὸ Ἄσφαξ τὸ ἔθνος καὶ τὸ Ἄτραξ τὸ κύριον σύνθετον οἰηθείη· ἁπλᾶ γάρ ἐστιν.

Ἄσχειον, πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Ἀσχειεύς ὡς Σιγειεύς Ῥοιτειεύς.

Ἀτάβυρον, ὄρος Ῥόδου, Ῥιανὸς ἕκτῳ Μεσσηνιακῶν. τὸ ἐθνικὸν Ἀταβύριος, ἐξ οὗ καὶ Ἀταβύριος Ζεύς. ἔστι καὶ Σικελίας Ἀταβύριον, ὡς Τίμαιος. κέκληται δὲ τὰ ὄρη ἀπό τινος Τελχῖνος Ἀταβυρίου. ἔστι καὶ Περσικὴ πόλις. ἔστι καὶ Φοινίκης.

Ἀταία, πόλις Λακωνική. ὁ πολίτης Ἀταιάτης ὡς Κάρυα Καρυάτης, ἢ Ἀταΐτης ἢ Ἀταῖος.

Ἀταλάντη, ἡ ὑπ' Ἀθηναίων κτισθεῖσα παρὰ Λοκροῖς. Θουκυδίδης δευτέρᾳ. ἔστι δὲ νῆσος. καὶ ἄλλη πρὸς τῷ Πειραιεῖ. ὁ νησιώτης Ἀταλανταῖος.

Ἀτάρβηχις, πόλις ἐν τῇ Προσωπίτιδι νήσῳ. τὸ ἐθνικὸν Ἀταρβηχίτης ὡς Προσωπίτης.

Ἄταρνα, πόλις μεταξὺ Μυσίας καὶ Λυδίας πλησίον

---

1. συνθη R. 2. εἰσίν V. 3. Ἄσχιον R, Ἄσχει H. Ἀσχιεύς AV, Ἀσχιεύς R. 4. Ῥοιτειεύς RV, Ῥοιτιεύς A. 5. Ἀταβέριον H. 8. Ἀταβυρίου] V. Lactant. Inst. 1, 22. 10. Ἀταῖα R. 13. δευτέρᾳ] c. 23. ἔστι δὲ H, ἔστι καὶ libri. 15. Ἀτάρβηχις Ortelius, Ἀταρβίκις ARV, Ἀταρβίκης H. Προσωπίτιδι PpRV, Προσωπίδι H, Προποντίδι A. 16. Ἀταρβικίτης libri. 17. Ἀταρνεύς pro Ἄταρνα BH. at vide s. v. Ἀπαισός, ubi habes Ἄταρνα καὶ Τάρνα, et s. v. Ἀσσός, πλησίον Ἀτάρνης, quod perinde est utrum ab Ἄταρνα an ab Ἀτάρνη deducas; nam hanc quoque formam habes apud Polluc. 9, 93. eamque etiam nostro cognitam fuisse docent quae s. v. Σαλμώνη leguntur: ὁ πολίτης Σαλμωνίτης ὡς Ἀταρνίτης. usitatius sane est Ἀταρνεύς sive plurali numero Ἀταρνεῖς, quod ut Δηπαιεῖς et alia eius generis plura de ipsa urbe dictum fuisse intelligitur ex nostro s. v. Ὀδυσσεῖς. atque hanc quoque formam memorasse Stephanum docent verba ὁ πολίτης Ἀταρνεύς ὡς Ὀδυσσεύς. ut enim ab Ὀδυσσεῖς gentile formatur Ὀδυσσεύς, ita Ἀταρνεύς ab Ἀταρνεῖς. hinc probabile fit scripsisse nostrum Ἄταρνα ἢ Ἀταρνεῖς. ceterum miro errore Helladius apud Photium Bibl. p. 520, 34. Atarnam Thraciam urbem appellat. cf. Choliamb. poes. p. 175.

Λέσβου. ὁ πολίτης Ἀταρνεύς ὡς Ὀδυσσεύς. καὶ θηλυκὸν Ἀταρνίς.

Ἀταφηνοί, ἔθνος μέγα Ἀραβίας, περὶ οὗ Γλαῦκος ἐν δευτέρᾳ.

Ἄτελλα, πόλις Ὀπικῶν Ἰταλίας μεταξὺ Καπύης καὶ Νεαπόλεως. τὸ ἐθνικὸν οὐκ Ἀτελλαῖος, ὡς Ἀγυλλαῖος, ἀλλὰ Ἀτελλανός, ὡς Πολύβιος ἐνάτῃ „Ἀτελλανοὶ παρέδοσαν αὑτούς".

Ἀτέριον, ὡς Ῥήγιον, πόλις Σικελίας. ὁ πολίτης Ἀτερῖνος.

Ἀτήνη, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Φρύνιχος δὲ τῆς Ἀτταλίδος φησίν. ὁ δημότης Ἀτηνεύς „Προκλῆς Ἀτηνεὺς ἐχορήγει καὶ Πανταχλῆς". Διονύσιος Ἀτηνίαν τὸν δῆμον. ἀλλ' οὐκ ἐᾷ τὸ Ἀτηνεύς, ὀφεῖλον Ἀτηνιεύς.

Ἀτιντανία, μοῖρα Μακεδονίας. οἱ οἰκήτορες καὶ Ἀτιντᾶνες καὶ Ἀτιντάνιοι. εἴρηται ἀπὸ Ἀτιντᾶνος, υἱοῦ Μακεδόνος. λέγεται καὶ Ἀτιντανίς τὸ θηλυκόν. λέγεται καὶ Ἀτιντὰν καὶ Ἀτιντανία καὶ Ἀτιντάνιον οὐδέτερον.

Ἄτλαντες, ἔθνος Λιβυκόν, Ἡρόδοτος τετάρτῃ. ἔστι δὲ τὸ ὄνομα ἀπὸ τῶν ὀρῶν τῶν δύο Ἀτλάντων. Ῥιανὸς δὲ ἐν Ἀχαϊκῶν δευτέρᾳ Ἀτάραντας εἶναί φησι καὶ μετ' αὐτοὺς Ἄτλαντας. καὶ ὅτι οὐ βλέπουσιν οὗτοι ὀνείρους. λέγεται τὸ κτητικὸν Ἀτλαντικός καὶ Ἀτλαντικὴ θάλασσα, καὶ Ἀτλάντιος καὶ Ἀτλαντία θάλασσα.

---

5. Καπύης V, Καπίης AR. 6. Ἀγυλλαῖος V, Ἀγιλλαῖος R, Ἀγηλλαῖος A. 7. Ἀτελλανοὶ Salmasius, Ἀτελλαι.. libri. αὐτούς vulgo. 9. τῆς post δῆμος add. R. 10. Ἀτταλίδος Meursius, Αἰολίδος AR, Αἰωλίδος V. Προκλῆς PpRV, Πατροκλῆς A. choragici tituli hanc esse particulam monui olim Quaest. scen. 2 p. 63. sive Hist. com. p. 6. ubi haec ita fere redintegranda esse suspicatus sum: ἐχορήγει. [Ἀντιοχὶς ἐνί]κα. Πανταχλῆς [ἐδίδασκεν]. sed ut etiam demi Pantaclis nomen exciderit. 11. Ἀτηνιάν? 12. τὸ Ἀτηνιεύς R. 13. 14. Ἀτιτᾶνες καὶ Ἀτιτάνιοι RV. 14. Ἀτιτᾶνος RV. 15. Ἀτιντάν] Malim Ἀτιντάνιος. 17. τετάρτῃ] c. 184. 17. 18. ἔστι δὲ τὸ Salmasius, ἔστι καὶ libri. 19. 20. Ἀτάραντας μετ' αὐτοὺς εἶναί φησι καὶ Ἄτλαντας libri, correctum ex Eustathio ad Dion. Per. 66. cf. Anal. Alex. p. 182. 21. 22. καὶ Ἀτλάντιος — θάλασσα om. II.

Ἄτραι, πόλις μεταξὺ Εὐφράτου καὶ Πίγρητος, Ἀρριανὸς ἑπτακαιδεκάτῳ Παρθικῶν.

Ἀτραμῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ Ἀραβικῶν. Ἀρτεμίδωρος Ἀτραμωτίτας αὐτοὺς καλεῖ.

Ἄτραξ καὶ Ἀτρακία, πόλις Θεσσαλίας τῆς Πελασγιώτιδος μοίρας. ἐκλήθη ἀπὸ Ἄτρακος τοῦ Πηνειοῦ καὶ Βουρᾶς παιδὸς κτισθεῖσα. τὸ ἐθνικὸν Ἀτράκιος καὶ θηλυκὸν Ἀτρακία, καὶ Ἄτραξ ὁμόφωνον τῇ πόλει. Λυκόφρων „καὶ δευτέρους ἔπεμψαν Ἄτρακας λύκους". τινὲς δὲ διὰ τοῦ γ ἔκλιναν Ἄτραγος, ὡς Εὔπολις „εἰς Ἄτραγα νύκτωρ". ἔστι καὶ Ἀτρακὶς θηλυκόν.

Ἀτρήνη, πόλις ... Φιλοστέφανός φησιν ἀπὸ Δέσου καὶ Ἀτρῶνος καὶ Ἀτρήνης, τῶν Ἄργητος τοῦ Κύκλωπος καὶ Φρυγίας νύμφης, προσηγορεῦσθαι. τὸ ἐθνικὸν Ἀτρηνεὺς καὶ Ἀτρηνίτης καὶ Ἀτρηναῖος.

Ἀτρία, πόλις Τυρρηνίας, Διομήδους κτίσμα. χειμῶνος πλεύσαντος καὶ μετὰ τὸ διασωθῆναι καλέσαι Αἰθρίαν. καὶ παρεφθάρη παρὰ τοῖς βαρβάροις τὸ ὄνομα. ἔστι καὶ ἄλλη πόλις Βοιῶν, ἔθνους Κελτικοῦ. τὸ ἐθνικὸν Ἀτριανός καὶ Ἀτριεύς καὶ Ἀτριάτης. ἄμεινον δὲ τὸ πρῶτον· συνήθης γὰρ Ἰταλῶν ὁ τύπος ὁ διὰ τοῦ ανος.

Ἀτροπατία καὶ Ἀτροπάτιος, ἡ τῆς Μηδίας δευτέρα

---

1. *Πίγρητος* RV, *Τίγρητος* A. de *Πίγρης* supra dictum. 3. *Ἀτραμῶται*? sunt iidem qui alias dicuntur *Χατραμῶται*. cf. s. v. *Ἀβασηνοί* et *Χατραμῶται*. 6. *Βούρας*? 7. *Ἀτράκιος*] Callimachus apud Bekk. An. gr. p. 1346: *Ἀτράκιον δὲ ἔπειτα* (leg. *δ' ἤπειτα*) *λυκοσπάδα πῶλον ἐλαύνει*. 8. *Λυκόφρων*] vs. 1309. ubi *ἅρπαγας* editur e Stephano corrigendum. 9. *δὲ* om. RV. 10. *Ἄτρυγα* V. 12. *Ἀτρήνη*] De Artena, Volscorum vel Veientium urbe (Liv. 4, 61), parum probabiliter intelligit B. interim lacunam indicavi. *Δέσου* ΠRV, *Δεύσου* A. 13. *Ἀτρήνης τῶν* Salmasius, *Ἀτρηνηστῶν* libri. 17. *πνεύσαντος* Salmasius. malim: *Διομήδους κτίσμα χειμῶνι πλεύσαντος καὶ μετὰ τὸ διασωθῆναι καλέσαντος* (*καλαίσαι* R) *Αἰθρίαν*. 19. *Βοιῶν* RV, *Βοιωτῶν* A. 20. *Ἀτριεύς* H, *Ἀτρεύς* libri. *Ἀτριάτης* ΠRV, *Ἀτριέτης* A. 22. *Ἀτροπάτιον*? *Μηδείας* RV.

μερίς· ἡ γὰρ προτέρα, καθ' ἣν ἦν τὰ Ἐκβάτανα, ἡ μητρόπολις καὶ τὸ βασίλειον τῆς Μηδίας. ἀπὸ τοῦ ἡγεμόνος Ἀτροπάτου. τὸ ἐθνικὸν Ἀτροπατηνός καὶ Ἀτροπατηνή.

Ἀττάλεια, πόλις Λυδίας, πρότερον Ἀγρόειρα ἢ Ἀλλόειρα καλουμένη. οἱ δὲ τὴν Κιλικίας Κώρυκον οὕτω φασὶ λέγεσθαι, ὡς Δημήτριος, ἀπὸ Ἀττάλου Φιλαδέλφου κτίσαντος αὐτήν. τὸ ἐθνικὸν Ἀτταλεύς. καὶ Ἀτταλικός κτητικὸν καὶ θηλυκόν.

Ἀτταλίς, φυλὴ τῆς Ἀττικῆς, ἣν Ἀττάλῳ ἀνέθηκαν Ἀθηναῖοι. ὁ φυλέτης Ἀτταλεύς.

Ἀττάλυδα, πόλις Λυδίας, κτισθεῖσα ὑπὸ Ἄττυος καὶ μετὰ θάνατον αὐτοῦ ὑπὸ Λυδοῦ τοῦ παιδὸς αὐτοῦ. τὸ ἐθνικὸν Ἀτταλυδεύς.

Αὔαθα καὶ Αὔαρα, οὐδετέρως, συνοικία Ἀράβων, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῃ. οἱ οἰκήτορες Αὐαθηνοί καὶ Αὐαρηνοί.

Αὐαλίτης, κόλπος ἐν δεξιοῖς μέρεσι τῆς Ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν ὅμοιον.

Αὔαρα, πόλις Ἀραβίας, ἀπὸ χρησμοῦ δοθέντος Ὀβόδᾳ κληθεῖσα ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀρέτα. ἐξώρμησε γὰρ Ἀρέτας εἰς ἀναζήτησιν τοῦ χρησμοῦ· ὁ δὲ χρησμὸς ἦν αὔαρα τόπον ζητεῖν, ὅ ἐστι κατὰ Ἄραβας καὶ Σύρους λευκήν· καὶ φθάσαντι τῷ Ἀρέτᾳ καὶ λοχῶντι ἐφάνη φάσμα αὐτῷ λευκοείμων ἀνὴρ ἐπὶ λευκῆς δρομάδος προϊών. ἀφανισθέντος δὲ τοῦ φάσματος σκόπελος ἀνεφάνη αὐτόματος κατὰ γῆς ἐρριζωμένος, κἀκεῖ ἔκτισε πόλιν. τὸ ἐθνικὸν Αὐαρηνός.

---

1. πρώτῃ? καθ' ἃ ἦν R, καθὰ ἦν Π, an καθ' ἣν? 3. Ἀτροπατηνοί pro Ἀτροπατηνή R. 4. Λυκίας B. 5. Κιλικίας Κώρυκον] Confundi a scriptore Corycum Ciliciae cum Coryco Pamphyliae monuit Salmasius. 5. 6. φασὶ γενέσθαι RV. 7. Ἀτταλικόν R. 11. ὑπὸ V, ἀπὸ AR. Ἄτυος R. 14. καὶ] ὡς Gavelius. 15. καὶ] ὡς idem. 19. Αὔαρα] De huius urbis originibus quae traduntur, haud dubie ex Vranii Arabicis, quae v. Αὔαθα citantur, petita sunt. 22. λευκόν? 23. σχολῶντι Π.

Αὔασις, πόλις Αἰγύπτου. ταύτην δὲ καὶ Ὄασιν καλοῦσιν, ἐοικυῖαν παρδαλέᾳ· κατάστικτος γάρ ἐστιν, ἀνύδρῳ γῇ καὶ ἐρήμῳ τὰς οἰκήσεις ἔχουσα. τὰ τοιαῦτα αὐάσεις Αἰγύπτιοί φασι. τὸ ἐθνικὸν Αὐασίτης καὶ Αὐασῖτις. Ἡρόδοτος δὲ καὶ Δοῦρις Μακάρων αὐτὴν ὠνόμασαν νῆσον.

Αὐγάσιοι, ἔθνος Μασσαγετῶν. Στράβων ἐνδεκάτῃ οὕτως φησίν....

Αὔγεια, πόλις Λοκρίδος. Ὅμηρος „καὶ Αὐγειὰς ἐρατεινάς". ἔστι καὶ Λακωνικὴ πόλις με... πνῶν. τὸ ἐθνικὸν Αὐγεάτης.

Αὔγιλα, οὐδετέρως, πόλις Λιβύης. Ἀπολλόδωρος β' περὶ γῆς. τὸ ἐθνικὸν Αὐγιλίτης διὰ τὸ ἐπιχώριον, ὡς Γάβαλα Γαβαλίτης.

Αὔγουσται πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. οἱ πολῖται Αὐγουστανοί. Φλέγων ἐν Ὀλυμπιάδων ή.

Αὐενιών, πόλις Μασσαλίας πρὸς τῷ Ῥοδανῷ. τὸ ἐθνικὸν Αὐενιωνήσιος τῷ ἐπιχωρίῳ καὶ Αὐενιωνίτης τῷ ἕλληνι τύπῳ.

Αὐλαί, ἐπίνειον Κιλίκων μεταξὺ Ταρσοῦ καὶ Ἀγχιάλης.

---

2. *παρδαλῇ* Strabo 2 p. 130. *ἔστι δ' — ἐοικυῖα παρδαλῇ· κατάστικτος γάρ ἐστι ταῖς οἰκήσεσι περιεχομέναις ἐρήμῳ καὶ ἀνύδρῳ γῇ. καλοῦσι δὲ τὰς τοιαύτας οἰκήσεις αὐάσεις οἱ Αἰγύπτιοι.* *ἐν ἀνύδρῳ*? an post *ἔχουσα* excidit *περιεχομένας*? 3. *οἰκίσεις* V. 4. *Αὐσιάτης* V. *Αὐασῖτις* B, *Αὐσίτης* libri, *Ὀασίτης* W. *Ἡρόδοτος*] 3, 26. 6. *ἑνδεκάτῃ* (p. 513) B, *ἕκτῃ* libri. 8. *Αὐγειαί* BH. *Ὅμηρος*] Il. 2, 532. 8. 9. *Αὐγειὰς ἐρατεινάς* RV, *Αὐγείας ἐρατῆς* A. 9. *με...πνῶν* add. *Π*RV et ut videtur Pp, indicata lacuna om. A, *Μαλιέων* Salmasius, qui voluit aut *Μαλεατῶν* aut *Μαλεῶν*. in *πνῶν* latet fort. *Θεραπνῶν*, sed ut plura exciderint. nisi fuit *μία τῶν ἑκατόν*. 12. *περὶ γῆς* *Π*RV, *περιηγήσεως* A. 14. *Αὔγουσται* RV, *Αὔγουστα* A. *πόλεις* M, *πόλις* libri. 15. *Ὀλυμπιάδων* M, *Ὀλυμπιάδι* libri. vide ad *Γέργις*. 16. *Αὐγενίων* *Π*. 17. *Αὐενιωνήσιος καὶ Αὐενίτης τῷ ἐπιχωρίῳ καὶ ἕλληνι τύπῳ* RV, *Αὐενιωνήσιος καὶ τῷ ἐπιχωρίῳ Αὐενίτης καὶ ἕλληνι τύπῳ* A. correxerunt BH, nisi quod *Αὐενίτης* reliquerunt, quod *Αὐενιωνίτης* scribendum erat.

οἱ οἰκοῦντες Αὐλεῶται πρὸς τῶν ἐπιχωρίων ὀνομάζονται. τῶν δὲ εἰς αι οὐκ ἔστιν ὁ διὰ τοῦ ωτης τύπος, ἀλλ' ἔοικεν ὡς ἀπὸ τοῦ Ῥάφεια Ῥαφειώτης Ῥαφεῶται. εἰσὶν Αὐλαί καὶ Λυκίας χωρίον. εἰ δ' ἑνικῶς ἐλέγετο Αὐλή, ὤφειλεν Αὐλέτης ἢ Αὐλίτης. τὰ γὰρ ἀπὸ τῶν εἰς η δισυλλάβων θηλυκῶν ὀξυνομένων μὲν διὰ τοῦ ε, ὡς τὸ φυλέτης, βαρυνομένων δὲ διὰ τοῦ η, ὡς κωμήτης Σιδήτης. ἐπιστατέον τὸ Καρνίτης ἀπὸ τῆς Κάρνης, ὡς ἐροῦμεν.

Αὐλή, ἡ ἔπαυλις „χραύσῃ μέν τ' αὐλῆς ὑπεράλμενον". λέγεται καὶ αὖλις, καὶ σύνθετον δύσαυλις, ὁ οἰκήτωρ αὐλίτης, αἱ δ' ἐν τοῖς ἀγροῖς οἰκήσεις αὔλια, καὶ οἱ ἀπόκοιτοι τούτων θύραυλοι. λέγεται καὶ αὔλιος ὁ ἑσπέριος ἀστὴρ παρὰ τὸ ποιεῖν ἡμᾶς αὐλίζεσθαι. καὶ αὔλιον ἄντρον παρὰ τὸ ἐκεῖ χορεύειν, ὡς Ἀπολλώνιος „στῆσαί τε χοροὺς ἄντροιο πάροιθεν".

---

2. *τῶν δὲ εἰς αι* X, *τῶν δὲ εἶναι* AV, *τὸ δὲ εἶναι* R. 3. 4. *εἰσὶν Αὐλαί καὶ Λυκίας χωρίον*] Haec in finem tmematis reicienda sunt. 4. *Αὐλή* [*ἢ Αὔλη*]? 5. *Αὐλείτης* pro *Αὐλίτης* R. 5. 6. *ὀξυνομένων* et mox *βαρυνομένων* M, *ὀξυνόμενα* et *βαρυνόμενα* libri. cf. s. v. *Σίδη*. 7. *ἐπιστατέον* i. e. *σημειωτέον*, quod moneo propter erroneam interpretationem B. *Καρνίτης*] Hoc rectius ad *Κάρνος* refertur. cf. s. v. *Κάρνη*. 9. *χραύσῃ*] Hom. Il. 5, 138. *χραύσει* libri. 10. *αὐλίτης* AV, *αὐλήτης* R. vitiose item Hesychius *Αὐλήτην· τὸν τῆς κόπρου ἐπιμελούμενον τῶν προβάτων*. scrib. *αὐλίτην*. in Sophoclis fragm. 445. *πρίν τιν' αὐλητῶν ὁρᾶν* recte Bekkerus *αὐλιτῶν*. eodem sensu *αὐλιστρίς* dixit Theocr. 2, 146. *μάτηρ τᾶς ἀμᾶς αὐλιστρίδος*, ubi inepte editur *αὐλητρίδος*, quod *αὐλιστρίδος* scribendum esse vidit Hermannus, sed non recte interpretatur de ea quae in eadem domo habitat. eadem forma restituenda apud Arcad. p. 35, 22. ubi *αὐλητρίς* legitur, quo tibicinam notari existimabat Lobeck. Paral. p. 451. 11. *αὔλια* M, *αὔλεια* vel *αὐλεῖαι* Pp, *αὔλιοι* R, *αὐλειοια* V, *αὔλειοι* A. *ἀπόκοιτοι* B, *ἄποικοι* libri. 12. *αὔλιος ἀστὴρ*] Callim. fr. 465. 14. *χορεύειν*] Vt innumeris locis, ita hic quoque omnia pervertit epitomator. Stephanus dubitari non potest quin Aulium antrum *ἀπὸ τοῦ αὐλίζεσθαι ἐν αὐτῷ τὸν Διόνυσον* appellatum esse dixerit; *τὸ χορεύειν* autem spectat ad Callichori fluminis originationem. v. Apoll. Rh. 2, 907 et 910. *στήσετε χοροὺς* (*χοίρους* R) *ἀντρίους* AR, *στησεται χωροὺς ἄντροισι* V. correxerunt ex Apollonio.

Αὐλίς, πόλις Βοιωτίας κατὰ Χαλκίδα, εἰς ἣν ἠθροίσθησαν οἱ Ἕλληνες. Τρύφων παρὰ τὸ ἀλισθῆναι ἀλὶς καὶ Αὐλίς. βέλτιον ἀπὸ τῆς Αὐλίδος τῆς Εὐωνύμου τοῦ Κηφισσοῦ. τὸ ἐθνικὸν ἠδύνατο Αὐλιδεύς καὶ Αὐλιδίς, ἔστι δ' Αὐλίδιος καὶ Αὐλιδία.

Αὐλών, πόλις Λακωνικῆς, μία τῶν ἑκατόν· ὁ πολίτης Αὐλωνίτης. δευτέρα πόλις Ἀρκαδίας· ὁ πολίτης Αὐλώνιος. τρίτη πόλις Κρήτης ἢ τόπος. ἔστι καὶ τόπος Ἀραβίας. ἔστι καὶ Αὐλὼν ὃν ἐπόλισαν Κροτωνιᾶται, ἥτις ὠνομάσθη Καυλωνία. τὸ ἐθνικὸν Καυλωνιάτης.

Αὐσεῖς, ἔθνος Λιβύης. Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς καὶ Ἡρόδοτος ἐν τετάρτῃ.

Αὔσιγδα, πόλις Λιβύης, οὐδετέρως, ὡς Καλλίμαχος. Ἑκαταῖος δὲ νῆσον οἶδε. τὸ ἐθνικὸν Αὐσιγδοι. οὕτω γὰρ Ἀπόλλων τιμᾶται.

Αὐσχῖται, ἔθνος Λιβύης ὑπὲρ Βάρκης. Ἀπολλόδωρος περὶ γῆς δευτέρῳ.

---

2. ἀλισθῆναι ΠRV, αὐλισθῆναι A. Epimer. Hom. p. 15, 4: τὸ δὲ Αὐλίς ἐκ τοῦ αὐλίζειν αὐλίσω αὐλίς, ubi scribendum ἀλίζω ἀλίσω [ἀλίς] Αὐλίς, ut docent sequentia ἐπειδὴ ἐκεῖ συνηθροίζοντο οἱ Ἕλληνες. cf. Eustath. ad Hom. p. 265, 8: παρὰ τὸ αὐλισθῆναι ἐκεῖ τὰς τῶν Ἀχαιῶν νῆας πρὸ τοῦ ἀπόπλου, ἢ ἁλισθῆναι ἤγουν ἀθροισθῆναι. 3. τῆς Αὔλιδος τῆς A, τοῦ Αὔλιδος τῆς V, τοῦ Αὔλιδος τοῦ R. cf. Eustath. ad Hom. l. l. ἀπὸ Αὐλίδος θυγατρὸς Εὐωνύμου τοῦ Κηφισσοῦ. Ogygis filiam vocat Mnaseas ap. Phot. p. 446, 24. quae allatis verbis Eustathius subicit, ἔχει δέ, φασί, λιμένας ἡ Αὐλὶς τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ πάσης τῆς Ἑλλάδος, non dubium videtur quin e Stephano duxerit. Κηφισοῦ V. 4. Αὐλιδίς M, Αὐλίς libri. Αὐλίδιος B, Αὐλίδος libri. 9. ἐπόλησαν Κροτονιᾶται R. 11. 12. περὶ γῆς PpΠRV, περιηγήσεως A. 12. τετάρτῃ] c. 180. 13. Αὔσιγδα RV, Αὐσίγδα A. Αὔσιγδα etiam apud Ptolem. 4, 4. at Αὐσίγδα apud Lycophr. 885. 14. Αὐσίγδαι? ita Ἄσβυστᾳ et Ἀσβύστης. sed hoc controversum. in R scriptum αὐσιγδοῖ'. fortasse igitur Αὐσιγδίτης sive Αὐσιγδῖται. 16. ὑπὲρ Βάρκης PpΠRV, ὑπερβάκης A. 17. περὶ γῆς PpΠRV, περιηγήσεως A.

Αὔσων, ὁ Ἰταλός. [ἀπὸ Αὔσονος, ὃς ἐκ Καλυψοῦς ἐγεννήθη τῷ Ἄτλαντι.] Λυκόφρων „κτείνουσιν αὐτὸν Αὔσονες Πελλήνιοι". καὶ Αὐσονίς τὸ θηλυκόν, καὶ Αὐσόνιος καὶ Αὐσονία ἡ χώρα, ἀφ' οὗ Αὐσονιεύς· καὶ Αὐσόνειος, Λυκόφρων „ὁ δ' Αὐσονείων ἄγχι Κάλχαντος τόπων". καὶ Αὐσονίτης, ὁ αὐτός „παρ' Αὐσονίτην Φύλαμον δομήσεται". καὶ Αὐσονῖτις θηλυκόν, ὁ αὐτός „ὁ τῆς θαλάσσης Αὐσονίτιδος μυχούς". καὶ Αὐσόνιος κτητικόν.

Αὐταριᾶται, ἔθνος Θεσπρωτικόν. Χάραξ ἐν ἑβδόμῃ χρονικῶν καὶ Φαβωρῖνος ἐν παντοδαπαῖς καὶ Ἐρατοσθένης.

Αὐτομάλακα, χωρίον Λιβύης. ὁ πολυίστωρ ἐν τρίτῃ. Ἀπολλόδωρος δὲ Αὐτόμαλα φησί. τὸ ἐθνικὸν Αὐτομαλακίτης διὰ τὴν χώραν, τῷ δὲ καθ' ἡμᾶς τύπῳ Αὐτομαλακεύς.

Αὐτόμολοι, ἔθνος Αἰθιοπικόν, ὡς Ἡρόδοτος ἐν δευτέρᾳ „τοῖσι δὲ Αὐτομόλοισι τούτοισιν ὄνομα Ἀσμάχην, ὅ ἐστιν οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέι".

Ἀφάκη, πόλις Λιβύης, ὡς πολυίστωρ ἐν Λιβυκῶν τρίτῃ. τὸ ἐθνικὸν Ἀφακίτης διὰ τὸ ἴδιον τῆς χώρας.

---

1. *Αὔσων*] Eustathius ad Dion. Per. 78: *λέγονται δὲ Αὔσονες ἀπὸ Αὔσονος, ὃς πρῶτος μὲν τῶν κατὰ Ῥώμην βασιλεῦσαι πρός τινων ἱστορεῖται, Ὀδυσσεῖ γεγονὼς ἐκ τῆς Κίρκης, ἢ κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, ἐκ Καλυψοῦς γεννηθεὶς τῷ Ἄτλαντι, ἀφ' οὗ καὶ τὸ Σικελικὸν πέλαγος Αὐσόνιον ἐκλήθη.* hinc supplevi quae uncis inclusa sunt. cf. Bernhardy p. 860. 2. *Λυκόφρων*] vs. 922. 4. 5. *Λυκόφρων*] vs. 1047. 5. *Αὐσονείων* RV, *Αὐσονίων* A. 6. *ὁ αὐτός*] vs. 593. 7. *ὁ αὐτός* (om. R)] vs. 44. 11. *ὁ* et *ἐν* add. R. 12. *Αὐτόμαλα*] Fort. *Αὐτομάλαξ* cll. Ptolem. 4, 4, 3: *μετὰ τὴν Φιλαίνου κώμην Αὐτομάλαξ φρούριον.* ac fortasse etiam *Αὐτομάλακα* commentitia forma est et errore scriptoris nata, qui apud Alexandrum, quem antestatur, accusativum *Αὐτομάλακα πόλιν* legisse videtur. 14. *ἐν* add. R. 14. 15. *δευτέρᾳ*] c. 30. ubi legitur: *οὔνομά ἐστι Ἀσμάχ. δύναται δὲ τοῦτο τὸ ἔπος κατὰ τὴν Ἑλλήνων γλῶσσαν οἱ ἐξ ἀριστερῆς* etc. 16. *ἀριστερᾶς* (*ἀριστερῆς* R) *γλώσσης* libri. correctum ex Herodoto. *βασιλεῖ* libri. 17. *Ἀφάκη*] Haec in libris post *Ἀφάναι* leguntur.

Ἀφάναι, χωρίον Σικελίας ἄσημον, ἀφ' οὗ ἡ „εἰς Ἀφάνας" ἐπὶ τῶν ἀδήλων καὶ ἐκτετοπισμένων. τὸ ἐθνικὸν Ἀφαναῖος.

Ἀφείδαντες, μοῖρα Μολοσσῶν, ἀπὸ Ἀφείδαντος βασιλέως.

Ἀφεταί, πόλις τῆς Μαγνησίας. Ἑλλάνικος· ὅτι ἐντεῦθεν δευτέραν ἄφεσιν ἡ Ἀργὼ ἐποιήσατο, ἢ ὅτι ἐκεῖ οἱ Ἀργοναῦται τὸν Ἡρακλέα κατέλιπον. κεῖται δ' ἐν τῷ Παγασιτικῷ κόλπῳ. τὸ ἐθνικὸν Ἀφεταῖος ὡς Παγασαῖος Ἀναφαῖος.

Ἄφθαια ... καὶ Ἀφθαία ἡ Ἑκάτη. ὁ τεχνικὸς ἐνδεκάτῳ. δύναται καὶ Ἀφθαῖος εἶναι. ἔστι καὶ Ἀφθίτης νομὸς Αἰγύπτου.

Ἄφιδνα, δῆμος Ἀττικῆς καὶ Λεοντίδος φυλῆς, ἀπὸ Ἀφίδνου αὐτόχθονος. ὁ δημότης Ἀφιδναῖος ὡς Πυδναῖος. τὰ τοπικὰ δῆλα, Ἀφίδνηθεν Ἀφίδναζε Ἀφίδνησιν. ἔστι καὶ πληθυντικὸν Ἀφίδναι. ἔστι καὶ τῆς Λακωνικῆς, ὅθεν ἦσαν αἱ Λευκιππίδες Φοίβη καὶ Ἐλάειρα.

---

1. *Ἀφάνναι* libri, *Ἀφάναι* codd. Zenobii 3, 92. cui scripturae fidem facit latinum Apinae, quod cum illo componunt glossae veteres. v. Vossii Etym. s. v. affaniae. *Σικελίας*] Apinam Dauniae assignat Plinius NH. 3, 11, 16. nec repugnat noster, qui Siciliae nomine haud raro Italiam inferiorem complectitur. v. annotata ad *Σινόεσσα*. 1. 2. *Ἀφάνας* R, *Ἀφάννας* AV. 3. *Ἀφανναῖος* libri. 4. *μοῖρα Ἀρκάδων* H. 8. *Παγησιτικῷ* R, *Πασητικῷ* V, *Παγασητικῷ* A. 9. *Ἀφανναῖος* (*Ἀφαναῖος*) pro *Ἀναφαῖος* B. si nomen plurale necessarium est, possis etiam *Φαναῖος* conicere. 10. *Ἄφθαια* RV, *Ἄφθαλα* A. reliqua et truncata sunt et confusa. forsan: *Ἄφθαια, [πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Ἀφθαῖος,] καὶ Ἀφθαία ἡ Ἑκάτη. ὁ τεχνικὸς ἐνδεκάτῳ. δύναται καὶ Ἀφθαιαῖος. Ἄφαια* quod in urbium nominibus est apud Theognost. Crameri AO. vol. 2. p. 103, 1. in *Ἄφθαια* mutandum. 10. 11. *ἐνδεκάτῳ* M, *ιβ'* RV, *δυοκαιδεκάτῳ* A. undecimo libro de horum nominum accentu egisse docet Arcad. p. 98. 11. *Ἀφθίτης* RV, *Αὐθίτης* A. cf. Herod. 2, 166. analogiae magis conveniret *Ἀφθαΐτης*. sed probabile est fuisse etiam *Ἄφθις*, a quo *Ἀφθίτης*, ut *Μέμφις Μεμφίτης* et alia. 13. *καὶ*] *τῆς* X. 16. *πληθυντικὸν* RV, *πόλις* A. 17. *Ἐλάειρα*] Non corrigi debebat *Ἱλάειρα*. v. schol. Pind. Nem. 10, 112.

Ἄφνειον, πόλις Φρυγίας, πλησίον Κυζίκου ἢ Μιλητουπόλεως. ἢ ἀπὸ Ἀφνειοῦ ἢ ἀπὸ Ἀφναίδος νύμφης. ἔστι καὶ Λυδίας πόλις. ἡ λίμνη ἡ περὶ Κύζικον Ἀφνῖτις, ἡ πρότερον Ἀρτυνία. τὸ ἐθνικὸν Ἀφνίτης.

Ἀφόρμιον, τόπος Θεσπιέων. Ἀφροδίσιος ἤτοι Εὐφήμιος ἐν τῷ περὶ τῆς πατρίδος. ὅθεν καὶ τὸν κυβερνήσαντα τὴν ναῦν τὴν Ἀργὼ Τῖφυν γενέσθαι „καὶ λόγος παρ' ἡμῖν τῆς νεὼς ἀφορμησάσης ἐντεῦθεν μετὰ τῶν ἀριστέων, ἀφ' οὗπερ ἀπέπλευσεν ἡ ναῦς". ὁ τοπίτης Ἀφορμιεὺς ὡς Αἰγιεὺς Σουνιεύς.

Ἀφροδισιάς, πόλις Κιλικίας, περὶ ἧς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τῷ περὶ Κιλικίας φησὶν ὅτι Ζώπυρός φησιν αὐτὴν ἀπὸ τῆς Ἀφροδίτης κεκλῆσθαι, γράφων καὶ ἱστορίας. δευτέρα Ἰβηρίας πρὸς τοῖς Κελτοῖς. τρίτη νῆσος ἡ πρότερον Ἐρύθεια, μεταξὺ Ἰβηρίας καὶ Γαδείρων. τετάρτη ἐν Κνίδῳ. πέμπτη μεταξὺ Λυδίας καὶ Καρίας. ἕκτη νῆσος Λιβύης πρὸς τῇ Κυρήνῃ. ἑβδόμη πόλις Λακωνικῆς, μία τῶν ἑκατόν. ὀγδόη Σκυθίας παραλία πρὸς τὴν λῃστείαν εὔθετος. ἐνάτη Αἰθιοπίας. δεκάτη Κύπρου. εἰσὶ καὶ δύο νησίδια πλησίον τῆς Λιβύης. ἔστι καὶ Ἀλεξανδρείας. τὸ ἐθνικὸν Ἀφροδισιεύς.

Ἀφροδίτης πόλις, ἡ καὶ *Ἀφροδιτόπολις*. τὸ ἐθνικὸν ἀμφοτέρων Ἀφροδιτοπολίτης. ἔστι καὶ πόλις κατὰ Ἄθριβιν καὶ Αἰθιοπίαν καὶ Θρᾴκην.

Ἀφροδιτία, χωρίον Λακωνικῆς. Θουκυδίδης δ'.

---

1. καὶ pro ἢ? 1.2. Μιλήτου πόλεως AV, Μιλήτου πόλις R. 2. Ἀφν[είας ν]αΐδος νύμφης? καὶ ἔστι καὶ RV. 3. Ἀφνίτης ante X. 4. Ἀρτυνία] Artymniam dicit Plinius NH. 5, 32. Ἀφνείτης et supra Ἀφνεῖτις? 7. Ἀργὼ] αὐτὴν V. ἡμῖν M, ἡμῶν libri. 8. ἀφορμησάσης R, ἀφορμισάσης AV. 8.9. τῶν ἀριστέων, [ἐπανελθεῖν] ἀφ' οὗπερ? 9. ἀπέπλευσεν RV, ἀπέπλευκεν A. ἡ ναῦς fort. delendum. 13. γράφην Π. καὶ [τὴν] ἱστορίαν B. 18. τὴν λῃστείαν Pp, τῇ λῃστείᾳ ARV, quod probari potest si πρὸς (πρὸς R) deleas. 21.22. ἡ καὶ — Ἀφροδιτοπολίτης add. PpRV. Ἀφροδίτια libri. 24. δ'] c. 56. ubi est Ἀφροδισίαν.

Ἀφύτη ἢ Ἄφυτις ἢ Ἄφυτος, πόλις πρὸς τῇ Παλλήνῃ Θρᾴκης, ἀπὸ Ἀφύτου τινὸς ἐγχωρίου. ἔσχε δὲ ἡ πόλις μαντεῖον Ἄμμωνος. ὁ πολίτης Ἀφυταῖος. Θουκυδίδης ά „ἐξ Ἀφύτιος ὁρμώμενος". λέγεται καὶ Ἀφύτεια, ἴσως ἀπὸ τοῦ Ἀφύτη. καὶ Ἀφυτιεύς καὶ Ἀφυτεύς καὶ Ἀφυτήσιος.

Ἀχαιία, παρὰ τὸ Ἀχαιός κύριον. τὸ ἐθνικὸν Ἀχαιοί. καὶ σεσημείωται ὀξυνόμενον. ἔστι καὶ λόφος ἐν Καρύστῳ καὶ τόποι διάφοροι.

Ἀχαιμενία, ἡ Περσικὴ μοῖρα, ἀπὸ Ἀχαιμένους υἱοῦ Αἰγέως. λέγεται καὶ Ἀχαιμένιον.

Ἀχανοί, ἔθνος πρὸς τῇ Σκυθίᾳ, οἳ καὶ Ἀχαρνοί λέγονται παρὰ Θεοπόμπῳ.

Ἀχαρναί, δῆμος τῆς Οἰνηίδος φυλῆς. Ἡρωδιανὸς Ἀχάρνης βαρύτονον. τὰ τοπικὰ ὡς ἀπὸ ὀξυτόνου, Ἀχαρνῆθεν. μήποτε δ' ἀπὸ τοῦ Ἀχαρνεύς ἡ παραγωγή. ὁ δημότης Ἀχαρνεύς καὶ Ἀχαρνίτης καὶ Ἀχαρναῖος καὶ Ἀχαρνικός.

Ἀχερδοῦς, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἀχερδούσιος. τὰ τοπικὰ δῆλα, Ἀχερδουντόθεν.

Ἀχελῷος, ποταμὸς Ἀκαρνανίας. ἀπὸ Ἀχελῴου ἐλθόντος ἐκ Θετταλίας μετὰ Ἀλκμαίωνος. ἐκαλεῖτο δὲ Θόας ὁ

---

1. ἢ Ἄφυτος add. PpRV. 2. Ἀφύτου PpV, Ἀφύου AR. 3. Ἄμμωνος X, Ἀπόλλωνος libri. Ammonis cultum apud Aphytaeos praeter Pausan. 3, 18. et Plutarch. Lys. 20. testatur nummus cum Iovis Ammonis capite apud Eckhel. DN. 1, 2 p. 68. ὁ πολίτης Ἀφυταῖος post ἀπὸ τοῦ Ἀφύτη transponendum videtur. Θουκυδίδης] 1, 64. 5. Ἀφυτιεύς] Hoc gentile ad Ἄφυτις revocandum (cf. s. v. Ἄβοτις), Ἀφυτεύς autem ad Ἄφυτος et ad Ἀφύτεια, denique Ἀφυταῖος et Ἀφυτήσιος ad Ἀφύτη. 6. Ἀχαιοί ΠRV, Ἀχαιός A. 7. σεσημείωται ὀξυνόμενον] Vide Etym. M. v. Ἀχαιός et Arcad. p. 43, 19. 10. Αἰγέως] Nihil Persis cum Aegeo et Atheniensibus; fortasse Περσέως. Perses, Achaemenidarum progenitor, Persei filius erat. v. Herod. 7, 150 et Apollod. 2, 4, 5. 13. Ἀχάρνα vulgo. 13. 14. Ἀχάρνης ΠRV, Ἀχαρν' A, Ἀχάρνεις X. videtur hoc Ἀχάρνας scribendum esse. 14. Ἀχαρνῆθεν [Ἀχαρνῆσιν Ἀχαρνᾶζε]? 18. Ἀχερδουντόθεν [Ἀχερδοῦντι Ἀχερδοῦντάδε]? 19. Ἀχελῷος RV, Ἀχελωός A. Ἀχελῴου RV, Ἀχελωοῦ A. 20. εἰς pro ἐκ V. post δὲ add. πρότερον e Strab. 10 p. 450.

ποταμός. τὸ ἐθνικὸν Ἀχελῷος ὁμοφώνως, καὶ Ἀχελῴα καὶ Ἀχελῳίς θηλυκόν.

Ἀχέρραι, πόλις μεταξὺ τοῦ Πάδου καὶ τῶν Ἄλπεων. τὸ ἐθνικὸν Ἀχερραῖος.

Ἀχέρων, Ἀχέροντος, Ἀχερούσιος Ἀχερουσία Ἀχερούσιον. ἔστι καὶ Ἀχερουσία λίμνη. λέγεται καὶ Ἀχερόντειος, ὃ διὰ τὸ μέτρον Ἀριστοφάνης ἔφη „Ἀχερόντιός τε σκόπελος αἱματοσταγής". καὶ Ἀχερουντιάς ἐξ αὐτοῦ.

Ἀχίλλειος δρόμος, νῆσος μετὰ τὴν Ταυρικήν. ἔστι καὶ νῆσος Ἀχίλλεια, ὡς δ' ἔνιοι Λευκή. ἔστι καὶ κώμη ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος. ἔστι καὶ πόλις ἐν τῷ Σιγείῳ Ἀχίλλειον. ἔστι καὶ φρούριον Ἀχίλλειον πλησίον Σμύρνης καὶ τόπος ἐν Σικελίᾳ καὶ κώμη καὶ λιμὴν Μεσσήνης. τὸ ἐθνικὸν Ἀχιλλειώτης καὶ Ἀχιλλείτης δύναται εἶναι καὶ Ἀχιλλειοδρομίτης.

Ἄχναι, πόλις Θεσσαλίας. ἐντεῦθεν ἦν Κλεοδάμας ὁ περὶ ἱππικῆς καὶ πωλοδαμαστικῆς γράψας. ἔστι καὶ πόλις Βοιωτίας. ὁ πολίτης Ἀχναῖος.

Ἄχολλα, πόλις Λιβύης οὐ πόρρω τῶν Σύρτεων, ἄποικος Μελιταίων. τὸ ἐθνικὸν Ἀχολλαῖος.

Ἄχομαι καὶ Ἀχομηνοί, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ.

Ἀχραδίνη, νῆσος ἔχουσα πόλιν πρὸς ταῖς Συρακούσαις, ἣν ἐπολιόρκησε Μάρκος ὁ Ῥωμαίων στρατηγός. ἀλλὰ καὶ Ἀχραδίνη μοῖρα Συρακουσῶν. Χάραξ δὲ χώραν αὐτὴν καλεῖ καὶ νῆσον. τὸ ἐθνικὸν Ἀχραδιναῖος καὶ Ἀχραδῖνος.

---

1. Ἀχελῶος R, Ἀχελωός AV. Ἀχελωά AV, Ἀχελωιά R. 3. Ἄχερραι R. 6. Ἀχερόντιος R. 7. Ἀριστοφάνης] Ran. 471. 8. Ἀχεροντιάς? 9. νῆσος] V. ad Scymni Per. p. 134. κατὰ? 13. Μεσσήνης RV, Μεσήνης A. 14. εἶναι δύναται RV. 21. Ἄχομα? ut sit urbis nomen. si gentis nomen est, certe Ἀχόμαι scribendum. Ἀχομηνοί R, Ἀχομενοί V, Ἀχόμενοι A. 23. Ἀχραδινή libri. πόλιν om. R. 25. Ἀχραδίνη V, Ἀχραδίκη R, Ἀχραδινή A. Συρακοσσῶν RV. 26. Ἀχραδικαῖος R.

Ἀχραδοῦς, δῆμος τῆς Ἀττικῆς. ὁ δημότης Ἀχραδούσιος. Ἀριστοφάνης Ἐκκλησιαζούσαις „νῦν μὲν γὰρ οὗτος βεβαλάνωκε τὴν θύραν, ὅστις πότ᾽ ἐστ᾽ ἄνθρωπος Ἀχραδούσιος".

Ἀχριανή, πόλις Ὑρκανίας, Πολύβιος δεκάτῳ. τὸ ἐθνικὸν Ἀχριανός.

Ἀψίλαι, ἔθνος Σκυθικὸν γειτνιάζον Λαζοῖς, ὡς Ἀρριανὸς ἐν περίπλῳ τοῦ Εὐξείνου πόντου.

Ἄψυνθος, πόλις Θρᾴκης. Ἀψυνθὶς δὲ ἡ χώρα. τὸ ἐθνικὸν Ἀψύνθιος καὶ Ἀψυνθιάς. ἔστι καὶ εἶδος φυτοῦ, περὶ οὗ Βῶλος ὁ Δημοκρίτειος. ὅτι Θεόφραστος ἐν τῷ περὶ φυτῶν ἐνάτῳ, τὰ πρόβατα τὰ ἐν τῷ Πόντῳ τὸ ἀψύνθιον νεμόμενα οὐκ ἔχει χολήν. διχῶς δ᾽ ἡ γραφὴ καὶ διὰ τοῦ υ καὶ διὰ τοῦ ι.

Ἀψυρτίδες, νῆσοι πρὸς τῷ Ἀδρίᾳ, ἀπὸ Ἀψύρτου παιδὸς Αἰήτου ἐν μιᾷ δολοφονηθέντος ὑπὸ τῆς ἀδελφῆς Μηδείας. οἱ νησιῶται Ἀψυρτεῖς καὶ Ἄψυρτοι. ἔστι καὶ τόπος ἐν τῷ Εὐξείνῳ πόντῳ Ἄψαρος, Ἄψυρτος πρότερον λεγόμενος. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ καὶ πόλιν νῆσον Ἄψυρτον ἱστορεῖ.

---

1. *Ἀχραδοῦς*] Per lusum hunc demum ab Aristophane fictum esse nunc satis constat. neque id ipsum fugit Stephanum. nam cum in Aristophanis versibus, quos apponit, pro *Ἀχραδούσιος* optimi libri habeant *Ἀχερδούσιος*, id ipsum indicio est scripsisse nostrum *ἄνθρωπος* [*Ἀχραδούσιος. ἀντὶ τοῦ*] *Ἀχερδούσιος*. 2. *Ἐκκλησιαζούσαις*] vs. 361. 2. 3. *βεβαλάνωμεν* V. 3. *ἐστιν* libri. *Ἀχερδούσιος* RV. 7. *ἐν περίπλῳ*] p. 12. 10. *Βῶλος*] Scripserat ista Bolus in libro *περὶ συμπαθειῶν* laudato a schol. Nicandri Ther. 764 et Suida, male duos Bolos distinguente s. v. *Βῶλος Μενδήσιος*. 10. *ὅτι Θεόφραστος*] Inter *ὅτι* et *Δημοκρίτειος* (*Δημοκρήτειος* libri) distinxi. Bolus teste Theophrasto uti non potuit. 11. *ἐνάτῳ*] c. 17. *τὸ ἀψίνθιον τὰ μὲν ἐνταῦθα πρόβατα οὔ φασί τινες νέμεσθαι, τὰ δ᾽ ἐν τῷ Πόντῳ νέμεται, καὶ γίνεται πιότερα καὶ καλλίω καὶ ὡς δή τινες λέγουσιν οὐκ ἔχοντα χολήν*. sunt autem omnia ista, *Θεόφραστος — χολήν*, Apollonii verba Hist. Mir. c. 31: *Θεόφραστος ἐν τῷ περὶ φυτῶν τὰ πρόβατα φησὶν τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα οὐκ ἔχει χολήν*. 14. *ἀπὸ* R, *ὑπὸ* AV. 16. *Ἀψύρτιοι?* 18. *πόλιν νῆσον* PpV, *πονῆσον* HR, *πολ.. δὲ νῆσον* A, *πόλιν καὶ νῆσον* HB. scribendum videtur *Πολύβιος νῆσον*.

Ἄψωρος, πόλις Ἰλλυρίας, Ἡρωδιανὸς ὀγδόῃ. ἔοικε δ' ἡ αὐτὴ εἶναι τῇ προειρημένῃ.

Ἄωρος, πόλις Κρήτης, ἀπὸ Ἀώρας νύμφης. μετωνομάσθη δ' Ἐλευθήρα ἀπὸ Ἐλευθῆρος ἑνὸς τῶν Κουρήτων. ὁ πολίτης Ἀώριος, ἢ Ἀωρίτης ὡς Ἀλωρίτης.

Βάβαι, πόλις Λιβύης. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. ὁ πολίτης Βαβαῖος.

Βαβύλη, πόλις ἐν Ὀδρύσαις γ...

Βαβράντιον, τόπος περὶ Χίον. Πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν ὁμοίως. ἔοικε δ' ὑποκοριστικὸν τοῦ Βάβρας.

Βάβρας, πολίχνιον Αἰολίδος ἐγγὺς Χίου. τὸ ἐθνικὸν Βαβράντιος, ἀπὸ Βάβραντος. εὕρηται καὶ ἰσοσύλλαβος ἡ κλίσις ἐν ἀστιγεῖ βιβλίῳ.

Βαβυλών, Περσικὴ πόλις, μητρόπολις, Σελεύκεια καλουμένη, κτίσμα Βαβυλῶνος, ἀνδρὸς σοφωτάτου, παιδὸς Βή-

---

1. *Ἰλλυρίας* RV, *Ἰλλυριάς* A. *Ἡρώδης* RV. cf. Arcadius p. 72, 10: *τὰ διὰ ωρος ὑπερδισύλλαβα κύρια προπαροξύνεται, Θεόδωρος Ἄψωρος Ἰσόδωρος*. hinc intelligitur apud Ptolem. 2, 16, 13 male legi *Ἄψορρος*. 1. 2. *ἔοικε δὴ τοιαύτη* R, *ἔοικε δ' ἡ τοιαύτη* V. 3. *Ἄωρος*] Vide in *Σάωρος* et *Ἐλευθεραί*. 4. *Ἐλευθεραί* an *Ἐλεύθερνα*? 5. *Ἀώριος* B, *Ἄωρος* libri. 6. *βιβλίον ἢ* ante *Βάβαι* *Π*R. *Βάβαι* R, *Βαβαί* AV, *Βάβα* Ptol. 4, 1, 13. *Βάββα* H e nostro s. v. *Ῥάβα* et Plin. NH. 5, 1. 8. *Βαβύλη*] Hoc e *Καβύλη* corruptum putat B. si incorruptum est, tmema hoc post *Βάβρας* transponendum. *ἐνοδρυσαι* V. 10. *Βάβρας* X, *Βράβας* R, *βάβρασι* AV. *πολίχνιον* RV, *πολ*** A. 12. *ἀπὸ Βάβραντος* (*Βάβρατος* *Π*) add. *Π*RV. 13. *ἀστιγεῖ* V, *ἀστύγεῖ* R, *ἀρινεῖ* Pp, nisi ea Salmasii coniectura, *ἀγενεῖ* B. cf. p. 93. 14. *Σελεύκεια* R, *Σελευκία* AV. 15. *κτίσμα Βαβυλῶνος ἀνδρὸς σοφωτάτου παιδὸς Μήδου παλαίτατον* RV, *Βαβυλῶνος ἀνδρὸς κτίσμα παλαίτατον σοφωτάτου παιδὸς Μήδου* A, *κτίσμα Βαβυλῶνος ἀνδρὸς σοφοῦ παιδὸς Βήλου σοφωτάτου* Salmasius, qui ita se locum ex Pp emendasse dicit. sequutus sum RV, nisi quod *Βήλου* ex Pp recepi pro *Μήδου*, quamquam id legit etiam Eustathius ad Dion. Per. 1005: *ἕτεροι δὲ Σελεύκειάν ποτε καλεῖσθαι τὴν τοιαύτην Βαβυλῶνά φασι καὶ κτίσμα εἶναι Βαβυλῶνός τινος ἀνδρὸς σοφωτάτου, παιδὸς Μήδου, καὶ ἀρχαιοτέραν τὴν πόλιν ταύτην τῆς Σεμιράμιδος ἔτεσι χιλίοις ὀκτακοσίοις.*

λου, παλαίτατον, οὐχ ὡς Ἡρόδοτος ὑπὸ Σεμιράμιδος· ταύτης γὰρ ἦν ἀρχαιοτέρα ἔτεσι χιλίοις δύο, ὡς Ἑρέννιος. ἔστι καὶ ἐν Αἰγύπτῳ πόλις. τὸ ἐθνικὸν Βαβυλώνιος καὶ Βαβυλωνεύς, καὶ Βαβυλωνίς καὶ Βαβυλωνία τὰ θηλυκά.

Βαβυτάκη, πόλις Περσική. ὁ πολίτης Βαβυτακηνός.

Βαγαδαονία, μοῖρα Καππαδοκίας νοτιωτάτη. τὸ ἐθνικὸν Βαγαδάονες, ὡς Κατάονες τῆς Καταονίας.

Βαγίστανα, πόλις τῆς Μηδίας. καὶ ὄρος Βαγίστανον. τὸ ἐθνικὸν Βαγιστανηνός.

Βάδεως πόλις, τῆς εὐδαίμονος Ἀραβίας ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. ὁ οἰκήτωρ Βαδεωπολίτης.

Βάδιζα, πόλις τῆς Βρεττίας, Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Βαδιζαῖος.

Βαία, ὄρος Κεφαλληνίας, ἀπὸ Βαίου κυβερνήτου Ὀδυσσέως. τὸ ἐθνικὸν Βαιάτης.

Βαιάκη, πόλις τῆς Χαονίας, Ἑκαταῖος. τὸ ἐθνικὸν Βαιακαῖος. δύναται καὶ Βαιακῖνος. ἄμεινον τὸ πρῶτον.

Βαῖβαι, πολίχνιον τῆς Καρίας. ὁ πολίτης Βαιβαῖος.

Βαίκυλα, πόλις Ἰβηρίας πρὸς ταῖς Ἡρακλείαις στήλαις. τὸ ἐθνικὸν Βαικυλεύς.

Βαίσαμψα, πόλις ἐν τῷ Ἀραβικῷ κόλπῳ περὶ τὴν

---

1. *ὡς* om. V. *Ἡρόδοτος*] 1, 184. 2. *αβ* RV, *χιλίοις ὀκτακοσίοις* Eustathius. *Ἑρέννιος* Pp, *Ἐρένιος* V, *Ἐρρένιος* *Π*R, *Ἐρράνιος* A. 4. *καὶ Βαβυλωνία καὶ Βαβυλωνίς* R. 7. *Βαγαδάον* V. *τῆς Καταονίας* om. V. 8. *Βαγίστανα*] Totam sectionem add. Pp*Π*RV, nisi quod *Βαγίστανα πόλις* om. V. *Μηδείας* R. 9. *Βαγιστανηνός* B, *Βαγιστανός* libri. apud Diod. Sic. 17, 110. *τὴν ὀνομαζομένην Βαγιστάμην θεοπρεπεστάτην τε χώραν οὖσαν καὶ πλήρη καρπίμων δένδρων*, Wesselingius corr. *Βαγιστάνην*. malim *Βαγιστανηνήν*. 10. *Βάδεως*] *Βαδεὼ* Ptolem. 6. 7, 6: *Κασσανιτῶν χώρας Βαδεὼ βασίλειον*, et 8, 22, 4: *ἡ δὲ Βαδεὼ τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ιγ*. 12. *Βρεττίας* Schweighaeuserus, *Βρεττανίας* libri. *Πολύβιος* RV, *πο^λ^ Π*, *πολ* cum lacuna A. 17. *Ἀβακῖνος* pro *Βαιακῖνος* *Π*RV. 18. *Βαιβαί* V, *Βαίβαι* R. 19. *στήλαις* om. V. 21. *Βαίσαμψα*] Hoc tmema libri post *Βαῖτις* habent.

Ἐρυθρὰν θάλασσαν, ὅ ἐστιν οἶκος ἡλίου. ὁ πολίτης Βαισαμψηνός.

Βαιταρροῦς, κώμη μεγάλη τρίτης Παλαιστίνης. οἱ κατοικοῦντες Βαιταρρηνοί. ἔστι καὶ πόλις Κελτικὴ Βαίταρρα, ἧς ὁ πολίτης Βαιταρρίτης. τῆς δὲ προτέρας Βαιταρρούσιος. κλίνεται Βαιταρροῦντος.

Βαίτιον, πόλις Μακεδονίας, Θεόπομπος εἰκοστῇ τετάρτῃ.... δύναται δὲ κατὰ τὴν τέχνην Βαιτιεύς.

Βαῖτις, ποταμὸς κατὰ Ἰβηρίαν, ὃς Πέρκης λέγεται ὑπὸ τῶν ἐγχωρίων. λέγεται καὶ Βαιτίκη ἡ χώρα ἀπὸ Βαίτιος γενικῆς.

Βακκαῖοι, Ἱσπανίας ἔθνος.

Βάκτρα, πόλις. Στράβων ιά. τὸ ἐθνικὸν Βάκτροι καὶ Βάκτριοι καὶ Βακτρία τὸ θηλυκόν. ἔστι καὶ πόλις Βάκτριον. τὸ ἐθνικὸν Βακτριανός καὶ Βακτριανή τὸ θηλυκόν.

Βάκυροι καὶ Βακυριανοί, ἔθνος πρὸς Πάρθοις καὶ Μήδοις.

Βάκχου νῆσος καὶ Ἀντιβάκχου ἑτέρα ἐν τῷ Ἀραβικῷ κόλπῳ. τὸ ἐθνικὸν Βακχονησίτης.

Βάλα, πόλις τῆς Γαλιλαίας, Ἰώσηπος. τὸ ἐθνικὸν Βαλαῖος.

Βαλανέαι, πόλις Φοινίκης, ἡ νῦν Λευκάς. ὁ πολίτης Βαλανεώτης. εἰς ἣν πόλιν Ἐπικράτης ἐγκώμιον ἔγραψεν ὁ Βαλανεώτης.

---

4. *Βαίταρα* R, *καίταρρα* V. in numo, quem Spanhemius vidit, legitur *ΒΗΤΗΡΡΑΤΩΝ*. cf. Eckhel DN. vol. 1 p. 67. ex quo verum urbis nomen *Βήτηρρα* esse cognoscitur; ac Plinius quoque Beterram dicit. 8. indicavi lacunam; fortasse excidit *τὸ ἐθνικὸν οὐχ εὕρομεν*. *κατὰ τέχνην* R. 10. *Βαιτίκη* R, *Βαιτική* AV. cf. ad *Βελγίκη* et schol. Il. 14, 709: *τὰ εἰς κη παραληγόμενα τῷ ι συνεσταλμένῳ παροξύνεται, ἑλίκη μυρίκη Βαιτίκη χώρα*. 12. *Βακκαῖοι* RV, *Βακκαῖον* A. 13. *ιά* (p. 517) add. RV. 15. *καὶ Βακτριανοί* R. *τὸ θηλυκὸν* add. V. 16. *Βάκυροι* H, *Βάκουροι* libri. nomen hoc et *Βακυριανοί* e *Βάκτροι* et *Βακτριανοί* corrupta esse recte statuit H. *Κακυριανοί* R. 20. *Ἰώσηπος*] Ant. Iud. 6, 6. 23. 24. *εἰς ἣν — Βαλανεώτης* om. *Π*.

Βάλβουρα, οὐδετέρως, πόλις Λυκίας. τὸ ἐθνικὸν Βαλβουρεύς.

Βάλδος, πόλις Φοινίκης. ὁ πολίτης Βαλδαῖος. τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ ἄφωνον βαρύνεται, εἰ μὴ ἐπιθετικὰ εἴη· Ἰνδός ὅμοιον τῷ ποταμῷ, τὸ λορδός μυνδός ὁ ἄφωνος ὀξύνεται, ἀφ' οὗ τὸ „μυνδότεροι νεπόδων" παρὰ Καλλιμάχῳ.

Βᾶλις, πόλις Λιβύης πρὸς τῇ Κυρήνῃ, ἀπό τινος Βάλεως, οὗ καὶ ἱερὸν ἔχει. ὁ πολίτης Βαλίτης.

Βάλκεια, πόλις περὶ τὴν Προποντίδα. τὸ ἐθνικὸν Βαλκειάτης καὶ Βαλκείτης.

Βάλλα, πόλις Μακεδονίας, ὡς Πέλλα. ὁ πολίτης Βαλλαῖος. Θεαγένης ἐν Μακεδονίᾳ „Βαλλαίους μεταγαγὼν εἰς τὸν νῦν λεγόμενον Πύθιον τόπον".

Βάλοιον, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Βαλοιεύς.

Βαναυρίδες, Τυρρηνικαὶ νῆσοι, ἀπὸ Βαναύρου υἱοῦ Αἴαντος. τὸ ἐθνικὸν Βαναυρεύς.

Βαντία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Βαντιανοί καὶ Βαντιᾶται.

---

1. 2. *Βαλβουριεύς* R. 4. *τοῦ* M, *τῆς* libri. *ἐπιθετικόν* R. *Ἰνδός*] Hoc regulae exemptum est, non quia adiectivum est, ut opinatur B, sed quia *ὁμοφωνεῖ* cum *Ἰνδός* fluvii nomine. ceterum cf. Arcad. p. 48, 11: *τὰ εἰς δος δισύλλαβα ἔχοντα πρὸ τοῦ δ σύμφωνον κατὰ διάστασιν βαρύνεται, εἰ μὴ ἐθνικὰ* (leg. *ἐπιθετικὰ*) *εἴη* .... *σεσημείωται τὸ Ἰνδός ποταμὸς καὶ τὸ ἐθνικόν. τὸ δὲ κονδός* (leg. *λορδός*) *ἐπιθετικὸν καὶ ὁ μυνδός ὁ ἄφωνος.* 5. *τὸ* add. *Π*RV. *κυνοδός* pro *μυνδός* V. *ὁ ἄφωνος* M, *ὡς ἄφωνον* AV, *ὡς ἄμφω* R. hoc eo consilio addidit, ne quis *Μύνδος*, quod urbis nomen est, exceptionem a regula facere existimet. 7. *Βάλις* libri. *Βάλεως*] Balis idem qui alias *Βάλ* vel *Βῆλος*, ut recte BH. hinc expediendus Strab. 17 p. 834: *εἶτα ἄκρα Ἄμμωνος βαλίθωνος πρὸς θυννοσκοπίαν.* leg. *Ἄμμωνος* [*ἢ*] *Βαλίθωνος πρὸς θυννοσκοπίαν* [*εὔθετος*]. *Βαλίθων* Aegyptiacum nomen est, compositum ex *Βᾶλις* et *Θών*, quod vel ex Hom. Od. 4, 228 cognitum. huiusmodi nominum Aegyptii fuerunt amantissimi. cf. s. v. *Ἀρταία* et Isidor. Ep. p. 2 a. ubi *Νειλάμμων* scribendum pro *Νειλάμβων*. 9. *παρὰ τὴν* R. 13. *Μακεδονικῶν ά?* 15. *Βαναυρίδες* ex *Βαλιαρίδες* corruptum videtur H. 17. *Βαντία* M, *Βάντεια* libri. *Βαντῖνοι* H.

Βάντιοι, ἔθνος Θρᾴκης, Ἑκαταῖος.

Βάραθρον, τόπος κοῖλος καὶ ὄρυγμα καλούμενος, ἀφ' οὗ βαραθρίτης. ἔστι καὶ Βάραθρα πλησίον τοῦ Κασίου, τὸ ἐθνικὸν Βαραθρεύς.

Βαράκη, νῆσος τῆς Γεδρωσίας. τὸ ἐθνικὸν Βαρακαῖος, ὡς Ἰτύκη Ἰτυκαῖος.

Βαρβαλισσός, φρούριον τῆς ἔω περιτετειχισμένον. τὸ ἐθνικὸν Βαρβαλισσηνός.

Βάρβαρος, οὐκ ἐπὶ ἔθνους, ἀλλ' ἐπὶ φωνῆς ἐλαμβάνετο· ὡς καὶ Ὅμηρος τοὺς Κᾶρας βαρβαροφώνους, ὡς πολεμίους τῶν Ἰώνων. εἴρηται παρὰ τοῖς νεωτέροις ἐθνικῶς, ἀφ' οὗ Βαρβαρία. ἔστι δὲ χώρα παρὰ τὸν Ἀράβιον κόλπον Βαρβαρία, ἀφ' οὗ καὶ Βαρβαρικὸν πέλαγος. τὸ δὲ βαρβαρικός οὐκ ἀπὸ τοῦ βαρβαρία, ἀλλ' ἀπὸ τοῦ βάρβαρος. ἦν γὰρ Βαρβαριακός.

Βάργασα, πόλις Καρίας, ἀπὸ Βαργάσου τοῦ υἱοῦ Βάργης καὶ Ἡρακλέους, ὃν ἐδίωξε Λάμος ὁ Ὀμφάλης καὶ Ἡρακλέους, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. τὸ ἐθνικὸν Βαργασηνός, ὡς αὐτὸς ἑκκαιδεκάτῳ, ὡς Ἔδεσσα Ἐδεσσηνός Γερασηνός Ἐμεσηνός.

Βαργούσιοι, ἔθνος δυτικὸν πρὸς τῷ Ἴβηρι ποταμῷ, Πολύβιος ἐν τρίτῳ. ἔστι καὶ Βάρχουσα μικρὰ πόλις Φοινίκης, ὁ πολίτης Βαρχουσηνός.

Βαργύλια, οὐδετέρως, πόλις Καρίας, ἣν Ἄνδανον οἱ Κᾶρές φασιν, Ἀχιλλέως κτίσμα λέγοντες. ἔστι δὲ πλησίον Ἰάσου καὶ Μύνδου. ὠνομάσθη δὲ ἀπὸ Βαργύλου, ὃς πληγεὶς

---

7. *Βαρβαλισσός*] Cf. interpretes Antonini ed. Wess. p. 181. *περιτετειχισμένον* R, *τετειχισμένον* AV. 8. *Βαρβαλησινός* R. 10. *Ὅμηρος*] Il. 2, 867. 12. *ἔστι δὲ* H, *ἔστι καὶ* libri. 14. *βάρβαρος ἦν γὰρ* om. V. 18. 17. *ὃν ἐδίωξε — Ἡρακλέους* om. R. 18. *β'* pro *τετάρτῳ* R. 21. *τῷ ποταμῷ* R. 22. *τρίτῳ*] c. 35, 2. *Βάργουσα* et mox *Βαργουσηνός* Π. 24. *Βαργύλια* ΠRV, *Βαργύλλα* A. 26. *Ἰμάσου* R, *Ἰάδου* Π. *ὠνομάσθη* RV, *ὠνομάσθησαν* A.

ὑπὸ Πηγάσου τελευτᾷ, Βελλεροφόντης δ' ἀνιαθεὶς ἐπὶ τῷ ἑταίρῳ πόλιν ἔκτισε Βαργύλια. καὶ ἡ θάλασσα Βαργυλιακὸς κόλπος ἐξ αὐτοῦ. ὁ πολίτης Βαργυλιάτης.

Βαρήνη, πόλις Μηδίας ἐγγὺς Ἀγβατάνων. οἱ οἰκήτορες Βαρηνοί.

Βαρήτιον, χωρίον πρὸς τῷ Ἀδρίᾳ, Θεόπομπος πεντηκοστῷ δευτέρῳ. τὸ ἐθνικὸν Βαρητῖνος ὡς Βρεντεσῖνος.

Βάρις, πόλις. τὸ ἐθνικὸν Βαρίτης. λέγεται βάρις ἡ οἰκία ὡς Ποσείδιππος, καὶ ἡ συνοικία ὡς Ἔφορος.

Βαρκάνιοι, ἔθνος τοῖς Ὑρκανοῖς ὅμορον.

Βάρκη, πόλις Λιβύης, ἥ τις καὶ Πτολεμαΐς. ἦν δ' ἐκ πλινθίνων οἰκοδομημάτων συντεθεῖσα, κτίσμα Περσέως Ζακύνθου Ἀριστομέδοντος Λύκου. λέγεται καὶ Βάρκαια, ἐξ οὗ τὸ Βαρκαιάτης. τοῦ δὲ Βάρκη Βαρκαῖος. καὶ Βαρκαῖον τὸν Λίβυν φασί. Βαρκαῖον αἶπος. οἳ τὰς ἱπποτροφίας παρὰ Ποσειδῶνος, ἡνιοχεῖν δὲ παρὰ Ἀθηνᾶς ἔμαθον.

Βαρύγαζα, ἐμπόριον Γεδρωσίας τῶν σφόδρα ἐπισήμων. οἱ οἰκοῦντες καὶ ὁ κόλπος Βαρυγαζηνοί.

Βασανίσαι, ἔθνος Θρᾴκιον ἀπὸ τῆς ὁ Βασανίσης εὐθείας. τινὰ δὲ τῶν βιβλίων Βανίσαι ἔχουσι τρισυλλάβως.

---

2. *Βαργύλια* B, *Βαργυλίαν* libri. *Βαργυλιακὸς* BH, *Βαργυλικὸς* libri. 3. *κόλπος ἐξ αὐτοῦ. ὁ πολίτης* R, *κόλπος. ἐξ αὐτοῦ ὁ πολίτης* AV. *καὶ Βαργυλιήτης* post *Βαργυλιάτης* add. H. 5. *Βαρηνηνοί* Salmasius. 7. *Ἀρεντεσῖνος* pro *Βρεντεσῖνος* R. 8. *τῆς ἀνατολικῆς Πισιδίας* post *πόλις* add. alia manus in P. cf. Ptolem. 5, 5, 5. 9. *Ποσίδιππος* libri. 12. *πλινθίων* R. 13. *Βάρκαια* RV, *Βαρκαῖα* A. cf. Theognostus p. 103, 1. 14. 15. *Βάρκαιον* utrobique libri. 15. *αἶπος* M, *ἔθνος* X, *ὄχον* H, *ἔπος* libri; sunt poetae verba. cf. Anal. Alex. p. 289. possis etiam *Βαρκαῖος ἵππος.* *οἳ τὰς ἱπποτροφίας*] Sunt laciniae loci ex nescio quo scriptore petiti, fortasse Mnasea. cf. Hesychius v. *Βαρκαίοις ὄχοις· φασὶ δὲ αὐτοὺς καὶ πρώτους ἅρμα ζεῦξαι διδαχθέντας ὑπὸ Ποσειδῶνος, τὸ δὲ ἡνιοχεῖν ὑπὸ Ἀθηνᾶς, ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης.* indicavit B. 19. *Βασανίσης*] *Βανίσης Π.* 20. *Βανίσαι*] *Βασανίσαι Π*RV, *Βασάναι* Salmasius.

Βάσηρα, πόλις Φοινίκης. τὸ ἐθνικὸν Βασηρεύς, ὡς Ἀλίφηρα Ἀλιφηρεύς.

Βασιννοί, Ἀραβικὸν ἔθνος, Γλαῦκος ἐν τρίτῳ Ἀραβικῆς ἀρχαιολογίας.

Βάσιλις, πόλις Ἀρκαδίας, Παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν Βασιλίτης.

Βαστάρναι, ἔθνος ὑπὲρ τὸν Ἴστρον οἰκοῦν. Διονύσιος ἐν περιηγήσει

πολλὰ μάλ' ἑξείης Μαιώτιδος ἐς στόμα λίμνης,
Γερμανοὶ Σαμάται τε Γέται θ' ἅμα Βαστάρναι τε.

Βατάναβος, Ἀραβίας σταθμός. τὸ ἐθνικὸν Βαταναβηνός.

Βατανέαι, συνοικία Συρίας, ἡ καὶ Βατανέα ἑνικῶς. τὸ ἐθνικὸν Βατανεώτης. ἔστι καὶ Βατάνα πρὸς τῷ Εὐφράτῃ.

Βατετάρα, πόλις Λιγύων, θηλυκῶς. τὸ ἐθνικὸν Βατεταραῖος.

Βατίεια, τόπος τῆς Τροίας ὑψηλός. κέκληται ἀπὸ Βατείας τινός, ὡς Ἑλλάνικος ἐν πρώτῃ Τρωικῶν, ἢ ἀπὸ τοῦ πάτου τῶν ἵππων ἤγουν τῆς τροφῆς, τροπῇ τοῦ π εἰς β, ἢ ἀπὸ τῶν βάτων. τὸ ἐθνικὸν Βατιεύς καὶ Βατιειάτης.

Βατή, δῆμος τῆς Αἰγηίδος φυλῆς, ὅθεν ἦν Ἅβρων ὁ Καλλίου, ἐξηγητής, περὶ ἑορτῶν καὶ θυσιῶν γεγραφώς. τὸ ἐθνικὸν ἐπιρρηματικῶς Βατῆθεν· οὐ δεῖ γὰρ ἐν πᾶσι τὸ ἐθνικὸν ζητεῖν, ἀλλ' ἢ τῷ ἐπιρρήματι χρῆσθαι, ὡς ἐπὶ τῶν

---

1. *Βασιρεύς* V. 5. *ὀγδόῳ*] c. 29, 5. ubi *Βασιλίς* editur. 7. *Βαστάρνα* R. 8. *περιηγήσει*] vs. 303. 9. *ἑστο . . λίμνης* R. 10. *Σαρμάται* AΠV, *Σαρμᾶται* R. correctum e Dionysio. *τε* ante *Γέται* om. *Π*. *Γέται* om. V. 11. *Βατάναβος* RV, *Βαστάναβος* A. 11. 12. *Βαταναβηνός* W, *Βασταναβηνός* libri. 13. *Βαταναῖαι* R. *Βαταναῖα* R, *Βατάνεια* H. *τὸ* om. R. 13. 14. *ἐθνικὰ* pro *τὸ ἐθνικὸν* R. 14. *Βατάνεια* B. cf. p. 14, 10. 15. *Λυγίων* ante B. 19. *ἢ* pro *ἤγουν* *Π*. 20. *Βατιάτης* V. 21. 22. *Ἅβρων ὁ Καλλίου, ἐξηγητής*] Vulgo coniungitur *ὁ Καλλίου ἐξηγητής*. vid. Ruhnken. ad Tim. p. 110. et Meier. Comment. de Vita Lyc. p. 64. 23. *δεῖ γὰρ* RV, *γὰρ δεῖ* A.

δήμων, ἢ τῇ γενικῇ μετὰ προθέσεως ἢ τῷ ἀναλόγῳ ἢ τῷ συνήθει τῆς χώρας. τὰ τοπικὰ δῆλα.

Βάτναι, πόλις τῆς Ὀσροηνῆς. τὸ ἐθνικὸν Βατναῖος, [καὶ] διὰ τὸν χαρακτῆρα [Βατνηνός], ὡς Ἐδεσσαῖος [Ἐδεσσηνός] καὶ Καρραῖος [Καρρηνός].

Βεβρύκων ἔθνη δύο, τὸ μὲν πρὸς τῷ Πόντῳ ἐν τῇ Ἀσίᾳ, τὸ δὲ πρὸς τοῖς Ἴβηρσιν ἐν τῇ Εὐρώπῃ. περὶ δὲ τοῦ ἐν Ἀσίᾳ διάφοροι γεγόνασι δόξαι, ὅτι ἀπὸ Βέβρυκος ἢ ἀπὸ Βεβρύκης, καὶ ἄλλοι ἄλλως. τὸ ἐθνικὸν Βεβρύκιος καὶ Βεβρυκία. εὕρηται καὶ Βέβρυσσα ὡς Φοίνισσα Κίλισσα Θρῇσσα. ἔχει γὰρ οἰκειότητα τὸ σ̄ πρὸς τὸ ξ̄.

Βέλβινα, πόλις Λακωνική, Παυσανίας ὀγδόῳ. Ἀρτεμίδωρος νῆσον αὐτήν φησι. τὸ ἐθνικὸν Βελβινήτης ὡς Αἰγινήτης.

Βελγίκη, ἡ χώρα, ὡς Βαιτίκη, προσεχὴς ταῖς Γερμανίαις. ὁ οἰκήτωρ Βελγικός ὡς Ἀττικός. ἔοικε δὲ ἀπὸ τοῦ Βέλγη, ὡς Ἀκτή Ἀττική. τὸ θηλυκὸν Βελγαία ἡ χώρα.

Βεληδόνιοι, ἔθνος παρ' ὠκεανῷ. Παρθένιος ἐν Δήλῳ „οὐδ' ἐπὶ τηλίστων ἄκρα Βεληδονίων".

Βελιτανοί, οἱ αὐτοὶ τοῖς Λυσιτανοῖς, ὡς Ἀρτεμίδωρος ἐν τρίτῃ γεωγραφουμένων.

---

Βρύξ, τὸ ἔθνος, καὶ *Βρῦγαι*. τοῦ Βρύξ τὸ θηλυκὸν Βρυγίς καὶ Βρυγηίς ὡς Καδμηίς. εἰσὶ δὲ Μακεδονικὸν ἔθνος προσεχὲς Ἰλλυριοῖς.

---

1. *Βέτιος* R. 1. 2. *Τουρδιτανῶν* BH, *Τριτανῶν* IGronovius, *Τυριτανῶν* libri. 3. *Πολτιμβρία* R. 5. *Ἰταλίας* H. sed vide ad *Σινόεσσα*. 6. *Βριάνιος* pro *Βρυάνιος* R. 7. *Βυζάνιος* PpRV. *Βυζάνιος* nihil est, *Βυζάντιος* autem, quod non erat cur in suspicionem vocaretur, ideo comparat, quoniam id eadem lege a *Βυζάντιον* formatur, qua *Βρυάνιος* a *Βρυάνιον*. cf. *Ἀγκύριον*. ὁ πολίτης *Ἀγκύριος* ὡς *Βυζάντιος*. *Ἀκακήσιον*, τὸ ἐθνικὸν *Ἀκακήσιος* ὡς *Ἀνακτόριος Βυζάντιος*. *Νικηφόριον*, τὸ ἐθνικὸν *Νικηφόριος* ὡς *Βυζάντιος*. *Ὑάμιον*, τὸ ἐθνικὸν *Ὑάμιος* ὡς *Βυζάντιος*. *Ὑπερδέξιον*, ὡς ἀπὸ τοῦ *Βυζάντιον Βυζάντιος*, οὕτως παρὰ τὸ *Ὑπερδέξιον Ὑπερδέξιος* etc. 8. *Βριγίας* R. forsan *Βρυγία*. non diversa haec urbs a *Βρύγιον*, quam statim memorat. *Βρυγι* V, *Βρίγιος* R. 9. *Βρύγιος* add. PpRV. 10. *Βριγιεύς* V. 11. *Βρῦκαι*? *Θρᾴκης* [ὡς *Ἑκαταῖος*.] *λέγονται*? vide ad *Σάνη*. Hecataeum auctorem monstrare videtur etiam ionicum *Βρυκήιοι*. 13. 14. *τῷ έ* RV, *τῇ πέμπτῃ* H, *πέμπτῃ* A. 14. *Κίον* M, *Κεῖον* libri. *αὐτόν* R. 15. *ἐφ' ᾗ* RV. 17. *Βρυγαί* libri. cf. Apoll. Rh. 4, 330. et Scymn. 434 et 437. ubi *Βρῦγοι*. *τοῦ Βρίξ* R.

Βρυσάκιον, πόλις τῆς Παρθίνης. οἱ πολῖται Βρυσακοί.

Βρυσιαί, πόλις Ἤλιδος, ὡς Αὐγειαί, διὰ τὸ πληθυντικῶς λέγεσθαι.

Βρυστακία, πόλις Οἰνώτρων. τὸ ἐθνικὸν Βρυστακιάτης.

Βύβαι, πόλις κατὰ Πευκετίους. τὸ ἐθνικὸν Βυβαῖος. εἰσὶ δ' ἔθνος Θρᾳκικόν. τὸ ἐθνικὸν οἱ Βύβαι ὡς Λοκροὶ καὶ Δελφοί.

Βυβασσός, πόλις Καρίας, ἀπὸ Βυβασσοῦ νομέως περισώσαντος ἀπὸ θαλάσσης καὶ χειμῶνος εἰς Καρίαν ἐκπεσόντα Ποδαλείριον. τὸ ἐθνικὸν Βυβάσσιος. Ἔφορος δὲ Βύβαστόν φησι καὶ Βυβάστιον.

Βύβλος, πόλις Φοινίκης ἀρχαιοτάτη πασῶν, Κρόνου κτίσμα, ἀπὸ Βύβλης τῆς Μιλήτου θυγατρός. „Βύβλος δὲ προσηγορεύθη ἐκ τοῦ πάσης ἀρχαίης βίβλου φυλακὴν ἀσινέα ἐν ταύτῃ γενέσθαι. οἱ δὲ ὅτι ἐν αὐτῇ Ἶσις κλαίουσα Ὄσιριν τὸ διάδημα ἔθηκε· τοῦτο δ' ἦν βύβλινον, [ἀπὸ] βύβλου τῆς φιλύρης τῆς Αἰγυπτίης, ἣς ἀνέτραφε Νεῖλος ἐν τοῖς ἕλεσι". τὸ ἐθνικὸν Βύβλιος καὶ Βυβλιάς. εἰσὶ καὶ Βύβλιοι Σκυθικὸν ἔθνος.

---

1. *Παρθήνης* H. *Βρυσάκιοι* B, *Βρυσακηνοί* H. 2. *Βρυσειαί* B. sequens admonitio ad accentum spectat: ac fortasse *ὀξυτόνως* post *Αὐγειαί* addendum. *Ἤλιδος*] Imo *Λακωνικῆς*. 4. *Οἰνώτρων*] Hic addendum esse *ὡς Ἑκαταῖος Εὐρώπῃ* alio loco demonstrabitur. 5. *Βύβαι* P[a], *Βύβα* P[b], *Βύβη* ARV. *Βιβαῖος* R. 6. *δὲ ἔθνος* RV. *Θρᾴκης* R. *αἱ Βύβαι* R, *Βύβαι* A. quod conieceram, *οἱ Βύβαι*, liquido exhibet V. iam intelligitur quo consilio *Δελφοί* et *Λοκροί* comparetur. *Βύβαι* igitur a recto casu *Βύβης* (ut *Βρῦκαι* a *Βρύκης*) et incolarum et urbis nomen est. ceterum *Βύβαι* ex *Ῥυβαί* (Rufae) corruptum existimat B. 8. *Βυβασσός* et *Βυβασσοῦ* RV, *Βύβασσος* et *Βυβάσσου* A. 8. 9. *παρασώσαντος* R. 9. *ἐκπεσόντα* M, *ἐμπεσόντα* libri. cf. s. v. *Σύρνα*. 13. *Βυβλίδος* B. *Βίβλος δὲ* RV. haec verba usque ad *ἐν τοῖς ἕλεσι* nescio cuius scriptoris sunt, qui ionica dialecto de Phoenicia scripserat. 14. *ἀρχαίης βύβλου* RV, *ἀρχαίας βίβλου* A. 15. *γίνεσθαι?* *ὅσιον* pro *Ὄσιριν* V. 16. *βύβλινον* BH, *βιβλίον* libri. cf. Etym. M. p. 216, 35. 16. *ἀπὸ* add. BH. *τῆς φιλύρης* M, *τῆς ὕλης* vir doctus, *τῆς φυλῆς* libri, del. B. 17. *ἀνέτρεφε* RV. 18. *Βυβλιάς* R, *βυβλίας* A, *βυβλίοις* V. *ἔθνος Σκυθικόν* R.

ἔστι καὶ Βύβλος ἐν τῷ Νείλῳ πόλις ἀσφαλεστάτη. τὸ ἐθνικὸν Βύβλιος, ἢ Βυβλίτης τῷ τύπῳ τῷ Αἰγυπτιακῷ.

Βύζαντες, Λίβυες περὶ Καρχηδόνα, τῆς Λιβύης ἔθνος, ἀφ' οὗ ἡ πόλις Βυζάντιον. καὶ Βυζάντιοι οἱ ἐν Λιβύῃ. παρ' Ἡροδότῳ δὲ κακῶς διὰ τοῦ γ Γύζαντες. Πολύβιος δὲ Βυζακίδα χώραν εἶναί φησι περὶ τὰς Σύρτεις ἐν δωδεκάτῳ „σταδίων μὲν οὖσα τὴν περίμετρον δισχιλίων, τῷ δὲ σχήματι περιφερής". τὸ ἐθνικὸν τῷ τύπῳ Βυζακίτης [ἂν] εἴη, νῦν δὲ Βυζακηνοί λέγονται τῷ δυτικῷ χαρακτῆρι, καὶ ἱμάτια δ' ἐκεῖθεν Βυζακηνά. ἔστι δὲ διμερὴς ἡ Βυζακία .... Καρχηδόνος ἐνδοτέρω. καὶ δύο ἔθνη Βυζακηνῶν, ὡς ἱστοροῦσι.

Βυζάντιον, τὸ ἐν Θρᾴκῃ βασίλειον, πόλις διασημοτάτη, πρὸς τῇ Προποντίδι, πρὸς τῷ μέρει τῆς Εὐρώπης. χρησμὸς δ' ἐδόθη ἐρωτησάντων εἰς Δελφοὺς Μεγαρέων τοιοῦτος

ὄλβιοι οἳ κείνην πόλιν ἀνέρες οἰκήσουσιν,
ἀκτῆς Θρηικίης στενυγρὸν παρ' ἄκρον στόμα πόντου,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν·
στέλλειν δ' ὡς ὤκιστα καὶ εἰς φρένα πάντα λαβόντα.

καὶ οὕτως ἐκτίσθη ἀπὸ Βύζαντος τοῦ Κεροέσσης τῆς Ἰοῦς

2. *Βίβλιος* R. 4. *ἀφ' οὗ* RV et Etym. M. p. 217, 23, *ἀφ' ἧς* A. *Βυζάντιοι*] Hoc gentile de Libyca urbe praestat cod. C apud Strab. 2 p. 131. 5. *Ἡροδότῳ*] 4, 194. 5. 6. *Βυζακίδα* Salmasius, *Βυσαλάδα* libri. 6. *τύρσεις* R. 7. *σταδίων* PpRV, *σταδίοις* A. *οὖσα* RV, *οὖσαν* APp. *δισχιλίων* Salmasius, *β'* RV, *δύο* APp. *τῷ δὲ* PpR, *δὲ τῷ* A. 8. *περιφερῆ* Pp. *τῷ τύπῳ* i. e. *τῷ ἐπιχωρίῳ τύπῳ*. *ἂν* add. M. 9. *Βυσσακηνοί* R. [*οὐ*] *τῷ δυτικῷ* (vel *Λιβυκῷ*) Gavelius. *ἱμάτια δὲ* R. lacunam indicavi. excidit, opinor, *ἡ μὲν πρὸς τῇ θαλάσσῃ, ἡ δέ*. 11. *Μυζακηνῶν* R. 12. *Βυζάντιον*] Hanc de Byzantio sectionem multo olim pleniorem fuisse docent ea quae scripsit noster p. 179, 1. et s. v. *Γότθοι*. 16. *ὑγρὸν* libri, *στενυγρὸν* Bergkius Comment. crit. 2 p. 9. quod firmare poterat Hesychio Miles. Origg. Const. 3. ubi legitur *ἀκτὴν Θρηικίην τ' ἔνυγρον παρά τε στόμα πόντου*. nihil mutat Eustath. ad Dion. 804. 17. *ἰχθὺς* R, *ἰχθῦς* AV et Eust. *βόσκονται τὸν αὐτόν* ΠRV, *βόσκονται ἐς αὐτόν* Hesychius l. l. 18. *στέλλειν* Salmasius, *στέλλεν* PpRV, *στέλλ^ε* A. *λαβόντα*] *λαβέσθαι* vel *βαλέσθαι* Gavelius. 19. *ἐκτίσθη*. [*ἐκλήθη δ'*] *ἀπό*? *Ἠοῦς* R.

θυγατρὸς καὶ Ποσειδῶνος, ἢ ὅτι τοῦ στόλου Βύζης ἦν ἡγεμών. καὶ ὅτι οἱ ἐχῖνοι αἰσθητικώτατοι τῶν ἀνέμων ἐκεῖσε. μετωνομάσθη δὲ καὶ Κωνσταντινούπολις καὶ νέα Ῥώμη. τὸ ἐθνικὸν Κωνσταντινοπολίτης, ἄνευ τοῦ ῡ. τὸ ἐθνικὸν τοῦ Βύζας Βυζάντιος διὰ τοῦ ῑ, τὸ δὲ κτητικὸν διὰ διφθόγγου. τὸ δὲ Βυζάντιος ἐθνικὸν τριγενές. τὸ δὲ κτητικὸν Βυζαντιακός. λέγεται καὶ Βυζαντιάς καὶ Βυζαντίς. ἔστι καὶ ἐπὶ τῆς χώρας Βυζάντεια διὰ διφθόγγου. ἀπὸ δὲ τοῦ Βυζάντιος Βυζαντία Βυζαντιανός· καὶ Βυζαντειανός διὰ διφθόγγου ὡς Ἡρακλειανός. ἔστι καὶ Βυζάντιον ἕτερον ἐν τῇ Ἰνδικῇ.

Βύζηρες, ἔθνος ἐν τῷ Πόντῳ. ἔστι καὶ Βυζηρικὸς λιμήν.

Βύλλις, πόλις Ἰλλυρίδος παραθαλασσία, τῶν μετὰ Νεοπτολέμου Μυρμιδόνων κτίσμα. τὸ ἐθνικὸν Βυλλιδεύς.

Βύμαζος, πόλις Παιόνων, Ἔφορος κζʹ.

Βυσναῖοι, ἔθνος Βεβρύκων, ἀπὸ Βύσνου βασιλέως αὐτῶν ὑπὸ Ἴλου φονευθέντος.

Βυσσός, ἐθνικόν, καὶ ὀξυτόνως, ὡς Ἡρωδιανός. λέγεται καὶ ὁ βυθός. τὸ μέντοι θηλυκὸν βύσσος βαρύνεται, ἀφ' οὗ καὶ βύσσινον.

Βωδώνη, πόλις Περραιβική, ὡς Ἀπολλόδωρος, οἱ δ' ὀρθῶς Θετταλίας, ἀπὸ Βωδωνοῦ ἥρωος. ὁ πολίτης Βωδωναῖος.

Βῶλα, ὡς Νῶλα, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Βωλανοί ὡς Νωλανοί.

---

1. *Βύζης* RV, *τῆς Βύζης* A, *τις Βύζης* Meursius, *Βύζας* B. 2. *ὅτι οἱ ἐχῖνοι*] Haec male huc posita eo haud dubie loco Steph. posuerat, ubi de memorabilibus Byz. dixerat. *ἐκεῖσε* RV, *ἐκεῖ* A. 4. 5. *ἐθνικὸν* [*ἀπὸ*] *τοῦ Βύζας*? 9. *Βυζαντία* om. V. 10. *ἐν τῇ Ἰνδικῇ*] Eodem, opinor, loco quo Bosporus Indicus esse ferebatur, quem memorat noster s. v. *Βόσπορος*. Byzantium Indicum habes etiam apud Ptolemaeum Geogr. 7, 1, 7. ubi *Βυζάντειον* editur. 15. *Βυσναῖοι* RV, *Βυσναῖος* A. *Βύσνου* RV, *Βώνου* A. 17. *Βοΐσσός* R, *Βυσός* AV. *ἐθνικόν* M, *ἔθνος* libri. cf. Arcad. 76, 12. ubi editur *Βεσσός*. add. Eustath. ad Dionys. Per. 457: *ἡ Βουσός ἐστιν, ἣν Ἡρωδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ ὀξύνει, Βουσός* (*Βυσσός*) *ἀναγινώσκων*. 18. *ὁ βυθός*] *Ἐβυσός* Pp, quae nescio an Salmasii coniectura sit. recte ARV *ὁ βυθός*, sed epitomator Herodiani verba pessime contraxit. *θηλυκὸν* add. PpR. 20. *οἱ δὲ* R.

Βωλίγγαι, ἔθνος Ἰνδικόν. Διονύσιος ιή τῶν Βασσαρικῶν „καὶ τότε Βωλίγγῃσι μετ' ἀνδράσι Τέκταφος ὦρτο".

Βωμοί, λόφοι Αἰτωλίας. οἱ κατοικοῦντες Βωμιῆς. Θουκυδίδης τρίτῃ „Βωμιῆς καὶ Καλλιῆς ἐπεβοήθησαν". ἀλλ' ἔστιν ἀπὸ τοῦ Βώμιος, ὡς ἀπὸ τοῦ Χήσιος τὸ Χησιεύς. καὶ βωμός ὁ τόπος τῶν θυσιῶν, ὁ πρὸς τὴν ἐσχάραν διάφορος· ὁ μὲν γὰρ οἰκοδομητός, ἡ δὲ σκαπτή. τὸ τοπικὸν βώμιος καὶ κατὰ παραγωγὴν βωμιαῖος. Σοφοκλῆς Αἰχμαλώτισι „καὶ βωμιαῖον ἐσχάρας λαβὼν [λίθον]".

Βῶγχις, πόλις Αἰθιοπίας πρὸς τῷ τρίτῳ καταρράκτῃ. τὸ ἐθνικὸν Βωγχίτης ὡς Μεμφίτης.

Βωταχίδαι, τόπος Ἀρκαδίας, ἀπὸ Βωτάχου. Νικόλαος έ „Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ' οὗ ὁ τόπος Βωταχίδαι ἐν Τεγέᾳ ἐκλήθη".

Γάβα, πόλις Γαλιλαίας. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Γαβηνός, ὡς αὐτὸς Ἰώσηπος.

Γαβάθη, πόλις Γαλιλαίας, ὡς Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Γαβαθηνός, τῷ τύπῳ τῆς χώρας.

Γάβαλα, πόλις Φοινίκης, ἣν θηλυκῶς Ἑκαταῖος φησιν. ὁ δὲ Στράβων Συρίας, πλησίον Λαοδικείας. ὁ οἰκήτωρ Γαβαλίτης καὶ θηλυκὸν ἡ Γαβαλῖτις, ἀλλὰ καὶ Γαβαλεύς ὡς Μεγαρεύς. ἔστι καὶ χώρα Ἀραβίας καὶ λέγεται ἡ πρώτη συλλαβὴ διὰ τοῦ ε̄ Γέβαλα, καὶ τὸ ἐθνικὸν Γεβαληνός ὡς Δαυηνός Ἀδαρηνός, τῷ τύπῳ τῶν ἐγχωρίων.

---

1. *Βωλίγγαι* BH, *Βώλιγγα* libri. 2. *τότε* B, *τότε δὴ* libri. *Βωλιγγῇσι* libri. 3. *Βομεῖς* Π. 4. *τρίτῃ*] c. 96. ubi *ἐβοήθησαν*. *Βωμιῆς καὶ Καλλίης* RV, *Βωμιῆς καὶ Καλλιῆς* A. 6. *βωμός* B, *βώμιος* libri. 7. *ὠκοδομητός* R. 8. *Αἰχμαλώτισι* RV, *Αἰχμαλώτησι* A. 9. *λίθον* add. M. 12. *Βωταχίδα* V. 14. *ἐν Τεγέᾳ* R, *ἐν τῇ Τεγέᾳ* A, *ἐν τεῖ Τεγέᾳ* V. 15. *Γάβαα* (*Γαβαά*) B. *πέμπτῳ*] c. 2. 16. *Γαβαηνός* PpΠRV, *Γαβηνός* A. *Ἰώσηπος*] Al. 5, 11. 17. *ἕκτῳ*] c. 5. ubi *Γαβαθή*. 19. *Γάβαλλα* ante X. *θηλυκῶς Ἑκαταῖος* RV, *Ἑκαταῖος θηλυκῶς* A. 20. *Στράβων*] 16 p. 753. 23. *καὶ* om. Π. 24. *Δαυηνός* M, *Δαρηνός* H, *Δαβηνός* libri. *Ἀδαρηνός* Salmasius, *Ἀδραηνός* PpΠRV, *Ἀδρηνός* A.

Γαβαούπολις, πόλις τῆς Γαλιλαίας. τὸ ἐθνικὸν Γαβαουπολίτης. Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας „Σάουλος δὲ εἰς Γαβαούπολιν ἔχων ἑξακοσίους ἦλθε."

Γάββα, πόλις Συρίας. τὸ ἐθνικὸν Γαββηνός, ὡς Παυσανίας φησί.

Γάβιοι, πόλις Λατίνων. τὸ ἐθνικὸν Γαβῖται. δυνατὸν καὶ Γαβίους, ὡς Διονύσιος ἐν τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας ἀμφότερα.

Γάγαι, πόλις Λυκίας, ἣν καὶ Παλαιὸν τεῖχος καὶ χώραν φησὶν Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν. τὸ ἐθνικὸν Γαγαῖος.

Γάγγρα, πόλις [Παφλαγονίας], θηλυκῶς. ἣν Ἀλέξανδρος ἐν τῷ περὶ Παφλαγονίας ἀναγράφει λέγων οὕτως ὅτι „Νικόστρατός φησιν αἰπόλον νέμειν περὶ τοὺς τόπους αἶγας. μίαν δὲ χωριζομένην, ἀπορῶν ὁ αἰπόλος, ὅτι ἐν μὲν τῷ οἴκῳ ἐνδεᾶ ηὕρισκεν, ἐπὶ τῆς νομῆς δὲ πλήρη, ὡμολόγησε τῷ δεσπότῃ. ὁ δ' ἔφη ἐπιτηρῆσαι τὴν χωριζομένην. ἐπιτηρήσας οὖν εἶδεν ἐπί τινα ὑψηλὸν ὄχθον ἀναβαίνουσαν καὶ πρός τινα πρόσβατον πέτραν πορευομένην, καὶ κάτωθεν ἐρίφων βληχὴν ἤκουσεν· ἐκεῖ συμβέβηκεν ἐντετοκέναι τὴν αἶγα. ἰδὼν οὖν ἐπιτήδειον τόπον πόλιν ἔκτισε καὶ Γάγγραν ὠνόμασεν, ὅτι τοῦτο ἦν ὄνομα τῇ αἰγί". Ἐρατοσθένης δὲ οὐδετέρως τὰ Γάγγρα φησί, καὶ Ἀθήναιος ἐν δειπνοσοφιστῶν τρίτῃ οὕτως. τὸ ἐθνικὸν Γαγγρηνός ὡς Βοστρηνός. ἔστι καὶ Ἀραβίας τῆς εὐδαίμονος Γάγγρα. τὸ ἐθνικὸν δεῖ Γαγγραῖοι ὡς Σαβαῖοι.

---

2. *ἕκτῳ*] c. 7. ubi legitur *Σάουλος δὲ εἰς Γαβαὼν πόλιν ἔχων ἑξακοσίους μεθ' ἑαυτοῦ μόνον ἧκε.* 3. *ἑξακοσίους* add. R, in quo *χ'* scriptum. 4. *Γάββα*] Eadem quam supra *Γάβα* dixit. 6. *Γαβῖται* ex artis lege ipse finxit Stephanus. 7. *τετάρτῳ*] c. 53 aliisque locis. 8. *ἀμφότερα*] Pervertit haec epitomator. Stephanus dixerat sine dubio Dionysium nomen *Γάβιοι* et de urbe et de incolis dixisse. 9. *χωρίον?* 11. *Παφλαγονίας* add. M. 13. *Νικόστρατος*] Vide supra p. 173. 14. *χωριζομένην* [*ἰδών*]? 18. *πρόσβατον πέτραν* HRV, *πρόσβατον* sine *πέτραν* A, *βάτον* X. an *ἀπρόσβατον πέτραν?* 19. *ἐπεὶ?* *αἶγαν* R. 20. [*τὸν*] *τόπον?* 22. *τρίτῃ*] p. 82 c.

δυνατὸν δὲ καὶ ἀμφοτέρων ἀμφότερα, ὡς Ἔδεσσα Ἐδεσσαῖος καὶ Ἐδεσσηνός, τῷ τῆς χώρας καὶ τῆς τέχνης.

Γάδαρα, πόλις κοίλης Συρίας, ἥ τις καὶ Ἀντιόχεια καὶ Σελεύκεια ἐκλήθη. τὸ ἐθνικὸν Γαδαρεύς, καὶ Γαδαρίς καὶ ἡ γυνὴ καὶ ἡ χώρα. ἐντεῦθεν ἦν Μένιππος ὁ σπουδογέλοιος. ἔστι καὶ Γάδαρα κώμη Μακεδονίας.

Γάδδα, χωρίον Ἀραβίας. Γλαῦκος ἐν τετάρτῃ. καὶ θηλυκῶς καὶ οὐδετέρως. τὸ ἐθνικὸν Γαδδηνός.

Γάδειρα, πόλις καὶ νῆσος ἐν τῷ ὠκεανῷ στενὴ καὶ περιμήκης, ὡς οὖσα ταινία τῆς γῆς δειρά. Ἐρατοσθένης δὲ ἡ Γάδειρος φησὶ θηλυκῶς. ὁ πολίτης Γαδειρεύς· οὕτω γὰρ τὰ πέντε βιβλία ἐπιγέγραπται τῶν Πυθαγορικῶν σχολῶν Μοδεράτου Γαδειρέως. λέγεται καὶ Γαδειρίτης, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ. λέγεται καὶ Γαδειραῖος ὡς ἀπὸ τῆς ἡ Γάδειρα εὐθείας, καὶ Γαδειρανοί, καὶ κτητικὸν Γαδειρικός. Εὔπολις ἐν Μαρικᾷ „πότερ' ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν;"

Γάδρα, πόλις Παλαιστίνης. Πορφύριος τρίτῳ φιλοσόφου ἱστορίας. τὸ ἐθνικὸν Γαδρηνός, ὡς Βόστρα Βοστρηνός καὶ Γαγγρηνός.

Γάζα, πόλις Φοινίκης, νῦν δὲ Παλαιστίνης πρὸ τῆς Αἰγύπτου. ἐκλήθη καὶ Ἄζα. καὶ μέχρι νῦν Σύροι Ἄζαν αὐτὴν καλοῦσιν, ἀπὸ Ἄζωνος τοῦ παιδὸς Ἡρακλέους. μυθολογοῦσι δέ τινες ὑπὸ Διὸς κτισθῆναι καὶ ἐν αὐτῇ ἀπολιπεῖν τὴν ἰδίαν γάζαν, οὕτω τῶν Περσῶν τὰ χρήματα καλούντων.

---

1. *καὶ ἀμφοτέρων ἀμφότερα* RV, *καὶ ἀμφότερα* A. 2. *καὶ Ἐδεσσηνός* om. R. *τῶν τῆς* PV. *τέχνης* [*τύπῳ*] B. 6. *Γάδαρα* R, *Γαύδαρα* AV. 7. *ἐν* add. R. 9. *νῆσος καὶ πόλις* R. 10. *ὡς* add. *Π*RV. *ταινία* super *οὖσα τῆς* a manu rec. R, seclusit W. fortasse *ταινία* [*καὶ οἷον*] *τῆς γῆς δειρά*. 11. *Γάδειρος* *Π*RV, *Γάδειρα* A. 12. *ἐπιγέγραπται* om. V. 13. *Γαδειρέως* X, *Γαδαρέως* libri. *λέγεται*] *καὶ γεται* R. 14. *τοῦ* libri. *ἡ* add. RV. 15. *εὐθείας* R, *θηλυκοῦ* AV. *Γαδειρανή* pro *Γαδειρανοί* R. *εὔπ...* V. 16. *ἐν* om. R. *Μαρυκᾷ* R. 17. *Γάδρα* PpR, *Γάδδρα* V, *Γάδαρα* A. 18. *Γαδρηνός* PpR, *Γαδδρηνός* V, *Γαδαρηνός* A. 20. *πρὸ* V, *πρὸς* AR. 23. *ὑπὸ* H, *ἀπὸ* libri. *Ἄζωνος* M, *Ἄζονος* libri. v. Bekkeri An. gr. p. 1306.

ἐκλήθη δὲ καὶ Ἰώνη, ἀπὸ τῆς Ἰοῦς προσπλευσάσης καὶ μεινάσης [αὐτῆς] ἐκεῖ. ἐκλήθη δὲ καὶ Μίνῳα, ὅτι Μίνως σὺν τοῖς ἀδελφοῖς Αἰακῷ καὶ Ῥαδαμάνθυι ἰὼν ἐξ αὐτοῦ ταύτην ἐκάλεσεν. ἔνθεν καὶ τὸ τοῦ Κρηταίου Διὸς παρ' αὐτοῖς εἶναι, ὃν καὶ καθ' ἡμᾶς ἐκάλουν Μαρνᾶν, ἑρμηνευόμενον Κρηταγενῆ. τὰς παρθένους γὰρ οὕτως Κρῆτες προσαγορεύουσι Μαρνάν. ὁ πολίτης Γαζαῖος. λέγονται καὶ Γαζηνοί παραλόγως, ὡς Παυσανίας. λέγονται καὶ Γαζῖται παρὰ τοῖς ἐγχωρίοις. καὶ οἱ κέραμοι λέγονται Γαζῖται. καί ἐστιν ὅμοιον τῷ Αἰγινῆται καὶ Αἰγιναῖοι κατὰ τὴν διαφοράν, ἐναντίον δὲ τὸ τῶν τύπων· οἱ μὲν γὰρ πολῖται Αἰγινῆται καὶ Γαζαῖοι, οἱ δὲ κέραμοι Γαζῖται καὶ Αἰγιναῖοι. εἰσὶ καὶ διὰ τοῦ η ἔθνος Γαλατῶν χρυσοφοροῦν, ὡς Εὐφορίων. λέγονται καὶ διὰ τοῦ ᾱ Γαζᾶται, ὡς πολυίστωρ. ἔστι καὶ Γάζα τείχισμα Θρᾴκης.

Γάζακα, πόλις μεγίστη τῆς Μηδίας, ὡς Κοδάδρατος ἐν ὀγδόῳ Παρθικῶν. Ἀρριανὸς δὲ κώμην μεγάλην αὐτήν φησιν ἐν Παρθικῶν τετάρτῳ καὶ ἑνικῶς „τῆς Γαζάκου" λέγων. τὸ ἐθνικὸν Γαζακηνός, ὡς τοῦ Μάζακα Μαζακηνός.

Γάζος, πόλις Ἰνδική, κατὰ Διονύσου πολεμήσασα μετὰ Δηριάδου, λινοῦν ἔχουσα τεῖχος, καθὰ [Διονύσιος] ἐν τρίτῃ Βασσαρικῶν

Γήρειαν Ῥοδόην τε καὶ οἳ λινοτειχέα Γάζον...
τοῖόν μιν κλωστοῖο λινοῦ πέρι τεῖχος ἐέργει,

---

1. ἀπὸ R, ἐκ AV. 2. αὐτῆς seclusit M. Μινώα libri. 3. Ῥαδαμάνθυι M, Ῥαδαμάνθῃ (υ) R, Ῥαδαμάνθει A. 4. τὸ om. Π. 5. ὃν καὶ Salmasius, ὃ καὶ AR, καὶ V. Μαρνᾶν R, Μαρνάν AV. de Marna cf. Eckhel. DN. 3 p. 450. et Epiphanium Ancor. p. 109. c: Μαρνᾶς δοῦλος Ἀστερίου τοῦ Κρητὸς παρὰ Γαζαίοις. Κρηταγνῆ R. 6. τὰς παρθένους γὰρ] Corrupta haec et luxata. 10. 11. καὶ Αἰγιναῖοι — καὶ Γαζαῖοι add. ΠRV. 10. ἐναντίος R. 13. Εὐφορίων] Fr. 34. 15. Γαζακαι V. 17. παρθενικῶν Π, παρθενιῶν Pp. 19. πολεμήσασα RV, πολεμίσασα A. 20. Διονύσιος add. R. 21. Βασαρικῶν R. 22. Γήρειάν τε A. λινοτειχέα R et Falckenburgius, ...τείχεα AV. 23. κλωστοῖο R, κλαυστοῖο V, κλαυτοῖο A. ...χος V.

ἀστύφελον δηίοισι, καὶ εἰ παγχάλκεοι εἶεν,
εὗρος μὲν μάλα δή τι διαμπερὲς ὀργυιῇσιν
μετρητὸν πισύρεσσιν, ἀτὰρ μῆκός τε καὶ ἰθύν
ὅσσον ἀνὴρ δοιοῖσιν ἐν ἠελίοισιν ἀνύσσει,
ἠῶθεν κνέφας ἄκρον ἐπειγόμενος ποσὶν οἷσιν.

τὸ ἐθνικὸν Γάζιος.

Γάζωρος, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Γαζώριος· ἡ γὰρ Ἄρτεμις αὐτόθι Γαζωρία τιμᾶται.

Γαθεαί, πόλις Ἀρκαδίας, ἧς οἱ πολῖται Γαθεᾶται. Παυσανίας ὀγδόῳ „Γαθεάτᾳ τῆς Κρωμίτιδος χώρας".

Γαιτοῦλοι, ἔθνος Λιβύης. Ἀρτεμίδωρος Γαιτυλίους αὐτούς φησιν. ἡ χώρα Γαιτουλία, ἐν ᾗ μέγιστοι ἀσπάραγοι,

---

1. δῄοισι libri. εἶεν RV, ἦεν A. cf. oraculum apud Diodor. Exc. Vat. 7, 12: ἀλλ' οὐκ οἰκήσεις οὐδ' εἰ παγχάλκεος εἴῃς. 2. εὗρος μὲν R, ...ς μὲν V, ὡς vel ὃς μὲν P[a], ὧς μὲν A, ὕψος μὲν Salmasius. ὀργυιῇσι R, ὀργυῇσι AV. 3. πισσύρεσσιν αὐτὰρ V. μῆκός τε καὶ ἰθύν] Cf. Nicander Ther. 399: τρία δῶρα φέρων μῆκός τε καὶ ἰθύν. 4. ὅσον R. ἀνύσσει M, ἀνύσει R, ἄνυσσα ΠV, ἀνύσσα A. 5. κνέφας] Hoc ita omissa praepositione dici cum sine exemplo sit, fortasse ἠόθεν ἐς κνέφας scribendum, de qua forma infra dicendi locus erit. οἷσιν ΠV, ἧισι in οἷσι corr. R, οἷσι A. 7. Γάζωρος] Videtur eadem esse quae supra Ἄζωρος. 9. Γαθεαί RV, Γαθέαι A. 10. ὀγδόῳ] c. 34, 6: τούτῳ (Carnioni fluvio) μὲν δὴ αἱ πηγαὶ γῆς εἰσι τῆς Αἰπύτιδος ὑπὸ τοῦ Ἀπόλλωνος τοῦ Κερεάτα τὸ ἱερόν, τῷ Γαθεάτᾳ δὲ τῆς Κρωμίτιδος χώρας ἐν Γαθέαις. ubi cum de fluvio Gatheata sermo sit, probabile est epitomatorem post Γαθεᾶται omisisse verba Stephani: ἔστι καὶ ποταμὸς Γαθεάτας, vel παρόσον καὶ ποταμὸς λέγεται Γαθεάτας. Γαθεάτᾳ e Pausania scripsi pro Γαθεάται. 11. Γατοῦλοι R. Ἀρτεμίδωρος Γαιτυλίους] Eustath. ad Dion. Per. 215: Ἀθηνόδωρος Γαιτουλίους λέγει. Ἡρωδιανὸς δὲ προπαροξύνει λέγων ὅτι τὰ εἰς λος παραληγόμενα διφθόγγῳ διὰ τοῦ ου προπαροξύνεται. Herodianus igitur, cuius doctrinam non dubium est quin Eustathius ex Stephano derivaverit, Γαίτουλοι scribebat. pro Ἀθηνόδωρος recte Ἀρτεμίδωρος restituunt. 12. μέγιστοι RV, μεγάλοι A. illud in Stephano legit etiam Eustathius l. l. ἱστορεῖται δὲ μεγίστους ἀσπαράγους φύεσθαι παρ' αὐτοῖς.

πάχος μὲν Κυπρίου καλάμου, μῆκος δὲ ποδῶν δώδεκα, ὡς Ἀθήναιος ἐν δευτέρῳ δειπνοσοφιστῶν.

Γάλαδα, χώρα Ἀραβίας· καὶ Γαλαδηνή. Ἰώσηπος ἐν τετάρτῳ Ἰουδαϊκῆς ἀρχαιολογίας Γαλαδῖτίν φησι.

Γαλάδραι, πόλις Μακεδονίας ἐν Πιερίᾳ. Λυκόφρων „σῆναι Γαλάδρας τὸν στρατηλάτην λύκον". ἔστι καὶ ὄρος Γάλαδρος. ἀπὸ Γαλάδρου τοῦ Ἠμαθίου παιδός. οἱ δὲ ὅτι ὁ Γαλάδρας ἔκτισε τὴν πόλιν. ὁ πολίτης Γαλαδραῖος. Λυκόφρων „καὶ Γαλαδραῖον πέδον". τὸ κτητικὸν ἔδει Γαλαδραϊκόν. Πολύβιος δὲ ἐν τῷ ιγ' Γαλαδρικόν φησι.

Γαλάρινα, πόλις Σικελίας, κτίσμα Μόργου Σικελοῦ. λέγεται καὶ Γαλαρία χώρα. ὁ πολίτης Γαλαρῖνος καὶ Γαλαρίνη καὶ Γαλαριναῖος.

Γαλάται, πρὸς νότον τοῖς Παφλαγόσιν, ἀπὸ τῶν ἐν τῇ Κελτικῇ Γαλατῶν, οἳ πλανηθέντες πολὺν χρόνον καὶ καταλαβόντες τὴν χώραν οὕτως ὠνόμασαν. παρήχθη δὲ τὸ Γαλάτης ἐκ τοῦ Γάλλος ὑφέσει τοῦ ἑνὸς λ. καὶ Γαλατία ἡ χώρα.

Γαλεῶται, ἔθνος ἐν Σικελίᾳ ἢ ἐν τῇ Ἀττικῇ, ἀπὸ Γαλεώτου υἱοῦ Ἀπόλλωνος καὶ Θεμιστοῦς, τῆς θυγατρὸς Ζαβίου, τοῦ βασιλέως τῶν Ὑπερβορέων, ὡς εἰρήσεται ἐν τῷ περὶ Τελμησσοῦ. τινὲς δὲ ὅτι Γαλεῶται μάντεων εἶδος Σι-

---

1. ποδῶν M restituit ex Athen. 2 p. 62 d. πηχῶν libri. 4. τετάρτῳ] c. 5. ubi vitiose Γαλαδινή scriptum est, et 7. ubi Γαλαδηνῶν γῆ memoratur. fortasse igitur apud Stephanum ante Γαλαδῖτίν φησι alius scriptoris, e. c. Vranii vel Glauci, nomen excidit. 5. Λυκόφρων] vs. 1444. 6. σῆναι Γαλάδρας M, σιναὶ γαλάδρος A, σῖναι γαλάδρος PpRV, σιναι γαλαδρος Π, σᾶναι Γαράδρης X, ut legitur apud Lycophronem. cf. Tafel. Thessalon. p. 278. 7. ἠναθίου V. 8. ὁ ante Γαλάδρας add. PpRV. 8. 9. Λυκόφρων] vs. 1342. ubi legitur καὶ Καναστραῖος λέων, libri autem inter χαλαστραῖος, χαραδραῖος et χαλαδραῖος fluctuant. 10. ἐν τῷ ιγ' Schubartus, ἐν τῷ γ' R, ἐν τῷ Γῷ ΠV, ἐν τρίτῳ A. Γαλαδρικόν R, Γαλαδραικόν AV. 12. 13. Γαλαρήνη R. 18. Σικελίᾳ ἐν τῇ Αἴτνῃ Schubartus. 19. Γαλειώτου Schubartus, Γάλλου τοῦ R, Γαλεοῦ τοῦ A, γαλ'.. τοῦ V. 20. Ὑπερβοραίων V. 21. Τελμησσοῦ R, Τελμισσοῦ AV.

κελῶν. γαλεός δὲ καὶ ὁ ἀσκαλαβώτης. Φιλύλλιος Αἰγεῖ „ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας", ἴσως διὰ τὸ πεποικίλθαι παίζων. καὶ Ἄρχιππος Ἰχθύσιν „τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάττιοι; γαλεοί γε πάντων μάντεων σοφώτατοι". φασὶ δὲ τὸν Γαλεώτην ἐξ Ὑπερβορέων Τελμησσὸν [δὲ ἐκ... ἐλθεῖν] οἷς ἔχρησεν ὁ θεὸς ἐν Δωδώνῃ τὸν μὲν ἐπὶ ἀνατολὰς τὸν δ' ἐπὶ δυσμὰς πλεῖν, ὅπου τε ἂν αὐτῶν θυομένων ἀετὸς ἁρπάσῃ τὰ μηρία ἐνταῦθα βωμὸν ἱδρῦσαι. Γαλεώτης οὖν ἐν Σικελίᾳ καὶ Τελμησσὸς ἐν Καρίᾳ ἦλθεν, ἔνθα Ἀπόλλωνος Τελμησσίου ἱερόν.

Γαληψός, πόλις Θρᾴκης καὶ Παιόνων, Ἑκαταῖος Εὐρώπῃ. Θουκυδίδης τετάρτῃ ἑτέραν λέγει „καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη". [ὠνόμασται δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης.] τὰ δὲ εἰς ψος ὑπερδισύλλαβα ὀξύνεται, σκινδαψός (ὀργάνου ὄνομα καὶ κύριον, τίθεται καὶ κατ' οὐδενὸς ὡς τὸ τραγέλαφος) χεραψός Λυκαψός. ὁ πολίτης Γαλήψιος.

Γαλιλαῖοι, ἔθνος τῆς Ἰουδαίας.

Γαλλήσιον, πόλις Ἐφέσου, Παρθένιος ἐν ἐπικηδείῳ τῷ εἰς Αὐξίθεμιν. τὸ ἐθνικὸν Γαλλήσιος.

---

1. *καὶ* add. *ΠRV*. *Φιλύλλιος* Salmasius, *Φύλλιος* libri. 2. *διὰ τὸ πεποικίλθαι* R, *διαπεποίκιλται* A, *διαποπέσοικίλθαι* V. 3. *τί λέγεις σύ; μάντεις* PpV, *τί λέγεις. σὺ μάντις* AR. 4. *θαλάσσιοι* libri. *σοφώτατον* R. 5. *Γαλεώτην* Salmasius, *πρῶτον* libri. *δὲ ἐκ.... ἐλθεῖν* add. Schubartus. 8. *ἐνταῦθα βωμὸν* R, *βωμὸν ἐνταῦθα* AV. 8. 9. *ἐν Σικελίᾳ* et *ἐν Καρίᾳ* epitomatoris est graecitas. Stephanus *εἰς Σικελίαν* scripserat. 9. *Τελμισσὸς* et supra *Τελμισσὸν* libri. *ἦλθεν ἐν Καρίᾳ* RV. *Τελμησσίου* AV, *Τελμισίου* R. 12. *τετάρτῃ*] c. 107. *ἑτέραν*] Imo eadem quae superior, ut monuit iam H. 13. *ἤσυμη* V. 13. 14. *ὠνόμασται — Τηλέφης* ex Etym. M. p. 219, 45, qui Stephanum exscripsit, add. B. 14. *εἰς* RV, *ἐς* A. 15. *κακῦρ* pro *καὶ κύριον* *Π*. 16. *χορδαψός* pro *χεραψός* scribendum suspicor. morbi id nomen est. ac confirmat Arcad. p. 85, 12. coniungens *καλυψός* (*Λυκαψός*) *κινδαψός χορδαψός*. 18. *ἐκτὸς* Salmasius. 19. *ὄρος Ἐφέσου?* cf. Anall. Alex. p. 260. add. Nicephorum Hist. Byz. 4, 8: *ἀπράγμονι βίῳ κατὰ τὸ Γαλλήσιον ὄρος συνεζηκώς.* *ἐπικοδείω* V. 20. *εἰς* om. V.

Γαλλία, ἐντὸς Ἄλπεων χώρα. οἱ οἰκήτορες Γάλλοι.

Γάλλος, ποταμὸς Φρυγίας. οἱ περίοικοι κατὰ μὲν Τιμόθεον Ποταμογαλλῖται, κατὰ δὲ Προμαθίδαν Ποταμογαλληνοί, οὓς παρατίθεται ὁ πολυίστωρ ἐν τῷ περὶ Φρυγίας τρίτῳ· καὶ ὅτι τὸν Γάλλον καὶ τὸν Ἄττιν ἀποκόψαι τὰ αἰδοῖα, καὶ τὸν μὲν Γάλλον ἐλθεῖν ἐπὶ τὸν Τηρίαν ποταμὸν καὶ οἰκῆσαι καὶ τὸν ποταμὸν Γάλλον καλέσαι. ἀπ' ἐκείνου γὰρ τοὺς τεμνομένους τὰ αἰδοῖα γάλλους καλοῦσι.

Γάμαλα, κατοικία Συρίας. ὁ οἰκήτωρ Γαμαλεύς. Ἰώσηπος ἐν τετάρτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Γάμβρειον, πόλις Ἰωνίας. τὸ ἐθνικὸν Γαμβρειεὺς ὡς Σιγειεύς. γράφεται δὲ διὰ διφθόγγου, ὡς δηλοῖ τὸ Γαμβρήιον.

Γανδάραι, Ἰνδῶν ἔθνος. Ἑκαταῖος Ἀσίᾳ. λέγονται καὶ Γανδάριοι παρ' αὐτῷ καὶ Γανδαρικὴ ἡ χώρα.

Γάνδροι, ἔθνος Πάρθων ἀντιταχθὲν Διονύσῳ, ὡς Διονύσιος Βασσαρικῶν τετάρτῳ. Ἑκαταῖος δὲ Γανδάρας αὐτοὺς καλεῖ.

Γαράμαντες, ἔθνος Λιβύης. Ἡρόδοτος τετάρτῃ „οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίαν".

Γάργαρα, πόλις τῆς Τρωάδος ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης, Παλαιγάργαρος καλουμένη, ἣν Αἰολικὴν ὀνομάζει Στράβων καὶ Ἑκαταῖος. Ἀλκμὰν δὲ θηλυκῶς τὴν Γάργαρόν φησιν. ἐν

---

2. 3. *κατὰ μὲν Τιμόθεον Ποταμογαλλῖται κατὰ δὲ* add. R. Timotheum dicit eum qui scripsit de fluviis, de quo cf. Plutarchus de flum. p. 1152. et Cosmas apud Maium Spic. Rom. vol. 2 p. 333. 3. *Ποταμογαληνοί* R. 6. *Τύραν* H, *Τυρίαν* X. 7. *καλέσθαι* V. *ἀπ' ἐκείνου* R, *ἀπὸ ἐκείνου* A, om. V. *γοῦν* pro *γὰρ?* 9. *Γαμάλη* V. 10. *ἐν τῷ δ' Ἰουδαϊκῆς ἀρχαιολογίας* V, *ἀρχαιολογίας δ'* R. Iosephi locus est IB. 4. in. 11. *Γαμβρεῖον* libri, [*Γάμβριον ἢ*] *Γάμβρειον* Lobeck. Paral. p. 26. 12. *δὲ* om. R. *Γαμβρήιον* poetae esse videtur, qui dixerit *Γαμβρήιον ἄστυ.* 13. *Γάνδαρα* libri, correxit Salmasius. 14. *Γανδάρειοι* R. 15. *Ἰνδῶν* pro *Πάρθων* X. 16. *Γάνδαρας* R. 18. *τετάρτῃ*] c. 174: *οὗτοι πάντα ἄνθρωπον καὶ παντὸς ὁμιλίην φεύγειν λέγονται.* 21. *Παλαιγάργαρος* R, *πάλαι Γάργαρος* A, *πάλαι γὰρ Γάργαρος* V. *Στράβων*] 13 p. 583. 610.

ἣ κατῴκουν Λέλεγες. ὠνομάσθη δ' ἀπὸ Γαργάρου τοῦ Διός, τοῦ ἐκ τῆς Θεσσαλίας, ἐν Λαρίσσῃ. ἐκεῖ καὶ Διότιμος ὁ Ἀδραμυττηνὸς ἐδίδασκε γράμματα, εἰς ὃν Ἄρατος εἶπεν „αἰάζω ὅτι μοῦνος ἐνὶ πέτρῃσι κάθηται παισὶν Γαργαρέων βῆτα καὶ ἄλφα λέγων". καὶ Γάργαρα ἄκρα. Ἐπαφρόδιτος δέ φησιν ὅτι ἡ μὲν πόλις θηλυκῶς λέγεται, τὸ δ' ἀκρωτήριον οὐδετέρως. Ἑλλάνικος δὲ Γάργασον ἔφη τὴν πόλιν διὰ τοῦ σ, ἀλλ' οἴομαι σφάλμα εἶναι. ἔστι καὶ Λαμψάκου πολισμάτιον Γάργαρον. ἔστι καὶ ἑτέρα τῆς Ἰταλίας, καὶ τῆς Ἠπείρου ἄλλη. τὸ ἐθνικὸν Γαργαρεύς, καὶ θηλυκῶς Γαργαρίς.

Γαργαρεῖς, ἔθνος ὃ μίγνυται ταῖς Ἀμαζόσιν, ὡς Στράβων ιά. τὸ θηλυκὸν Γαργαρίς κατὰ τέχνην ὡς Μεγαρίς, κατὰ δὲ τὸ ἐπιχώριον Γαργαρηνή.

Γάργη, πόλις Λιβύης, ὡς πολυίστωρ ἐν τρίτῃ Λιβυκῶν. τὸ ἐθνικὸν Γαργαῖος ὡς Βεργαῖος, τῷ τύπῳ δὲ Γαργίτης.

Γαργηττός, πόλις καὶ δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Γαργήττιος. Ἐπίκουρος Νεοκλέους Γαργήττιος. τὸ ἐκ τόπου Γαργηττόθεν, καὶ τἆλλα ἀκολούθως, Γαργηττόνδε καὶ Γαργηττοῖ. ὀξύνεται δὲ τὸ Γαργηττός ὡς Ὑμηττός Λυκαβηττός. ἐνταῦθά φασι τὸ τοῦ Εὐρυσθέως κεῖσθαι σῶμα.

Γαστρωνία, χώρα Μακεδονίας, Θεόπομπος νδ'.

---

1. ὠνομάσθη] Haec nescio quis ita paullo melius scripta in Suidam intulit: ὠνομάσθη δὲ ἀπὸ Γαργάρου τοῦ Διὸς καὶ Λαρίσσης τῆς ἐν Θεσσαλίᾳ. quae cum ab omnibus Suidae codd. abessent merito delevit, Gaisfordo praeeunte, Bernhardy vol. 1 p. 1072. δὲ ἀπὸ R. 2. ἐκεῖ καὶ RV, ἐκεῖ δὲ A. 3. 4. αἰάζω Διότιμον ὃς ἐν πέτραισι Anth. Pal. 11, 437. 4. Γαργαρέων παισὶν Anth. 5. Γάργαρον H. ἄκρα om. V. 6. θηλυκὸν (ως) R. τὸ δὲ RV. 7. γὰρ γάσον V. 9. ἀπείρου V. 11. Γαργαρίς R. 12. ιά (p. 504) ΠRV, τεσσαρεσκαιδεκάτῃ A. κατὰ τέχνην ὡς Μεγαρίς om. R. 13. καὶ τάδε pro κατὰ δὲ V. 14. Λυβικῶν R. 15. τῷ τύπῳ] i. e. τῷ ἐγχωρίῳ τύπῳ, ut s. v. Βύζαντες. 16. Γαργητός R. 17. Γαργήτιος R. 18. Γαργηττόθεν Salmasius, Γαργιτίηθεν libri. 19. καὶ ante Γαργηττοῖ add. R. Γαργῆται V. ὁ τὸ pro ὀξύνεται δὲ τὸ V. 20. τοῦ om. ΠRV. 21. Γαστρωνία e Γραστωνία corruptum. νδ' R, εἰκοστῇ τετάρτῃ A, κδ' V.

Γαυγάμηλα, τόπος Περσίδος. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ.

Γαῦλος, νῆσος πρὸς τῇ Καρχηδόνι. Ἑκαταῖος περιηγήσει. ὁ νησιώτης Γαυλίτης.

Γέα, πόλις πλησίον Πετρῶν ἐν Ἀραβίᾳ, ὡς Γλαῦκος ἐν Ἀραβικῇ ἀρχαιολογίᾳ. τὸ ἐθνικὸν Γέιος. ἐν Πέτραις δ' ἐπιχωριάζειν κύριον ὄνομα τὸ Γέσιος. ὅθεν ἦν ὁ περιφανὴς τῶν ἰατρῶν σοφιστής, ἴσως ἐντεῦθεν κεκλημένος. κατὰ ἀναλογίαν δ' ἔδει Γεάτης ὡς Τεγεάτης. ἔοικε δὲ Γεήσιος προϋπάρχειν, ὡς τὸ Ἰθακήσιος, καὶ κατὰ συγκοπὴν Γέσιος.

Γέβαλα, τρίτη μοῖρα τῆς Παλαιστίνης. Ἰώσηπος. τὸ ἐθνικὸν Γεβαληνός ὡς Δαρηνός Ἀδαρηνός. Γεβαληνή τε καὶ Ἀμαληκῖτις ἡ τῶν Ἰδουμαίων χώρα μετωνομάσθη.

Γεβεωνῖται, ἔθνος πλησίον Ἱεροσολύμων, ὡς Ἰώσηπος.

Γεδρωσία χώρα καὶ Γεδρώσιοι ἔθνος Ἰνδικόν. Διονύσιος περιηγήσει „τῶν δὲ πρὸς ἀντολίην Γεδρωσῶν ἕλκεται αἶα", οὐκ οἶδ' ὅθεν κλίνας. ἐν δὲ τοῖς τοῦ πολυΐστορος διὰ τοῦ κ εὑρέθη ἡ πρώτη συλλαβή, ἀλλ' ἦν ἀδιόρθωτον τὸ βιβλίον.

Γέλα, πόλις Σικελίας. ἡ γενικὴ Γέλας. τὸ δὲ Γέλης ἰωνικόν. καλεῖται δὲ ἀπὸ ποταμοῦ Γέλα, ὁ δὲ ποταμὸς ὅτι πολλὴν πάχνην γεννᾷ· ταύτην γὰρ τῇ Ὀπικῶν φωνῇ καὶ Σικελῶν γέλαν λέγεσθαι. Πρόξενος δ' ἐν πρώτῃ τῶν περὶ

---

5. ante Γέα in ΠR ἀρχὴ τοῦ ιά βιβλίου. Γεά V. 6. Γέιος V, Γεῖος superscr. ῑ R, Γέσιος A, Γέσσιος PpV, de qua forma v. G. Dindorfium Thes. vol. 2 p. 591. 6. 7. ἐπιχωριάζειν R, ἐπιχωριάζει AV. 7. Γέσιμος R. 7. 8. περιφανέστατος ἰατροσοφιστής Valesius ad Socrat. H. E. 7, 13. cll. Suida v. Γέσιος. 9. δὲ ἔδει R. ὡς Τεγεάτης om. R. 10. Γέσσιος V. 11. μοῖρα τῆς τρίτης Παλαιστίνης H. Ἰώσηπος] Al. 2, 1. 12. Δαρηνός M, Βαρηνός libri. Ἀδαρηνός add. PpRV. 13. Ἀμαληκῖτις H, Αἰμανῖτις libri. cf. intpp. Iosephi Al. 2, 1. 14. Ἰώσηπος] Al. 5, 1. ubi Γαβαωνῖται. 16. περιηγήσει (vs. 1086) PpR, περιηγητής A. ἀνατολίην RV. 17. οἶδ' ὅθεν RV, οἶδα ὅθεν A. 21. ἰωνικῶς ΠV. 22. γεννᾷ πάχνην R. 22. 23. Σικελικῶν R.

πόρων Σικελικῶν καὶ Ἑλλάνικος ἀπὸ Γέλωνος τοῦ Αἴτνης καὶ Ὑμάρου. Ἀρισταίνετος δ' ἐν πρώτῃ τῶν περὶ Φασήλιδα, ὅτι Λάκιος καὶ Ἀντίφημος ἀδελφοὶ ἐλθόντες εἰς Δελφοὺς μαντεύσασθαι, τὴν δὲ Πυθίαν οὐδὲν περὶ ἐκείνων λέγουσαν προστάσσειν τὸν Λάκιον πρὸς ἀνατολὰς ἡλίου πλεῖν. τοῦ δ' Ἀντιφήμου γελάσαντος τὴν Πυθίαν εἰπεῖν πάλιν „ἐφ' ἡλίου δυσμῶν", καὶ Γέλαν πόλιν οἰκίσαι. τὸ ἐθνικὸν Γελῷος, οὐ Γελαῖος, ὡς Ἄβρων καὶ ἡ συνήθεια. καὶ ἴσως ἀπὸ τοῦ γέλως τὸ Γελῷος.

Γελωνός, πόλις Σαρματίας τῆς ἐν Εὐρώπῃ, ἀπὸ Γελωνοῦ τοῦ Ἡρακλέους, τοῦ Ἀγαθύρσου ἀδελφοῦ. ὁ οἰκήτωρ ὁμοφώνως. ὀξύνεται δέ. ἔστι δὲ ἡ πόλις ξυλίνη, κειμένη ἐν Βουδίνοις, ἔθνει μεγάλῳ, ὡς Ἡρόδοτος. παρὰ τούτοις ζῷον θαυμάσιον ὃ ὀνομάζεται τάρανδος, καὶ μεταβάλλει τὰς χρόας

---

1. *πόρων* A et marg. R, *πύρρον* Π, *πύρρων* PpRV, *πόλεων* Salmasius. *Αἴτνου* (*ης* superscr.) R, *Αἴτνου* PpΠV. 2. *Ὑμέρου* Π. fortasse *Ἱμέρου* scribendum, ab *Ἱμέρας*, quod aptius videtur quam *Ὑχάρου*, quod olim conieci Exerc. phil. in Athen. 1 p. 27. *Ἀρισταίνετος*] Hic idem esse videtur quem ad partes vocat Cosmas in Maii Spicil. Rom. vol. 2 p. 179. 3. 4. *ἐμαντεύσαντο*? sed praestat balbutienti epitomatori suam relinquere scabritiem. post *μαντεύσασθαι* exciderunt ea de quibus Pythia interrogata erat. 4. *οὐδὲν* R, *οὐδ' ἂν* AV. 5. *προστάσσει* libri. *τοῦ δὲ* RV. 6. *ἐφ'* R, sed in marg. ab alia manu *ἀφ'*, ut vulgo. 7. *Γέλαν* Bochartus, *ἣν ἂν* libri. *οἰκίσαι* M, *οἰκήσῃ* AR, *οἰκίσῃ* V. 7. 8. *Γελαῖος οὐ Γελῷος* ante Cluverum, *Γελαῖος καὶ* (vel *ἢ*) *Γελῷος* H. 8. *Ἄκρων* R. 10. *Γελωνός* Pp, *Γελωνοί* RV, *Γελωνόν* A. *Ἀρματίας* libri, correctum ex Eustathio ad Dionys. Per. 310: *ὁ τὰ ἐθνικὰ γράψας οὕτω φησί „Γελωνοί πόλις Σαρματίας, ἀπὸ Γελωνοῦ, ὃς Ἀγαθύρσου μὲν ἦν ἀδελφὸς Ἡρακλέους δὲ υἱός. ἔστι δὲ περὶ αὐτοὺς πόλις ξυλίνη μεγάλη κατὰ Ἡρόδοτον, κειμένη ἐν Βουδίνοις, ἔθνει μεγάλῳ. παρὰ τούτοις ζῷον λέγεται θαυμάσιον γίνεσθαι, τὸ μέγεθος ὅσον βοός, ἐοικὸς τὸν τοῦ προσώπου τύπον ἐλάφῳ, καλούμενον τάρανδος, δυσθήρατον διὰ τὴν μεταβολήν. μεταβάλλει γὰρ τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν τόπον εἴη, καὶ ἀλλοιοῦται, καθὰ καὶ ὁ χαμαιλέων καὶ ὁ πολύπους".* *ἐν Εὐρώπῃ* R, *Εὐρώπης* A. 12. *κειμένη* om. R. 13. *Ἡρόδοτος*] 4, 108.

τῶν τριχῶν καθ' ὃν ἂν τόπον ᾖ. ἔστι δὲ δυσθήρατον διὰ τὴν μεταβολήν· οἵοις γὰρ ἂν ᾖ τόποις, τοιοῦτος γίνεται τὴν τρίχα. καὶ θαῦμα· ὁ γὰρ χαμαιλέων καὶ ὁ πολύπους τὴν χρόαν μεταβάλλει. τὸ μέγεθος βοός, τοῦ προσώπου τὸν τύπον [ἐοικὸς] ἐλάφῳ, ὡς Ἀριστοτέλης πέμπτῳ θαυμασίων ἀκουσμάτων.

Γενέα, κώμη Κορίνθου, ὁ οἰκήτωρ Γενεάτης. ἀφ' οὗ παροιμία „εὐδαίμων ὁ Κόρινθος, ἐγὼ δ' εἴην Γενεάτης". τινὲς τὰς ἀπὸ ταύτης καλοῦσι Γενειάδας, ὡς Παρθένιος. τινὲς δὲ Τενέα γράφουσι.

Γενέση, πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Γενεσαῖος ὡς Τεμεσαῖος. ἄμεινον δὲ διὰ τὴν χώραν Γενεσάτης.

Γενήτης, λιμὴν καὶ ποταμὸς [Καππαδοκίας]. Ἀπολλώνιος ἄκραν Γενηταίαν φησί. Σοφοκλῆς ποταμὸν Γένητα φησίν. ἔστιν οὖν ἐκ τῆς Γένητος γενικῆς Γενηταῖος καὶ Γενηταία ἄκρα. καὶ τὸ Γενήτης ἐκ τῆς Γένητος, ὡς τῆς Οἰδίποδος Οἰδιπόδης καὶ τρίποδος τριπόδης. Ἡρωδιανὸς δὲ „ὡς τὸ σεληναία ἁμαξαία" φησί.

Γενόα, πόλις τῶν Λιγύρων Ἰταλίας καλουμένη νῦν .... ὡς Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Γενοάτης.

Γενοαῖοι, ἔθνος Μολοσσίας, ἀπὸ Γενόου ἄρχοντος αὐτῶν, Ῥιανὸς τετάρτῃ Θεσσαλικῶν.

---

2. διὰ τὴν μεταβολήν om. R. οἷς R. an οἷος — τόπος? 3. καὶ [οὐ] θαῦμα Salmasius. an καθὰ γὰρ ὁ χαμαιλέων? καὶ ὁ V, καὶ AR. 4. μεταβάλλειν Π. 5. ἐοικὸς add. ex Eustathio. πέμπτῳ] περὶ X, ε RV, imo τῇ p. 63. Beckm. 7. Γενεά vulgo. Κορίνθιος pro Κορίνθου Π. 8. Κορίνθιος libri. 9. Γενειάδας] Vid. Anall. Alex. p. 287. 10. Τενεά vulgo. 11. Λακωνική R. 11. 12. ὡς Τεμεσαῖος add. RV. 12. Γενεσάτης R, Γενεστάτης AV. 13. Γενίτης Π. Καππαδοκίας add. M. 13. 14. Ἀπολλώνιος] Argon. 2, 378. 14. ποταμὸν Salmasius, ποταμὸς libri. 15. Γενηταία] Cf. Lobeck. Paral. p. 315. 17. δὲ om. V. τὸ om. R. 19. Λιγυρῶν AV, Ἰλλυριῶν R. Ἰταλίας Cluverus, libri Σταλία. idem indicatam lacunam probabiliter explet addendo Ἰάνουα. Italiae nomine nostrum etiam Liguriam complecti intelligitur ex iis quae s. v. Δεκίητον leguntur. cf. Spanhem. ad Iulian. p. 255. 21. Γενοαῖος V.

Γέντα, πόλις Ἰνδικὴ τῆς ἐκτὸς Γάγγου. τὸ ἐθνικὸν Γενταῖος.

Γεντῖνος, πόλις Τρωάδος, κτίσμα τινὸς τῶν Αἰνείου παίδων. οἱ οἰκοῦντες Γεντίνιοι.

Γεραιστός, κώμη Εὐβοίας, ἐν ᾗ ἱερὸν Ποσειδῶνος, ἀπὸ Γεραιστοῦ τοῦ υἱοῦ τοῦ Διός. καὶ οἱ ἄνθρωποι Γεραίστιοι, καὶ Γεραιστία τὸ θηλυκὸν καὶ Γεραιστίς, καὶ Γεραίστιον οὐδετέρως.

Γεράνεια, πόλις Φρυγίας. ἔστι καὶ ὄρος μεταξὺ Μεγάρων καὶ Κορίνθου, ἀφ' οὗ ἥλατο Ἰνὼ φεύγουσα τὸν Ἀθάμαντα. τὸ πρωτότυπον Γεράνη, ἐξ ἧς Γεράνεια. τὸ ἐθνικὸν Γερανεύς, ἢ Γερανειάτης τῷ τύπῳ τῆς χώρας.

Γεράνθραι, πόλις Λακωνικῆς, Παυσανίας τρίτῳ. ὁ πολίτης Γερανθράτης, ὡς αὐτὸς Παυσανίας.

Γέρασα, πόλις τῆς κοίλης Συρίας, τῆς δεκαπόλεως. ἐξ αὐτῆς Ἀρίστων ῥήτωρ ἀστεῖός ἐστιν, ὡς Φίλων, καὶ Κήρυκος σοφιστὴς καὶ Πλάτων νομικὸς ῥήτωρ, πᾶσαν παίδευσιν ὡς μίαν ἀποστοματίζων καὶ ἐν συνηγορίαις καὶ παρεδρευταῖς καὶ θρόνοις τὴν ὀρθότητα τῶν νόμων ἐπιτηδεύων. τὸ ἐθνικὸν Γερασηνός, ὡς Μήδαβα Μηδαβηνός.

Γέργις, πόλις Τροίας. καὶ κλίνεται Γέργιθος. λέγεται καὶ ἡ Γέργιθος εὐθεῖα ἀπὸ γενικῆς, ὡς Τροίζηνος. ὁ πολίτης Γεργίθιος, τὸ θηλυκὸν Γεργιθία· ἀφ' οὗ Γεργιθία ἡ χρησμολόγος Σίβυλλα, ἥ τις καὶ ἐτετύπωτο

---

1. *ἐντὸς* V. 5. *Εὐβοίας* add. V. 8. *οὐδετέρως* RV, *οὐδέτερον* A. 10. *Ἀδάμαντα* R. 11. *ἐξ οὗ?* 12. *Γερανειώτης* V. 13. *Γεράνθραι* RV, *Γεράνθαι* A. *τρίτῳ*] c. 2, 6. at ibid. 21, 7. 22, 6. nomen urbis *Γερόνθραι* scribitur. 14. *Γερανθράτης* B, *Γερανθρώτης* AV, *Γερανθώτης* R. *Παυσανίας*] 3, 2, 6. ubi cod. Lugd. b. habet *Γερονθρᾶται*, cuius formae aliud exemplum habet titulus Laconicus apud Boeckh. 1 p. 652 no. 1334. 15. *δεκαπόλεως* Salmasius, *τεσσαρεσκαιδεκαπόλεως* AV, *τεσσαρεσκαίδεκα πόλεως* R. 16. *ἐστιν* add. RV. 18. *παρεδρίαις* B. 20. *Μήδαβα* om. Π. *Μηδαμηνός* RV. 21. *καὶ* om. V. 23. *ἐθνικὸν* pro *θηλυκὸν* R. 24. *ἐτετύπωτο* R, *ἐτύπωτο* V, *τετύπωτο* A.

ἐν τῷ νομίσματι τῶν Γεργιθίων αὐτή τε καὶ σφίγξ, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ά. ἐν δὲ τῷ ἱερῷ τοῦ Γεργιθίου Ἀπόλ-

---

1. *ἐν τῷ νομίσματι τῶν Γεργιθίων*] De Sphinge in numis Gergithiorum v. Sestini Dissert. numism. Contin. T. 1. p. 88. cll. Mionnet Descr. de méd. Suppl. T. 5. p. 359. *σφίγξ* RV, *ἡ σφίγξ* A. 2. *Ὀλυμπιάδων*] Schubartus *ὀλυμπιάδι*. Phlegontis enim annales, duplice Olympiadum et Chronicorum titulo inscriptos, Stephanum non secundum libros citare, sed secundum olympiades. sane hoc fecit plerumque: non constanter fecisse ipsi illi, quos vir praestantissimus ad ceterorum normam refingi voluit, loci ostendunt certissime, velut s. v. *Ὀλυμπίειον· κτίσαντες Ἀθηναῖοι χρήμασιν Ἀδριανοῦ νέας Ἀθήνας Ἀδριανὰς ἐκάλεσαν, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιέ.* eam rem Phlego, nisi, quod non verisimile est, extra temporis ordinem commemoratam dicas, olympiade decima quinta memorare non potuit. recte igitur librum decimum quintum citari dicemus, in quo res ad Adrianum spectantes expositas fuisse certum est. nec minus recte legitur s. v. *Τερβητία· πόλις Σικελίας. Φλέγων ἐν Ὀλυμπιάδων ιέ.* et s. v. *Φουρνῖτα· πόλις Λιβύης. Φλέγων ιέ τῶν Ὀλυμπιάδων.* etsi enim de Terbetia et Phurnita, Siciliae et Africae urbibus, nihil aliunde cognitum habemus, haud inepte tamen novitias urbes fuisse earumque memoriam item ad Adrianum spectasse conicias, quem Siciliam Africamque identidem adiisse compertum habemus. iam dubitari non potest quin s. v. *Νεοκαισάρεια,* [*πόλις*] *Ποντική. τὸ ἐθνικὸν Νεοκαισαρεύς, ὡς Φλέγων ιέ ὀλυμπιάδι*, scribendum sit *Ὀλυμπιάδων*. Neocaesarea enim Pontica eadem est quae ab Adriano Adrianopolis dicta est. itaque huius quoque urbis memoria ad Adrianum referenda est. nec minus dubitandum quin vitiose in libris legatur s. v. *Αὔγουσται, πόλεις ἐν Κιλικίᾳ καὶ Ἰταλίᾳ. οἱ πολῖται Αὐγουσταυοί. Φλέγων ἐν ὀλυμπιάδι ή.* ubi nunc *Ὀλυμπιάδων* edidimus. vitiose item editur s. v. *Σκορδίσκοι καὶ Σκίρτιοι, ἔθνη Παιονίας, ὡς Φλέγων ιέ ὀλυμπιάδι.* quae item ad Adrianum spectant, cui plurimum fuisse cum Paeonia commercii notissimum est. denique eadem emendatio adhibenda erat nostro p. 177, 17. sive apud Const. Porph. Them. p. 63: *μαρτυρεῖ δὲ καὶ Φλέγων ἐν ὀλυμπιάδι πεντεκαιδεκάτῃ ὅτι ἐβασιλεύετο ὁ Βόσπορος Κότυϊ τῷ Βοσποριανῷ βασιλεῖ, ᾧ καὶ διάδημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ.* ubi Caesar iterum est Adrianus. v. Visconti Icon. 2 p. 218. et Cary hist. des rois de Bosph. p. 60 sqq. ceterum, cum semel hoc argumentum ingressus sim, non recte apud Suidam Phlegontis opus sedecim libris constitisse dicitur: *ἔγραψεν Ὀλυμπιάδας ἐν βιβλίοις ις'.* cum enim Photio teste (Bibl. 97 p. 83.) Phlegon ultimo libro Adriani historiam explicuerit, Stephani autem loci omnes ad Adrianum spectantes e libro decimo quinto afferantur,

λωνος Σιβύλλης φασὶν εἶναι τάφον. ἔστι καὶ ἄλλο Γεργίτης καὶ θηλυκῶς Γεργῖτις. ἔστι καὶ Γεργιθεύς.

Γέρην, πόλις ἢ κώμη Λέσβου, ἀπὸ Γέρηνος τοῦ Ποσειδῶνος. [τὸ ἐθνικὸν ὁμοφώνως] καὶ θηλυκῶς Γερηνίς.

Γερηνία, πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν ά καταλόγων „κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις". ἀπὸ εὐθείας τῆς Γέρηνος. καὶ αὖθις „Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ". ἐξ ἧς εὐθείας, τῆς ἡ Γέρηνος, τὸ Γερηνεύς ὡς τοῦ Ἄλος Ἀλεύς, καὶ ἐξ αὐτοῦ Γερηνία καὶ Γερήνιος.

Γερμανίκεια, πόλις Εὐφρατησίας. Κουάδρατος ἐν τρίτῃ Παρθικῶν χωρίον αὐτήν φησιν. ὁ πολίτης Γερμανικεύς.

Γέρμαρα, Κελτικῆς ἔθνος, ὃ τὴν ἡμέραν οὐ βλέπει, ὡς Ἀριστοτέλης περὶ θαυμασίων, τοὺς δὲ Λωτοφάγους καθεύδειν ἑξάμηνον.

Γέρμη, πόλις Ἑλλησποντία πλησίον Κυζίκου, ἣν Ἡρωδιανὸς Ἀσίας φησίν. ὁ πολίτης Γερμηνός καὶ Γερμηνή.

Γερούνιον, πόλις Ἰταλίας. Κουάδρατος δὲ Γερυνίαν ταύτην καλεῖ. τὸ ἐθνικὸν Γερουνῖνος.

---

efficitur Suidae numerum corruptum et ιέ scribendum esse pro ις'. de numero olympiadum, quas singuli amplissimi operis libri complexi sint, qui quaerere instituit Meursius, non debebat negligere luculentum testimonium Photii, primos quinque libros ad olympiadem centesimam septuagesimam pertinuisse disertim affirmantis, ex quo totam eius computationem convelli intelligitur. sed de his non iam dicendi locus est. 4. τὸ ἐθνικὸν ὁμοφώνως add. M. 5. φασὶ add. RV. 6. ἐν ά add. PpΠRV. 7. κτεῖνε δὲ R, κτεῖναι δὲ PpΠV, κτεῖναι A. 9. Γερήνιος V. 10. ἀνθεμο....νωί V. 11. τοῦ M, τὸ R, om. AV. ἄλιος ἀλιεύς AR, om. V, nisi quod de postrema voce superest ευς. corr. B. 12. αὐτοῦ ΠRV, αὐτῆς A. 15. Γέρμερα RV. an Γερμέραι? οὐ βλέπει om. V. 18. ἣν om. R. 18. 19. Ἡρωδιανὸς] Hinc supple Arcad. p. 110. 20. Γερυνίαν PpΠV, Γερηνίαν AR. 21. Γερουνῖνος RV, Γερουνινός A.

Γέρρα, πόλις Χαλδαίων. τὸ ἐθνικὸν Γερραῖος, καὶ θηλυκὸν Γερραία καὶ Γερραΐς ὡς Θηβαΐς.

Γέρρος, τόπος καὶ ποταμὸς προσεχὴς τῷ Βορυσθένει. ὁ πολίτης Γέρριος.

Γετία, ἡ χώρα τῶν Γετῶν. Γέτης γὰρ τὸ ἐθνικόν, οὐ τὸ κύριον. ἔστι δὲ Θρᾳκικὸν ἔθνος. ἔστι καὶ θηλυκῶς Γέτις· οὕτως γὰρ ἐκαλεῖτο ἡ γυνὴ τοῦ Φιλίππου τοῦ Ἀμύντου. καὶ κτητικῶς λέγεται Γετικός, ἀφ' οὗ Κρίτωνος Γετικά, καὶ θηλυκὸν Γετική. νόμοι δὲ Γετῶν τὸ ἐπισφάζειν τὴν γυναῖκα τῷ ἀνδρὶ καὶ ὅταν ἐπικηρυκεύωνται κιθαρίζειν. Ἀρριανὸς δὲ Γετηνοὺς αὐτούς φησι.

Γέφυρα, πόλις Βοιωτίας. τινὲς δὲ τοὺς αὐτοὺς εἶναι καὶ Ταναγραίους φασίν, ὡς Στράβων καὶ Ἑκαταῖος. ἀφ' οὗ καὶ Γεφυραία ἡ Δηώ.

Γεφυρώτη, πόλις Λιβύης. τὸ ἐθνικὸν Γεφυρωταῖος, ἢ Γεφυρωτίτης διὰ τὸν τύπον.

Γῆ, ἀπὸ τοῦ γέα κραθέν· ἀφ' οὗ τὸ γέγειος κτητικὸν πλεονασμῷ τοῦ γ̄. ἢ παρὰ τὸ γῆ γήιος, ἀφ' οὗ καὶ γηίτης ὁ αὐτόχθων καὶ γῆν οἰκῶν, καὶ γήινος μετουσιαστικόν. λέγεται

---

1. τὸ ἐθνικὸν R, ὁ πολίτης AV. 3. Βορυσθένη R. 4. Γερρῆος R. 5. οὐ] καὶ H. fort. οὗ i. e. ἀφ' οὗ. 6. Γέτις Salmasius, Γέτης libri. dicit Medopam Gothilae filiam, memoratam ab Iornande R. Goth. 10. p. 91. Lind. Philippus quoque pater Alexandri M. cum Gothis amicitiam copulans Medopam Gothilae filiam regis accepit uxorem, ut tali roboratus affinitate Macedonum regna firmaret. 7. ἡ om. R. τοῦ ante Φιλίππου om. V. 8. γετικῶς R. 9. νόμοι δὲ] Eustathius ad Dionys. Per. 304: νόμος δὲ Γετικὸς ἐπισφάζεσθαι τὴν γυναῖκα τῷ ἀνδρὶ θανόντι καὶ κιθαρίζειν ὅταν ἐπικηρυκεύωνται. 10. ἐπικηρυκεύωνται RV, ἐπικηρυκεύονται A. καθαρίζειν PpV. 11. Γετηνοὺς] cf. Anal. Alex. p. 205. et Lobeck. Path. p. 194, 5. 12. 13. τινὲς δὲ τοὺς αὐτοὺς εἶναι καὶ Ταναγραίους φασίν RV, φασί τινες καὶ τοὺς αὐτοὺς καὶ Ταναγραίους H, τοὺς αὐτοὺς δέ φασι καὶ Ταναγραίους A. 13. Στράβων] 11 p. 404. Ἑκαταῖος. [τὸ ἐθνικὸν Γεφυραῖος,] ἀφ' οὗ? 14. ἡ Δηώ Meursius, ἡ ἠώ R, ἡδύν AV. 15. Γεφυρώπη R. 17. γέα] γαῖα R. 18. γήιος Salmasius, γέγειον PpRV, γέγειος A.

καὶ γήπεδον τὸ πρὸς τοῖς οἴκοις ἐν πόλει κηπίον, ὅπερ οἱ τραγικοὶ διὰ τοῦ ᾱ φασὶ διορίζοντες. „διαφέρει γήπεδον οἰκοπέδου· οἰκόπεδον γὰρ οἰκίας ἐστὶ κατερριμμένης ἔδαφος, γήπεδον δὲ τὸ ἐν ταῖς πόλεσι προσκείμενον ταῖς οἰκίαις κηπίον". ἀπὸ τοῦ γῆ γαῖα. ὁ οἰκήτωρ γαιάτης, καὶ γαιήιος κτητικόν, καὶ θηλυκὸν γαιηιάς. καὶ τοῦ γαῖα καὶ τοῦ γραῖα βραχὺ τὸ ᾰ, ὅτι δισύλλαβα, ὡς Μαῖα Φαῖα.

Γηθοῦσσα, πόλις Λιβύης. τὸ ἐθνικὸν Γηθουσσαῖος ὡς Σκοτουσσαῖος, ἢ Γηθούσσιος ὡς Πιτνούσσιος, ἢ Γηθουσσίτης διὰ τὸ ἐπιχώριον.

Γηλύς, ἔθνος [Παρθίας], οὗ μέμνηται Ἀσίνιος Κουάδρατος ἐν πρώτῳ Παρθικῶν. ὀξύνεται δέ.

Γήρεια, πόλις Ἰνδική, τελοῦσα ὑπὸ Δηριάδῃ τῷ βασιλεῖ τῶν Ἰνδῶν πρὸς Διόνυσον πολεμοῦντι. τὸ ἐθνικὸν Γηρείτης.

Γιγγλυμώτη, Φοινίκης πόλις, ὡς Ἑκαταῖος.

Γίγωνος, πόλις Θρᾴκης προσεχὴς τῇ Παλλήνῃ. ὁ πολί-

1, τὸ om. R. 1. 2. οἱ τραγικοὶ] Aeschyl. Prom. 829 et Eurip. Or. 330, ubi hodie δάπεδον et δάπεδα legitur. 2-5. διαφέρει — κηπίον] Phrynichi sunt verba apud Bekkerum Anecd. p. 32, 1. ubi postrema ita leguntur: γήπεδα δὲ τὰ ἐν ταῖς πόλεσι προκείμενα οἷον κηπία, quae e Stephano sunt corrigenda. 5. ἀπὸ τοῦ γῆ γαῖα om. V. γεάτης R. καὶ ante τοῦ γαῖα om. R. 6. γαιηΐ pro γαιηιάς V. 7. Φαῖα (om. RV.) suis Crommyoniae nomen, v. Pausan. 2, 1, 3 et Plutarch. V. Thes. 9. ubi Φαιά scriptum est contra canonem Herodiani. recte Φαῖα scriptum apud nostrum s. v. Κρεμμυών. 8. Γηθουσαῖος R. 9. Πιτνούσσιος BH, Σιτνούσσιος AV, Σιτνούσιος R. 11. Παρθίας add. M. Ἀσσίνιος R, Ἀσσίννιος AV. 12. ὀξύνεται] Herodiani admonitio. 13. Γήρια Π. Geriam supra habuimus e Dionysio poeta s. v. Γάζος. eius urbis memoria obscurata latet apud Hesychium, Γηρεῖν· ποίοις. leg. Γήρεια· πόλις. Βηριάδῃ libri. 14. post πολεμοῦντι Stephanus haud dubie addiderat: ὡς Διονύσιος ἐν Βασσαρικοῖς. ad idem carmen referenda quae leguntur v. Γίγωνος et Πράσιοι. 15. Γηρείτης Pp, Γερείτης ΠRV, Γερειάτης A. fortasse utramque formam memoraverat, ut Ζελειάτης et Ζελείτης, Δικαιαρχειάτης et Δικαιαρχείτης et alia eius generis plura. ceterum cf. supra s. v. Γάζος.

της Γιγώνιος. ἀπὸ Γίγωνος τοῦ Αἰθιόπων βασιλέως, ὃν ἥττησε Διόνυσος. Ἀρτεμίδωρος δὲ ὁ Ἐφέσιος Γιγωνίδα ταύτην φησίν.

Γίλδα, πόλις Λιβύης. τὸ ἐθνικὸν Γιλδίτης, ὡς Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν.

Γιλιγάμαι, ἔθνος Λιβύης. Ἡρόδοτος τετάρτῳ.

Γινδᾶνες, ἔθνος Λιβυκὸν λωτοφάγον „οἳ τὸν καρπὸν μόνον τοῦ λωτοῦ ἐσθίοντες ζῶσι".

Γίνδαρα, κώμη πρὸς τῇ Ἀντιοχείᾳ. τὸ ἐθνικὸν Γινδαρεύς. Κουάδρατος δὲ Γινδάρους ἔφη.

Γίττα, πόλις Παλαιστίνης. Πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Γιτταῖος.

Γλάνις, ποταμὸς Κύμης, ὡς Λυκόφρων „Γλάνις δὲ ῥείθροις δέξεται τέγγων χθόνα". καὶ ἀπ' αὐτοῦ ἰχθὺς γλάνις ὁ καλούμενος γλάνιος. ἔστι καὶ Ἰβηρίας ποταμός. ἔστι καὶ Ἰταλίας τρίτος ποταμὸς περὶ τὸν Τίβεριν ποταμόν.

Γλαυκία, πολίχνιον Ἰωνίας. τὸ ἐθνικὸν Γλαυκιεύς καὶ Γλαυκιώτης. βέλτιον δὲ Γλαύκιος, ὡς τῆς Πλακίας Πλάκιος.

---

1. ἀπὸ Γίγωνος] Ante haec excidisse videtur: ἔστι καὶ πέτρα Γιγωνία. quibus iam recte inferuntur sequentia. de rupe Gigonia cf. Ptolemaeum apud Phot. bibl. p. 148, 33: περὶ τῆς παρὰ τὸν ὠκεανὸν Γιγωνίας πέτρας καὶ ὅτι μόνῳ ἀσφοδέλῳ κινεῖται πρὸς πᾶσαν βίαν ἀμετακίνητος οὖσα. 1. 2. ὃν ἥττησε Διόνυσος PpRV, ὃς Διονύσῳ ἡττήθη A. 2. δὲ add. ΠV. 5. τετάρτῳ] c. 169. ubi olim Γιλιγάμβαι, nunc Γιλιγάμμαι scriptum est, codd. τιλιγάμμαι et γιγάμαι. 6. Γίνδανες Herodotus. 6. 7. οἳ — ζῶσι] Herodoti verba 4, 177. ubi legitur μοῦνον et τρώγοντες ζώουσι. 7. μόνου R. 9. Γινδαρηνοὺς B. 12. Λυκόφρων] vs. 718. 13. γλάνις om. P[a]RV. 13. 14. γλάνις ὁ καὶ καλούμενος γλάνιος B, γλάνις ὁ κλινόμενος γλάνιος H. nominativum γλάνιος afferunt e Gloss. Γλάνιος, Silurus, et ex Hesychio v. Γλάνις· ἀργός, καὶ εἶδος ἰχθύος. οἱ δὲ γλάνιος. ubi vulgo γλανιός editur. nec Holstenii ratio per se improbabilis. at cum γλάνις optimi libri omittant, nescio an praestet scribere: καὶ ἀπ' αὐτοῦ ἰχθὺς ὁ καλούμενος γλάνις, sive malis γλάνιος. atque ita etiam Cluverus Ital. Ant. 2, 10 p. 703.
15. τρίτος Ἰταλίας? an Ἰταλίας ἕτερος? duo enim in Italia hoc nomine fluvii, alter quem supra Cumis propinquum dixit, idem qui postea Liris (Strabo 5 p. 233) dictus est, alter notissimus Etruriae fluvius. cf. Tzetzes ad Lycophr. 710. 17. Πλακ pro Πλακίας V.

Γλαύκου δῆμος, ἐν Λυκίᾳ, ὡς Ἀλέξανδρός φησιν, ἀπὸ Γλαύκου τοῦ ἥρωος. ὁ δημότης Γλαυκοδήμιος.

Γλαφύραι, πόλις Θεσσαλίας. Ὅμηρος „Βοίβην καὶ Γλαφύρας". ἀπὸ Γλαφύρου υἱοῦ Μάγνητος κτίσαντος. τὸ ἐθνικὸν Γλαφυρεύς. ἔστι καὶ κώμη Κιλικίας Γλαφύραι, ἀπέχουσα Ταρσοῦ τριάκοντα στάδια πρὸς δύσιν, [ἐν ᾗ πηγὴ ἀπὸ ῥωγάδος καταρρέουσα καὶ συνιοῦσα τῷ εἰς Ταρσὸν εἰσβάλλοντι ποταμῷ· περὶ ἧς Παρθένιος γράφων ἄλλα τε λέγει καὶ ὅτι
„παρθένος Κιλίκων ἀνακτορίην ἔχουσα
ἀγχέγαμος δ' ἔπελεν καθαρῷ δ' ἐπεμαίνετο Κύδνῳ,
Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη,
εἰσόκε μιν Κύπρις πηγὴν θέτο, μῖξε δ' ἔρωτι
Κύδνου καὶ νύμφης ὑδατόεντα γάμον".]

Γλῆτες, ἔθνος Ἰβηρικὸν μετὰ τοὺς Κύνητας, Ἡρόδωρος δεκάτῳ.

Γλισάς, πόλις Βοιωτίας. ἢ ἀπὸ Γλίσωνος ἢ ἀπὸ Γλίσαντος. τὸ ἐθνικὸν Γλισάντιος.

Γνής, ἔθνος οἰκῆσαν τὴν Ῥόδον. ἔνθεν καὶ ἴγνητες οἱ ἰθαγενεῖς. λέγεται γὰρ καὶ μετὰ τοῦ ῑ ἴγνητες.

---

2. *Γλαυκοδήμιος* Salmasius, *Γλαυκόδημος* libri. 3. *Ὅμηρος*] Il. 2, 712. 4. *Γλαφύρου* ΠRV, *Γλαφύρα* A et Eustath. ad. Il. p. 327, 35: *τὰς δὲ Γλαφύρας βαρύνουσιν οἱ ἀκριβέστεροι πρὸς διαστολὴν τοῦ ἐπιθετοῦ, κληθείσας ἀπὸ τοῦ μνημονευθέντος Γλαφύρα, ὡς ὁ αὐτὸς ἐθνικογράφος ἱστορεῖ. παρ' ᾧ φέρεται ὅτι καὶ κώμη κτλ.* cf. supra s. v. *Βοίβη*. 5. *Γλαφυραί* add. RV et Eustathius, qui *Γλαφύραι*. 6. *Ταρσοῦ* om. R. *σταδίους* Eustathius. *ἐν ᾗ πηγὴ* et reliqua servavit Eustathius l. l. unde ea Stephano reddere non dubitavi. 10. *ἀγχέγαμος πέλε* vulgo. v. Anall. Alex. p. 277. 14. *Κυνήτας* libri. *Ἡρόδωρος* R. cf. s. v. *Ἰβηρία*. 16. *Γλισάς* R, *Γλισσάς* AV. cf. Eustath. ad Hom. p. 269, 18: *Γλίσσας δὲ κατοικία τις φασὶ Θηβαϊκὴ ἐν τῷ Ὑπάτῳ ὄρει, ἀπὸ Γλίσσωνος ὠνόμασται ἢ Γλίσσαντος, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά.* idem plura addit de accentu et declinatione huius nominis, quae fortasse item ex Stephano fluxerunt. 17. *Γλισάντιος* RV, *Γλισσάντιος* A. 18. *Γνῆς* vulgo. *ἴγνητες* ΠRV, *γνῆτες* A. 19. *γὰρ* R, *δὲ* AV. *ἴγνητες* attice scribi dicit Apollon. de Pron. p. 330 c. cf. Lobeck. Path. p. 275.

Γοαρηνή, χώρα Ἀραβίας πλησίον Δαμασκοῦ. λέγεται δὲ καὶ *Γοάρεια*.

Γολγοί, πόλις Κύπρου, ἀπὸ Γόλγου τοῦ ἡγησαμένου τῆς Σικυωνίων ἀποικίας. λέγεται καὶ *Γόλγιον* οὐδετέρως. ἀφ' οὗ Γολγία ἡ Ἀφροδίτη. τὸ ἐθνικὸν Γόλγιος καὶ Γολγία καὶ Γολγηίς.

Γομολῖται, ἔθνος τῆς Ἰδουμαίας, ἣ ἀπὸ Ἀμαλήκου Ἀμαληκῖτις ἐκλήθη.

Γόμφοι, πόλις Θεσσαλίας. τὸ ἐθνικὸν ὅμοιον. εὕρηται δὲ Γομφεύς.

Γόνδραι, Θράκιον ἔθνος. λέγεται δὲ παρ' Ἡρωδιανῷ Κίνδρα καὶ Ῥόνδα.

Γονεῖς, πόλις Θράκης. οἱ κατοικοῦντες ὁμοίως. οἱ δὲ Ἀδριανοπολίτας τούτους ἐκάλεσαν.

Γόννοι, πόλις Περραιβίας, ἀπὸ Γουνέως κληθεῖσα τοῦ ἀπογόνου Κύφου. οὕτως φησὶν Ὅμηρος. ὁ πολίτης Γούνιος καὶ Γουνία ἡ γυνὴ καὶ ἡ χώρα. γράφεται δὲ καὶ χωρὶς τοῦ ῡ. τοὺς δὲ Περραιβοὺς Αἰολεῖς ὄντας τὰ σύμφωνα διπλοῦν

---

3. *Γόλγοι* R. 4. *Γόλγιον* PpΠRV, *Γόλγον* A. 7. *Ἰουδαίας* V. ἣ ante X. *ἀπὸ Μαλίχου* AΠRV. apud Arcad. p. 51, 19. scr. *Ἀμάληκος* pro *μάληκος*. 8. *Ἀμαληκῖτις* M, *Ἀμαληκίτης* AV, *μαλικίτης* (η supra ι) R. contracta haec sunt e Iosephi AI. 2, 1: *οὗτοι κατῴκησαν τῆς Ἰδουμαίας τὴν Γοβολῖτιν λεγομένην καὶ τὴν ἀπὸ Ἀμαλήκου κληθεῖσαν Ἀμαληκῖτιν*. monuit B. 10. *καὶ* pro *δέ*? 11. *Γόνδρα* R. *Ἡρωδιανῷ* PpR, *Ἡρω* (δ supra) V, *Ἡροδότῳ* A. sequentia non expedio. *Ῥονδαῖοι* Thracia gens infra memorantur. 13. *Γοννεῖς* Eustathius ad Hom. p. 291, 42: *οἱ δὲ Γοννεῖς — πόλις Θρᾴκης κατὰ τοὺς παλαιούς, οἱ δὲ Ἀδριανοπολῖται*. 15. *Γόννος* B, qua forma usus est Strabo et Lycophro, at *Γόννοι* dixit etiam Porphyrius ap. Eusebium Chron. p. 176 Mai. 16. *οὐ* (i. e. *οὕτως*) RV, *ὡς* A. *Ὅμηρος*] Il. 2, 748. *Γούνιος* W, *Γόννιος* libri. 17. *Γουνία* RV, *Γοννία* A. *χωρὶς τοῦ ῡ* PpRV, *χωρὶς τοῦ ν̄* H, *μετὰ τοῦ ῡ* A. 18. *Αἰολεῖς ὄντας τὰ σύμφωνα διπλοῦν καὶ* add. R. cf. Eustathius ad Hom. p. 335, 38: *λέγει ὁ τὰ ἐθνικὰ γράψας ὅτι Αἰολεῖς ὄντες οἱ Περραιβοὶ ἐδίπλουν τὰ σύμφωνα Περραιβοὺς ἑαυτοὺς καλοῦντες καὶ πόλιν Γόννον παρ' αὐτοῖς οὖσαν καὶ γόννατα καὶ τοιαῦτά τινα*.

καὶ Περραιβοὺς καλοῦντας ἑαυτοὺς καὶ Γόννον διὰ δύο νν τὴν πόλιν· γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα. τὸ ἐθνικὸν καὶ Γονατᾶς, ὃ καὶ παράλογον διὰ τὸν τόνον, καὶ Γόννιος.

Γοννοῦσσα, πόλις Περραιβίας. τὸ ἐθνικὸν Γοννουσσαῖος.

Γόραμα, χώρα τῶν Σκηνιτῶν Ἀράβων. οἱ οἰκήτορες Γοραμηνοί.

Γοργίππεια, πόλις Σινδικῆς. τὸ ἐθνικὸν Γοργιππεύς.

Γόργυρα, τόπος ἐν Σάμῳ, ὡς ἱστορεῖ Δοῦρις, ἐν ᾧ Διόνυσος Γοργυρεὺς τιμᾶται.

Γορδίειον, πόλις τῆς μεγάλης Φρυγίας πρὸς τῇ Καππαδοκίᾳ, ἀπὸ Γορδίου τοῦ πατρὸς Μίδου. τὸ ἐθνικὸν Γορδιεύς, ὡς Κοτιάειον Κοτιαεύς, Δορυλάειον Δορυλαεύς. ἐχρῆν δ' ἰσοσύλλαβον· ἀλλὰ τὰ παρὰ τοῖς Φρυξὶ σημειώδη.

Γορδίου τεῖχος, πόλις ... Μίδου κτίσμα, τοῦ παιδὸς Γορδίου. ὁ πολίτης Γορδιοτειχίτης.

Γορδυαία, χώρα Περσική, ἀπὸ Γόρδυος Τριπτολέμου παιδός, τοῦ κατὰ ζήτησιν Ἰοῦς ἐξ Ἄργους ἐλθόντος εἰς Συρίαν. ἔστι δὲ ἡ πόλις παρὰ τὰς ἐκβολὰς τοῦ Τίγριδος. τὸ ἐθνικὸν Γορδυαῖος καὶ Γορδυαία ἡ χώρα καὶ ἡ γυνή, οὐδετέρως Γορδυαῖα ὄρη. εὕρηται καὶ Γορδυάς. καὶ Γορδόχους αὐτούς φασι καὶ Γόρδους.

---

1. δύο νν RV, δύο ν A. 2. γόννα RV, γόννατα Eustathius, γόνα A. 3. Γονατάς vulgo. cf. L. Dindorf. Thes. L. G. vol. 2 p. 709. 4. Γοννοῦσσα] Hanc sectionem om. V. Gonnussa non diversa est a Gonno. Tzetzes ad Lycophr. 906: Γόννος ἡ λεγομένη Γονοῦσα πόλις Περραιβίας. Γοννοῦσα R. Γοννουσαῖος R. 7. Γοργίππεια et Γοργιππεύς L. Dindorfius, Γοργιππία et Γοργιππιεύς libri. Σινδικῆς V et Casaubonus ad Strab. 11 p. 495, Ἰνδικῆς libri. 8. Γόργυια libri. 9. Γοργυρεὺς M, Γοργορεὺς R, Γοργονεὺς PpV, Γοργυιεὺς A. cf. Etym. M. p. 238, 40: Γόργυρος (Γοργυρεὺς) ὁ Διόνυσος, ἀπὸ Γοργύρας τόπου τῆς Σάμου. 12. Κοτιάειον Κοτιαεύς RV, Κυτιάειον Κυτιαεύς A. Δουρυλάειον Δουρυλαεύς R, Δορυάλειον Δορυαλεύς AV. 13. ἰσοσύλλαβον R, ἰσοσύλλαβα AV. 14. indicavi lacunam. Λυδίας aut Φρυγίας add. L. Dindorfius. κτίσμα τοῦ παιδὸς L. Dindorfius, κτίσμα ἀπὸ τοῦ παιδὸς R, κτισθεῖσα ἀπὸ τοῦ παιδὸς AV. 17. ἠοῦς R. 20. Γορδυάς L. Dindorfius, Γορδύας libri, Γορδυεύς B.

Γορδυνία, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Γορδυνιάτης.

Γόρτυν, πόλις Κρήτης. οὕτως δὲ διὰ τοῦ ν. ἀπὸ ἥρωος Γόρτυος. ἐκαλεῖτο δὲ καὶ *Λάρισσα*. πρότερον γὰρ ἐκαλεῖτο *Ἑλλωτίς* (οὕτω γὰρ παρὰ Κρησὶν ἡ Εὐρώπη), εἶτα *Λάρισσα*, εἶτα *Κρημνία* καὶ ὕστερον *Γόρτυς*. φασὶ δὲ τὴν αἰτιατικὴν οἱ μὲν δισυλλάβως Γόρτυν, οἱ δὲ τρισυλλάβως „Γόρτυνά τε τειχιόεσσαν". οἱ δὲ Γόρτυναν ὡς ἄμυναν.

Γότθοι, ἔθνος πάλαι οἰκῆσαν ἐντὸς τῆς Μαιώτιδος. ὕστερον δὲ εἰς τὴν ἐκτὸς Θρᾴκην μετανέστησαν, ὡς εἴρηταί μοι ἐν τοῖς Βυζαντιακοῖς. μέμνηται τούτων ὁ Φωκαεὺς Παρθένιος.

Γούνας, κατοικία Συρίας, βαθύγειος καὶ εὔκαρπος. ὅθεν καὶ τοὔνομα, διὰ τὸ γόνιμον. τὸ ἐθνικὸν Γουναΐτης.

Γραῖα, πόλις Ἐρετρίας. ὁ πολίτης Γραῖος. ἀφαίρεσις γέγονε τῆς ἀρχῆς, ὡς δειχθήσεται ἐν τῷ Ταναγραία.

Γραικός, ὁ Ἕλλην, ὀξυτόνως, ὁ Θεσσαλοῦ υἱός, ἀφ' οὗ Γραικοὶ οἱ Ἕλληνες. Κεφάλων δὲ καὶ τὸν Γράνικον ποταμὸν ἐντεῦθεν κληθῆναι. τὸ δὲ Γραῖκος τὸ κύριον βαρύνεται. τὸ οὖν ἐθνικὸν ὀξύνεται. λέγεται καὶ Γραικίτης καὶ Γραικὶς τὸ θηλυκόν. Γραῖκες δὲ παρὰ Ἀλκμᾶνι αἱ τῶν Ἑλλήνων μητέρες, καὶ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν. ἔστι δὲ ἡ μεταπλασμὸς ἢ τῆς Γραὶξ εὐθείας κλίσις ἐστίν. εἰσὶ δὲ καὶ Γραῖκες Αἰολέων, οἱ τὸ Πάριον οἰκοῦντες.

---

3. *ἐκαλεῖτο δὲ καὶ Λάρισσα* om. V. 3. 4. *πρότερον — εἶτα Λάρισσα* add. RV, quorum V. *γὰρ* omittit. 6. *Γόρτυνά τε*] Hom. Il. 2, 646. 8. *Μαιώτιος* V. 9. *ἐκτὸς Θρᾴκην* R, *ἐντὸς Θρᾴκης* AV. 10. *Βυζαντικοῖς* libri. v. supra ad p. 189, 12. neque enim hinc colligam Stephanum scripsisse Byzantiaca. similiter Strabo 8 p. 374: *ἐροῦμεν δ' ἐν τοῖς Καρικοῖς*, i. e. in ea operis parte qua de Caria agitur. post *Φωκαεὺς* R add. *Βυζάντιος* lineola subducta. 12. *Γουνᾶς* incertum an *Γουναῖ* R, om. acc. V, *Γοῦνας* L. Dindorfius. 13. *διὰ* om. R. 15. *Τανάγρα*? 16. *Γραικός*] Initium huius sectionis ita fere Stephanus scripserat: *Γραικός ὁ Ἕλλην ὀξυτόνως, τὸ δὲ Γραῖκος τὸ κύριον βαρύνεται. ἦν δὲ Θεσσαλοῦ υἱός, ἀφ' οὗ — κληθῆναι. τὸ οὖν ἐθνικὸν ὀξύνεται.* 17. *Γρανικὸν* libri. 19. *οὖν* om. V. 22. *εἰσὶ δὲ* om. V. *Γραῖκες* PpHRV, *Γραῖες* A.

Γράμμιον, πόλις ἐν Κρήτῃ. οἱ πολῖται Γραμμῖται καὶ Γραμμίσιοι. εἰσὶ δὲ *Γραμμῖται* [καὶ] πρὸς τῇ Κελτικῇ ἔθνος.

Γράστιλλος, ἀρσενικῶς, πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π γράφεται κατὰ τὴν πρώτην συλλαβὴν Πράστιλλος, ὡς Εὔπολις.

Γρησῖνος, πόλις Χερρονήσου. τὸ ἐθνικὸν Γρησίνιος, ὡς Ἀνδροτίων ἕκτῳ Ἀτθίδος.

Γρηστωνία, χώρα Θρᾴκης πρὸς τῇ Μακεδονίᾳ, Θουκυδίδης δευτέρᾳ. ἀπὸ Γράστου τινός. τὸ ἐθνικὸν Γραστῶνες.

Γρῦνοι, πολίχνιον Μυριναίων, οὗ „καὶ ἱερὸν Ἀπόλλωνος καὶ μαντεῖον ἀρχαῖον καὶ ναὸς πολυτελὴς λευκοῦ λίθου", ἐν ᾧ τιμᾶται. Ἑκαταῖος δὲ τὴν πόλιν *Γρύνειαν* καλεῖ. τὸ ἐθνικὸν Γρυνεύς καὶ Γρυνηίς τὸ θηλυκόν. λέγεται καὶ „Γρύνειος Ἀπόλλων" ὡς Παρθένιος Δήλῳ, καὶ Γρυνήιος καὶ Γρυνικός τὸ κτητικόν, καὶ οὐδετέρως τὰ Γρύνεια.

Γρώνεια, πόλις Φωκίδος. τὸ ἐθνικὸν Γρωνεύς, ὡς τῆς Γρυνείας τὸ Γρυνεύς. ἡ γὰρ διὰ τοῦ υ τῆς Τρῳάδος ἐστί.

Γύαρος, νῆσος μία τῶν Σποράδων, θηλυκῶς λέγεται. Ἀντίγονος δ' ὁ Καρύστιός φησιν ὅτι ἐν ταύτῃ οἱ μύες διατρώγουσι τὸν σίδηρον, καὶ ὅτι ἡ ἄχερδος ἐκεῖ θανάσιμόν ἐστι κἂν εἰς ἄλλο δένδρον ἐμπήξῃς ἀφανίζει. ποιεῖ δὲ τοῦτο

1. *Γράμιον* V. 2. *Γραμμήσιοι* RV, *Γραμμίτιοι* A. corr. L. Dindorfius. *καὶ* add. M. 3. *Γράστιλλον* RV. 6. *Γρησῖνος* RV, *Γρησίνος* A, *Γρησίνη* Zonaras Lex. p. 454. *Χερονήσου* R. cf. ad v. *Σάνη*. 8. *Γρηστονία* V. 9. *δευτέρᾳ*] c. 99, 100. *Γράστου* et mox *Γραστῶνες* X, *Γάστρου* et *Γαστρῶνες* libri, quae scriptura spectat ad vitiosam formam *Γαστρωνία*, de qua supra Stephanus. 10. *Γρῦνοι* R, *Γρύνοι* AV, *Γρύνιον* Vossius, ut est in libris Strab. 13. p. 622. quem noster transscripsit. *Μυριναίων* RV et Strabo, *Μυρηναίων* A. 11. *νεὼς* Strabo. 15. *τὸ* add. R. 18. *Γύαρα* H. 19. *Ἀντίγονος*] c. 21. 20. *θανάσιμός* Antigonus. 21. *κἂν* pro *καὶ κἂν* praebuit Antigonus. *ἐμπήξῃς* M, *ἐμπλήξῃς* Antigonus, *πήξῃ* libri, *πήξῃς* B. *ἀφανίζει* RV, *ἀπαυαίνει* A. *ποιεῖ*] Antigonus c. 22: *ποιεῖ δὲ αὐτὸ τοῦτο καὶ τὸ τῆς τρυγόνος κέντρον τῆς θαλαττίας· καὶ ἐὰν εἰς τοὺς ὀδόντας ἅψῃ κατασήπει.* *τοῦτο* om. V.

καὶ τῆς θαλαττίας τρυγόνος τὸ κέντρον, καὶ τοὺς ὀδόντας κατασήπει προσαπτόμενον. τὸ ἐθνικὸν Γυαρεύς.

Γύζαντες, ἔθνος Λιβυκόν, ὡς Ἡρόδοτος ἐν τετάρτῃ καὶ Ἡρωδιανός.

Γύθειον, πόλις Λακωνική. Λυκόφρων „δισσὰς σαλάμβας κἀπὶ Γυθείου πλάκας". τινές φασιν ὅτι Πύθιον ἐκαλεῖτο, κακῶς. ὁ πολίτης Γυθεάτης. καὶ τὸ ἐκ τόπου Γυθείηθεν ἐθνικόν.

Γυλάκεια. οὕτως ἐκαλεῖτο ἡ τῆς Ἰλλυρίας Ἀπολλωνία, ἀπὸ Γύλακος Κορινθίου. τὸ ἐθνικὸν Γυλακεύς.

Γυμνησίαι, δύο νῆσοι περὶ τὴν Τυρσηνίδα, οὐχ ὥς τινες ἑπτά. Λυκόφρων

οἱ δ' ἀμφικλύστους χοιράδας Γυμνησίας
σισυρνοδῦται καρκίνοι πεπλωκότες
ἄχλαινον ἀμπρεύσουσι νήλιποι βίον.

καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἐθνικὸν Γυμνήσιος καὶ Γυμνησία. καὶ Γυμνησίς, ἀπὸ τῆς Γύμνητος γενικῆς τροπῇ τοῦ τ εἰς σ. ἐκλήθη δὲ τὸ ἔθνος ὅτι τῷ θέρει γυμνοὶ μένουσιν. ἐκλήθη-

---

1. θετταλίας ΠRV. 3. ὡς καὶ Ἡρόδοτος A. τετάρτῃ] c. 194. 5. Λυκόφρων] vs. 98. 5. 6. σαλάμβας e Lycophrone scriptum, σαλαμύας RV, σαλμιδισσίας A. 6. κἀπιγυθείους A, κατασιγυθείους V, κἀπιγυθίους R, κἀπὶ Γυθίου libri Lycophronis, ubi Bachmannus monet, in Stephani codd. Paris. κἀπὶ Γυθείας (ους superscr.) scribi. 7. τὸ add. ΠR. Γυθείηθεν] Itaque etiam Γύθεια dictum esse videtur, quod ipsum in Lycophronis loco habent Stephani codd. Par. 9. Γλαύκεια RV. 11. Γυμνησία R. 12. ἑπτά M, μία libri. Eustath. ad Dionys. Per. 457: ἑπτὰ δὲ εἰπόντων τινῶν εἶναι τὰς Γυμνησίας νήσους, ὁ γεωγράφος δύο αὐτὰς ἱστορεῖ. v. Strab. 3 p. 167 et 14 p. 654. Λυκόφρων] vs. 633. 13. ἀμφι ... ῥάδας R, ἀμφι ... ραδας V, ἀμφὶ χιράδρας A. 14. πεπλευκότες ΠR, πεπλ . . τες V. 15. ἄχλαινιν RV. νήλιποι R, νηλποι ΠV, νήλιπον A. πόνον ΠR. 16. καὶ θηλυκῶς add. PpV. [τὸ] ἐθνικὸν W. ἐθνικὸν indicata trium fere syllabarum lacuna om. R. καὶ add. R. Γυμνησία RV, Γυμνασία A. 17. Γύμνητος AR, Γύμνης PpV. εἰς ις V.

σαν δὲ καὶ **Βαλιαρίδες**, ἀφ' οὗ Βαλιαρεῖς τὸ ἐθνικόν, ὅ ἐστι σφενδονῆται.

Γυναικόσπολις, πόλις Φοινίκων. ὁ πολίτης Γυναικοπολίτης. ἔστι καὶ ἄλλη Αἰγύπτου. Ἀρισταγόρας δέ, οὐ πολλῷ νεώτερος Πλάτωνος, φησὶν ὅτι οὕτως ὠνομάσθη διὰ τρεῖς αἰτίας, ἢ ὅτι πολεμίων ἐπιπεσόντων καὶ τῶν ἀνδρῶν ἐν γεωργίαις ἀπόντων τὰς γυναῖκας κρατῆσαι τοῦ πολέμου, ἢ ὅτι γυνή τις νομάρχου, περισπωμένων τῶν παίδων αὐτῆς ὑπὸ τοῦ βασιλέως, ἅμα τοῖς παισὶν ὁπλισαμένη κατεδίωξε τὸν βασιλέα καὶ ἐνίκησεν, ἢ ὅτι τῶν Ναυκρατιτῶν ἀναπλεόντων κατὰ τὸν ποταμὸν καὶ κωλυομένων ὑπὸ τῶν λοιπῶν Αἰγυπτίων ἀποβαίνειν, οὗτοι καταπλαγέντες ὑπὸ ἀνανδρίας οὐ διεκώλυσαν. ταῦτα καὶ Ἀρτεμίδωρός φησιν. ἔστι καὶ **Γυναικῶν λιμὴν** περὶ τὴν λεγομένην Φιδάλειαν, τὸ μεταξὺ Ἀνάπλου καὶ τοῦ Λεωσθενείου. ἔνθα φασὶ τὴν γυναῖκα Γύζαντος Φιδάλειαν διώξασαν ἅμα ταῖς γυναιξὶ τοὺς μετὰ Στροίβου τοῦ ἀδελφοῦ Γύζαντος τῇ πόλει ἐπιθεμένους, τῶν πολιτῶν μὴ παρόντων, νικῆσαι διώξασαν μέχρι τοῦ λιμένος, καὶ οὕτως ὀνομάσαι. ἐθνικὸν τοῦ λιμένος Γυναικολιμενίτης.

Γυρτών, πόλις τῆς Θεσσαλίας καὶ Περραιβίας, ἣν Ὅμηρος Γυρτώνην καλεῖ, ὡς Ἰτώνην καὶ Ἰτῶνα. ἀπὸ Γυρτῶνος τοῦ Φλεγύου ἀδελφοῦ, ὅς τις αὐτὴν ἔκτισεν. ὁ πολίτης Γυρτώνιος.

Γυψηίς, νῆσος Αἰθιοπίας, ὡς Μαρκιανὸς ἐν περίπλων ά. τὸ ἐθνικὸν Γυψηίτης.

---

1. *Βαλιαρίδες* X, *Βληαρίδες* R, *Βλιαρίδες* APpV. nomen hoc supra p. 157. in *Βαναυρίδες* corruptum vidimus. *Βαλιαρεῖς* X, *Βληαρεῖς* R, *Βλιαρεῖς* APpV. 2. *σφενδονῆται* Π, *σφενδονῖται* ARV. 3. *Γυναικόσπολις* AΠRV, *Γυναικόπολις* X. 7. *τῷ πολέμῳ*? 9. *κατεδίωξαν* R. 10. *ἐνίκησεν* B, *νικῆσαι* ARV. 11. *ὑπὸ τὸν* R. 14. *παρὰ* R. *Φιδάλειαν* V, *Φεδάλειαν* AΠR. *τὸ μεταξὺ* PpRV, *τὴν μεταξὺ* A. 15. *Λεωσθενίου* R. 16. *Στρόμβου* Meursius. 19. *ὠνομάσαι* R. 20. *Γέρτιων* libri. 20. 21. *Ὅμηρος*] Il. 2, 738. 21. *Γέρτωνος* libri. 24. *Γύψηις*? 24. 25. *περίπλων ά* R, *περίπλῳ πρώτῃ* AV.

Γωγαρηνή, χωρίον μεταξὺ Κόλχων καὶ Ἰβήρων τῶν ἀνατολικῶν. τὸ ἐθνικὸν Γωγαρηνός.

Δάαι, Σκυθικὸν ἔθνος. εἰσὶ δὲ νομάδες. λέγονται καὶ Δάσαι μετὰ τοῦ σ.

Δαδίκαι, ἔθνος Περσικόν, Ἡρόδοτος ἑβδόμῃ.

Δαδόκερτα, φρούριον μέγα τῆς Ἀρμενίας μεταξὺ Μηδίας. τὸ ἐθνικὸν Δαδοκερτηνός τῷ ἐπιχωρίῳ τύπῳ.

Δαίδαλα, πόλις τῆς Ῥοδίας ἢ χωρίον, Στράβων ιδ'. ἔστι καὶ ὄρος τῆς Λυκίας τὰ Δαίδαλα. ἡ δὲ πόλις ἀπὸ Δαιδάλου τοῦ Ἰκάρου ἡ ἐν Λυκίᾳ. διά τινος γὰρ ἕλους ἐπορεύετο [διὰ] τοῦ Νίνου ποταμοῦ, καὶ ὑπὸ χερσύδρου δηχθέντα τελευτῆσαι καὶ ἐκεῖ ταφῆναι καὶ κτισθῆναι πόλιν φησὶν Ἀλέξανδρος ἐν Λυκιακοῖς. ἔστι καὶ Ἰνδικῆς. καὶ Κρήτης ἄλλη. ὁ πολίτης Δαιδαλεύς ὡς Σαμόσατα Σαμοσατεύς, καὶ Δαιδαλίς τὸ θηλυκόν.

Δαιδάλεια, πόλις Ἰταλίας, Δαιδάλου κτίσμα, ἥ τις *Ἰουλία* νῦν καλεῖται, Ῥωμαίου ἄρχοντος κληρουχήσαντος. τὸ ἐθνικὸν Δαιδαλεύς.

Δαιδαλίδαι, δῆμος τῆς Κεκροπίδος φυλῆς. ὁ δημότης Δαιδαλίδης. τὰ τοπικὰ ἐκ Δαιδαλιδῶν [ἐν Δαιδαλιδῶν εἰς Δαιδαλιδῶν].

Δακία, χώρα πλησίον Βορυσθένους. οἱ Δᾶκοι, οὓς καλοῦμεν Δάους „Γέτας γὰρ τοὺς πρὸς τὸν Πόντον κεκλιμένους καὶ τὴν ἕω, Δάους δὲ τοὺς πρὸς τἀναντία πρὸς Γερμανίαν καὶ τὰς τοῦ Ἴστρου πηγάς". καὶ παρ' Ἀττικοῖς δὲ τὰ τῶν οἰκετῶν ὀνόματα Δᾶοι καὶ Γέται.

Δάλμιον, πόλις Δαλματίας μεταξὺ Ἰλλυρίας καὶ Ἰτα-

---

3. *βιβλίον ιβ'* ante *Δάαι* ΠR. *Δᾶαι*? 4. *Δάκαι μετὰ τοῦ κ* Dausqueius. 5. *ἑβδόμῃ*] c. 66. 6. 7. [*καὶ*] *Μηδίας* Schubartus. 7. *τὸ* om. R. 8. *Ῥοδίας* PpRV, *Ῥόδου* A. *ιδ'*] p. 651. 664. 11. *διὰ* secl. M. 14. *Σάμοτα Σαμοτεύς* R. 20. 21. *ἐν — Δαιδαλιδῶν* add. M. 22. *οἱ*] *οἶοι* V, *οἱοὶ* R. an *οἱ οἶ[κοῦντες]*? *Δάκοι* libri. 23. *Γέτας*] Verba Strabonis 7 p. 304. *Γέτας μὲν γὰρ τοὺς εἰς* Strabo. 25. *τοῦ* om. R. *καὶ παρ' Ἀττικοῖς*] Strabo l. l.: *παρὰ τοῖς Ἀττικοῖς ἐπεπόλασε τὰ τῶν οἰκετῶν ὀνόματα Γέται καὶ Δᾶοι.*

λίας. τὸ ἐθνικὸν ὅμοιον ἢ Δαλμιεύς. „ἴδιον δὲ τῶν Δαλματέων τὸ διὰ ὀκταετηρίδος τῆς χώρας ἀναδασμὸν ποιεῖσθαι". Ἀππιανὸς δὲ τὴν πόλιν Δελμίνιον καλεῖ, Κουάδρατος δὲ Δέλμινον. φασὶ δὲ αὐτοὺς καὶ Δαλμάτας.

Δαμαῖοι, ἔθνος παρὰ τοῖς Ἰχθυοφάγοις, ὡς Ἀπολλόδωρος.

Δαμασκός, πόλις Συρίας, μεσόγειος, ὕπερθε Φοινίκης, παρὰ τὸν Βαρδίνην ποταμόν. ὠνομάσθη δὲ ὅτι εἷς τῶν Γιγάντων Ἀσκὸς ὄνομα ἅμα Λυκούργῳ δήσας τὸν Διόνυσον ἔρριψεν εἰς τὸν ποταμόν, ὃν λύσας Ἑρμῆς τὸν Ἀσκὸν τοῦ δέρματος ἐγύμνωσεν, ὅθεν πρὸς οἶνον ἐπιτήδειον τὸ δέρμα. οἱ δὲ ὅτι Δαμασκὸς Ἑρμοῦ παῖς καὶ νύμφης Ἀλιμήδης ἐξ Ἀρκαδίας εἰς Συρίαν ἦλθε καὶ πόλιν ὁμώνυμον ἔκτισεν. ἄλλοι δὲ ὅτι Δαμασκὸς ἐφατίζετο ἀνήρ, Διονύσου δὲ τὴν Συρίαν ἀμπελόφυτον ποιήσαντος πελέκει ταῦτα ἔκοπτε, Διόνυσος δὲ ὀργισθεὶς ἐδίωξε καὶ ἐξέδειρεν ..... ἐπράχθη Δαρμασκός ..... καὶ οὕτω Δαμασκός κατὰ παραφθοράν. ὁ πολίτης Δαμασκηνός καὶ ἡ χώρα καὶ ἡ πόλις Δαμασκηνή.

Δανδάριοι, ἔθνος περὶ τὸν Καύκασον, ὡς Ἑκαταῖος Εὐρώπῃ.

Δανθαλῆται, ἔθνος Θρᾳκικόν, Θεόπομπος μή.

Δανούβιον, πόλις περὶ τὴν Ῥώμην. τὸ ἐθνικὸν Δανούβιος ἢ Δανουβιεύς.

Δάνουβις ἢ Δάνουσις, Ἴστρος ὁ ποταμός, πάλαι

---

1. ἴδιον] Verba Strabonis 7 p. 315. 2. ὀκτηρίδος Π. 4. Δέλμινον R, Δάλμινον V, Δάλμιον A. „Salmasius in Pal. cod. invenit Κουάδρατος δὲ μετὰ ε̄ τὸ Δέλμιον, et in alio Δάλμινον" B. Eustath. ad Dion. Per. 95: ἡ δὲ πόλις αὐτῶν Δάλμιον ἢ Δελμίνιον ἢ Δέλμινον. 7. ὕπερθε RV, ὕπερθεν A. 8. παρὰ V, πρὸς R, περὶ A. Ἰορδάνην B. 9. Ἀσκὸς] V. Damascium Photii Bibl. p. 348. 14. 15. Συρίαν τὴν πόλιν ἀμπελόφυτον V. 15. ταύτας? δὲ om. V. 16. ante et post ἐπράχθη Δαρμασκός denarum literarum lacunam indicant libri. Δαρμακός V. 18. πολῖτις? 20. Εὐρώπης V. 21. Δαθαλῆται R, Δαιδαλῆται V. 22. Δανούβιον] Hoc ex Λανούβιον corruptum esse monuere HB.

Ματόας καλούμενος. συμφορᾶς δὲ τοῖς Σκύθαις ἐπιπεσούσης οὕτως ἐκλήθη. Ματόας δὲ λέγεται ἐς τὴν Ἑλληνίδα γλῶσσαν ἄσιος. ὅτι πολλάκις περαιούμενοι οὐδὲν ἐπεπόνθεισαν. ὁ δὲ Δάνουσις ἑρμηνεύεται ὥσπερ τοῦ ἁμαρτεῖν ἔχων αἰτίαν.

Δάονες, ἔθνος τῆς Ἰνδικῆς, ἀπὸ Δάονος.

Δάραψα, πόλις Βακτρίας, ὡς Στράβων. τὸ ἐθνικὸν Δαραψηνὸς καὶ Δαραψιανός.

Δάρδαι, Ἰνδικὸν ἔθνος ὑπὸ Δηριάδῃ πολεμῆσαν Διονύσῳ, ὡς Διονύσιος ἐν γ' Βασσαρικῶν.

Δάρδανος, πόλις Τρωάδος, ἡ πρότερον Τευκρίς. Μνασέας δέ φησιν ὅτι „Δάρδανος ἐκ σι.... ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τὸ παλλάδιον ἀράμενος ἀφίκετο εἰς Σαμοθρᾴκην μετὰ Ἁρμονίας καὶ Ἰασίωνος [ἑνὸς] τῶν ἀδελφῶν, κἀκεῖ διάγοντα Κάδμος ὁ Ἀγήνορος ἐφιλοποιήσατο, καὶ ἀποθανούσης Τηλεφάης γαμεῖ τὴν Ἁρμονίαν ὁ Κάδμος καὶ ἀποστέλλει τὸν Δάρδανον εἰς τὴν Ἀσίαν μετὰ τῶν ἑταίρων πρὸς Τεῦκρον τὸν Τρῶα· ὁ δὲ Τεῦκρος ἀναγνωρίσας τὸν Δάρδανον δίδωσιν αὐτῷ τὴν θυγατέρα Βάτειαν καὶ ἀποθνήσκων τὴν βασιλείαν. καὶ πόλιν

---

1. *Ματόας*] Eustathius ad Dion. Per. 494: *λέγει δὲ ὁ αὐτὸς γεωγράφος* (calami lapsu Strabonem nominavit pro Stephano) *καὶ ὅτι ὁ Ἴστρος ποτὲ Ματόας ἐλέγετο, ὅ ἐστι κατὰ Ἕλληνας ἄσιος· καὶ ὅτι πολλάκις μὲν οἱ Σκύθαι δι' αὐτοῦ περαιούμενοι οὐδὲν ἔπασχον, συμφορᾶς δέ ποτε αὐτοῦ ἐπιπεσούσης ἡρμηνεύθη Δάνουσις ἢ Δάνουβις, ὥσπερ τοῦ ἁμαρτεῖν ἐκείνους αἰτίαν ἔχων, τουτέστιν αἰτιώμενος διὰ τοῦ τοιούτου ὀνόματος ὑπ' ἐκείνων κατὰ τὴν αὐτῶν γλῶσσαν ὡς αἴτιος αὐτοῖς δυστυχίας γενόμενος.* 1. 2. *συμφορᾶς — ἐκλήθη*] Haec ductu Eustathii, qui Stephani verba aliquanto integrius scripta servavit, post *ἐπεπόνθεισαν* transponenda videntur. 3. *ἄσιος*] *ἀσινής* Salmasius. 4. *αἰτίαν* RV, *τὴν αἰτίαν* A. 5. *ἔθνος ἀπὸ Δάονος* (*Δαόνα* R) *ἀπὸ τῆς Ἰνδικῆς* libri, corr. X. 6. *Στράβων*] 11 p. 516. 8. *Δηριάδῃ* RV, *Δηριάδι* A. 11. *ἐκ Σι[δῶνος]* H, *ἐξιὼν* B. 13. *Ἰασίωνος* Salmasius, *Ἰάσονος* libri. *ἑνὸς* add. B. 14. *ἀποθανοῦσ* quinque literarum lacuna indicata R. *Τηλεφάμης* R, *Τηλεφάσσης* B. vide ad Moschi Id. 2, 40. 17. *Τεῦκρος* Lobeck. Aglaoph. p. 1223, *Τρῶς* libri. *Δάρδανον* lacuna indicata om. R.

ᾤκισε Δάρδανον καὶ Δαρδανίαν τὴν χώραν ὠνόμασεν, ἣ Τευκρὶς πρότερον ἐκαλεῖτο". αὕτη καὶ Δαρδανία. καὶ Δαρδανική καὶ Δαρδάνιοι καὶ Δαρδανίδαι καὶ [Δάρδανοι].

Δάριδνα, κώμη Παφλαγονίας, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ αὐτῆς. τὸ ἐθνικὸν Δαριδναῖος, ὡς Πύδνα Πυδναῖος.

Δαραί, ὃ ν[ῦν Δά]ρας φασί, φρούριον Ἀναστασιούπολις λεγόμενον, ὀχυρώτατον. ὁ πολίτης Δαρηνός ὡς Δουσαρὰ Δουσαρηνός. δύναται καὶ Δαραῖος. εἰσὶ δὲ Δαρραὶ διὰ δύο ρρ ἔθνος πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Δαριστάνη, πόλις Περσική. ἔστι καὶ ἔθνος Δαρῖται.

Δαρίειον, πόλις τῆς Φρυγίας. τὸ ἐθνικὸν τῷ λόγῳ τῶν Φρυγίων παρὰ μίαν συλλαβὴν Δαριεύς, ὡς Κοτιάειον Κοτιαεύς, [ἢ] τῷ λόγῳ τοῦ Ῥοίτειον καὶ Σίγειον Δαριειεύς.

Δαρσανία, πόλις Ἰνδική, ἐν ᾗ αὐθημερὸν ἱμάτιον ἱστουργοῦσι γυναῖκες, ὡς Διονύσιος Βασσαρικῶν τρίτῃ

---

1. Δάρδανον RV, Δάρδανος A. Δαρδανίαν τὴν χώραν om. R. αὐτὴν pro τὴν V. 1. 2. ἣ Τεῦ ..... ἐκαλεῖτο RV. 3. καὶ add. PpR. Δάρδανοι supplevit Salmasius. 4. κώμη ΠRV, πόλις A. fort. κωμόπολις. 6. Δαραί] Hoc tmema et sequens loco suo motum est. pro Δαραί Salmasius Δαρά. frequens huius urbis apud serioris aetatis scriptores memoria, qui eam fere τὸ Δάρας appellant. ὃν...ρας φασίν AR, ὃν φασι sine lacuna V, ὃ καὶ Δαράς φασι Salmasius. Ἀναστασιούπολις RV, Ἀναστασίου πόλεως A. cf. Procop. BP. p. 49, 10: Ἀναστάσιός τε βασιλεὺς — πόλιν ἐδείματο ἐν χωρίῳ Δάρας ἰσχυράν τε ὑπερφυῶς καὶ λόγου ἀξίαν, αὐτοῦ βασιλέως ἐπώνυμον. add. Unger. Par. Theb. p. 429. 7. 8. Σοῦσαρ Σουσαρηνός libri, correxit H, qui Δουσαρή. 8. Δαραῖος Piuedo, Δαρραῖος libri. Goltzii numo Δαρραίων praeferenti nihil fidei habendum. εἰσὶ καὶ Δαρραῖοι? 10. Δαραστάνη Salmasius. alius Δαριτανή, ut sit regio Daritarum, quam Δαρεῖτιν sive Δαρῖτιν vocat Ptolem. 6, 2, 6. id si verum est, sectio haec sequenti postponenda erit. 11. Δαρίειον H, Δαρεῖον libri, probante Lobeckio Paral. p. 29. 12. παρὰ μίαν συλλαβὴν] Supple ἐνδεῖ τοῦ πρωτοτύπου, ut p. 48, 21. ubi nil novandum. Δαριεύς RV, Δαρειεύς A, Δαρεύς Lobeck. Κοτάειον V, Σκοτάειον R. 13. Κοτιαεύς X, Κοταεύς AV, Σκοταεύς R. ἢ add. Lobeck. Δαριειεύς B, Δαρειεύς A, Δαριεύς RV. cf. in Δορίειον.

ἢ οἳ Δαρσανίην ναῖον πόλιν εὐρυάγυιαν,
ἔνθα τε πέπλα γυναῖκες Ἀθηναίης ἰότητι
αὐτῆμαρ κροκόωσιν ἐφ' ἱστοπόδων τανύουσαι,
αὐτῆμαρ δ' ἐτάμοντο [καὶ ἐξ ἱστῶν] ἐρύσαντο.

τὸ ἐθνικὸν Δαρσάνιοι ὡς Καρμάνιοι Ὑρκάνιοι ..μάνιοι.

Δάρσιοι, ἔθνος Θρᾴκιον, Ἑκαταῖος Εὐρώπῃ.

Δασέαι, πόλις Ἀρκαδική, Πανσανίας ὀγδόῳ. τὸ ἐθνικὸν Δασεάτης ὡς Καφυάτης.

Δασκύλιον, πόλις Καρίας ἐπὶ τοῖς ὅροις τῆς Ἐφεσίας, ἀπὸ Δασκύλου τοῦ υἱοῦ Περιαύδου. ἔστι καὶ ἑτέρα πόλις μετὰ τὰ Τρωικὰ κτισθεῖσα. τρίτη τῆς Ἰωνίας, τὸ μέγα λεγόμενον, ὡς μεῖζον τῶν ἄλλων. τετάρτη περὶ Βιθυνίαν. πέμπτη τῆς Αἰολίδος καὶ Φρυγίας. τὸ ἐθνικὸν Δασκυλίτης, ὡς Κύπρος Κυπρίτης. ἔστι καὶ Δασκυλῖτις λίμνη ἢ Δασκυλία, ὥστε καὶ Δασκύλιος ὁ πολίτης. Εὐδαίμων δὲ καὶ Ἀρκάδιος διὰ τῆς ει διφθόγγου γράφουσι τὴν λι συλλαβήν. λέγεται καὶ Δασκυλὶς θηλυκόν.

Δάσκων, Σικελίας χωρίον. Φίλιστος ἕκτῃ Σικελικῶν „εἰς τὸ Πλημμύριον καὶ Δάσκωνα". τὸ ἐθνικὸν Δασκώνιος ἢ Δασκωνίτης.

Δασσαρῆται, ἔθνος Ἰλλυρίας, Πολύβιος ὀγδόῳ. καὶ

---

1. ἢ οἱ PpΠV, οἵῃ R, οἳ οἱ A. 3. ἐφ' Casaubonus, ἀφ' libri. ἱστοπέδων R. 4. ἔταμόν τε Salmasius. idem add. καὶ ἐξ ἱστῶν vel ἱστοῦ. 5. [Κορο]μάνιοι Salmasius, quod ferrem si Κορομανία pro Κορομάνη dictum fuisse constaret. an igitur [Δαρδ]άνιοι? possis etiam [Ἀλβ]άνιοι, quod infra cum Ὑρκάνιοι comparat. 7. ὀγδόῳ] 36, 9. at 3, 3 et 27, 4 Δασέα. 8. Δασεάτης Salmasius, Δασνώτης A, indicata lacuna om. RV. Καφυάτης Salmasius, Καφυώτης libri. 10. Περιαύδου nomen suspectum. 11. τῆς Ἰωνίας R, πόλις Ἰωνίας AV. 12. μεῖζον R, μειζῶ^ον V, μείζων A. τετάρτη Βιθυνίας V. 13. 14. Κύπρος Κυπρίτης] Haec non quadrant, nisi pro Δασκύλιον etiam Δάσκυλος dictum idque ab ipso Stephano indicatum fuisse sumatur. 14. Δασκυλῖτις ΠRV, Δασκυλίτης A. 15. Εὐδαίμων R, εὐδαιμν V, Εὔδαιμος A. 19. εἰς τὸν libri. 21. Δασσαρῖται ante H.

τὸ θηλυκὸν Δασσαρῖτις. λέγονται καὶ Δασσαρηνοί καὶ Δασσαρήτιοι καὶ Δασσαρητῖνος.

Δᾶτον, πόλις Θρᾴκης, Ἡρόδοτος ἐνάτῃ. πρ.... δὲ τοῦτό φασιν. οἱ οἰκοῦντες Δατήνιοι. τὸ ἐθνικὸν Δατηνός.

Δατύλεπτοι, ἔθνος Θρᾴκης, Ἑκαταῖος Εὐρώπῃ.

Δαύη, βαρυτόνως, πόλις Ἀραβίας. τὸ ἐθνικὸν Δαυαῖος ἢ Δαυηνός, ᾧ τύπῳ φιληδοῦσιν Ἄραβες. δύναται καὶ Δαυίτης.

Δαυλίς, πόλις Φωκίδος, ἐν ᾗ τὰ κατὰ Πρόκνην καὶ Φιλομήλαν. Ὅμηρος „Δαυλίδα καὶ Πανοπῆα". δαῦλον δὲ τὸ δασύ· δασεῖα δὲ ἡ πόλις. οἱ δ' ὕστερον Δαύλειάν φασι [προπαροξυτόνως καὶ διὰ διφθόγγου]. Πανσανίας δὲ δεκάτῳ „ἀπὸ νύμφης Δαυλίδος". διὸ λέγεται καὶ Δαυλίς. ὁ πολίτης Δαυλιεύς „Δαυλιεῦσι δὲ ἱερὸν Ἀθηνᾶς καὶ ἄγαλμα ἀρχαῖον". τὸ θηλυκὸν Δαυλιάς. λέγεται καὶ Δαύλιος. ἀπὸ δὲ τοῦ Δαυλίς τὸ ἐθνικὸν Δαυλίδιος. ὀξύνεται τὸ Δαυλίς. τὸ δὲ αὖλις αἰολικῶς βαρύνεται.

Δαύνιον, πόλις Ἰταλίας. Λυκόφρων „ὑπὲρ Λακίου Δαυνίου τ' ᾠκισμένην". τὸ ἐθνικὸν Δαύνιοι, καὶ Δαυνία τὸ

---

1. Δασσαρῖτις ante H. 1. 2. Δασσαρήτιοι H, Δασσαρίτιοι libri. 2. Δασσαρινος (τι supra) R, Δασσαριτῖνος V, Δασσαρατῖνος A. 3. ἐνάτῃ (c. 75) Vossius, πέμπτῃ A, θ' ΠRV. πρ.... R, τρ.... ΠV, indicata lacuna om. A, Ἠδωνῶν Vossius. scribendum videtur παρ[οιμιακῶς]. nimirum respicit notum proverbium Δᾶτον vel Δᾶτος ἀγαθῶν. v. Strab. 7 p. 490. Zenob. 3, 11. 4. οἱ οἰκοῦντες Δατηνοί, τὸ κτητικὸν Δατήνιος? 8. Δαυλίς X, Δαυλίδα libri. 9. Φιλομήλαν ΠRV et quem descripsit noster Strab. 9 p. 423, Φιλομήλην A. Ὅμηρος] Il. 2, 520. 10. Δαύλειαν Eustathius ad Hom. l. l., Δαυλῖδα PpV, Δαυλῖ AR, λῖ Π, Δαυλίαν Strabo.
11. verba uncis inclusa supplevi ex Eustathio: οἱ δ' ὕστερον Δαύλειαν αὐτήν φασιν προπαροξυτόνως καὶ διὰ διφθόγγου, ὡς ὁ τὰ ἐθνικὰ γράψας λέγει. cf. Ungeri Parad. Theb. p. 360. δεκάτῳ] c. 4, 7. 12. Δαυλιάδος R. 13. Δαυλιεῦσι — ἀρχαῖον Pausaniae l. l. verba sunt, ubi legitur Δαυλιεῦσι δὲ Ἀθηνᾶς ἱερὸν καὶ ἄγαλμά ἐστιν ἀρχαῖον. 15. Δαυλίδιος RV, Δαυλίδος A. 17. Δύνιον R, Δαύιον V. Λυκόφρων] vs. 1254. 17. 18. Λατίνους Δαυνίους τ' X e Lycophrone. 18. Δαύνιοι] Fortasse etiam Δαυνιεῖς. Epiphanius Anc. p. 117: Οὐεννοί (leg. Οὐενετοί) Δαυνεῖς (Δαυνιεῖς)

θηλυκόν, καὶ Δαυνική κατὰ συγκοπὴν ἀπὸ τοῦ Δαυνιᾶται, καὶ Δαυνιατικός. ἔστι καὶ Δαύνιον τεῖχος πόλις Θρᾴκης. ὁ πολίτης Δαυνιοτειχίτης.

Δαύσαρα, πόλις περὶ Ἔδεσσαν. ὁ πολίτης Δαυσαρηνός ὡς Αὐαρηνός Ἀδαρηνός.

Δάφνη, προάστειον ἐπισημότατον τῆς ἕω Ἀντιοχείας μητροπόλεως. τὸ ἐθνικὸν Δαφνίτης, καὶ Δαφνιτικός κτητικόν. ἔστι καὶ ἄλλη Δάφνη, Λυκίας χωρίον. ἔστι καὶ ἄλλη πλησίον Πηλουσίου. ὅτι παρὰ τῶν ἐκεῖ πολλῶν φυομένων δαφνῶν. οἱ οἰκοῦντες Δαφναῖοι. ἔστι καὶ λιμὴν Δάφνη μαινομένη ἐν τῷ στόματι τοῦ Πόντου ἐν δεξιᾷ ἀναπλέοντι. ἔστι καὶ προάστειον Δάφνη ἐν τῷ στόματι τοῦ Πόντου, ἐν ἀριστερᾷ ἐπὶ τὸν Ἀνάπλουν ἀνιοῦσιν. [ὃ λέγεται Σέργιον.]

Δαφνοῦς, Φωκικὴ πόλις, ἀρσενικῶς λεγομένη. ὁ πολίτης Δαφνούντιος ἢ Δαφνούσιος, καὶ θηλυκῶς Δαφνουσίς.

Ἰάπυγες Ἱππικοί (Ἰρπῖνοι?). 1. Δαυνῖται pro Δαυνική Salmasius. malim vero καὶ Δαυνική. [καὶ Δαυνῖται] κατὰ συγκοπὴν ἀπὸ τοῦ Δαυνιᾶται. cf. Lobeck. Pathol. p. 483. 2. πόλις add. ΠRV. 4. Ἔδεσσαν RV, Ἔδεσαν A. 5. Αὐαρηνός V, Ἀναρηνός AR. Ἀδαρηνός om. Π. 6. Δάφνη] Priora melius apud Eustath. ad Dion. Per. 916: ὁ δὲ τὰ ἐθνικὰ γράψας προάστειον ἐπισημότατον τῆς ἑῴας Ἀντιοχείας τὴν Δάφνην ταύτην εἰπών. nec dubium est quin τῆς ἕω epitomatoris sit qui, ut solent medii aevi scriptores, τὴν ἕω de Oriente dixit cum aliis locis tum s. v. Θεούπολις. 7. μητρόπολις R. Δαφνῖτις R. Δαφνιτικόν V, Δαφνητικός R, Δαφνητικόν A. 11. μαινομένη Petrus Gyllius de Bosp. Thrac. 2 p. 135, φαινομένη libri. ἐν τῷ R, ἐπὶ τῷ A, ἐπὶ sine τῷ V. 11. 12. ἐν δεξιᾷ — τοῦ Πόντου om. RV. cf. Eustath. ad Dion. Per. 916: λέγει (ὁ τὰ ἐθνικὰ γράψας) καὶ λιμένα Δάφνην ἐν τῷ στόματι τοῦ Πόντου ἐν δεξιᾷ ἀναπλέοντι· καὶ προάστειον δὲ αὐτόθι που ἐν ἀριστερᾷ ἐπὶ τὸν Ἀνάπλουν ἀνιοῦσιν. 13. Ἀνάπλουν] Procopius de aedif. 1, 8: ἐν χώρῳ καλουμένῳ Ἀνάπλῳ ἐν ἀριστερᾷ εἰσπλέοντι εἰς τὸν Εὔξεινον πόντον. cf. p. 215, 14 et in Καλλίπολις. ὃ λέγεται Σέργιον] Haec epitomatoris sunt, non Stephani. Sergii nomen frequens in Byzantii historia aevi medii. notus est prae ceteris Sergius patriarcha saeculo septimo clarus, a quo Sergium suburbium fortasse denominatum est.

Δάφνουσαν δὲ αὐτήν φησιν Εὐφορίων. τὸ ἐθνικὸν Δαφνουσαῖος ἢ Δαφνούσιος. ἔστι δὲ καὶ Δαφνουσὶς λίμνη πλησίον τοῦ Ὀλύμπου τοῦ Βιθυνοῦ. ἔστι καὶ δῆμος πλησίον τῆς Κῶ ὁ Δαφνοῦς λεγόμενος, καὶ ὁ δημότης Δαφνούσιος. ἔστι καὶ Δαφνούσιον πρὸς τῷ Ῥηγίῳ πλησίον τῆς Θρᾳκῶν γῆς. ἔστι καὶ Αἰγύπτου κώμη.

Δαχαρηνοί, ἔθνος Ἀραβίας, ἀπὸ Ναβάτου προσαγορευθὲν Ναβαταῖον. σημαίνει δὲ τὸ Δαχαρηνοί ἀρσενικούς.

Δέδμασα, ὡς Πήγασα, πόλις Καρίας. ὁ πολίτης Δεδμασεύς ὡς Πηγασεύς.

Δεσιλοί, ἔθνος Θρᾳκικόν, Ἑκαταῖος Εὐρώπῃ.

Δειπνιάς, κώμη Θεσσαλίας περὶ Λάρισσαν, ὅπου φασὶ τὸν Ἀπόλλωνα δειπνῆσαι πρῶτον, ὅτε ἐκ τῶν Τέμπεων καθαρθεὶς ὑπέστρεψεν· καὶ τῷ παιδὶ τῷ διακομιστῇ τῆς δάφνης ἔθος εἰς τήνδε παραγενομένῳ δειπνεῖν. Καλλίμαχος δ' „Δειπνιὰς ἔνθεν μιν δειδέχαται". τὸ ἐθνικὸν Δειπνιεύς ὡς Ἀφροδισιεύς καὶ Ὀρθωσιεύς.

Δειράδες, δῆμος τῆς Λεοντίδος φυλῆς, ἀπὸ Δειράδου τινός. ὁ δημότης Δειραδιώτης.

Δειρή, ἄκρα καὶ πόλις ὁμώνυμος πρὸς τῇ Αἰθιοπίᾳ.

---

1. *Δαφνοῦσαν* vulgo. *φασιν* RV. 2. *Δαφνούσιος* (σ supra) R. 4. ὁ ante *δημότης* add. RV. *ἔστι δὲ καὶ* Π. 5. *Δαφνούσιον* V, *Δαφνούδιον* AR, *Δαφνουσία* hoc castellum dicitur Nicephoro in Brev. p. 76, 12. 5. *Ῥηγίῳ*] De Rhegio prae ceteris v. Procop. de aed. 4, 8 sqq. 8. *σημείωσαι* V, *σῆ* R. *ἀρσενικούς* Nicolaus Fullerus ex Eustath. ad Dionys. 954, *ἀρσενικῶς* libri. 9. *Δέδμασα* ex *Μέδμασα* corruptum. *Πήγασα* (δ, η supra) R, quod significat, opinor, *Πήγασα* ἢ *Πήδασα*. 10. *Πηγασεύς* (δ supra) V. 11. *Δάσιλοι* V, *Δασιλοί* R, *Δεζιλοί* dubitanter H. 12. *παρὰ* R. 16. *δειδέχαται* ΠRV, *δειδείχαται* Pp, *δεδείχαται* A. 17. *Ὀρθωσιεύς*] Itaque etiam *Ὀρθωσιάς* dictum est pro *Ὀρθωσία*, quae Cariae urbs fuit. cf. s. v. *Δημητριάς Διονυσία Ἡφαιστιάς*. neglexit hoc cum aliis multis Thesaurus L. G. Parisiensis, in quo etiam ὁ *Δειπνίας* male scriptum est pro ἡ *Δειπνιάς*.

Στράβων ις'. ἔστι καὶ πόλις ... Ἀθηναίων συμμαχική. τὸ ἐθνικὸν Δειραῖος.

Δεκέλεια, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ἀπὸ Δεκέλου τοῦ ἡγησαμένου τοῖς Διοσκούροις εἰς Ἀφίδνας, ὡς Ἡρόδοτος ἐνάτῳ. ὁ δημότης Δεκελειεύς. τὸ τοπικὸν Δεκελειᾶθεν· τὰ γὰρ ἀπὸ ὀξυτόνων εἰς ᾱ ἢ εἰς η̄ γινόμενα διὰ τοῦ ηθεν ἢ αθεν προπερισπᾶται. παρὰ δὲ Καλλιμάχῳ Δεκελειόθεν. Δεκελειᾶζε, Δεκελειᾶσι.

Δεκέντιοι, ἔθνος Παννονίας, ἀπὸ Δεκεντίου τοῦ Μάγνου παιδός, Μαγνεντίου δ' ἀδελφοῦ. τὸ θηλυκὸν Δεκεντιάς, ὡς Παρθένιος ὁ Φωκαεύς.

Δεκίητον, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Δεκιῆται, ὡς Ἀρτεμίδωρος ἐν ά γεωγραφουμένων.

Δελματία, Ἰταλίας χώρα. οἱ οἰκήτορες Δελματεῖς καὶ Δαλμάται.

Δέλτα, πόλις πρὸς τῇ Συρίᾳ, καὶ νῆσος Αἰγύπτου, ὡς Ἔφορος, κατ' Αἰγυπτίους καλουμένη Πτίμυρις, ἀπὸ τῆς τοῦ σχήματος ὁμοιότητος. ἐθνικὸν τῆς νήσου Δελτίτης, τῆς δὲ πόλεως Δελτηνός τῷ ἐγχωρίῳ τύπῳ· οὐ γὰρ ἐνετύχομεν.

Δελφοί, πόλις ἐπὶ τοῦ Παρνασσοῦ πρὸς τῇ Φωκίδι, ἔνθα τὸ ἄδυτον ἐκ Πεντελησίων κατεσκεύασται λίθων, ἔργον Ἀγαμήδους καὶ Τροφωνίου. ἔστι καὶ Δελφοῦσσα τοῦ τόπου κρήνη. τὸ ἐθνικὸν ὁμωνύμως τῇ πόλει. τὸ θηλυκὸν Δελφίς.

---

1. *ις'* (p. 769. 773) B, *ιέ* libri. *πόλις*] Hanc diversam esse ab Aethiopica ostendunt sequentia *Ἀθηναίων συμμαχική.* itaque lacunam indicavi. notitiam huius urbis Cratero debere videtur. 3. 4. *Δεκέλου* Pp, *Δεκελίου* R, *δε ΠV*, om. A. 4. *Ἀφνίδας* R. 5. *ἐνάτῳ*] c. 73. *Δεκελιεύς* RV. cf. Lobeck. Par. p. 27. 6. *ὀξυτόνων*] Corrigunt *προπαροξυτόνων.* at canon ille hoc potius indicare videtur, Herodianum scripsisse *Δεκελιά*, cui *τονώσει* etiam topica adverbia favent. 8. *Δεκελειᾶζε* RV, *Δεκελειάζε* A. 9. *Πανονίας* R. 10. *Δεκεντιάς*] *κεντιάς* RV. 14. *Ἰλλυρίας* H. *Δελματεῖς* R, *Δαλματεῖς* AV. fortasse utrumque coniungendum. 15. *Δαλάται* RV. 17. *Πύραμις* H, quae valde probabilis coniectura est. 21. *Πεντελησίων* B, *πέντε* A, *έ* RV. 22. *Δελφοῦσσα* V, *Δελφοῦσα* AR.

καὶ κτητικὸν Δελφικός. ἐκλήθησαν δὲ Δελφοὶ ὅτι Ἀπόλλων συνέπλευσε δελφῖνι εἰκασθείς· καὶ ἵδρυται Ἀπόλλωνι ἱερόν. ἔστι καὶ Δελφουσία πόλις Ἀρκαδίας, ὡς Ἀνδροτίων ἐν β' Ἀτθίδος. τὸ ἐθνικὸν Δελφουσιάτης τῷ τύπῳ τῆς χώρας.

Δελφίνιον, φρούριον Χίων, ὡς Θουκυδίδης ὀγδόῃ. τὸ ἐθνικὸν Δελφίνιος· προκατελήφθη γὰρ ὁ τύπος τοῦ ἐθνικοῦ· ἢ Δελφινιεύς.

Δενθάλιοι, πόλις μία τῶν περιμαχήτων Μεσσηνίοις καὶ Λακεδαιμονίοις. τὸ ἐθνικὸν ὅμοιον.

Δεξαμεναί, μέρος τῆς Ἀμβρακίας, ἀπὸ Δεξαμενοῦ τοῦ Μεσόλου παιδὸς καὶ Ἀμβρακίας τῆς θυγατρὸς Φόρβαντος τοῦ Ἡλίου. τὸ ἐθνικὸν Δεξαμεναῖος, ὡς Ἀριστοτέλης φησὶν ἐν τῇ Ἀμβρακιωτῶν πολιτείᾳ.

Δέξαροι, ἔθνος Χαόνων, τοῖς Ἐγχελέαις προσεχεῖς, Ἑκαταῖος Εὐρώπῃ. ὑπὸ Ἄμυρον ὄρος οἰκοῦν.

Δέρα, τόπος Λακωνικῆς. τὸ ἐθνικὸν Δεραῖος ἢ Δερεάτης, ἀφ' οὗ Δερεάτιδος Ἀρτέμιδος ἱερόν. καὶ τὸν δῆμον δὲ Δειράδας φασὶ καὶ τοὺς δημότας Δειραδιώτας, ἀπό τινος ἥρωος.

Δέρβη, φρούριον Ἰσαυρίας καὶ λιμήν. ὁ κατοικῶν Δερβήτης ὡς Σιδήτης Πυλήτης. λέγεται δ' ἴσως καὶ Δέρβεια καὶ τὸ ἐθνικὸν Δερβείτης. Καπίτων δὲ Δέρμην φησί. τινὲς δὲ Δέλβειαν, ὅ ἐστι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθος. καὶ Ἀρκεύθη ἡ πόλις.

---

2. Ἀπόλλων R. 4. Δελφουσιάτης usque ad 6. Δελφίνιος om. V. τύπος pro τῷ τύπῳ R. 5. ὀγδόῃ] c. 38. 6. προκατελήφθη R, προκατελείφθη A. 8. Δενθάλιοι H, Δελθάννοι V, Δελθάνιοι AR. 8. 9. Μεσσηνίων καὶ Λακεδαιμονίων libri, correxit H. nisi forte post Λακεδαιμονίων excidit aliquid. 9. τὸ om. R. 10. 11. ἀποδεξαμένου ... ολου παιδὸς V. 15. Ἄμυρον H, Ἄμηρον libri. 16. Δέρρα libri. cf. Pausan. 4, 15, 4. 16. 17. Δεραῖος ἢ Δερεάτης RV, Δερραῖος ἢ Δερρεάτης A. 17. Δερεάτιδος RV, Δερρεάτιδος A, Διρριάτιδος Salmasius propter Pausan. 3, 20, 7. 18. φησὶ R. Δειραδιώτας B, Δειρατιώτασα R, Δειρατιώτας AV. 21. καὶ Δέρβεια om. V. Δέρβειον R. 22. Καπείτων V. Δέρμην ΠRV, Δέρβην A. 24. Ἀρκεύθης RV.

Δερβίκκαι, ἔθνος πλησίον τῶν Ὑρκανῶν. Ἀπολλώνιος δὲ δὶς τὸ κ̄ καλῶς γράφει. Κτησίας δὲ *Δερβισσοὺς* αὐτούς φησιν ἢ *Τερβισσούς*.

Δέραια, πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν *Δεραιεύς* ὡς Ἡραιεύς. Ἀρκαδίας γὰρ ἀμφότερα.

Δερραῖοι, Θρᾴκιον ἔθνος. Ἡρόδοτος *Δερσαίους* αὐτούς φησι.

Δερτών, πόλις Λιγύρων. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ιά „τὴν καλουμένην Δερτῶνα πόλιν". τὸ ἐθνικὸν Δερτώνιος ὡς Ἀντρώνιος.

Δηλία, πόλις Καρίας. τὸ ἐθνικὸν Δηλιεύς τῷ τῶν Καρικῶν λόγῳ.

Δήλιον, πολίχνιον Βοιωτίας ἐν τῇ Τανάγρᾳ καὶ ἱερὸν Ἀπόλλωνος. τὸ ἐθνικὸν Δηλιεύς ὡς Σουνιεύς.

Δῆλος, νῆσος μία τῶν Κυκλάδων. „Δῆλον ἐκυκλώσαντο καὶ οὔνομα Κυκλάδες εἰσίν". ἢ παρὰ τὰς γονὰς [ἢ μαντείας]. ἱερὸν γὰρ Δῆλος τοῦ Ἀπόλλωνος, τοῦ θεοῦ πρῶτον ἐν αὐτῇ γενομένου. ἢ διὰ τὰς μαντείας· δηλοῦσα γὰρ ἦν τὰ δυσεύρετα. ἐκαλεῖτο δὲ *Κύνθος* ἀπὸ Κύνθου τοῦ Ὠκεανοῦ, καὶ

---

1. *Δερβίκκαι* B, *Δελβίκκαι* libri, *Δελβίκαι* H. 2. κ̄ R, κκ̄ AV. *καλῶς* add. PpRV, *καὶ ὡς* Π. fortasse *κακῶς* et supra *Δερβίκαι*. *Δερβισσοὺς* Pp, *Δερβίους* ARV. hodie in Ctesiae excerptis gentem appellari *Δέρβικες* annotavit H. cf. Bernhardy ad Dion. Per. 734 et Tzschuck. ad Pompon. Mel. 3, 5, 4. 2. 3. *αὐτούς φησιν ἢ Τερβισσούς* om. W. 4. *Δέραια* Lobeck. Paral. p. 27. *Δέρεια* libri. praeterea, nisi ordo nominum mutandus est, scribendum videtur *Δέρραια*. *Δεραιεύς* R, *Δερεεύς* AV. 5. *ἀμφότερα* PpΠRV, *ἀμφότεροι* A. haec admonitio quo spectet quaesivit Lobeckius l. l. mihi gentile *Δεραιάτης* excidisse videtur, qui typus Peloponnesiis proprius dicitur a nostro pluribus locis. 6. *Δεραῖοι* X, *Δερρᾶν* AΠV, *Δερᾶν* R. *Ἡρόδοτος*] 7, 110. 9. *Δέρτουνα* ante Cluverum. 11. 12. *τῷ τῶν Καρικῶν λόγῳ* R, *τῷ λόγῳ τῶν Καρικῶν* AV. 13. *τῇ* add. ΠRV. 15. *Δῆλον*] Dion. Per. 526. 16. *παρὰ τὰς γονὰς*] Quoniam Apollinis et Dianae natalibus insula e profundo maris eminuit. *ἢ μαντείας* seclusit H. 18. *γὰρ* add. PpΠRV, om. A.

Ἀπόλλων Κύνθιος. καὶ Ἀστερία καὶ Πελασγία καὶ Χλαμυδία. τινὲς δὲ ὅτι Ζάκυνθος ἐκαλεῖτο, κακῶς εἰδότες. κεκλῆσθαι δὲ αὐτὴν καὶ Σκυθίδα Νικάνωρ φησίν. ἐξ αὐτοῦ Δήλιος καὶ Δηλία καὶ Δηλιάς. καὶ Δηλίτης ὁ εἰς Δῆλον ἐρχόμενος χορός, Καλλίμαχος τρίτῳ. καὶ Δηλιακός τὸ κτητικόν.

Δημητριάς, πόλις Θεσσαλίας, ἀπὸ Δημητρίου βασιλεύσαντος, [ὃς] καὶ τὰς ὑπὸ τὸ Πήλιον κειμένας πόλεις κατέσκαψε. κεῖται δὲ πρὸς τῷ Παγασιτικῷ κόλπῳ [ἐν μέσῳ Εὐβοίας καὶ τῆς Φωκίδος]. β΄ Μακεδονίας. γ΄ Περσίδος πρὸς Ἀρβήλῳ. τὸ ἐθνικὸν Δημητριεύς, ὡς τὸ Ἀφροδισιεύς Ὀρθωσιεύς.

Δημήτριον, τόπος περὶ Θεσσαλίαν περὶ τὸ Κροκωτὸν πεδίον κείμενος παρὰ τὸν Ἄμφρυσον. ἔστι καὶ πόλις Αἰολίδος. ὁ πολίτης Δημητριεύς ὡς Δουλιχιεύς.

Δημόνησος, περὶ Χαλκηδόνα νῆσος, ἀπὸ Δημονήσου τινός. ἔχει δ' ὁ τόπος κυανοῦ μέταλλον καὶ χρυσοκόλλης.

---

2. κ cum lacunae indicio pro κακῶς V. 3. Σκυθίδα R, Σκυθιάδα AV. frustra corrigunt Κυνθιάδα. 4. Δηλιαστής B. 6. Δημητριάς] Hanc olim Sicyonem appellatam fuisse nescio unde resciverit Nicephorus Greg. Hist. Byz. 4, 9. qui error hoc certe commodi habet, quod inde Sicyonem Achaicam aliquando a Demetrio Poliorceta Demetriadem dictam fuisse discitur. 7. ὃς add. H. 8. τῷ add. RV. Παγασιτικῷ V, Παγασητικῷ AR. quam reposui formam, ea unice analogiae legibus convenit, utpote ad Παγασίτης revocanda. eandem restitui supra s. v. Ἀφεταί habetque cod. Par. apud Scylac. §. 64. 65. 66. dissentiens a ceterorum usu scriptorum Ptolem. Geogr. 3, 3, 17. hunc sinum Πελασγικὸν appellavit: Φθιώτιδος (πόλεις) ἐν τῷ Πελασγικῷ κόλπῳ. ubi Παγασιτικῷ corrigentibus obstant quae apud Nicephorum Greg. Hist. Byz. 4, 10. leguntur: κόλπος ἐστὶ Πελασγικὸς οὑτωσί πως καλούμενος ἐπὶ πλεῖστον τῆς μεσογείας παρεξιὼν καὶ πρὸς ἄρκτους ἀφιεὶς τὴν Ὄσσαν τε καὶ τὸ Πήλιον. 8. 9. ἐν μέσῳ Νηλίας καὶ Παγασῶν parum probabiliter H, cll. Strab. 9 p. 436. non dubium est quin verba ἐν μέσῳ Εὐβοίας καὶ τῆς Φωκίδος ex alio loco huc illata fuerint; itaque seclusi. 9. Ἀρβόλῳ V, Ἀρβήλοις B. 11. Κροκωτὸν] Strabo 9 p. 435: τῶν Θηβῶν ἐν τῇ μεσογείᾳ τὸ Κρόκιον πεδίον — δι' οὗ ὁ Ἄμφρυσος ῥεῖ. qui fortasse ex nostro corrigendus. 12. παρὰ V, περὶ AR. 14. παρὰ R. 15. χρυσοκόλλης R, χρυσοκόλης V.

και χρυσίον εὑρίσκεται τίμιον, ὀφθαλμῶν τε φάρμακόν ἐστιν. ὁ νησιώτης Δημονήσιος.

Δῆμος, παρ' Ἀθηναίοις ἡ κώμη καὶ ἡ τοῦ πλήθους συλλογή. καὶ τὸν ἕνα δημότην „οὐ μὲν ἔοικε δῆμον ἐόντα". καὶ τὸν τόπον „δήμῳ ἐνὶ Τρώων". καὶ τὸ κατὰ πόλιν πλῆθος ἐν τοῖς ἀρίστοις „εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φήμην". καὶ τὸ Ἑλλήνων πλῆθος ἔξω τῆς ἰδίας χώρας.... „θεὸς δ' ὣς τίετο δήμῳ". καὶ τὸ ὅλον ἔθνος. καὶ τόπον ἐν Ἰθάκῃ ὃς καὶ Κροκύλειον. καὶ τὸ πᾶν [πλῆθος], ὡς ἐν Σφηξί „τὸν δῆμον ἡμῶν βούλεται διιστάνειν". ὁ οἰκήτωρ δημότης, ἀφ' οὗ δημόσιος, καὶ δημοτεύομαι ἀντὶ τοῦ οἰκῶ. καὶ δήμιος, καὶ δημότερος συγκριτικόν, οὐκ ἀποκοπῇ, ἀλλ' ἐκ τοῦ ἐπιθετικοῦ τοῦ „δῆμον ἐόντα παρὲξ ἀγορευέμεν". καὶ δημοτικός καὶ δημοτικώτερος, καὶ δημαγωγός ὁ προεστηκὼς δήμου, καὶ δημοποίητος ὁ εἰσπεποιημένος δημότης ἐξ ἑτέρου τινὸς εὐεργεσίας. καὶ σύνθετα, δημήλατος Αἰσχύλος Ἱκετίσιν „ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ" ὁ ἀπὸ τοῦ δήμου ἐλαθείς. καὶ δημιόπρατον Ἀριστοφάνης Ἱππεῦσιν „ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος".

Δηρά, γῆς Ἰβηρίας, ἧς ὁ Σικανὸς ποταμός. οἱ οἰκήτορες Δηραῖοι.

Δηρούσιοι, ἔθνος Περσικόν. Ἡρόδοτος α' „Πέρσαι δ' οἱ μὲν Πενθιάδαι οἱ δὲ Δηρούσιοι οἱ δὲ Καρμάνιοι".

---

1. 2. *ἔστιν ὁ νησιώτης* R. 4. *οὐ μὲν*] Hom. Il. 12, 212. *ὁ μὲν* *Π*. 5. *δήμῳ ἐνὶ Τρώων*] Odyss. 13, 266. 6. *εὐνήν*] Odyss. 16, 75. *αἰδομένη* R, *αἰδομένην* AV. 7. indicavi lacunam. 8. *θεὸς δ' ὣς*] Il. 13, 218. *τόπος* R. 9. *ἐν Ἰθάκῃ*] V. Odyss. 9, 555. ibique Eustathium, quem vide item ad Il. 2, 633. *παν* R. *πλῆθος* add. Salmasius. in libris sex septemve literarum lacuna est. 10. *Σφηξὶ* (vs. 41) BH, *Ἱππεῦσι* libri. 12. *ἐκκοπῇ* R, *ἐκοπῇ* *Π*, *ἐκκοπ̃* V. 13. *τοῦ θετικοῦ* Salmasius. *δῆμον*] Il. 12, 212. 16. *δημήλατος* H, *δημηλάτης* libri. *Ἱκετίσιν*] vs. 614. 17. *δημηλάτῳ* RV, *δημηλάτον* A. *ὑπὸ*? 18. *Ἱππεῦσιν*] vs. 103. 20. *γῆ Ἰβηρίας* H. fort. [*πόλις*] *τῆς Ἰβηρίας*. [*δι'*] *ἧς*? 22. *Δηρουσίοι* R. *α'*] c. 125. ubi legitur: *Πέρσαι εἰσὶ οἵδε, Πανθιαλαῖοι Δηρουσιαῖοι Γερμάνιοι.*

Δῖα, πόλις Θεσσαλίας, Αἰακοῦ κτίσμα. β' Θρᾴκης κατὰ τὸν Ἄθω. γ' Εὐβοίας. δ' νῆσος καὶ πόλις Πελοποννήσου περὶ τὸ Σκύλλαιον. ε' Λυσιτανίας περὶ τὸν ὠκεανόν. ς' Ἰταλίας πρὸς ταῖς Ἄλπεσιν. ζ' Σκυθίας παρὰ τῷ Φάσιδι. η' Καρίας. θ' Βιθυνίας πρὸς τῷ Πόντῳ. εἰσὶ καὶ δ' νῆσοι Δῖαι λεγόμεναι. α' ἡ Νάξος. β' ἡ πρὸς Μήλῳ. γ' ἡ πρὸς Ἀμοργῷ. δ' κατὰ Κνωσσὸν Κρήτης. τὸ ἐθνικὸν Διεύς, καὶ τὸ θηλυκὸν Διάς, ὅθεν καὶ Διάδες Ἀθῆναι.

Διαβῆται, νῆσοι περὶ Σύμην. τὸ ἐθνικὸν Διαβαταῖος.

Διαβήτη, νῆσος δυσμικωτέρα Σαρδοῦς καὶ Κύρνου. ἐθνικὸν τὸ αὐτό.

Διαδόχου, πόλις Περσικὴ οὐ πόρρω Κτησιφῶντος. τὸ ἐθνικὸν τῆς χώρας Διαδοχηνός.

Διακρία, φυλὴ τῆς Ἀττικῆς, ἣν ᾤκει Πάλλας ὁ Πανδίονος υἱός. οἱ δημόται Διακριεῖς.

Διανεῖς, ἔθνος Γαλατικόν, Ἐρατοσθένης ἐν δ' Γαλατικῶν.

Διάς, πόλις Λυκίας, ἣν Διάδης ἔκτισε. τὸ ἐθνικὸν Διαδεύς.

Δίγηροι, ἔθνος Θρᾴκιον, Πολύβιος ιγ'.

Δίδυμα, οὐδετέρως, τόπος καὶ μαντεῖον Μιλήτου ἀφιερωμένον Διὶ καὶ Ἀπόλλωνι. εἰσὶ καὶ Κρήτης [ποταμοί.] εἰσὶ

---

1. *Θεσσαλίας*] Eam ipse Stephanus infra rectius dicit *Δῖον*, quemadmodum etiam eas quas secundo et tertio loco posuit. 3. *Σκύλλαιον* R, *Σκύλαιον* AV. 4. *τοῖς* R. *Σκυθίας*] Huius nomen ex *Αἶα* corruptum esse vidit H. *παρὰ* R, *περὶ* AV. 6. *Μήλῳ* BH, *Μιλήτῳ* libri. *Ἀμοργῷ* H, *Σαμοσσῷ* R, *Σαρμοσσῷ* AV. 7. *Γνωσσὸν* V. 9. *Διαβαταῖος*] A *Διαβατή*, quo nomine appellat insulam Sardiniae vicinam Ptolem. 3, 3, 8, quae nostro est *Διαβήτη*. ceterum haec sectio cum praecedenti coniungenda videtur, addita ante *Διαβήτη* particula *καὶ*. 12. *Διαδοχούπολις, πόλις* Pinedo. sed v. ad *Μενέλαος*. 13. *Διαδοχηνός τῆς χώρας* R, *τύπῳ* add. H. 14. *Διάκρια* H. 15. *Διακριεῖς* X, *Διακρεῖς* AΠV, *Διακρ̄* R. 21. *Κρήτης* [*ποταμοί*] M, *κρήνης* R, *κρῆναι* AV. cf. Dionysius Descr. Graec. 126: *ποταμοὺς δ' ἔχει Ληθαῖον, εἶτα λεγομένους Διδύμους*.

καὶ τῆς Θετταλίας. εἰσὶ καὶ δύο νησίδια πρὸς τῇ Σύρῳ. τὸ ἐθνικὸν Διδυμεύς καὶ Διδυμαῖος κτητικόν. εἰσὶ καὶ ὄρη Λαοδικείας ἐγγύς.

Διδύμη, μία τῶν Αἰόλου νήσων, ἀπὸ τοῦ σχήματος ὀνομασθεῖσα. ἔστι καὶ πόλις Λίβυσσα. ὁ πολίτης Διδυμαῖος. ἔστι καὶ κώμη Κιλικίας *Διδυμαί*, ὀξυτόνως. Ἀρτεμίδωρος δὲ δύο νησίδια *Δίδυμά* φησι.

Δίδυμον τεῖχος, πόλις Καρίας. οἱ πολῖται Διδυμοτειχῖται.

Δίζηρος, ποταμὸς Ἰλλυρίδος. Λυκόφρων „οἳ πρὸς βαθεῖ νάσσαντο Διζηροῦ πόρῳ". ἴσως ἀπὸ τοῦ δίζησθαι τὴν Μήδειαν ὀνομασθείς. τὸ ἐθνικὸν Διζήριος καὶ Διζηρίτης, ὡς Ἄλωρος Ἀλωρίτης.

Δίκαια, πόλις Θράκης, ἀπὸ Δικαίου τοῦ Ποσειδῶνος υἱοῦ. τὸ ἐθνικὸν Δικαιοπολίτης. εἰ δὲ τῷ τύπῳ θέλοις, Δικαῖος καὶ Δικαία καὶ Δικαιεύς. ἔστι καὶ ἑτέρα ἐν τῷ Τυρρηνικῷ κόλπῳ Ἰώνων ἄποικος. ἡ αὐτὴ δ' ἐκλήθη *Δικαιάρχεια* καὶ *Ποτίολοι*.

Δικαιάρχεια, πόλις Ἰταλίας. ταύτην δέ φασι κεκλῆσθαι *Ποτιόλους*, ἐν ᾗ τὸ συμπόσιον ὁ Ἡρωδιανὸς ἔγραψε. πότια δὲ τὰ φρέατα καλοῦσι Ῥωμαῖοι, ὀλῆρε δὲ τὸ ὄζειν·

---

1. *νησία* RV. 2. *Διδύμειος* R. 5. *ὀνομασθεῖσα* AR, *ὁ νόμος* P[a]V, *ὁ λόγος* P[b]. *Διδύμιος?* 6. *Διδυμή* vel *Διδυμαί* Salmasius, *Διδυμαῖον* libri. 7. *νησίδια* R, *νησία* AV. 8. *πόλιως* V. 10. *ποταμὸς* BH, *πόλις* libri. 10. 11. *πρὸ βαθεῖ* RV, *προβάτειαν* AΠ. 11. *νάσσοντο* RV, *νάσον* AΠ. *Διζηροῦ* libri, qui in lemmate omnes *Δίζηρος*, pro quo *Διζηρός* B. apud Lycophronem editur *Διζηροῦ*, at cod. Par. *Διζήρου*. *πόρον* libri, e Lyc. correctum. 11. *δίζησθαι* R, *δίζεσθαι* AV. 15. *Δικαιοπολίτης*] Eadem enim civitas etiam *Δικαιόπολις* dicebatur, v. Harpocrat. s. v. *Δικαιόπολις*, idque ipse etiam Stephanus sine dubio indicarat. *εἰ δὲ τῷ τύπῳ θέλοις* R, *ἐν δὲ τῷ τύπῳ θέλεις δέλοις* V, *εἰ δὲ τῷ τύπῳ* A. 16. *Δικαία καὶ* M, *Δικαί* R, om. AV. 16. 17. *ἔστι — ἄποικος*] Haec in hunc locum transposui, cum in libris post *υἱοῦ* legantur. 21. *πότεοι?* cf. Varro L. L. 6, 84. *ὀλῆρε* M, *ὄλαι* RV, *ὀλέρε* A.

δυσώδη γὰρ τὰ φρέατα εἶχε. τὸ ἐθνικὸν Δικαιαρχεὺς ἔδει. ἔστι δὲ καὶ Δικαιαρχείτης ὡς Ζελείτης.

Δίκτη, ὄρος Κρήτης. Καλλίμαχος ἐ... τὸ ἐθνικὸν Δικταῖος καὶ Δικταία.

Δινδρύμη, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Δινδρυμαῖος.

Δίνδυμα, ὄρη τῆς Τρωάδος, ἀφ' ὧν Δινδυμήνη ἡ Ῥέα. ὁ τοπίτης Δινδυμναῖος. καὶ τὴν θεὸν Δινδυμήνην. ὅτι καὶ Δινδυμηνός καὶ Δινδυμηνή καὶ Δινδύμιος καὶ Δινδυμία. ἐκ τόπου Δινδυμόθεν.

Διοβούλιον, πολίχνιον πλησίον τοῦ Πόντου. τὸ ἐθνικὸν Διοβουλιεύς, ὡς τὰ τῶν Φρυγίων πόλεων ἐθνικά.

Διόμεια, οὐδετέρως, δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Διομειεύς. Ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ Κολλύτῳ ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. οὗ ἀποθεω...

Διομήδεια, πόλις Δαυνίων, κτίσμα Διομήδους. καὶ νῆσος ἡ Διομήδεια, ἐν ᾗ οἱ ἐρωδιοὶ χειροήθεις προσπετόμενοι καὶ εἰς τοὺς κόλπους δύοντες, οὓς φασιν ὅτι τοὺς ἑταίρους Διομήδους ἐκεῖ εἰς ὄρνιθας μετασχηματισθῆναι. ἔστι

---

1. δὲ pro γὰρ RV. 3. ἐ indicata lacuna libri, Ἑκάλῃ Salmasius, εἰς Ἄρτεμιν Aldobrandinus cll. Callim. in Dian. 199. malim ἐν τῷ Ἀρτέμιδος ὕμνῳ, ut s. v. Μελιγουνίς legitur: Καλλίμαχος ἐν τῷ Ἀπόλλωνος ὕμνῳ, vel simpliciter ἐν ὕμνοις, ut s. v. Δώτιον. tot enim fere literarum spatium est in R. 5. ἀρχὴ τοῦ ιγ' βιβλίου ante Δινδρύμη ΠR. 7. Δινδυμναῖος V, Δινδυμηναῖος AR, Δινδυμαῖος H. Δινδυμναῖος poeta aliquis dicere potuit, ut Pindarus δίδυμνος dixit pro δίδυμος. itaque fortasse scribendum Δινδυμαῖος καὶ Δινδυμναῖος. sequentia Lobeckius Path. p. 196 ita refinxit: εἴη δ' ἂν καὶ Δινδυμηνός, ὅτι καὶ τὴν θεὸν Δινδυμήνην λέγουσι. 11. Διοβουλιεύς] Hoc nihil habet characteris Phrygii, habebit vero, si urbis nomen Διοβούλειον, gentile autem Διοβουλεύς fuisse statuas. cf. Lobeck. Par. p. 29. 12. Διόβεια V. Αὐγηΐδος V. 13. Διομειεύς] V. Lobeck. Paral. p. 26. Βολύττῳ R, Κολύττῳ AV. 14. ἠράσθη lacuna indicata om. V. οὗ ἀποθεω[θέντος]...? in quo οὗ ad Herculem spectat. de Diomo cf. Anal. Alex. p. 177. 16. 17. προσπετόαρ...οι. καὶ εἰς V. 17. ὥς φασιν B. 18. ἑτέρους R. εἰς om. V.

καὶ τόπος *Διομήδεια* πλησίον Ἀργυρί[ππων]. τὸ ἐθνικὸν Διομηδεύς. ἄμεινον δὲ Διομήδειος.

Δῖον, πόλις Εὐβοίας περὶ τὸ Κήναιον. Ὅμηρος „Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον". ἔστι καὶ Μακεδονίας, ἔνθα τὸν Ὀλυμπικὸν ἀγῶνα ἐτέλουν. τὸ ἐθνικὸν Διεύς. Παυσανίας δὲ Διάστας φησί· Μακεδόνων γὰρ ὁ τύπος, Ὀρέσται Λυγκησταί. γ' ἔστι πρὸς τῷ Ἄθῳ, ὡς Θουκυδίδης. δ' Θεσσαλίας. ε' Πισιδίας. ϛ' Ἰταλίας. ζ' κοίλης Συρίας, κτίσμα Ἀλεξάνδρου, καὶ Πέλλα· ἧς τὸ ὕδωρ νοσερόν. καὶ τὸ ἐθνικὸν Διηνός, ὡς δηλοῖ τὸ ἐπίγραμμα

νᾶμα τὸ Διηνὸν γλυκερὸν ποτόν, ἤνιδὲ πίῃς,
παύσει μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου.

τὸ κτητικὸν Διακός. καὶ τὸ θηλυκὸν Διάς, ὡς δηλοῦσιν αἵ γε περὶ ταύτην ἦσαν Διάδες Ἀθῆναι καλούμεναι. οἱ πολῖται Ἀθηναῖται.

Διονυσία, πόλις Ἰταλίας. ἔστι καὶ *Διονυσιάς*. τὸ ἐθνικὸν Διονυσιεύς, ὡς Δημητριάς Δημητριεύς.

---

1. τόπος add. PpV. *Ἀργυρίππων* M, *Ἀργυρίππης* B, *Ἀργυρι...* libri. 3. *παρὰ* R. *Κίνναιον* ante X. *Ὅμηρος*] Il. 2, 538. 5. *Ὀλυμπιακὸν* X. 6. *Παυσανίας*] 9, 30, 8. *Διαστάς* libri. *Διάστας* recte codd. Pausaniae. 6. 7. *Ὀρέσται* R, *Ὀρεσταί* AV. 7. *Λυγκισταί* libri. cf. ad Scymn. p. 36. rectius fortasse *Λυγκῆσται*, quae legitima est Macedonicorum nominum *τόνωσις*, indicante Herodiano s. v. *Πιάσται*. cf. ad v. *Ἐορδαία*. *ἔστι* M, *ἔσης* APpRV, *Θρᾴκης* X. *Θουκυδίδης*] 4, 109. 9. *καὶ Πέλλα*] Hae sunt laciniae loci ex nescio quo scriptore petiti, qui Dium et Pellam ab Alexandro condita esse dixerat. pessime *ἡ καὶ Πέλλα* edidit X. Dium Syriacum simul Pellam vocatum fuisse, nec traditum a quoquam nec verisimile est. ceterum cf. Eustath. ad Hom. p. 280, 36: *καὶ ἄλλαι δὲ πόλεις τὴν τοῦ Δίου κλῆσιν εἶχον, ὡς ὁ τὰ ἐθνικὰ γράψας δηλοῖ, ἐν αἷς καὶ ἡ κατὰ κοίλην Συρίαν, Ἀλεξάνδρου κτίσμα, ἧς τὸ ὕδωρ νοσερόν, ἐφ' ᾧ καὶ ἐπίγραμμα· νᾶμα τὸ Διηνὸν κτλ.* *νοσερόν* W ex Eustathio, *νοσηρόν* libri. 11. *Διηνῶν*? *ἤνιδὲ* RV, *ἢν ἰδὲ* A, *ἢν δέ γε* Eustathius. forsan *ἢν δὲ πίῃς νιν*. 12. *παύσει* V, *παύσῃ* AR. *εὐθὺς* R. *καὶ διοβιότου* V. 14. *περὶ* PpΠR, *πρὸς* A. fort. *αἵ γε περὶ τὴν Εὔβοιαν Διάδες Ἀθῆναι*. cf. ad p. 34, 22. *Δυάδες* R.

Διονύσου πόλις, ἐν τῷ Πόντῳ, ἡ πρότερον *Κρουνοὶ* ἀπὸ τῆς τῶν ὑδάτων καταρροῆς.

Διονυσιακοῦ δὲ προσπεσόντος ὕστερον
ἐκ τῆς θαλάττης τοῖς τόποις ἀγάλματος
οὕτως ἐκλήθη.

εἰσὶ καὶ *Κρουνοὶ* χωρίον πρὸς δύσιν τῆς ἐχούσης τοὺς βασιλέας πόλεως. β' Φρυγίας, κτίσμα Ἀττάλου καὶ Εὐμενοῦς ξόανον εὑρόντων Διονύσου περὶ τοὺς τόπους. γ' τῆς Ἰνδικῆς. δ' Λιβύης. ε' Θρᾴκης. τὸ ἐθνικὸν Διονυσοπολίτης.

Διόπη, πόλις Ἀρκαδίας, ὡς Φερεκύδης. τὸ ἐθνικὸν Διοπεὺς ἢ Διοπίτης ὡς Σινωπίτης.

Διὸς ἱερόν, πολίχνιον Ἰωνίας μεταξὺ Λεβέδου καὶ Κολοφῶνος. τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν πρώτῃ Ὀλυμπιάδων.

Διοσκουριάς, μία τῶν ἐν Λιβύῃ Λευκῶν νήσων. ὁ νησιώτης Διοσκουρίτης. ἔστι καὶ ἑτέρα περὶ τὸν Πόντον, ἥ τις *Σεβαστόπολις* καλεῖται. καὶ πρότερον δὲ *Αἶα* ἐπικλήσκετο, ὡς Νικάνωρ. ὁ πολίτης Διοσκουριεύς. ἔστι καὶ ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ νῆσος *Διοσκουρίδου*.

Διοσκούρων κώμη, Λιβύης, ἐν ᾗ τὸν Πάριν ἐπιδιώξαντες ἥρπασαν τὴν Ἑλένην οἱ Διόσκουροι [ἣν] ᾤκησαν. ὁ κωμήτης Διοσκουροκωμήτης ὡς Μεγαλοκωμήτης, ἐκ δύο ἓν παράγωγον.

---

1. *Κουρνοί* R. 3. *Διονυσιακοῦ*] Sunt Scymni, qui dicitur, versus Perieg. 753 sq. 5. *εἰσὶ δὲ καὶ* A. *Κρυνοί* RV. 6. *τοὺς βασιλέας* PpRV, *τὸν βασιλέα* A. Constantinopolin dici monuit B. dicendi genus interpolatoris barbariem redolet. 8. *Λιβύης*] De hac quae narrat Eustathius ad Hom. p. 1644, 59: *περὶ τὴν Λιβύην ἕτεροι τερατεύονται Διονύσου πόλιν εἶναι, ἣν οὐκ ἐνδέχεται δὶς τὸν αὐτὸν ἐξευρεῖν ὡς μεθισταμένην*, fortasse in suo Stephani exemplari reppererat. 11. *Διωπίτης* V. 14. *Ὀλυμπιάδων* H, *ὀλυμπιάδος* PpRV, *ὀλυμπιάδι* A. 15. *λευκοῦ* R. 16. *περὶ Πόντον* R, *παρὰ τὸν Πόντον* ΠV. 17. *Σεβανόπολις* V. 19. *Διοσκουρίδου* ΠRV, *Διοσκορίδου* A. 21. *οἱ Διόσκουροι* Pp, *οἱ Διοσκοῦροι* V, *οἱ Διοσκῶροι* R, om. A. *ἣν* om. PpRV, *καὶ ἐνῴκησαν* H.

Διόσπολις, ἡ μεγάλη πόλις τῆς Αἰγυπτίας Θηβαΐδος, ἡ λεγομένη ἑκατόμπυλος, κτίσμα Ὀσίριδος καὶ Ἴσιδος. πρὶν δὲ ὑπὸ Περσῶν ἀφανισθῆναι, φησὶ Βάτων, ὅτι μυρίας τρισχιλίας κώμας εἶχε καὶ τριάκοντα, ἀνθρώπων δὲ μυριάδας ἑπτακοσίας, ἀρουρῶν δὲ τόπον μεμετρημένον τρισχιλίων καὶ ἑπτακοσίων, ἑκατὸν δὲ πύλας διακεκοσμημένας, τετρακόσια στάδια τὸ μῆκος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν Αἰγύπτῳ τέσσαρες, ὧν ἐν τῇ μιᾷ τιθασεύουσι τοὺς κροκοδείλους, ἐν ἄντροις καὶ φρέασι σέβοντες, μηδὲ τοῦ ποταμοῦ γενόμενοι, μηδ' εἰ σφόδρα λέγοιντο. ς' Λυδίας. ζ' Παλαιστίνης. ὁ πολίτης Διοσπολίτης.

Διοχίτης, κώμη Αἰγύπτου, ἐν ᾗ τέθαπται... Ὄσιρις. ἐθνικὸν τὸ αὐτὸ Διοχίτης.

Δίπαια, πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Διπαιεύς. ἀλλὰ καὶ ἡ πόλις οὕτως.

Δίρφυς, ὄρος Εὐβοίας, ὡς Εὐφορίων. τὸ ἐθνικὸν Δίρφυος. καὶ Διρφύα ἡ Ἥρα τιμᾶται.

Δισοραί, ἔθνος Θράκιον, Ἑκαταῖος Εὐρώπῃ.

Δίφροι, πόλις Φοινίκων. τὸ ἐθνικὸν ὁμώνυμον.

Διωνία, πόλις, ἣν συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι Θεόπομπος πεντεκαιδεκάτῃ Φιλιππικῶν. τὸ ἐθνικὸν Διωνιᾶται ὡς Κυδωνιᾶται.

Δόβηρος, πόλις Παιονίας. οἱ πολῖται Δόβηρες.

---

2. ἑκατόμπολος PpR, ἑκατόμπολος V, ἑκατόμπολις A. 3. Βάτων Ebertus Diss. Sic. p. 94, Κάτων libri. idem error apud Porphyrium ad Hom. Il. ι, 383 ubi pro τρισμυρίας scribendum μυρίας. 6. πύλαι διακεκοσμημέναι libri, correxit B. 8. τιθασσεύουσι libri. 12. Διοχί (τ supra) R, qui in margine ab alia manu habet Διοχίτῃ. lacunam duodecim literarum indicant RV. 13. Διοτειχίτης R. 15. οὕτως i. e. Διπαιεύς sive Διπαιεῖς. cf. ad v. Ἄταρνα. 16. 17. τὸ ἐθνικὸν Δίρφυος] Similiter ab Αἴγυς Lycophro formavit gentile Αἴγυος. vid. s. v. Αἴγυς. adde Πατράσυος a Πάτρασυς infra. 18. Δισοραί] Aut Δισόραι aut Δισοραῖοι scribendum videtur. 20. συγκαταλέγει RV, καταλέγει A. 23. Παιονίας R, Παιωνίας A, Παιονίας (ω supra) V.

Δοίαντος πεδίον Φρυγίας. Ἄκμονα γὰρ καὶ Δοίαντά φασιν ἀδελφούς, ἀφ' ὧν τὸ Δοιάντειον καὶ Ἀκμόνιον ἄλση.

Δοκίμειον, πόλις Φρυγίας, ὡς Εὐδαίμων. τὸ ἐθνικὸν Δοκιμεύς κατὰ τέχνην, κατὰ δὲ τὴν συνήθειαν Δοκιμηνός, ἀφ' οὗ τὰ μάρμαρα οὕτω φασί.

Δόλβα, πόλις τῆς Ἀδιαβηνῆς, Ἀρριανὸς ιγ' Παρθικῶν. τὸ ἐθνικὸν Δολβαῖος καὶ Δολβηνός.

Δολίονες, οἱ τὴν Κύζικον οἰκοῦντες, οὓς Δολιέας εἶπεν Ἑκαταῖος. λέγονται καὶ Δολιόνιοι, καὶ θηλυκῶς Δολιονία.

Δολίχη, νῆσος πρὸς τῇ Λυκίᾳ, ὡς Καλλίμαχος. Ἀλέξανδρος ἐν τῷ Λυκίας περίπλῳ Δολιχίστην αὐτήν φησιν. ἔστι καὶ Δολίχη πόλις τῆς Κομμαγηνῆς. ἐθνικὸν Δολιχαῖος Ζεύς· οἱ δ' ἐπιχώριοι Δολιχηνοί λέγονται. τῆς δὲ Λυκιακῆς Δολίχης Δολιχεύς. ὁ γὰρ τύπος συνήθης τοῖς Λυκίοις. τῆς δὲ Δολιχίστης Δολιχιστεύς.

Δόλογκοι, ἔθνος Θρᾴκης, ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ. τὸ ἐθνικὸν Δολόγκιος καὶ Δολογκιάς καὶ Δολογκιάδης.

Δόλοπες, ἔθνος Θεσσαλῶν ἔγγιστα, ἀπὸ Δόλοπος. ἡ χώρα Δολοπία καὶ Δολοπηίς.

Δομετιούπολις, Ἰσαυρίας πόλις. ὁ πολίτης Δομετιοπολίτης.

Δονουσία, νῆσος μικρὰ Ῥόδου, εἰς ἣν Διόνυσος ἐκ Νάξου τὴν Ἀριάδνην μετεκόμισε, τοῦ πατρὸς Μίνω διώκοντος

---

1. Δοίαντος RV, Δοίαντες A. 2. τὸ RV, τε A. Δοιάντειον R, Δοιάντιον AV. Ἀκμιώνιον AV, Ἀκμιώνειον R. 3. Δοκίμειον] Vide ad v. Σύνναδα. 6. Ἀδιαβηνῆς V, Ἀδαβηνῆς R, Ἀβιαδηνῆς A. 8. οἱ [περὶ] τὴν B. Δολιαίας R. 9. θηλυκὸν R. Δολιονία RV, Δολονία A. 10. Δολιχή vulgo. Καλλίμαχος] Dian. 187. 12. ἔστι καὶ RV, ἔστι δὲ καὶ A. Δολιχή Hieronymus Syrita, Δολιχηνή A, Δολιχινή R. 13. λέγουσι? 21. 22. Δομετιουπολίτης R. 23. Δονουσία ex Δόνουσα (Δονοῦσσα) corruptum; editum tamen tenet etiam Eustath. ad Dion. Per. 530. 24. Νάξου X, νάσου libri.

αὐτήν. ἔοικεν οὖν Διονυσία εἶναι, καὶ κατὰ παραφθορὰν Δονουσία. τὸ ἐθνικὸν Δονούσιος.

Δορίειον, Φρυγίας πόλις. τὸ ἐθνικὸν Δοριεύς ὡς Γορδιεύς.

Δορίσκος, πόλις Θρᾴκης καὶ πεδίον. τὸ ἐθνικὸν Δορίσκιος ὡς Βορμίσκιος.

Δοροκόττορος, πόλις Γαλατῶν τῶν προσβόρρων. ὁ οἰκῶν Δοροκοττόριος.

Δορυλάειον, πόλις Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης φησί. τὸ ἐθνικὸν Δορυλαεύς.

Δουλίχιον, μία τῶν Ἐχινάδων νήσων, ἡ καὶ Δολίχα καλουμένη καὶ Ὀξεῖαι, ἣν Θοὰς ὁ ποιητὴς εἶπεν. ἀπὸ Δου-

---

3. *Δοριειεύς* libri, correxit H. nisi scribendum: *τὸ ἐθνικὸν Δοριειεύς [ὡς Σιγειεύς, ἢ Δοριεύς] ὡς Γορδιεύς.* cf. in *Δαρίειον.* 6. *Βορμίσκιος* BH, *Δορμίσκιος* libri. 7. *Δοροκότωρος* R. *προσβόρων* R. 8. *Δωρωκοττόριος* V, *Δοροττόριος* R. 9. *Δορύλαιον*] *Δορυλάς* R, *Δορυλαί* V. cf. Eustathius ad Dion. Per. 815: *τὸ Δορύλαιον, ὡς ὁ γεωγράφος ἱστορεῖ, τὸ καὶ Δορυλάειον, κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην καὶ Δορύλλειον διὰ διφθόγγου.* harum formarum postremam, *Δορύλλειον*, ita tueri licet ut ad *Δόρυλλος* revocetur, quod eadem lege pro *Δορύλαος* dici potuit, qua e. c. *Θράσυλλος* dictum est pro *Θρασύλαος.* at exemplum eius formae non superest nisi hoc ambiguae fidei apud Ptolem. 5, 2, 22. *Δορύλλειον ἢ Δορυλάειον.* non credo igitur hanc formam commendasse Herodianum; huius enim haud dubie affert Eustathius *τέχνην ὀρθογραφικήν*, quem scripsisse puto: *τὸ καὶ Δορυλάιον, κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην Δορυλάειον διὰ διφθόγγου.* nec multo melior est quam primo loco memorat *Δορύλαιον* sive potius *Δορυλάιον*, qua metri causa usus esse videtur Demosthenes, quem Bithynum esse opinor. cf. *Μιδάιον* et *Μιδήιον* s. v. *Μιδάειον.* 11. *Δόλιχα* vulgo. 12. *Ὀξεῖα* B ex Eustath. ad Il. p. 305, 46: *ὁ δὲ τὰ ἐθνικὰ ἐκθεὶς λέγει μὲν καὶ αὐτὸς ὅτι τὸ Δουλίχιον καὶ Δολίχα καλεῖται. προστίθησι δὲ ὅτι καὶ Ὀξεῖα λέγεται, ἣν πληθύνας Θοάς, φησίν, ὁ ποιητὴς εἶπε.* quae indicio sunt Eustathium Stephani locum etiam peius corruptum in suo exemplo repperisse quam est in nostris. Stephanus haud dubie Strabonis locum attulerat, cuius haec sunt verba 10 p. 458: *ὧν (Ἐχινάδων) τό τε Δουλίχιόν ἐστι (καλοῦσι δὲ νῦν Δολίχαν) καὶ αἱ Ὀξεῖαι καλούμεναι, ἃς Θοὰς ὁ ποιητὴς* (Od. 15. 299) *εἶπεν.* quae corrupit epitomator.

λιχίου τοῦ Τριπτολέμου. ὁ πολίτης Δουλιχιεύς καὶ Δουλιχιώτης ἀπὸ τοῦ Δουλιχίη κατὰ τροπὴν καὶ Δουλιχιήτης. καὶ Δουλιχίς. ἐλέγοντο καὶ οἱ ἐν τῷ Δουλιχίῳ Ἐπειοί, ὡς Ἐπαφρόδιτος παρατιθεὶς τὸν Ἀρίσταρχον ἐκδεχόμενον οὕτως.

Δούλων πόλις, πόλις Λιβύης, Ἑκαταῖος ἐν περιηγήσει. „καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίνεται κἂν ξένος ᾖ". ἔστι καὶ ἑτέρα Ἱεροδούλων, ἐν ᾗ εἷς μόνος ἐλεύθερός ἐστι. φασὶ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον. σημειωτέον δ' ὅτι Κρατῖνος ἐν Σεριφίοις πόλιν δούλων φησίν, Ἀπολλωνίου φήσαντος „μὴ δεῖ ταύτας τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος

εἶτα Σάκας ἀφικνῇ καὶ Σιδονίους καὶ Ἐρεμβούς,
ἔς τε πόλιν δούλων ἀνδρῶν νεοπλουτοπονήρων".

ἔστι καὶ χωρίον ἐν Αἰγύπτῳ Δουλόπολις, ὥς φησιν Ὀλυμπιανός. τὸ ἐθνικὸν Δουλοπολίτης.

Δούμαθα, πόλις Ἀραβίας. ὁ πολίτης Δουμαθηνός, ὡς Γλαῦκος ἐν β' Ἀραβικῆς ἀρχαιολογίας.

Δοῦρα, πόλις Μεσοποταμίας, ὡς Πολύβιος πέμπτῃ. τὸ ἐθνικὸν Δουρηνός.

Δουρίοπος, πόλις Μακεδονίας. Στράβων ἑβδόμῃ. οὕτως καὶ ἡ χώρα.

Δουσαρή, σκόπελος καὶ κορυφὴ ὑψηλοτάτη Ἀραβίας. εἴρηται δὲ ἀπὸ τοῦ Δουσάρου. θεὸς δὲ οὗτος παρὰ Ἄραψιν καὶ Δαχαρηνοῖς τιμώμενος. οἱ οἰκοῦντες Δουσαρηνοί ὡς Δαχαρηνοί.

---

1. Δολιχιεύς et mox Δολιχίη ante X. 3. Δουλιχίς PRV, Δουλιχεῖς A. malim Δουλιχιῆτις. 4. Ἀρίσταρχον] cf. Lehrs. Arist. p. 236. 6. 7. καὶ ἐὰν — ξένος ᾖ ipsa Hecataei verba esse indicare videtur R, in quo ξεῖνος scriptum est. itaque etiam in reliquis ionicas formas restituerim. 11. δεῖ R, δεῖν AV. 13. Σάβας H. cll. Dion. Per. 959. Σιδωνίους RV. 14. εἰς V. δούλων add. RV. 15. ἐν om. V. 15. 16. Ὀλυμπιανός R. cf. s. v. Ταηνοί. 21. ἑβδόμῃ] p. 326. ubi editur Δευρίοπος.

Δραβῆσκος, Θρᾴκης χωρίον, Θουκυδίδης α'. τὸ δ' ἐθνικὸν Δραβήσκιος.

Δράγγαι, ἔθνος Περσικῆς. Στράβων πεντεκαιδεκάτῃ. τὸ θηλυκὸν Δραγγής, ἡ χώρα Δραγγηνή, ὡς ἔθος. Σωφηνή γὰρ καὶ Ἀραξηνή.

Δραγμός, πόλις Κρήτης, ὡς Ξενίων ἐν τοῖς Κρητικοῖς. τὸ ἐθνικὸν Δράγμιος, ἢ Δραγμίτης, ὅπερ ἄμεινον.

Δράκονον, ὄρος νήσου τῆς Ἰκαρίας λεγομένης καὶ πόλις. Στράβων ιδ'. τὸ ἐθνικὸν Δρακόνιος ὡς Μυκόνιος, καὶ Δρακονεύς.

Δράκοντος νῆσος, Λιβύης, ὡς πολυίστωρ ἐν τρίτῳ Λιβυκῶν. ὁ νησιώτης Δρακοντονήσιος ἢ Δρακοντονησίτης.

Δρεπάνη, ἡ Φαιακία. τὸ ἐθνικὸν Δρεπανεὺς ὡς Σχεριεύς. ἔστι καὶ πόλις Λυκίας Δρεπάνα. ὁ πολίτης ὁμοίως. καὶ Δρέπανα οὐδετέρως, πόλις Σικελίας. ἔστι καὶ Δρέπανον πόλις Λιβύης. εἰσὶ καὶ νησία δύο παρὰ Λέβινθον. ἔστι καὶ Δρεπάνη Βιθυνίας πρὸς τῷ Ἀστακηνῷ κόλπῳ. ἔστι καὶ ὄρος Αἰθιοπίας. τῆς δὲ Βιθυνίας φησὶν ὠνομάσθαι ὅτι „Δρεπάνην

---

1. Δραβησκός malim, ut fere libri habent Thucyd. 4, 102. favet item Arcad. p. 52, 15. α' (c. 100) add. RV. 2. Δραμήσκιος V. 3. Δράγκαι R. πεντεκαιδεκάτῃ] p. 721. 4. Δραγγηνή L. Dindorfius, Δραγγανή libri. ἔθνος V, ἔθος ex ἔθνος corr. R. Σωφηνή L. Dindorfius, Σωφηνοί AV, Σοφηνοί R. 5. Ἀραξηνή L. Dindorfius, Ἀραξηνοί RV, Ἀραξανοί A. 7. Δράγμιος RV, Δράγμος A. 8. Δράκονον] V. Hemsterh. ad Luc. p. 228. 9. ιδ'] p. 639. Δρακώνιος R. ὡς Μυκόνιος om. R, Μυκόνιος W, Μυκώνιος AR. 13. 14. Σχεριεύς BH, χειριεύς libri. 14. Δρεπάνα M, Δράπανα V, Δρέπανα A. ut Δρεπάνα cum Δρεπάνη, ita Δολίχα componit cum Δολίχη et Δρυόπα cum Δρυόπη. 16. παρὰ RV, περὶ A. 18. φησὶν ὠνομάσθη RV, φασὶν ὠνομᾶσθαι A. scribendum videtur τῆν δὲ Βιθυνίας [Δημοσθένης] φησίν. Demosthenem intelligo Bithynum, quem nihil mirum est ad Bithyniacam Drepanam transtulisse, quae alii scriptores de Phaeacia, alii de Sicula Drepana memoriae prodiderunt. aliter Alphonsus Heckerus Lectt. Call. p. 37. qui versum illum Callimachi esse suspicatur, epitomatoris negligentiam accusans. Δρεπάνην] Poeta scripserat opinor ἣν Δρεπάνην.

κλείουσιν ἀπὸ Κρονίδαο σιδήρου". τὸ ἐθνικὸν Δρεπανεύς, καὶ θηλυκὸν Δρεπανηίς.

Δρεσία, πόλις Φρυγίας. Διονύσιος ἐν Βασσαρικῶν γ' „Βούδειαν Δρεσίην τε καὶ οἵ μηλώδεα γαῖαν". τὸ ἐθνικὸν Δρεσιεύς.

Δρῖλαι, συνοικία τῆς Ποντικῆς, Τραπεζοῦντος οὐ πόρρω, ὡς Ξενοφῶν ἐν ἀναβάσεως πέμπτῳ.

Δριλώνιος, πόλις μεγάλη, ἐσχάτη τῶν Κελτικῶν. τὸ ἐθνικὸν Δριλώνιος, ὡς Θεόπομπος μγ'.

Δρόγγιλον, χωρίον Θρᾴκης, Θεόπομπος Φιλιππικῶν θ'. τὸ ἐθνικὸν Δρογγίλιος.

Δρύαινα, πόλις Κιλικίας, κτίσμα Δρυαίνου, ἡ μετονομασθεῖσα Χρυσόπολις. τὸ ἐθνικὸν Δρυαινίτης.

Δρυίδαι, ἔθνος Γαλατικὸν φιλόσοφον, ὡς Λαέρτιος Διογένης ἐν φιλοσόφῳ ἱστορίᾳ.

Δρύμη, πόλις Λιβύης, Στράβων ιζ'. ὁ πολίτης Δρυμαῖος ὡς Βαρκαῖος Κυρηναῖος.

Δρυμία, πόλις Φωκίδος. Παυσανίας ι' „Δήμητρος δὲ θεσμοφόρου Δρυμίοις ἱερόν ἐστιν ἀρχαῖον". τὸ ἐθνικὸν Δρυμιεὺς ἐκ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου.

Δρυμοῦσσα, νῆσος Ἰωνίας, Θουκυδίδης ὀγδόῃ. τὸ ἐθνικὸν Δρυμουσσαῖος.

Δρυόπη, πόλις περὶ τὴν Ἑρμιόνα. γράφεται καὶ Δρυόπα. ὁ πολίτης Δρυοπαῖος, ὡς Ἡρόδωρος, ὃν παρατίθησιν Ἐπαφρόδιτος. οἱ δὲ περὶ τὴν Οἴτην Δρύοπες ἀπὸ Δρυόπης τῆς

---

2. *θηλυκῶς* V. 3. *Βασσαρικῶν* X, *Μασσαρικῶν* libri. 4. *Βουδίαν* libri. 6. *Δρῖλαι* H, *Δρυλαί* libri. 7. *πέμπτῳ*] c. 2, 1. 8. *Δριλών?* 10. *Θρᾴκης* H, *Θετταλίας* libri. 14. *ὡς* add. PpRV. 14. 15. *Λαέρτιος Διογένης* (prooem. 1, 6) RV, *Διογένης Λαέρτιος* APp. 16. *ιζ'* (p. 834 ubi *Ἀδρύμη*) B, *ις'* libri. 16. 17. *Δριμαῖος* R. 18. *ι'*] c. 33, 12. *Δημήτριος* R. 19. *Δρυμίοις* AV, *Δρυμίῃς* R, *Δρυμαίοις* Pausanias, *Δρυμιεῦσι* G. Dindorfius. 19. 20. *Δριμιεύς* V. 20. *τοῦ* add. R. 21. *Δρύμουσα* R. *ὀγδόῃ*] c. 31. 22. *Δρυμουσαῖος* R. 23. *Ἑρμιώνα* V. *Δρυόππα* V. 25. *παρὰ* RV.

Εὐρυπύλου θυγατρός. ἔστι καὶ Δρυοπία τῶν Δρυόπων περὶ Τραχῖνα. λέγεται καὶ Δρυοπὶς καὶ Δρυοπηὶς καὶ Δρυοπία.

Δρῦς, πόλις Θρᾴκης, Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις τῶν Οἰνώτρων. ὁ πολίτης Δρυεὺς καὶ Δρυηίς. ἔστι καὶ κώμη Κιλικίας παρὰ τῷ Ἀρῷ ποταμῷ.

Δυμᾶνες, φυλὴ Δωριέων. ἦσαν δὲ τρεῖς, Ὑλλεῖς καὶ Πάμφυλοι καὶ Δυμᾶνες ἐξ Ἡρακλέους. καὶ προσετέθη ἡ Ὑρνηθία, ὡς Ἔφορος α΄ „Αἰγίμιος γὰρ ἦν τῶν περὶ τὴν Οἴτην Δωριέων βασιλεύς. ἔσχε δὲ δύο παῖδας Πάμφυλον καὶ Δυμᾶνα, καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον ἐποιήσατο τρίτον, χάριν ἀποδιδοὺς ἀνθ᾽ ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν". οἱ οἰκοῦντες Δυμᾶνες. καὶ Δυμανὶς τὸ θηλυκὸν „στέλλεο νῦν ἔτι τῆλε Δυμανίδος ἠπείροιο". καὶ Δύμαινα. Εὐφορίων Χιλιάσι „δαίμων . . σαιτο φιλοπλοκάμοισι Δυμαίναις". τὰ ἐθνικὰ δὲ τῶν λοιπῶν ἐν τοῖς περὶ αὐτῶν ἐροῦμεν τόποις.

Δύμη, πόλις Ἀχαΐας, ἐσχάτη πρὸς δύσιν ὅθεν καὶ Καλ-

---

1. *Δρυοπεία* V. *παρὰ* RV. 2. *Ἰδρυοπίς* RV. 3. 4. *πόλις τῶν* B, *τόπος τῶν* H, *πτωκωστῶν* AR, *πτωκωστῶ* V. dicere videtur Hydrunteın, quae *Δρυοῦς* vocatur Procopio B. G. 1, 15: *τοῦ κόλπου ἐντὸς πόλισμα πρῶτον ὁ Δρυοῦς οἰκεῖται, ὅπερ τανῦν Ὑδροῦς καλεῖται.* dubito tamen num Oenotri ad Hydruntum usque pertinuerint. ceterum huius quoque urbis notitiam Hecataeo deberi ostendit Oenotrorum commemoratio. 4. *Δρυηίς* M, *Δρυσίς* libri, *Δρυίς* G. Dindorfius. 5. *Κιλικίας παρὰ* RV, *Λυκίας ἐπὶ* A. inter *τῷ* et *Ἀρῷ* lacuna V. 6. *Δυμᾶνες* Valesius Em. 1, 32, *Δυμᾶν* A, *Δρυμᾶν* RV. *φυλὴ* R, *φῦ* V, *φύλων* A, *φῦλον* X. 7. *ἐξ Ἡρακλέους* delet Valesius, post *Ὑλλεῖς* transponit Burmannus. *Δρυμᾶνες* R. 8. *Ὑρνιθία* libri. *Αἴγιμιος* RV, *Αἴγιμος* A. 9. *δὲ* om. V. 10. *Δύμαντα* B propter Pausan. 7, 16, 6. aliosque. *Δυμάν* formatum ut *Ἀλκμάν*, *Λυκάν*, et alia. cf. nostrum s. v. *Ἀκαρνανία*, ex quo colligas hic excidisse quae de illa nominis forma annotaverat. *Ὕλλον ἐποιήσατο* RV, *Ὕλλαν ἐποιήσαντο* A. 11. *ἀποδιδοὺς* RV, *ἀποδιδόντες* A. 12. *θηλυκόν* AV, *θῆλυ* R. 12. 13. *στέλλεο — ἠπείροιο* add. S (i. e. cod. Seguerianus) apud Montefalc. Bibl. Coisl. p. 281. ubi legitur *Δυμανί πείροιο.* v. Anall. Alex. p. 67. pro *ἔτι* fortasse scribendum *ἀπό.* 13-15. *Εὐφορίων — τόποις* add. S. 14. [*ἀντιά*]*σαιτο* Düntzerus. 16. *Δύμη*] Haec sectio accessit ex S. epitome nonnisi haec habet: *Δύμη πόλις*

λίμαχος ἐν ἐπιγράμμασιν „εἰς Δύμην ἀπιόντα τὴν Ἀχαιῶν..." καὶ Δύμη ἡ χώρα πάλαι ἐκαλεῖτο, ἡ δὲ πόλις Στράτος, ὕστερον δὲ καὶ ἡ πόλις καὶ ἡ χώρα Δύμη ἐκλήθησαν. λέγεται καὶ πληθυντικῶς, ὡς Ἀπολλόδωρος „τούτων ἀπέχουσα σταδίους ρκ' ἐσχάτη κεῖται πρὸς δύσιν Δῦμαι". ὁ πολίτης Δυμαῖος. Ἔφορος κδ' „παραγενομένης δὲ τῆς στρατιᾶς εἰς τὴν Δύμην, πρῶτον μὲν οἱ Δυμαῖοι καταπλαγέντες". καὶ Παυσανίας ζ' „Οἰβώτᾳ ἀνδρὶ Δυμαίῳ σταδίου μὲν ἀνελομένῳ νίκην". καὶ πάλιν „Δυμαίοις μέν ἐστιν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα". καὶ ἐν τῷ η' „τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαίων εἰσὶν ὅμοροι". καὶ Ἀπολλόδωρος ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος „τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι". καὶ Φίλιστος Σικελικῶν α' „ἐπὶ τῆς ὀλυμπιάδος ἦν Οἰβώτας [ὁ Δυμαῖος] ἐνίκα στάδιον". καὶ Ἀπολλόδωρος ἐν χρονικῶν α' „πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις ὅθεν..." καὶ Θεόπομπος μ' „προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος". τὸ θηλυκὸν Δυμαία. Εὐφορίων „ἥ τις ἔχεις κληῗδας ἐπιζεφύροιο Δυμαίης", διὰ τὸ πρὸς δύσιν ἐπιζέφυρον. Ἀντίμαχος Καυκωνίδα φησὶν αὐτὴν ἀπὸ Καύκωνος ποταμοῦ, ὡς [τὰς Θήβας] Διρκαίας, ἔνιοι δὲ καὶ Ἀσωπίδας. διαστέλλεται δὲ τῆς Ἠλείας κατὰ τὴν Βουπρασίαν

Ἀχαΐας, ἐσχάτη πρὸς δύσιν. ὁ πολίτης Δυμαῖος καὶ Δυμαία (Δυμαι^θς R). λέγεται καὶ Δύμιος. Ἀντίμαχος δὲ Καυκωνίδα ταύτην φησὶν ἀπὸ Καύκωνος ποταμοῦ. 1. Ἀχαι.. S, quod lacuna indicata correxi Anall. Alex. p. 107. excidisse videtur ἐσχάτην. 8. ζ'] c. 17, 6. Οἰβώτᾳ Pausanias, Βοιωτοι S. 9. πάλιν] ibid. 17, 9. 10. ἐν τῷ η' (1, 2) Schubartus, ἐν τῷ α' S. 12. 13. τῆς [ς'] ὀλυμπιάδος Gavelius. 13. [καθ'] ἦν B. an ἧ? Οἰβώτας B, ὁ Βοιώτας S. ὁ Δυμαῖος add. B. 14. 15. τοῖς τε Δυμαίοις ποθὲν [καὶ τοῖς Πατρεῦσι.]? 17. θηλυκὸν M, θῆλυ S. διδυμαία S. Δυμαία] Excidisse videtur καὶ ἐπὶ τῆς πόλεως. 19. δύσιν] Forsan add. κεῖσθαι λέγων. Ἀντίμαχος [δὲ] B. 20. τὰς Θήβας add. B e Strab. 8 p. 387. quem noster exscripsit. 21. Ἀσωπίδας B, Ἀσωπίδα S. Βουπρασίων? an cum Strabonis libris Βουπράσιον omisso τὴν?

Λαρίσῳ τῷ ποταμῷ. λέγεται καὶ Δύμιος, ὡς Βοίβη Βοίβιος. Ἀντίμαχος ἐν ε' Θηβαΐδος

ἐν δέ νυ τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβέων
ὡμίλησ', εἵως διεπέρσατε Δύμιον ἄστυ.

Δύνδασον, πόλις Καρίας. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β' „αὖθις δ' ἐπὶ Δύνδασον καὶ Κάλυνδα ὁρμῆσαι". τὸ ἐθνικὸν Δυνδασεύς ὡς Πηγασεύς.

Δυρβαῖοι, ἔθνος καθῆκον εἰς Βάκτρους καὶ τὴν Ἰνδικήν. Κτησίας ἐν Περσικῶν ι' „χώρη δὲ πρὸς αὐτὸν πρόσκειται Δυρβαῖοι, πρὸς τὴν Βακτρίην καὶ Ἰνδικὴν κατατείνοντες. οὗτοι εὐδαίμονες ἄνδρες καὶ πλούσιοι καὶ κάρτα δίκαιοί εἰσι, οὔτε ἀδικέοντες οὔτε ἀποκτιννύοντες ἄνθρωπον οὐδένα. ἐὰν δέ τι εὕρωσι ἐν τῇ ὁδῷ ἢ χρυσίον ἢ ἱμάτιον ἢ ἀργύριον ἢ ἄλλο τι, οὐδὲν ἀποκινήσειαν. οὗτοι οὔτε ἀρτοποιέουσι οὔτ' ἐσθίουσι οὔτε νομίζουσι ἐὰν μὴ ἱρῶν οὕνεκεν. ἄλφιτα δὲ

---

3. δέ νυ M, δὲ σὺ S. ἀμορβέων restitui ex S pro edito ἀμορβῶν. ita carere licet Jacobsii ad Athen. p. 258 coniectura immerito criticorum (etiam Dübneri Fragm. Antim. p. 35) applausu excepta, ἐπίουρος ἀμορβῶν. verbum ἀμορβεῖν pro ἀμορβεύειν satis tuetur Hesychius, Ὀμορβεῖν· ἀκολουθεῖν. 4. ωμιλησιε ὡς S, ὡμιλήσαιεως editi, ὡμίλησας ὡς Pinedo, ὡμίλησας ἕως Iacobsius. scribendum erat ὡμίλησ' εἵως, ut de se ipso loquatur quem haec dicentem fecit poeta. 5. Δύνδασον] Haec sectio accessit ex S. epitome: Δύνδασον, πόλις Καρίας, τὸ ἐθνικὸν Δυνδασεύς. 8. τὴν add. RSV. 9. χώρα libri. 9. 10. πρὸς νότον πρόσκειται B. fortasse χώρῃ δὲ αὐτῶν προσκέαται Δυρβαῖοι. 10. πρὸς (ἐπὶ?) τὴν Βακτρίην (Βακτρίαν S) καὶ Ἰνδικὴν κατατείνοντες add. S, qui ea post δίκαιοί εἰσι habet, unde in hunc locum transtuli. 11. οὗτοι et κάρτα add. S. εἰσι add. S. 12. οὔτε ἀδικέοντες οὔτε ἀποκτιννύοντες ἄνθρωπον M, οὔτε ἀδικοῦντες οὔτε ἀποκτεννύοντες ἄνθρωπον ARV, οὗτοι οὔτε ἀδικοῦσιν οὔτε ἀποκτεννύουσιν ἀνθρώπων S. οὐδένα add. S. 12. 13. ἐὰν δέ τι S, ἐὰν δ' ARV. 13. χρυσίον S, ἢ χρυσὸν ARV. ἢ ἱμάτιον ἢ ἀργύριον add. S, vereor ne ex interpolatione. 14. οὐδὲν ἀποκινήσειαν et cetera usque ad finem sectionis add. S, quem nollem neglexisset Ctesiae editor Heidelbergensis. οὐδὲ ἂν αὐτὸ κινήσειαν? 14. 15. οὔτ' ἐσθίουσι interpolatori deberi videtur. 15. οἰνίζουσι pro νομίζουσι? ἱερῶν S. οὕνεκεν S, εἵνεκεν editi.

ποιέουσι λεπτότερα κατάπερ οἱ Ἕλληνες, καὶ ἐσθίουσι μάζας ποῶν".

Δυρράχιον, πόλις Ἰλλυρική, [καὶ] *Ἐπίδαμνος* κληθεῖσα ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ τοῦ Ποσειδῶνος ὁ Δυρράχιος· ἀφ' ἧς ἔστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν, ὡς Φίλων. [Στράβων δ' ἐν η' φησί] „μετὰ δὲ τὸν Ῥιζονικὸν Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ λεγομένη ἐφ' ἧς ἵδρυται". Δέξιππος δὲ ἐν χρονικῶν ί φησὶν οὕτως „καὶ Μακεδόνων τὴν [πρότερον] μὲν Ἐπίδαμνον, ἐσύστερον δὲ Δυρ-

---

1. ποιέουσι M, ποιοῦσιν S. κατάπερ M, καθάπερ S. praeterea forsan ἢ praefigendum. 1. 2. μάζας ποῶν S, καρπούς editi. pro ποῶν malim ποέων. 3. Δυρράχιον] Hanc sectionem integram servavit S, priorem partem usque ad p. 442, 2 κατὰ κράτος αἱροῦσιν non nominato auctore Constantinus Porphyrog. Them. 2 p. 56 Bonn. epitome haec habet: Δυρράχιον, πόλις Ἰλλυρική, Ἐπίδαμνος κληθεῖσα, ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ τοῦ Ποσειδῶνος Δυρράχιος, ἀφ' ἧς τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν. Ἀλέξανδρος δ' ἐν Εὐρώπῃ „Δυσραχίου δ' Ἐπίδαμνος ἐπ' ἀγχιάλου χθονὸς ἀκτῆς". ἔστι καὶ ἄλλη Λακωνική, μία τῶν ἑκατόν. καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυσραχία, ἧς τὸ ἀρσενικὸν Δυσράχιος. νῦν δὲ Δυρραχηνοὶ λέγονται. ὡς Ἑρρένιος Φίλων ἐν τοῖς ἰατρικοῖς. Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δ' ἐν τῇ πατρίδι ἐνδόξως συνετάξατο βιβλία μέ. καὶ add. C i. e. Constantinus. 4. ὑπὸ C, qui post Ἐπιδάμνου addit τοῦ ἀρχαίου ἥρωος. τοῦ X, τὸ ARV, om. S. 5. ὁ Δυρράχιος C, Δυρράχιος S, Δυρραχίς RV, Δυρράχιος σο A.
6. ὡς Φίλων] Haec verba, quae CS post ἵδρυται (lin. 10) habent, in hunc locum traduxi, quoniam neque sequentia Philonis verba sunt, sed Strabonis 8 p. 316, neque credibile est quae de Dyrrhachio afferuntur ea sine teste allata esse. 7. Στράβων δ' ἐν η' φησί addidit M. Ῥιζονικὸν] κόλπον add. libri Strabonis, fortasse ex interpolatione. cf. Scymn. Per. 133: τῶν κατὰ τὸν Ἰόνιον ἑξῆς κειμένων.
9. χερρονήσῳ πρότερον λεγομένη S. cf. ad l. 11. 10. Δέξιππος ἐν χρονικῶν ί Μακεδονικὴν πόλιν αὐτὴν καλεῖ γράφων οὕτως C.
11. τὴν πρότερον μὲν M, τὴν μὲν R, om. C. πρότερον, quo hic carere non licet, e Strabonis loco, ubi post χερρονήσῳ additum erat, huc transposui. ἐσύστερον CS, εἰς ὕστερον editi. δὲ om. C.

ράχιον μετονομασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαίμονα κατὰ κράτος αἱροῦσιν". Ἀλέξανδρος δὲ ἐν Εὐρώπῃ μετὰ τοῦ ō Δυσράχιον αὐτὴν καλεῖ „Δυσραχίου τ' Ἐπίδαμνος ἐπ' ἀγχιάλου χθονὸς ἀκτῆς". ἔστι καὶ ἄλλη Λακωνικῆς μία τῶν ρ'. λέγεται δὲ καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυρραχία. Εὐφορίων „ἄστεα Δυρραχίης τε καὶ ἔθνεα Ταυλαντίνων". καὶ δῆλον ὅτι Δυρράχιος τὸ τούτου ἀρσενικόν, ὡς τοῦ Ἀνακτόριον τὸ Ἀνακτόριος, Βυζάντιον Βυζάντιος, Θούριον Θούριος, Κούριον Κούριος. Ἐρατοσθένης γ' γεωγραφουμένων „ἐχόμενοι δ' οἰκοῦσι Ταυλάντιοι. πόλις δὲ Ἑλληνὶς Ἐπίδαμνος ἐπὶ χερρονήσου τῆς καλουμένης Δυρραχίου. ποταμοὶ δὲ Δρίλων καὶ Αἷος, περὶ οὓς οἱ Κάδμου καὶ Ἁρμονίας τάφοι δείκνυνται". ὅμως δὲ νῦν Δυρραχηνοὶ λέγονται. οὕτω γὰρ καὶ Βάλακρος ἐν Μακεδονικοῖς φησί „καὶ τούτων αἱ πόλεις Δυρ-

2. εὐδαίμονα οὖσαν κατὰ C. 3. Δυσραχίου] V. Anall. Alex. p. 374. 4. Λακωνικῆς RV, Λακωνικὴ AS. 5. Δυρραχία RS, Δυσραχία AV. 7. Δυρράχιος S, Δυράχιος RV, Δυσράχιος A. ἐθνικὸν pro ἀρσενικὸν B. Ἀνακτόριον B, ἀνάκτορον S. 9. Ἐρατοσθένης] Eratosthenis testimonium loco suo motum post Dexippi χρῆσιν transponendum videtur. 12. Αἷος B, Λάος S. 12. 13. περὶ οὓς — τάφοι δείκνυνται in imo margine habet S. 13. Δυρραχηνοί] Prorsus inusitata haec Illyricis ceterisque illarum regionum gentibus forma est; itaque nescio an et hic et in sequentibus Δυρραχῖνος restituendum sit, quam formam, etsi maxime ad Italicas et Siculas urbes spectat, ne ab Illyricorum quidem gentilium usu alienam fuisse docent complurium populorum nomina, e. c. Δωρεττῖνοι, Ἀμβρακῖνοι, Κεστρῖνοι, Ἀργυρῖνοι alia. accedit latinorum scriptorum usus, ut Cicer. Epist. ad Att. 3, 22. et Plinii NH. 14, 2, 27. qui tamen 38, 7, 23. Dyrrhachenus habet. 14. Βάλακρος M, Βάλαγρος S. Balagrum Macedonicorum scriptorem advocat Stephanus s. v. Ἄμολβος· Βάλαγρος Μακεδονικῶν β'. item s. v. Ὄλβηλος· πόλις Μακεδονίας. Βάλαγρος Μακεδονικῇ (leg. Μακεδονικοῖς). idem nomen apud Photium Bibl. 166. p. 111, 25. enimvero scribendum ubique Βάλακρος, quae Macedonica forma est pro usitata Φάλακρος, cuius nominis multa exempla sunt. cf. s. v. Βέροια. recte igitur Βάλακρος scriptum est apud Polybium 27, 8, 5. Harpocr. p. 132, 26. Photium s. v. Νικάνωρ. eadem forma reddenda est Pausaniae 2, 26, 9. ubi Cyrenaicae vicus memoratur Βαλάγραι, et Synesio Epist. 104.

ραχηνοῖς τε καὶ Ἀπολλωνιάταις ἐπιδιήρηνται". καὶ Ἑρέννιος Φίλων ἐν τοῖς Ἰατρικοῖς Δυρραχηνὸν ἀναγράφει Φιλωνίδην οὕτως „Ἀσκληπιάδης ἀκουστὰς ἔσχε Τίτον Αὐφίδιον Σικελὸν καὶ Φιλωνίδην Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον". καὶ πάλιν „Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δὲ ἐν τῇ πατρίδι ἐνδόξως συνετάξατο βιβλία με'". λέγει δὲ Παυσανίας ς' περὶ τῆς ἀρχαίας καὶ τῆς νῦν πόλεως οὕτως „Ἐπιδάμνιοι μὲν χώραν ἥν περ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δ' ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ πόλει [τῇ νῦν] Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ".

Δυσπόντιον, πόλις Πισαίας, ἀπὸ Δυσπόντου τοῦ Πέλοπος, παρὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδος εἰς Ὀλυμπίαν. ἀπὸ ταύτης Ἀντίμαχος ἦν ὀλυμπιονίκης νικήσας [ἐν ὀλυμπιάδι] στάδιον. Φλέγων ἐν ὀλυμπιάδι β' „Ἀντίμαχος Ἠλεῖος ἐκ Δυσποντίου στάδιον". καὶ ἐν κζ' „Δάιππος Κροτωνιάτης πύξ, Ἠλείων ἐκ Δυσποντίου τέθριππον". μέμνηται δ' αὐτῆς καὶ Τρύφων ἐν παρωνύμοις γράφων οὕτως τὸ ἐθνικὸν „οἱ δὲ Δυσποντεῖς οὐ παρὰ τὴν πόλιν Δυσπόντιον καλοῦνται

---

p. 244. ubi eiusdem vici incolas *Βαλαγρίτας* habes, quibus *Βαλάκραι* et *Βαλακρίτας*, i. e. *Φαλακρίτας* et *Φαλάκραι*, substitue, ut idem locus communi forma dicitur a Stephano s. v. *Φαλάκραι*. Epiri promontorium *Φάλακρον* habes apud Strab. 7, 7, 5. et Idae verticem *Φάλακρα* apud schol. Il. ξ', 283. Coluth. 14. et Nicand. Ther. 668. Alex. 40. 1. *Ἑρέννιος* RSV, *Ἐρρένιος* A. 2. *ἰατροῖς* R. 6. *δὲ ἐν* S, *δ' ἐν* R, *ἐν* A. 7. *Παυσανίας ς'* W, *Παυσανίας ..η* S. locus est c. 10, 8. ubi editur *Ἐπιδάμνιοι δὲ χώραν μὲν*. 10. *τῇ νῦν* e Pausania additum. 12. *Δυσπόντιον*] Haec accesserunt ex S. epitome sic: *Δυσπόντιον, πόλις Πισαίας, ἀπὸ Δυσποντίου τοῦ Πέλοπος. τὸ ἐθνικὸν Δυσποντεύς, ἔδει δὲ Δυσποντιεύς.* *Δυσπόντου* B, *Δυσποντίου* libri. 14. *ἐν ὀλυμπιάδι* seclusit M. 15. *β'* Bergkius Comment. crit. 2 p. 9, *δ'* S. cf. Eusebius Chron. can. Mediol. 1818 p. 142: *Δευτέρᾳ Ἀντίμαχος Ἠλεῖος στάδιον*. 17. ante *Ἠλείων* Bergkio nomen victoris excidisse videtur. at fortasse *Ἠλεῖος* scribendum, id ipsum ut nomen victoris sit. nec rara eius nominis exempla sunt. *Δυσποντίου* B, *Δυσπόντου* S.

(ἐλέγοντο γὰρ Δυσποντιεῖς), παρὰ δὲ τὸν Πέλοπος υἱὸν Δύσποντον".

Δύστος, πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κδ' „ἀποστήσας δὲ τοὺς ἐν αὐτῇ τῇ περιοικίδι τῶν Ἐρετριέων ἐστράτευσεν ἐπὶ πόλιν Δύστον". τὸ ἐθνικὸν Δύστιος.

Δωδώνη, πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ' ἣν Δωδωναῖος Ζεύς „Δωδώνης μεδέων δυσχειμέρου". καὶ Διονύσιος „Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται". Φιλόξενος δὲ ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων δύο φησί, Θετταλικὴν καὶ Θεσπρωτικήν, οὕτως „Δωδώνην νῦν φησι τὴν Θεσπρωτικὴν ἐν ᾗ τὸ μαντεῖον ἐκ τῆς δρυός, ἑτέρα δὲ ἡ Θετταλικὴ ἀφ' ἧς ὁ Ἀχιλλεὺς καλεῖ τὸν Δία". ἔοικε δὲ οὕτως ἐπιλελῆσθαι τό „ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι". πῶς γὰρ τούτων μέμνηται ἀπὸ τῆς Θετταλικῆς καλῶν αὐτόν; οὕτω δὲ καὶ Ἐπαφρόδιτος ἐν τῇ π' τῆς Ἰλιάδος „τιμᾷ τοὺς ἐν Δωδώνῃ ἔχοντας ἐπιφανὲς μαντεῖον

---

1. γὰρ [ἂν] Bergkius. at cf. in Ἀμβρακία Ἄργος Ἄστυ Βάρβαρος etc. Δυσποντιεῖς L. Dindorfius, Δυσποντεῖς S. δὲ ex S revocavi, om. editi. 3. Δύστος] Epitome sic: Δύστος πόλις Εὐβοίας. Θεόπομπος Φιλιππικῶν κδ'. τὸ ἐθνικὸν Δύστιος. 4. περιοικίδι M, περιοικίᾳ S. 6. Δωδώνη] Ex S. ab epitomatore haec ita compendifacta sunt: Δωδώνη, πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ' ἣν Δωδωναῖος Ζεύς. καὶ Δωδώνης μεδέων δυσχειμέρου. Φιλόξενος δὲ δύο φησί, Θεσπρωτικὴν καὶ Θετταλικήν, κακῶς. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Ναῖον. Ζηνόδοτος δὲ γράφει γωναῖος, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο. ἄλλοι δὲ γράφουσι Βωδωναῖε. πόλιν γὰρ εἶναι Βωδώνων ὅπου τιμᾶται. εἴρηται ἀπὸ Βωδώνης μιᾶς τῶν Ὠκεανίδων νυμφῶν, ἢ ἀπὸ Δωδώνου τοῦ Διὸς καὶ Εὐρώπης, ἢ ἀπὸ Δωδῶνος ποταμοῦ. λέγεται δὲ καὶ Δωδών, ἧς τὸ ἐθνικὸν οὐχ εὕρηται. σχηματίζεται δὲ Δωδώνιος. τὸ θηλυκὸν Δωδωνίς. ἔστι καὶ παροιμία Δωδωναῖον χαλκεῖον ἐπὶ τῶν πολλὰ λαλούντων, ἢ ὅτι τὸ χαλκεῖον πληττόμενον ἤχει, ἢ ὅτι τῇ βίᾳ τῶν ἀνέμων ἤχει. ἀφ' οὗ ἡ παροιμία. ita haec in libris scripta sunt. 7. Δωδώνης] Hom. Il. 16, 234. 7. 8. Διονύσιος] Per. 430. 9. Ὀδύσσειαν] Scil. 14, 327. vel 19, 296. 12. οὗτος? 12. 13. ἐπιλελῆσθαι S, ἐπικεκλῆσθαι editi. 13. ἀμφὶ δὲ] Hom. Il. 16, 234. ἀμ... Σελλοῖς οἱ S.

„τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι'. ἐπικέκληκε δὲ Ἀχιλλεὺς τὸν ἐν τῇ Θεσσαλίᾳ γειτνιῶντα θεόν, ὡς καὶ ὁ Πάνδαρος εὔχεται τῷ Λυκηγενεῖ καὶ ὁ Χρύσης τῷ Σμινθεῖ. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Νάιον. Ζηνόδοτος δὲ γράφει Φηγωναῖε, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο". καὶ Σουίδας δέ φησι Φηγωναίου Διὸς ἱερὸν εἶναι ἐν Θεσσαλίᾳ, καὶ τοῦτον ἐπικαλεῖσθαι. ἕτεροι δὲ γράφουσι Βωδωναῖε· πόλιν γὰρ εἶναι Βωδώνην ὅπου τιμᾶται. Κινέας δέ φησι πόλιν ἐν Θεσσαλίᾳ εἶναι καὶ φηγὸν καὶ τὸ τοῦ Διὸς μαντεῖον εἰς Ἤπειρον μετενεχθῆναι. „ὠνόμασται δὲ κατὰ Θρασύβουλον" ὡς Ἐπαφρόδιτος ὑπομνηματίζων τὸ β' Αἰτίων „ἀπὸ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων νυμφῶν. Ἀκεστόδωρος δὲ ἀπὸ Δώδωνος τοῦ Διὸς καὶ Εὐρώπης. εἰκὸς δὲ ἀπὸ Δώδωνος ποταμοῦ, ὃν παρατίθησιν ὁ τεχνικὸς ἐν τῷ ά τῆς καθόλου λέγων οὕτως „Δώδων ποταμὸς Ἠπείρου'. διτταὶ δ' εἰσὶ Δωδῶναι, αὕτη καὶ ἡ ἐν Θετταλίᾳ, καθάπερ ἄλλοι καὶ Μνασέας". λέγεται καὶ Δωδών, ἧς τὴν γενικὴν Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι „νῦν δ' οὔτε

---

1. τὸν δ' ἐς] Hom. Od. 14, 327. et 19, 296. ἐπικέκληκε (superscr. ται) S. cf. schol. Hom. Il. 16, 234: εἰκότως τὸν πολίτην καὶ γείτονα καὶ προπάτορα θεὸν ἐπικαλεῖται, ὡς καὶ ὁ Χρύσης τὸν Σμινθέα καὶ τὸν Λυκογενῆ (Λυκηγενῆ) Πάνδαρος. 2. τὸν τῇ Heynius Hom. vol. 7 p. 284. Πάνδαρος Heynius, Πίνδαρος S. 3. Λυκηγενεῖ] Il. 4, 119. Σμινθεῖ] Il. 1, 39. 4. Νάιον Vossius, ναῖον S. v. Valcken. Opusc. 2 p. 129. cll. schol. Hom. Il. l. l. ὁ δὲ Δωδωναῖος καὶ Νάιος. ὑδρηλὰ γὰρ τὰ ἐκεῖ χωρία. hinc centum Dodonae fontes celebraverat teste Plinio NH. 4, 1. Theopompus, sequutus ille, ut videtur, Callimachum apud schol. Hom. Il. π', 254: κρηνέων τ' Εὐρώπῃ μισγομένων ἑκατόν, quae Zenodoto causa extiterunt, ut apud Homerum Δωδώνης πολυπίδακος scriberet. de Iove Naio adde Buttmannum ad Demosth. Mid. p. 125. 8. Βωδώνην] Schol. Hom. l. l. πόλις γὰρ Θεσσαλίας ἡ Βωδών, οὗ τιμᾶται Ζεύς· ἡ νῦν Βονδίτζα. 11. Αἰτίων Bentleius, αἴτιον S. 15. ποταμὸς ex πόλις corruptum videbatur G. Dindorfio. editum in suo codice repperit Eustath. ad Hom. p. 335, 46. et ad Dion. Per. 478. ceterum hinc supple Arcad. p. 11, 5. 16. Ἰταλίᾳ libri. „fortassis incidit noster in depravatum Mnaseae codicem, in quo Δωδώνῃ pro Βωδώνῃ irrepserat" B. recte Θετταλίᾳ Heynius.

μ' ἐκ Δωδῶνος οὔτε Πυθικῶν γυ... τις ἂν πείσειεν". καὶ δοτικὴν „Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν". καὶ ἐν Τραχινίαις „ὡς τὴν παλαιὰν φηγὸν αὐδῆσαί ποτε Δωδῶνι δισσῶν ἐκ πελειάδων ἔφη". καὶ Καλλίμαχος „τὸν ἐν Δωδῶνι λέγοι μόνον οὕνεκα χαλκὸν ἤγειρον". καὶ τὴν αἰτιατικήν φησιν Εὐφορίων Δωδῶνα ἐν Ἀνίῳ „ἷκτο μὲν ἐς Δωδῶνα Διὸς φηγοῖο προφῆτιν". λήγεται δὲ καὶ εἰς ω̅· Σιμμίας ὁ Ῥόδιος „Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ". ἠδύνατο δὲ ἡ Δωδῶνος γενικὴ μετὰ τῆς λοιπῆς κινήσεως καὶ κλίσις εἶναι τῆς Δωδών, εἴπερ ἦν ἐν χρήσει τῆς πόλεως ἡ εὐθεῖα. διόπερ ἔοικεν ὁ τεχνικὸς μεταπλασμὸν ἡγεῖσθαι. τὸ ἐθνικὸν ταύτης ἄρρητον ὡς πεπονθυίας· εἰ δέ τις σχηματίσειεν, ἔσται Δωδώνιος, ὡς Πλευρῶνος Πλευρώνιος, Καλυδῶνος Καλυδώνιος. τῆς μέν τοι Δωδώνης Δωδωναῖος. Ἑκαταῖος Εὐρώπῃ „Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖοι". καὶ Ὅμηρος „Ζεῦ ἄνα Δωδωναῖε". καὶ Κρατῖνος Ἀρχιλόχοις „Δωδωναίῳ κυνὶ βωλοκόπῳ τίτθῃ γεράνῳ προσεοικώς". καὶ τὸ θηλυκὸν Δωδωνίς ἀπὸ τοῦ Δωδώνη, ὡς Παλλήνη Παλληνίς. Ἀπολλώνιος „στεῖραν Ἀθηναίη Δωδωνίδος ἥρμοσε φηγοῦ". καὶ Σοφοκλῆς Ὀδυσσεῖ ἀκανθοπλῆγι „τὰς θεσπιῳδοὺς ἱερίας Δωδωνίδας". Ἀπολ-

---

1. ἐκ M, εἷς S. γυνή τις Montefalconius. an fuit γῆ[ρύς] τις ἂν πείσειεν [ἐξ ἐδωλίων]? cll. Lycophr. 1046: φθογγὴν ἐδώλων Χαονιτικῶν ἄπο. ac γηρύματα Λοξίου dixit Eurip. apud Cram. AO. vol. 3 p. 378, 18. et γῆρυς de voce Pythiae Plutarch. orac. Pyth. p. 387. c. magis tamen placeret πρ[οφῆ]τις ἂν πείσειεν [ἐκ δόμων φάτις]. 2. ὁμέστιος Tennulius, ὅμιος S, in quo aliud quid latere apertum est. 3. Τραχινίαις] vs. 170. αὐδῆσῃ S. 4. πεδιάδων S. 5. λέγοι μόνον Gramm. Bekk. p. 1228, λεγόμενον libri. 6. ἷκτο μὲν S, ἵκομεν editi. cf. Anall. Alex. p. 39 et 401. 11. ὁ τεχνικὸς] Libro decimo quinto τῆς καθόλου. v. Arcad. p. 129, 20. μεταπλασμὸν S, μεταπλασμὸς editi. 12. ὡς [ἀποκοπὴν] πεπονθυίας Schubartus. 13. σχηματίσειεν S, χρηματίσειεν editi. 16. Ζεῦ ἄνα Δωδωναῖε] Hom. Il. 16, 233. 18. προσέοικας Heringa. θῆλυ S. 19. Ἀπολλώνιος] Argon. 1, 527. 4, 583. 21. ἱερίας Dindorfius, ἱερέας S.

λόδωρος δὲ ἐν ά περὶ θεῶν τὸν Δωδωναῖον οὕτως ἐτυμολογεῖ „καθάπερ οἱ τὸν Δία Δωδωναῖον μὲν καλοῦντες ὅτι δίδωσιν ἡμῖν τὰ ἀγαθά, Πελασγικὸν δὲ ὅτι τῆς γῆς πέλας ἐστίν". ἔστι καὶ Δωδωναῖον χαλκίον παροιμία ἐπὶ τῶν πολλὰ λαλούντων, ὡς μὲν ὁ Δήμων φησίν „ἀπὸ τοῦ τὸν ναὸν τοῦ Δωδωναίου Διὸς τοίχους μὴ ἔχοντα, ἀλλὰ τρίποδας πολλοὺς ἀλλήλων πλησίον, ὥστε τὸν ἑνὸς ἁπτόμενον παραπέμπειν διὰ τῆς ψαύσεως τὴν ἐπήχησιν ἑκάστῳ, καὶ διαμένειν τὸν ἦχον ἄχρις ἄν τις τοῦ ἑνὸς ἐφάψηται". ἡ παροιμία δὲ οὔ φησιν εἰ μὴ χαλκίον ἕν, ἀλλ' οὐ λέβητας ἢ τρίποδας πολλούς. προσθετέον οὖν τῷ περιηγητῇ Πολέμωνι ἀκριβῶς τὴν Δωδώνην ἐπισταμένῳ. καὶ Ἀριστείδῃ τὰ τούτου μεταγεγραφότι, λέγοντι κατὰ τὴν β' „ἐν τῇ Δωδώνῃ στῦλοι δύο παράλληλοι καὶ πάρεγγυς ἀλλήλων. καὶ ἐπὶ μὲν θατέρου χαλκίον ἐστὶν οὐ μέγα τοῖς δὲ νῦν παραπλήσιον λέβησιν, ἐπὶ δὲ θατέρου παιδάριον ἐν τῇ δεξιᾷ χειρὶ μαστίγιον ἔχον, οὗ κατὰ τὸ δεξιὸν μέρος ὁ τὸ λεβήτιον ἔχων κίων ἕστηκεν. ὅταν οὖν ἄνεμον συμβῇ πνεῖν, τοὺς τῆς μάστιγος ἱμάντας χαλκοῦς ὄντας ὁμοίως τοῖς ἀληθινοῖς ἱμᾶσιν αἰωρουμένους ὑπὸ τοῦ πνεύματος συνέβαινε ψαύειν τοῦ χαλκίου καὶ τοῦτο ἀδιαλείπτως ποιεῖν, ἕως ἂν ὁ ἄνεμος διαμένῃ". „καὶ κατὰ μέν τοι τοὺς ἡμετέρους [χρόνους]" φησὶν ὁ Ταρραῖος „ἡ μὲν λαβὴ τῆς μάστιγος [διασέσωσται], οἱ δὲ ἱμάντες ἀποπεπτώκασιν. παρὰ μέντοι

5. μὲν ὁ Δήμων Pinedo, με..δήμων S. cf. schol. Hom. Il. 16, 233: Δήμων φησὶν ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται. τούτους δὲ ψαύειν ἀλλήλους καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης (Ἀριστείδης) δὲ ὡς πλάσμα διελέγχων δύο φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν. adde Preller. ad Polem. p. 59 sqq. 6. ἔχειν? 9. ἄν τις S, αὖθις editi. 10. χάλκιον ἐν ἄλλου λέβητας ante Montefalconium. 19. 20. συμβαίνει? 21. καὶ] Aut hoc abundat aut μὲν scribendum pro μέντοι. 22. χρόνους add. Prellerus. 22. 23. ἡ μὲν λαβὴ τῆς μάστιγος [διασέσωσται] M, εἰ μὲν λάβῃ

τῶν ἐπιχωρίων τινὸς ἠκούσαμεν ὡς, ἐπείπερ ἐτύπτετο μὲν [τὸ χαλκίον] ὑπὸ μάστιγος ἤχει δ' ἐπὶ πολὺν χρόνον, ὡς χειμερίου τῆς Δωδώνης ὑπαρχούσης, εἰκότως εἰς παροιμίαν περιεγένετο". μέμνηται αὐτῆς Μένανδρος ἐν Ἀρρηφόρῳ

ἐὰν δὲ κινήσῃ μόνον τὴν Μυρτίλην
ταύτην τίς, ἢ τίτθην καλῇ, πέρας [οὐ] ποιεῖ
λαλιᾶς· τὸ Δωδωναῖον ἄν τις χαλκίον,
ὃ λέγουσιν ἠχεῖν, ἂν παράψηθ' ὁ παριών,
τὴν ἡμέραν ὅλην, καταπαύσαι θᾶττον ἢ
ταύτην λαλοῦσαν· νύκτα γὰρ προσλαμβάνει.

Δωνεττῖνοι, ἔθνος Μολοσσικόν. Ῥιανὸς δ' Θεσσαλικῶν „αὐτὰρ Δωνεττῖνοι ἰδ' ὀτρηροὶ Κεραῖνες". καὶ ἐν τῇ ζ' „ἑπτὰ δὲ Δωνεττῖνοι, ἀτὰρ δυοκαίδεκα Κᾶρες".

Δῶρα, νῆσος ἐν τῷ Περσικῷ κόλπῳ, καθὰ Στράβων ις'

τῆς μάστιγος S, [ἔτι μένει] ἡ λαβὴ τῆς μάστιγος Schubartus. 2. τὸ χαλκίον add. M. ἤχει epitome, ἠχεῖ S. ceterum mirum videri potest, nullum eorum quos Stephanus affert scriptorum commemorasse illos Dodonaei aeris sonos cum sacerdotum vaticiniis fuisse coniunctos, quam ad rem non indigna sunt quae apponantur verba Cosmae in Maii Spic. Rom. vol. 2. p. 172: ἀνδριὰς ἐφ' ὕψους τις εἱστήκει βωττάζων ῥάβδον καὶ παρ' αὐτὸν ἵστατο λέβης. οἱ οὖν μαντευόμενοι ἤρχοντο κατὰ τὸν τόπον τοῦτον καὶ ηὔχοντο. ὅτε οὖν ἤθελε, φησίν (φασίν?), ὁ θεὸς χρησμῳδῆσαι, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα. εἶτα ἤχει ὁ λέβης, καὶ ἐκ τοῦ λέβητος ἠχός τις ἀπετελεῖτο ἐναρμόνιος, καὶ ἐνεφοροῦντο αἱ προφήτιδες καὶ ἔλεγον ἃ αὐταῖς ὁ δαίμων ἐνέβαλεν. quae non temere ficta esse docet qui Dodonaei oraculi defectum his verbis indicat Gregorius Nazianzenus Or. 4 p. 127 c. οὐκέτι λέβης μαντεύεται. 4. περιεγένετο Schneidewinus Praef. Paroem. p. 14, παρεγένετο S. cf. schol. Ven. Il. 2, 697: εἰς παροιμίαν παρῆλθε τὸ Ἀντρώνιος ὄνος. at hic etiam περιῆλθε scribendum. 6. ἣν τίτθην καλεῖ S. correxit Bentleius. οὐ add. Bentleius. 7. Δωδωνεῖον S. 9. καταπαῦσαι S. 11. ἀνεττῖνοι V. 12. ἀτὰρ V. ἠδ' V. 12. 13. καὶ ἐν — Κᾶρες add. S. 13. δυοκαίδεκα Friedemannus, ὀκτὼ καὶ δέκα S. cf. Anall. Alex. p. 189. 14. Δῶρα] Ex S. epitome non nisi haec habet: Δῶρα, νῆσος ἐν τῷ Περσικῷ κόλπῳ. Στράβων ιέ. ὁ νησιώτης Δωρίτης, εἰ δὲ τῷ τῆς χώρας τύπῳ Δωρηνός ὡς Ἀραξηνός. ις'] p. 767. ιέ S et epit.

„τὸν δὲ Μαζήνην ἐπάρχειν νήσου τινὸς τῶν ἐν τῷ Περσικῷ κόλπῳ, καλεῖσθαι δὲ τὴν νῆσον Δῶρα". ὁ νησιώτης Δωρίτης, ὡς τοῦ Στάγειρα Σταγειρίτης Ἄβδηρα Ἀβδηρίτης. οὕτω καὶ Ὧρος. εἰ δὲ τῷ τῆς χώρας τύπῳ χαρακτηρισθῆναι δεῖ, Δωρηνός ὡς Σωφηνός Ἀραξηνός Νισιβηνός.

Δώριον, πόλις μία τῶν τριῶν ὧν Ὅμηρος μνημονεύει „καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον". Δικαίαρχος δὲ τέτταρας ταύτας εἶναί φησι, καὶ Πτελέας, οὐ Πτελεόν τὴν μίαν καλεῖ, κατὰ τὸ πρῶτον τοῦ βίου τῆς Ἑλλάδος βιβλίον „τῶν δ' ἐν τῇ Πελασγιώτιδι χώρᾳ Δωριέων κατοικούντων μέρος τι μετὰ τῶν ἐν ταῖς

ἐσχάταις . . . . . .
τῶν εἰς Κρήτην ψ . . . . .
λόμενον αὐτοῦ κ . . . . .
ων· τὴν πρότε . . . . .
Δωρίδα καλ . . . . . .
ᾤκισε· κυτι . . . . . .
ὕστερον οἱ μ . . . . . .

---

2. Δῶρα] Δοράκτα et Δωράκτα Strabonis libri. 6. Δώριον] Servavit S. epitome sic: Δώριον, πόλις μία τῶν τριῶν. Ὅμηρος „καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον". Δοσίθεος ἐν αὐτῇ τῇ πόλει φησὶν ὑπὸ Θαμύρα εὑρεθῆναι τὴν Δώριον ἁρμονίαν. τὸ ἐθνικὸν Δώριος καὶ Δωριεύς καὶ Δωριάν καὶ θηλυκὸν (θηλυκῶς R) Δωρίς. 6. πόλις [Μεσσηνίας] μία? Ὅμηρος] Il. 2, 594. 7. Πτελεὸν Ἕλος καὶ ARV, Πτελεὸν Ἕλος τε καὶ S. τέτταρας] Hoc quidem ineptum est. suspicabar Θετταλίας. 10. μέρος τι] „Ab his verbis quae sequuntur mutila sunt, quia folium a summo ad imum abscissum est, ita ut extrema tantum linearum verba manserint. sequens vero post abscissum folium pagina sic incipit γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν". Haec Montefalconius, qui codicis lectiones tam fideliter repraesentavit, ut perpanca supplenda reliquerit Millero Journal des savans 1838 p. 694. dolendum vero a neutro singulorum versuum longitudinem indicatam esse. 11. ἐσχάταις [τοῦ Ὀλύμπου παρωρείαις οἰκούντων Πελασ]γιῶν εἰς Κρήτην [ἀ]φ[ίκετο]? de Doriensium in Cretam migratione sermonem esse dubitari non potest. cf. Andronis testimonium infra p. 254, 8. appositum. 14-17. τὴν πρότε[ρον μὲν ἀπὸ Δώρου τοῦ Ἕλληνος] Δωρίδα καλ[ουμένην, νῦν δὲ Ἱστιαιωτίδα λεγομένην,] ᾤκισε Κυτί[νιον Βοιὸν καὶ Ἐρινεόν.] ὕστε-

ἐν Πελοπ . . . . . .
μονα ἄρ . . . . . .
σαν· τὸ δ . . . . . .
ἐν πεδ . . . . . .
διτος . . . . . .
μεταγ . . . . . .
δώρι . . . . . .
γόρ . . . . . .
ὁλι . . . . . .
στορ . . . . . .
ἀρ . . . .
ἀ . . . .
φ . . . .
ρ . . . .
μ . . . .
φ . . . .
. . . . . *ῳ περὶ Μεσσήνην κα-*
. . . . . *ἁρμονίαν καὶ τῆς*
. . . . . *ρορεῦσαι Δώριον. εἶ*
. . . . . *οὖ πρῶτον ἐν δελ-*

ρον οἱ μ[ετὰ . . . . . ἐν Πελοπ[οννήσῳ ᾤκησαν]? 4. *ἐν πεδ[ίῳ]?* 5. *Ἐπαφρό[διτος]?* 17-20. *[ἐν Δωρίῳ τ]ῷ περὶ Μεσσήνην, κα[θά φησι Δοσίθεος, ὑπὸ Θαμύρα εὑρεθῆναι τὴν] ἁρμονίαν καὶ τῆς [πόλεως ἐπώνυμον προση]γορεῦσθαι Δώριον. εἶ[ναι δὲ ταύτην τὸ σύστημα] οὗ πρῶτον ἐν Δελ[φοῖς ἐπίδειξιν ποιήσασθαι..?* ita fere haec redintegranda esse docet epitome: *Δοσίθεος ἐν αὐτῇ* (leg. *ταύτῃ*] *τῇ πόλει φησὶν ὑπὸ Θαμύρα εὑρεθῆναι τὴν Δώριον ἁρμονίαν.* Messeniacum autem dicit Dorium, id ut distinguat a Thessalico. reliquorum veritatem non praestabo. si tamen recte sententiam indicavi, post *ποιήσασθαι* exciderit necesse est nomen eius, qui primus Thamyrae systemate musico in Delphicis certaminibus usus erat. exempli causa pono Philammonem cll. Plutarch. de mus. p. 1132 b. Dositheus, quem antestatur, fortasse idem est quem advocat Vita Arati ed. West. 58. ubi recte legebatur *Δοσίθεος*, nunc *Δωσίθεος* editum est. utrumque recte habet. illud comparandum cum *Δωρόθεος*, *Δωσίθεος* autem cum *Λυσίθεος* et similibus.

. . . . . . στήματι τούτῳ
. . . . . . ρεῦσαι τοὺς ἄλλους
. . . . . . ιοι γὰρ ἀφ' ὧν
. . . . . . σ ὡς Σουνιεὺς
. . . . τὸ γένος
. . . . γορίαν εἴ-
. . . . Δωριὰν
. . . . σ Ζεὺς
. . . . Δωριεῖς δὲ
. . . . ὶ τὸν
. . . . ον οἱ
. . . . ο. θου
. . . . ομ
. . . .
. . . .
. . . .
. . . . γῶν
. . . . σ
. . . .
. . . .
. . . .

γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν τοῖς τε Τραχινίοις βουλόμενοι καὶ Δωριεῦσι τιμωρεῖν". Ἡρόδοτος δὲ ἐν τῇ α' περὶ τοῦ Δωρικοῦ γένους φησὶ πολυπλάνητον αὐτὸ καλῶν καὶ δεικνὺς οὕτως „τὸ δὲ πολυπλάνητον κάρτα· ἐπὶ μὲν γὰρ

1. [συ]στήματι? 2. [προσαγο]ρεῦσαι? 3. [Μεσσήν]ιοι? 4. abhinc de gentilibus explicuisse videtur. epitome haec habet: τὸ ἐθνικὸν Δώριος καὶ Δωριεύς καὶ Δωριάν καὶ θηλυκῶς Δωρίς. itaque supplendum [τὸ ἐθνικὸν Δώριος. καὶ Δωριεύ]ς ὡς Σουνιεύς. huius formae deinceps exemplum posuerat, in quo 6. [προση]γορίαν εἶ[χον] scribendum videtur. tum perrexerat 7. [λέγεται καὶ] Δωριάν. ad quae cf. Arcad. p. 8 in. τὰ εἰς $\overline{αν}$—ὀξύνεσθαι θέλει—οἷον Παιάν Ἰάν Δωριάν, ut haec emendavit Lobeckius Par. p. 190. 17. [Πελασ]γῶν? 22. γνώμην εἶχον] Haec ad Heracleae origines spectare vidit Müllerus Dor. vol. 1 p. 27. 23. α'] c. 56. ιά S.

Δευκαλίωνος βασιλέος ᾤκεε τὴν Φθιῶτιν, ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Ὄλυμπον χώρην καλεομένην Ἱστιαιῶτιν, ἐκ δὲ Ἱστιαιώτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, ᾤκεεν ἐν Πίνδῳ Μακεδνὸν καλεόμενον, ἐντεῦθεν δὲ αὖτις εἰς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδος οὕτως ἐς Πελοπόννησον ἐλθὸν Δωρικὸν ἐκλήθη". καὶ οἱ Κρῆτες Δωριεῖς ἐκαλοῦντο „Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί". περὶ ὧν ἱστορεῖ Ἄνδρων, Κρητὸς ἐν τῇ νήσῳ βασιλεύοντος Τέκταφον τὸν Δώρου τοῦ Ἕλληνος, ὁρμήσαντα ἐκ τῆς ἐν Θετταλίᾳ τότε μὲν Δωρίδος νῦν δὲ Ἱστιαιώτιδος καλουμένης, ἀφικέσθαι εἰς Κρήτην μετὰ Δωριέων τε καὶ Ἀχαιῶν καὶ Πελασγῶν τῶν οὐκ απαράντων εἰς Τυρρηνίαν. μέμνηται τῆς Δωρίδος τῆς Θετταλικῆς Χάραξ ἐν ζ' τῇδε γράφων περὶ Θεσσαλοῦ τοῦ Αἰάτου, [τοῦ] νικήσαντος τοὺς ἐν Ἄρνῃ Βοιωτοὺς „ὁ δὲ Θεσσαλὸς οὐδὲ τὴν τετάρτην μοῖραν τῆς ἐπωνυμίας μετέβαλεν, ἀλλ' Ἱστιαιῶτιν αὐτὴν ὡς πρὶν καλεῖσθαι εἴασε. κεῖται δὲ πρὸς δυσμῶν τῆς Πίνδου. Δῶρος δὲ αὐτὴν ὁ Ἕλληνος εἰλήχει τὰ πρῶτα καὶ Δωρὶς ἀπ' ἐκείνου ἐκαλεῖτο πρότερον, ὕστερον δὲ Ἱστιαιῶτις μετωνομάσθη".

Δῶρος, πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίᾳ „μετὰ δὲ ἡ

---

1. *βασιλέως* S. *οἴκεε γῆν τὴν Φθιῶτιν* Herodotus. 2. *Οὔλυμπον* Herodotus. 3. *Ἱστιῶτιν ἐκ δὲ Ἱστιώτιδος* S. 4. *οἴκεε* Herodotus. 7. *Δωριέες*] Hom. Od. 19, 177. 9. *Τέκταφον* S, *Κέρκαφον* B propter Eust. ad Odyss. p. 1861, 20, *Τέκταμον* Wesseling. ad Diod. Sic. 5, 80. 14. *Αἰάτου*] De Aeato Thessali patre, Philippi filio, Boeotorum qui tunc Arnam incolebant victore, v. Polyaen. Strat. 8, 44. ex quo O. Müllerus bene correxit Pausaniam apud Eust. ad Hom. p. 331, 21. ubi *Ἀράτῳ* editur. iam non dubium quin etiam apud Zenob. 4, 29. scribendum sit *διὰ τὸ [Αἰά]τῳ Θετταλῷ.* *τοῦ* add. M. 15. 16. *τῆς τετάρτης μοίρας τὴν ἐπωνυμίαν*? 17. *πρὸς δυσμῶν τῆς Πίνδου*] Debebat aut *πρὸς ἀνατολῶν τῆς Πίνδου*, aut *πρὸς δυσμῶν τῆς Ὄσσης*. qui Characis potius quam librariorum error esse videtur. 18. *εἰλήχει* S, *εἴληχε* editi. 20. *Δῶρος*] Ex S. epitome: *Δῶρος, πόλις Φοινίκης, ὡς καὶ Ἰώσηπος καὶ ἄλλοι. τὸ ἐθνικὸν Δωρίτης. Παυσανίας δὲ Δωριεῖς* (*Δωσιεῖς* R) *αὐτούς φησιν. ἔστι καὶ Καρίας πόλις.*

πάλαι Δῶρος, νῦν δὲ Δῶρα καλεῖται". καὶ οὕτως Ἰώσηπος αὐτὴν καλεῖ ἐν έ τῆς Ἰουδαϊκῆς ἱστορίας „ἀπὸ μὲν Ἰορδάνου μέχρι Δώρων πόλεως". καὶ πάλιν „Ἀζώτῳ καὶ Δώροις ὁριζόμενοι". καὶ ἐν ϛ' „εἶναί τι γύναιον ἐν πόλει Δώρῳ". καὶ πάλιν „ὅτε ἤνεγκεν εἰς τὴν Δῶρον". καὶ Κλαύδιος Ἰούλιος ἐν γ' Φοινικικῶν „μετὰ Καισάρειαν Δῶρα κεῖται βραχεῖα πολίχνη, Φοινίκων αὐτὴν οἰκούντων, οἳ διὰ τὸ ὑπόπετρον τῶν τε αἰγιαλῶν καὶ τὸ πορφύρας γόνιμον συνελθόντες καλιὰς αὐτοῖς ᾠκοδομήσαντο καὶ περιβαλόμενοι χάρακας, ὡς ὑπήκουεν αὐτοῖς τὰ τῆς ἐργασίας, τεμνόμενοι τὰς πέτρας διὰ τῶν ἐξαιρουμένων λίθων τὰ τείχη κατεβάλοντο καὶ τὴν εὔορμον χηλὴν ὅπως [οἱόν] τε ἀσφαλῶς ἔθεντο, ἐπώνυμον αὐτὴν τῇ πατρίῳ γλώσσῃ Δὼρ καλοῦντες. οἱ δ' Ἕλληνες χάριν τοῦ τῆς φωνῆς εὐπροφόρου καλεῖν ἀρκοῦνται Δῶρα τὴν πόλιν. καί τινες ἱστοροῦσι Δῶρον τὸν Ποσειδῶνος οἰκιστὴν αὐτῆς γεγονέναι". καὶ Ἀρτεμίδωρος Δῶρα τὴν πόλιν οἶδεν ἐν ἐπιτομῇ τῶν ιά „συνεχῶς δ' ἐστὶ Στράτωνος πύργος, εἶτα ἔνι Δῶρα ἐπὶ χερσονησοειδοῦς τόπου κείμενον πολισμάτιον, ἀρχομένου τοῦ ὄρους τοῦ Καρμήλου". καὶ ἐν θ' γεωγραφουμένων τὸ αὐτό. Ἀπολλόδωρος δὲ Δῶρον καλεῖ ἐν χρονικῶν δ' „εἰς Δῶρον οὖσαν ἐπιθαλάττιον πόλιν". καὶ Ἀλέξανδρος ἐν Ἀσίᾳ „Δῶρός τ' ἀγχίαλός τ' Ἰόπη προύχουσα θαλάσσης". καὶ Χά-

1. *Παλαίδωρος* B. 2. *αὐτὴν* S, om. editi. *ἐν έ*] c. 1, 22. 3. *πάλιν*] c. 22. 4. *ϛ'* S, *δ'* editi. 5. *Ἴουλλος* S. 8. *τῶν αἰγιαλῶν*? 9. *αὐτοῦ*? *περιβαλόμενοι* S, *περιβαλλόμενοι* editi. 11. 12. *εὔορμον* B, *ἔνορμον* libri. 12. *χηλὴν* Pinedo, *χειλὴν* S. *οἱόν* add. Bergk. 13. *Δῶρα* libri, in qua nominis forma nihil video graeco ori inhabile. itaque *Δώρ* scribendum erat cll. Iosuae 17, 11. *ἐπὶ τοὺς κατοικοῦντας Δὼρ καὶ τὰς κώμας αὐτῆς.* *χάριν* G. Dindorfius, *ἄχρι* S. 14 et 16. *Δῶρα* G. Dindorfius, *Δώραν* libri. per se tamen recte etiam *ἡ Δώρα* dici ostendit Iosephus Al. 13, 7, 2. ubi *εἰς τὴν Δώραν* et *ἐκ τῆς Δώρας* legitur, fortasse etiam Ptolem. 5, 15, 5. ubi *Δώρα* editur. at Stephanum duas tantum formas agnovisse, sequentia ostendunt, ubi de gentilibus agitur. fuit item quarta forma *Δῶρον*, qua usus est Plinius NH. 5, 19, 17. 22. *θαλάσσης* M, *θαλάττῃ* libri.

ραξ ιά „Τρύφων ἐν Δώρῳ τῆς κοίλης Συρίας πόλει πολιορκούμενος ὑπ' Ἀντιόχου ἔφυγεν εἰς Πτολεμαΐδα τὴν Ἄκην λεγομένην". τὸ ἐθνικὸν Δωρίτης, ὃ καὶ ταῖς δύο καταλήξεσιν ἀναλογεῖ, τῇ μὲν Δῶρα Δωρίτης, ὡς Στάγειρα Σταγειρίτης, ὡς εἴρηται, τῆς δὲ Δῶρος ὁμοίως Δωρίτης, [ὡς] Σκίρος Σκιρίτης, χῶρος χωρίτης, μέσος μεσίτης, Κοπτός Κοπτίτης, Δίολκος Διολκίτης. Παυσανίας δὲ ἐν τῇ τῆς πατρίδος αὐτοῦ κτίσει Δωριεῖς αὐτοὺς καλεῖ τῇδε γράφων „Τύριοι Ἀσκαλωνῖται Δωριεῖς Ῥαφανεῶται", ὥστε παρὰ τὴν Δῶρον τὸ Δώριον εἶναι, οὐ ἂν εἴη τὸ Δωριεύς, ὡς τοῦ Χήσιον τὸ Χησιεύς. ἔστι καὶ Καρίας Δῶρος πόλις, ἣν συγκαταλέγει ταῖς πόλεσιν ταῖς Καρικαῖς Κρατερὸς ἐν τῷ περὶ ψηφισμάτων τρίτῳ „Καρικὸς φόρος· Δῶρος, Φασηλῖται".

Δώτιον, πόλις Θεσσαλίας, ὅπου μετῴκησαν οἱ Κνίδιοι, ὧν ἡ χώρα Κνιδία. Καλλίμαχος ἐν τοῖς ὕμνοις „οὔπω τὰν Κνιδίαν, ἔτι Δώτιον ἱρὸν ἔναιον". ἐκλήθη δὲ ἀπὸ Δωτίας τῆς Ἐλάτου. Φερεκύδης δὲ ἀπὸ Δώτιος τοῦ Ἀστερίου καὶ Ἀμφικτυόνης τῆς Φθίου. ὡς δὲ Ἀρχῖνος ἀπὸ Δώτου τοῦ

---

4. *Δώρᾳ* S. 5. *ὡς* add. G. Dindorfius. 6. 7. *Δίολκος Διολκίτης* litera maiuscula scribendum erat; dicit Nili ostium commemoratum a Ptolemaeo. vide ad v. *Ἄβδηρα* p. 5, 19: *καὶ γὰρ τοῦ Δίολκος τὸ Διολκίτης καὶ τοῦ Ὀξύρυγχος Ὀξυρυγχίτης.* gentile *Διολκίτης* in Thesauro L. G. omissum commemorat noster etiam in v. *Μυγδωλός* et *Ὠρεός.* 7. *Παυσανίας*] V. ad *Μαριαμμία.*
9. *Δώριον* M, *Δώριος* S. 13. *Φασιλῖται* S. mirum vero Phaselin accenseri urbibus Caricis. itaque nescio an post *Δῶρος* Caricarum urbium nomina omissa sint, ante *Φασηλῖται* autem exciderit *Παμφυλιακὸς φόρος.* 14. *Δώτιον*] Ex S. epitome: *Δώτιον, πόλις Θεσσαλίας, ὅπου μετῴκησαν* (*μετῴκισαν* V) *οἱ Κνίδιοι* (*Κνήδιοι* R), *ὧν ἡ χώρα Κνιδία. ἀπὸ Δωτίας τῆς Ἐλάτου κληθεῖσα, ἢ ἀπὸ Δώτιος ἢ ἀπὸ Δώτου. ὁ πολίτης Δωτιεύς. τὸ θηλυκὸν Δωτηίς καὶ Δωτιάς.* *πόλις*] Imo *πεδίον.* idem Plinii error NH. 4, 9, 16. 15. *ὕμνοις*] in Cer. 24. *τ' ἂν* S. 17. *Δώτιος τοῦ Ἀστερίου*] *Δῶτις* idem nomen quod mox *Δῶτος.* nisi scripsit *Δωτίδος τῆς Ἀστερίου.* cf. Athen. 7 p. 296 c: *Σύμην τὴν Ἰαλύσου* (*ἰηλυμιος* A. an *Ἰηλύσου?*) *καὶ Δωτίδος θυγατέρα.* 18. *Ἀρχῆνος* S.

Νεώνου τοῦ Ἕλληνος. Μνασέας δέ „ἀπὸ Δώτου τοῦ Πελασγοῦ. ἔστι δὲ τὸ πεδίον αὐτὸ καθ' ἑαυτὸ ἰδίοις ὄρεσι περιεχόμενον". ὁ πολίτης Δωτιεύς. Σοφοκλῆς Λαρισαίοις „καί μοι τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψεν Ἔλατος ἐν δισκήματι". καὶ ἐν Λημνίαις προτέραις „Φερητίδης τ' Ἄδμητος ἠδ' ὁ Δωτιεὺς Λαπίθης Κόρωνος". τὸ θηλυκὸν Δωτηίς. Ῥιανὸς ἐν δ' Μεσσηνιακῶν „αὐδὴν εἰσάμενος Δωτηίδι Νικοτελείῃ". καὶ Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς. Σοφοκλῆς ἐν Πηλεῖ „βασιλεὺς χώρας τῆς Δωτιάδος". καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ῥόδου κτίσει „ὅσσα τε γαίης ἔργα τε Δωτιάδος πρότεροι κάμον Αἱμονιῆες". καὶ Ἀντίμαχος ἐν β' Λύδης „φεύγοντας γαίης ἔκτοθι Δωτιάδος". καὶ οὐδέτερον Δώτιον, Διονύσιος ἐν α' Γιγαντιάδος „καὶ κελάδων Σπερχειός, ἔχουσι δὲ Δώτια τέμπεα". καὶ τὸ ἑνικὸν ἐν τῷ β' „καὶ κενεὸν βρόντησε λέβης ἀνὰ Δώτιον Ἄργος". ἐκλήθη δὲ Δώτιον ἀπὸ Δώτου τοῦ Πελασγοῦ παιδός, ὡς Ἡρωδιανὸς ἐν ή „Δῶτος ὁ Πελασγοῦ, ἀφ' οὗ τὸ Δώτιον πεδίον". ἐκ περιττοῦ

---

1. Ἰτώνου pro Νεώνου Schubartus; fortasse Νέωνος, a quo Νεών Boeotiae oppidum denominatum esse videri possit. 2. ἰδίοις ὄρεσι] Strab. 9 p. 442 de Dotio campo: ἐν μέσῃ μέν πως Θετταλίᾳ, λόφοις δὲ ἰδίοις περικλειόμενον. 4. 5. ελα ος S, extrita litera, quae Montefalconio esse videtur τ. ἐλαφρὸς editi. 7. 8. δωτηι νικοτελείῃ S. vide Anall. Alex. p. 198. 10. 11. ἕρματα Δωτιάδος? quemadmodum Sarpedonem ἕρμα πόληος dixit Homerus Il. 16, 549. ita hoc dixerit: quicquid Dotiados terrae columina, veteres illi heroes Haemonii, perfecerunt. 11. Αἱμονιῆες] „Alius legit Ἀσμονιῆες. dubium est in ms." Montefalconius. 14. δὲ S, σε editi. 14. 15. καί κε νέον Schubartus. 15. βρόντησε S, κρότησε editi, quod me fefellit olim Com. graec. vol. 3 p. 188. spectare autem videntur haec ad Salmoneum, de quo Apollod. 1, 9: καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν. adde Cosmam in Maii Spicil. Rom. vol. 2 p. 283: Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱός, βασιλεὺς δὲ Θετταλῶν — οὗτος προσάπτων ἅρμασι βύρσας ξηράς τε καὶ σκληρὰς καὶ λέβητάς τινας μετὰ βυρσῶν ἤχους ἀπετέλει κτυπῶν. 16. Ἡρωδιανὸς] Hinc supple Arcad. p. 18, 14: βαρύνεται Κλῆτος (Κλεῖτος) Δῶτος Ὦτος. Herodianus ex Mnasea hauserat.

τοίνυν Ὧρος ἐν τοῖς ἐθνικοῖς τῇδε γράφει „καὶ τὰ περὶ Θάμυριν ἐν Δωρίῳ παριστοροῦντος τοῦ ποιητοῦ, πάλιν Ἡσίοδος Δωτίῳ ἐν πεδίῳ φάσκει αὐτὸν τετυφλῶσθαι". συντάσσει γὰρ τοῦτο τοῖς διχογραφουμένοις πρωτοτύποις τῶν ἐθνικῶν. ἐπάγει γοῦν „οὐ γὰρ ὡς ἡ Καλχηδὼν καὶ Καρχηδὼν καὶ τὰ τοιαῦτα λέγεται. ἡ μὲν γὰρ διὰ τοῦ λ̄ περὶ τὸν Πόντον, ἡ δὲ διὰ τοῦ ρ πρὸ τῆς Λιβύης". ἡμεῖς δὲ προὔφθημεν δείξαντες διὰ πολλῶν μαρτυριῶν ἕτερον [τὸ] διὰ τοῦ ρ̄ Δώριον καὶ ἕτερον τὸ διὰ τοῦ τ̄ Δώτιον.

---

2. *τοῦ ποιητοῦ*] Hom. Il. 2, 594. *Ἡσίοδος*] *Ἡρωδιανὸς* Osannus ad Philem. p. 305. refragante Ritschelio de Oro p. 59. contra quem disputavit Marckscheffel. Fragm. Hesiodi p. 389 sq. res ita se habere videtur. fabulam de Thamyra Homerus (Il. 2, 594) ad Dorium, Hesiodus autem ad Dotium revocaverat. hinc Orus Dotium et Dorium nihil nisi diversas eiusdem nominis formas esse collegerat. ita si interpreteris, recte dicta esse videbuntur quae de *Καλχηδών* et *Καρχηδών* inferuntur. in errorem viros doctos induxit, quod *τοίνυν* ad proximum Herodiani testimonium referrent, cum ad totam Stephani disputationem, ex qua Dorium et Dotium diversa loca esse intelligitur, spectare videatur. operae igitur parcere potuisse Orum dicit, qui demonstratum iverit quae demonstrari nequeant. *παριστορεῖν* autem dicitur de re obiter et *ἐν παρόδῳ* narrata, ut apud schol. Theocr. 1, 117: *ὥς φησιν Ἴβυκος παριστορῶν περὶ τῆς Ὀλυμπίας φιάλης.* schol. Hom. Il. 2, 745: *διὰ μέσου τὰ περὶ τοὺς Κενταύρους παριστόρηται.* Photius Bibl. p. 82, 20: *οὐκ ὀλίγα παριστορῶν.* in usu verbi *φάσκειν* non haerendum erat (vide p. 178, 2), nec magis in eo, quod veteres Homeri interpretes Hesiodum commemorare neglexerunt. ac fortasse memoria lapsus est Orus, qui Hesiodi verba *Δωτίῳ ἐν πεδίῳ* (fr. 141) ad Thamyram transtulerit. 5. *οὐ γὰρ ὁμοίως ἡ Καλχηδών*, aut *οὐ γάρ, ὡς ἡ Χαλκηδὼν καὶ Καλχηδών, οὕτω καὶ Καλχηδὼν καὶ Καρχηδὼν καὶ τὰ τοιαῦτα λέγεται* Ritschelius. *Καλχηδών* S, *Χαλκηδών* editi. 7. an *πρὸς τῇ Λιβύῃ?* *προὔφθημεν* S, *προὔθεμεν* editi. 8. *τὸ* add. Ritschelius. 9. *Δώτιον*] Post haec in cod. S sequentia inferuntur: *Στεφάνου γραμματικοῦ Κωνσταντινουπόλεως περὶ πόλεων νήσων τε καὶ ἐθνῶν δήμων τε καὶ τόπων καὶ ὁμωνυμίας αὐτῶν καὶ μετωνομασίας καὶ τῶν ἐντεῦθεν παρηγμένων ἐθνικῶν τε καὶ τοπικῶν καὶ κτητικῶν ὀνομάτων. βιβλίον ιά. οὗ τὰ κεφάλαια ταῦτα. Ἔωρες, ἔθνος. Ἐβόρα, πόλις. Ἑβραῖοι, ἔθνος. Ἐβρών, πόλις. Ἔγγαδα, κώμη. Ἐγγελᾶνες, ἔθνος. Ἐγγύιον,*

Ἔαρες, ἔθνος Ἰνδικὸν τῶν μετὰ Δηριάδου Διονύσῳ πολεμησάντων. Διονύσιος ἐν Βασσαρικῶν δ' „οἱ δὲ θοῶς προγένοντο Διωνύσου κατὰ φήμης....

Ἔβορα, πόλις παρωκεανῖτις μετὰ τὰ Γάδειρα. τὸ ἐθνικὸν Ἐβορεύς.

Ἐβραῖοι. οὕτως Ἰουδαῖοι ἀπὸ Ἀβράμωνος, ὥς φησι Χάραξ.

πόλις. Ἔγεστα, πόλις. Ἐγρά, πόλις. Ἐγχελεῖς, ἔθνος. Ἔδδανα, πόλις. Ἐδέβησσον, πόλις. Ἔδεσσα, πόλις. Ἐδουμαῖοι, ἔθνος. ...η καθέδρα. Ἐθνέσται, ἔθνος. Εἰδομενή, πόλις. Εἴζιλος (al. Εἴζηλος), φρούριον. Εἰλάσιον (al. Εἰλέσιον), πόλις. Εἰληθυιάς, πόλις. Εἴνατος, πόλις. Εἰρεσιάδαι (al. Εἰρεσίδαι), δῆμος. Ἐκαδήμεια, τόπος. Ἐκάλη, δῆμος. Ἐκατητία (al. Ἑκατησία), πόλις. Ἑκατόννησοι, νῆσοι. Ἑκατόμπυλον, πόλις. Ἐκβάτανα, πόλις. Ἐλαία, πόλις. Ἐλαιεύς, δῆμος. Ἐλαίου τεῖχος, πόλις. Ἐλαιοῦς, πόλις. Ἐλαιοῦσσα, πόλις. Ἐλάτεια, πόλις. Ἐλαυία, φρούριον. Ἐλαφόννησος, νῆσος. Ἐλβέστιοι, ἔθνος. Ἐλβοντίς, πόλις. Ἐλβώ, νῆσος. Ἔλγος, πόλις. Ἐλέα, πόλις. Ἐλέγεια, χωρίον. Ἑλέντιος, τόπος. Ἑλένη, νῆσος. Ἐλεύθεραι, Κιλικίας μέρος. Ἐλεύθεραι, πόλις. Ἐλευθέριον, πόλις. Ἐλευθερίς, πόλις. Ἐλευθερίσκος, πόλις. Ἐλεύθερνα, πόλις. Ἐλευσίς, δῆμος. Ἐλεύτιοι, ἔθνος. Ἐλεφαντίνη, πόλις. Ἐλεών, πόλις. Ἐλιβύργη, πόλις. Ἑλίκη, πόλις. Ἐλίμεια, πόλις. Ἐλινοί, ἔθνος. Ἐλίξοια, νῆσος. Ἐλίκυσοι, ἔθνος. Ἑλάς, χωρίον. Ἑλλάς, πόλις. Ἑλληνόπολις, πόλις. Ἑλληνικὸν καὶ Καρικόν, τόποι. Ἑλλήσποντος, ἡ χώρα. Ἐλλοπία, ἡ χώρα. Ἐλλόπιον, πόλις. Ἐλμαντίκη, πόλις. Ἕλος, πόλις. Ἔλουροι, ἔθνος. Ἐλοῦσα, πόλις. Ἔλπια, πόλις. Ἐλυμαΐα, χώρα. Ἐλύμινιον, νῆσος. Ἔλυρος, πόλις. Ἔλωρος, πόλις.

> Σφάλματα καλλιγράφων πολυώδυνα μυρία φεύγων,
> χερσὶν ἑαῖς Θεόφιλος ὅλας ἐγράψατο βίβλους
> τῶν ἐθνικῶν Στεφάνοιο, σοφῆς στάζοντα μελίσσης.

Ἔαρες, ἔθνος Ἰνδικὸν τῶν μετὰ Δωριάδου Διονύσῳ πολεμησάντων. Διονύσιος ἐν Βασσαρικῶν δ' „οἱ δὲ θοῶς προγένοντο Διωνύσου κατὰ φήμης". 1. βιβλίον ιδ' ante Ἔαρες add. *HR*. Δωριάδου S. 2. 3. Διονύσιος — φήμης add. S. 3. φήμης S, Θήβης editi. scribendum videtur φήμην, i. e. simulatque de Dionysi adventu inaudiverunt. similis dictionis forma Hom. Il. 18, 525: οἱ δὲ τάχα προγένοντο. praeterea lacunam indicavi, cum apertum sit periisse versum in quo Eares commemorati erant. 4. Ἔβηρα R, Ἔβυρα V, Ἐβόρα S. 5. Ἐβυρεύς V. 6. Ἀβράμωνος H, Ἀβραμῶνος Bochartus, Ἀβράβωνος libri.

Ἑβρών, πόλις ἐν Χαναναίᾳ τῆς Ἰουδαίας. τὸ ἐθνικὸν Ἑβρωνηνός.

Ἔγγαδα, κώμη μεγάλη πλησίον Σοδόμων Ἀραβίας. τὸ ἐθνικὸν Ἐγγαδηνός ὡς Ζοαρηνός, καὶ θηλυκῶς καὶ οὐδετέρως.

Ἐγγελᾶνες, ἔθνος Ἰλλυρίας, οἱ αὐτοὶ τοῖς Ἐγχελέαις, ὡς Μνασέας ἐν γʹ τῶν περιηγήσεων.

Ἔγγυον, πόλις Σικελίας. τὸ ἐθνικὸν Ἐγγυῖνος, ὡς Ῥηγῖνος.

Ἔγεστα, πόλις Σικελίας, ἔνθα θερμὰ ὕδατα, ὡς Φίλων. ἀπὸ Ἐγέστου τοῦ Τρωός. τὸ ἐθνικὸν Ἐγεσταῖος, καὶ θηλυκῶς.

Ἔγρα, πόλις Ἀραβίας πρὸς τῷ Ἀιλανίτῃ κόλπῳ. τὸ ἐθνικὸν Ἐγρηνός ὡς Βοστρηνός.

Ἐγχελεῖς, ἔθνος Ἰλλύριον, ἢ ἀπὸ τοῦ Ἐγχελής ἢ ἀπὸ τοῦ Ἐγχελεύς. λέγεται καὶ Ἐγχελέαι ἀπὸ τοῦ Ἐγχελέης ἢ Ἐγχελέας. λέγεται καὶ Ἐγχελίς θηλυκῶς. οἱ οἰκοῦντες Ἐγχελεῖς.

Ἔδδανα, πόλις πρὸς τῷ Εὐφράτῃ, κατοικία Φοινίκων, ἀπὸ Ἐδδανοῦ ἡγεμόνος. τὸ ἐθνικὸν Ἐδδανεύς.

Ἐδεβησσός, πόλις Λυκίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν αʹ. τὸ ἐθνικὸν Ἐδεβησσεύς καὶ Ἐδεβήσσιος.

Ἔδεσσα, πόλις Συρίας. διὰ τὴν τῶν ὑδάτων ῥύμην οὕτω κληθεῖσα. ἀπὸ τῆς ἐν Μακεδονίᾳ. [τὸ ἐθνικὸν] κατὰ

---

1. Ἐβρίων RSV, Ἐβρωή A. 2. Ἐβρωνισός V, Ἐβρώνιος AR; corr. B. 3. Ἔγγαδα RS, Ἐγγάδα A, om. acc. V. 4. Ζωαρηνός ante H. 5. Ἐγγελᾶνες forsan ex Ἐγχελᾶνες corruptum, qua forma usus est Polyb. 5, 108, 8. 6. τῆς περιηγήσεως? 7. Ἐγγύιον libri. cf. s. v. Ἔξγυον. 10. Αἰγέστου V. Αἰγεσταῖος R. 11. Ἐγρά S. 13. Ἐγχελής RV, Ἐγχελῆς A. 13. ἢ ἀπὸ τοῦ Ἐγχελής om. V. 14. Ἐγχελεύς R, Ἐγχέλευς A. τοῦ ante Ἐγχελέης om. R. 15. θηλυκόν R. 17-19. Ἐδδανεύς — ἐθνικὸν add. PpRV. 17. Ἐδδανεύς RV, Ἐδδανηνός Pp. fortasse Ἐδδανεύς καὶ Ἐδδανηνός cum B, alterum graeco, alterum indigenarum typo. cf. s. v. Ἔδεσσα. 18. Ἐδέβησσον S. 19. Ἐδεβησσός pro Ἐδεβησσεύς R. 20. 21. ῥύμην. οὕτω R. 21. Μακεδονίᾳ H, Μακεδόνι libri. ἀπο[ικία]? τὸ ἐθνικὸν add. B.

μὲν τοὺς ἐγχωρίους Ἐδεσσηνός, παρὰ δὲ τοῖς πλείοσιν [τῶν ἀρχαίων] Ἐδεσσαῖος.

Ἐδουμαῖοι, ἔθνος Ἀράβιον, ὡς Οὐράνιος ἐν Ἀραβικῶν τετάρτῳ. τινὲς δὲ διὰ τοῦ ῑ γράφουσιν, ὡς εἰρήσεταί μοι ἐν τῷ ῑ.

Ἕδρα, ἡ καθέδρα. οὕτω λέγονται ἕδραι βουλῆς. ἀφ' οὗ ἑδρίτης ὁ ἱκέτης.

Ἐθνέσται, ἔθνος Θεσσαλίας, ἀπὸ Ἐθνέστου τῶν Νεοπτολέμου παίδων ἑνός, ὡς Ῥιανὸς δ' καὶ ε'.

Εἰδομενή, πόλις Μακεδονίας, Θουκυδίδης β'. τὸ ἐθνικὸν Εἰδομένιος ὡς Κλαζομένιος.

Εἴζηλος, φρούριον Σικελίας. τὸ ἐθνικὸν Εἰζηλῖνος.

Εἰλέσιον, [πόλις Βοιωτίας.] Ὅμηρος „καὶ Εἰλέσιον καὶ Ἐρύθρας". τὸ ἐθνικὸν Εἰλεσιεύς.

Εἰληθυίας, πόλις Αἰγυπτιακή. τὸ ἐθνικὸν Εἰληθυιοπολίτης.

Εἴνατος, πόλις Κρήτης, ὡς Ξενίων φησί. τὸ ἐθνικὸν Εἰνάτιος. τινὲς δὲ ὄρος καὶ ποταμός, ἐν ᾧ τιμᾶσθαι τὴν Εἰλείθυιαν Εἰνατίην.

Εἰρεσίδαι, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Εἰρεσίδης. τὰ τοπικὰ ἐξ Εἰρεσιδῶν, καὶ τὰ λοιπὰ οὕτως.

Ἐκαδήμεια ἢ Ἀκαδήμεια, ἀπὸ Ἀκαδήμου. καὶ Ἀθη-

---

1. *Ἐδεσσηνούς* R. *τοῖς Ἕλλησιν?* 1. 2. *τῶν ἀρχαίων*, quod om. R, parum aptum hoc loco, fortasse ex *Ἀράβων* vel *Ἀραβίων* corruptum et nomini *Ἀράβιον*, quod sequente versu legitur, pro varia lectione superscriptum fuit. 3. *Ἐδουμαῖος* V. *Ἀραβίας* V. *Οὐράνιος* H, *Σούνιος* libri. 7. *ἱκέτης* Salmasius, *οἰκέτης* libri. 10. *Ἐδομένη* RV. *β'*] c. 100. ubi editur *Εἰδομένη*. 11. *Ἐδομένιος* R. 12. *Εἴζιλος* S, *Εἰζηλός* ARV. cf. Lobeck. Path. p. 110. *Εἰζιλῖνος* R. 13. *πόλις Βοιωτίας* add. M. cf. Scymn. p. 72. *Ὅμηρος*] Il. 2, 499. 15. *Εἰλειθυίας* ARV, *Εἰληθυιάς* S. *πόλις* add. Pinedo. v. ad *Μενέλαος*. 16. *Εἰληθιοπολίτης* R, *Εἰλειθυιοπολίτης* AV. 18 *ποταμός* RV, *ποταμόν* A. 19. *Εἰνατίην* BH, *Εἰνατινήν* RV, *Εἰνατίνην* A. respicit Callim. fr. 168. ubi v. Bentleium. 20. *Εἰρεσιάδαι* S. 22. *Ἐκαδήμεια* ante X.

νησι τόπος, ὁ Κεραμεικός. ὁ ἥρως δὲ διὰ τοῦ ε̄ γράφεται. οἱ δ' ὅτι Ἔχεμος ὁ Ἀρκὰς συστρατεύσας τοῖς Διοσκούροις ὑποχείριον ἔσχε τὴν Ἀττικήν, ἐξ οὗ Ἐχεμήδειόν φασιν. μὴ βουλόμενοι δὲ σώζεσθαι τὸ ὄνομα Ἀκαδήμειαν ἔφασαν. ὁ δημότης Ἀκαδημαϊκός, τροπῇ καὶ τοῦ τελευταίου ε̄ εἰς η̄.

Ἑκαλή, δῆμος τῆς Λεοντίδος φυλῆς. ὁ δημότης Ἑκάλιος. τὰ τοπικὰ Ἑκαλῆθεν Ἑκαλῆνδε Ἑκαλῆσι. καὶ Ἑκάλειος Ζεύς.

Ἑκατησία. οὕτως ἡ Ἰδριὰς πόλις ἐκαλεῖτο Καρίας. ναὸν γὰρ τεύξαντες οἱ Κᾶρες τὴν θεὸν Λαγινῖτιν ἐκάλεσαν ἀπὸ τοῦ φυγόντος ζῴου ἐκεῖ, καὶ τὰ Ἑκατήσια τελοῦντες οὕτως ὠνόμασαν. ὁ πολίτης Ἑκατήσιος.

1. Κεραμικός libri. 2. Ἐχέδημος Meursius. cf. Plutarch. V. Thes. 32: Δικαίαρχος Ἐχέμου φησὶ καὶ Μαράθου συστρατευσάντων τότε τοῖς Τυνδαρίδαις ἐξ Ἀρκαδίας, ἀφ' οὗ μὲν Ἐχεδημίαν προσαγορευθῆναι τὴν νῦν Ἀκαδημίαν, ἀφ' οὗ δὲ Μαραθῶνα τὸν δῆμον. ubi Coraes Ἐχεδήμου scripsit, nec libris addicentibus nec faventibus Herodoto 9, 26. Pausania 1, 41, 2. Tzetza ad Lyc. 511. aliisque constanter Echemum Arcadiae regem nominantibus, non Echedemum. 3. Ἐχεδήμειον Meursius, Ἐχεδημίαν (sive potius Ἐχεδήμειαν) B, cui favet Hesychius, Ἐχεδημία· ἡ νῦν καλουμένη Ἀκαδημία. φασιν] φῶ R. 3. 4. μὴ βουλόμενοι — ἔφασαν add. R. 4. ὄνομα Schubartus, ὄνος R, ὀνειδος Passovius. perpetua permutatio nominum ὄνος et ὄνομα. ceterum eadem de nominis huius mutatione attulisse videtur s. v. Ἀκαδήμεια, id quod lacunae signis, quae ibi posui, indicare volui. quod enim Bergkius Obs. crit. 2 p. 8. existimat, excidisse illic monitum de penultimae syllabae scriptura (Ἀκαδήμεια et Ἀκαδημία), id minus mihi probabile videtur. nisi forte controversa verba, διὸ καὶ ἡ πλείων χρῆσις οὕτως, ex illo loco in hunc transferenda et post ἔφασαν inserenda dicas. consimile transpositionis exemplum vide p. 18, 18. Ἀκαδήμειον R. ἔφασαν ex corr. R, φασίν AV. 5. τροπῇ τοῦ [ȳ εἰς x̄] καὶ Salmasius, qui haec non ad Ἀκαδημαϊκός, sed ad nomen Ἀκαδήμεια referri voluit. καὶ om. R. εἰς η̄ AR, εἰς θη̄ P^aV, εἰς δη̄ Salmasius, εἰς α W. 6. Ἑκάλη libri. 6. Ἑκάλειος Pinedo. malim Ἑκαλεύς. ita enim formantur gentilia Atticorum demorum in λη exeuntium, Ἀγγελεῖς ab Ἀγγελή, Ἀγκυλεῖς ab Ἀγκυλή, Ἀγρυλεῖς ab Ἀγρυλή, Κονθυλεῖς a Κονθυλή, Πεντελεῖς a Πεντελή. 6. 7. Ἑκάλιος. τὰ τοπικὰ om. R. 7. Ἑκαλῆθεν R, Ἑκάληθεν AV. Ἑκάληνδε R. Ἑκάλειος Pinedo, Ἑκάλιος libri. 8. Ἑκατήσια vulgo. 9. Λαγινίτην R, Λαγινίτην ARV. 10. Ἑκατήσια dubitanter B, ἐτήσια libri. 10. 11. οὕτως ὠνόμασαν M, ^ου ὠνόμασαν R, ὠνόμασαν AV.

Ἑκατόννησοι. οὕτως περὶ τὴν Λέσβον νησία κ', ὡς Στράβων, παρὰ τὸν Ἕκατον τὸν Ἀπόλλωνα· τιμᾶται γὰρ διαφόρως ἐν τοῖς τόποις, Σμινθεὺς Κιλλαῖος Γρυνεύς. οἱ οἰκοῦντες Ἑκατοννήσιοι.

Ἑκατόμπυλος, πόλις Παρθίας, ἀνατολικωτέρα Περσίδος. τὸ ἐθνικὸν Ἑκατομπύλιος.

Ἐκβάτανα, ἡ μεγάλη μερὶς τῆς Μηδίας. ἔστι καὶ Συρίας πόλις. τὸ ἐθνικὸν Ἐκβατανηνός ὡς Ταβηνός.

Ἐλαία, πόλις τῆς Ἀσίας Αἰολική, Περγαμηνῶν ἐπίνειον, ἡ *Κιδαινίς* ὠνομάζετο, Μενεσθέως κτίσμα. ἔστι καὶ ἑτέρα Ἰταλίας διὰ τοῦ ε ψιλοῦ Ἐλέα, ἐξ ἧς Ἐλεᾶται. τῆς δὲ προτέρας Ἐλαῖται. ἔστι καὶ πόλις Φοινίκης Ἐλαία μεταξὺ Τύρου καὶ Σιδῶνος, ὡς Φίλων. καὶ Ἐλαία Βιθυνίας ἐπίνειον πλησίον Μυσίας. ἔστι καὶ λιμὴν Αἰθιοπίας καὶ νῆσοι τρεῖς.

Ἐλαιεύς, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς, ὡς Διονύσιος. Διόδωρος δ' *Ἐλαιοῦς,* ἀφ' οὗ ὁ δημότης Ἐλαιούσιος. τὰ τοπικὰ Ἐλαιουντόθεν καὶ Ἐλαιοῦντάδε καὶ Ἐλαιοῦντι. λέγεται καὶ ἐξ Ἐλαιέως.

Ἐλαίου τεῖχος, πόλις Λυκίας. τὸ ἐθνικὸν Ἐλαιοτειχίτης.

Ἐλαιοῦς, πόλις ἐν Ἑλλησπόντῳ. τὸ ἐθνικὸν Ἐλαιούσιος, καὶ τὸ θηλυκὸν Ἐλαιουσία. ἔστι καὶ Ἄργους Ἐλαιοῦς.

Ἐλαιοῦσσα, νῆσος Κιλικίας κατὰ τὴν ἤπειρον, ἡ νῦν

---

1. *παρὰ* R. 2. *Στράβων*] 13 p. 618. *παρὰ* Salmasius, *περὶ* libri. *τὸν Ἕκατον*] Vide supra p. 121. *Ἀπόλλω* R. 4. *Ἑκατοννήσιοι* X, *Ἑκατόννησοι* A, *Ἑκατοννῆσοι* R, *Ἑκατόνησοι* V. 7. *μερὶς*] *μητρόπολις* H. 8. *Ἑκατανηνός* R. *Ταβηνός* Pp, *Ταβιηνός* ARV. 10. *Κιδαινίς*] *καὶ Δαναΐς* H. fortasse *καὶ Ἐλαΐς*, quod prototypon est gentilicii *Ἐλαΐτης* et possessivi *Ἐλαϊτικός*. similiter quam paullo post commemorat Elaeam Syriacam, *Ἐλαΐδα* vocat Dion. Per. 910. 11. *ἐξ ἧς* om. V. *Ἐλεᾶται* X, *Ἐλαῖται* R, *Ἐλεῖται* V, *Ἐλεῖται* A. 12. *Ἐλαῖται* H, *Ἐλαῖται* V, *Ἐλεῖται* ΠR, *Ἐλαιῖται* A. 17. *Ἐλαιοῦντι* Göttlingus, *Ἐλαιούντιον* RV, *Ἐλαιοῦσι* A. 23. *Ἐλαίουσσα* R. *κατὰ* Π, *μετὰ* ARV.

Σεβαστή πρὸς τῇ Κωρύκῳ. εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι ἑπτά. τὸ ἐθνικὸν Ἐλαιούσσιος.

Ἐλάτεια, πόλις μεγίστη Φωκίδος, ἀπὸ Ἐλάτου. ἔστι καὶ Θετταλίας. τὸ ἐθνικὸν Ἐλατεύς. ἔστι καὶ Θεσπρωτίας. ἣν καὶ *Ἐλάτριαν* φασὶ διὰ τοῦ ρ̄, καὶ τὸ ἐθνικὸν Ἐλατριεύς.

Ἐλαύια, φρούριον Σικελίας. Φίλιστος β΄. τὸ ἐθνικὸν Ἐλαυιάτης [καὶ Ἐλαυίτης], ὡς Ἰαμνιάτης καὶ Ἰαμνίτης.

Ἐλαφόνησος, μία τῶν Σποράδων νήσων, ἔχουσα πόλιν ὁμώνυμον. τὸ ἐθνικὸν Ἐλαφονήσιος.

Ἐλβέστιοι, ἔθνος Λιβύης. Φίλιστος η΄ „περὶ δὲ τοὺς Λίβυας . . ." Ἑκαταῖος Εὐρώπῃ „Ἐλβέστιοι καὶ Μαστιηνοί".

Ἔλβονθις, πόλις μεταξὺ Αἰγύπτου καὶ Κυρήνης. τὸ ἐθνικὸν Ἐλβονθίτης, ὡς Φλέγων.

Ἐλβώ, νῆσος, Ἡρόδοτος δευτέρᾳ. τὸ ἐθνικὸν Ἐλβῷος, ὡς Σαρδῷος.

Ἔλγος, πόλισμα Λυδίας, ὡς Ξάνθος ἐν Λυδιακοῖς. τὸ ἐθνικὸν Ἔλγιος καὶ Ἐλγαῖος ὡς Σιγγαῖος.

Ἐλέα, πόλις Ἰταλίας, ὡς εἴρηται. ἐκαλεῖτο δὲ *Ὑέλη*. ὠνομάσθη δὲ Ἐλέα ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ, ἡ νῦν *Βελέα*.

Ἐλέγεια, χωρίον πέραν Εὐφράτου, Ἀρριανὸς ἐν Παρθικῶν η΄. τὸ ἐθνικὸν Ἐλεγεύς ὡς Σελευκεύς.

---

1. *τῇ Κωρύκῳ* M, *τῇ Κυρίκῳ* ΠV, *τῇ Κηρύκῳ* R, *τῷ Κυρίκῳ* APp, *τῷ Κωρύκῳ* B. 2. *Ἐλαιούσιος* R. 5. *Ἐλάτριαν* V, *Ἐλατρίαν* R, *Ἐλάτρειαν* A. vera scriptura videtur *Ἐλάτρια* ut *Ἐρέτρια*. *Ἐλατριεύς* RV, *Ἐρατριεύς* V, *Ἐλατρειεύς* A. 7. *καὶ Ἐλαυίτης* add. B. 11. lacunam indicavit M. *Ἑκαταῖος Εὐρώπῃ* H, *ἑκτ** Εὐρώπης* libri. 14. *δευτέρᾳ*] c. 140. 14. 15. *Ἐλβῶος ὡς Σαρδῶος* vulgo. 16. *πόλις* Π. *Λυδίας* AΠV, *Λυκίας* R, ut coniecit X. Lyciae si oppidum fuisset, gentile *Ἐλγεύς* potius quam *Ἔλγιος* vel *Ἐλγαῖος* formaretur. *Λουκιανοῖς* A, *Λουκιάνοις* R, *Λευκτανοῖς* V, *Λυκιακοῖς* X, correxit L. Dindorfius. 17. *Σιγγαῖος* H, *Σιγαῖος* ARV, *Διγαῖος* Π. forsan *ὡς [Σίγγιος καὶ] Σιγγαῖος*. cf. in *Σίγγος*. 18. *Ἐλέαι* V. *ὡς εἴρηται*] p. 263, 11. *Ὑέλη* Cluverus, *Βύλη* libri. 22. *η΄* ΠRV, *ν΄* A.

Ἐλένειος, τόπος πρὸς τῷ Κανώβῳ, Ἑκαταῖος περιηγήσει Λιβύης. τὸ ἐθνικὸν Ἐλενειεύς.

Ἑλένη, νῆσος τῆς Ἀττικῆς, Ἑκαταῖος Εὐρώπῃ. ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου. ἐκαλεῖτο δὲ **Μάκρις** διὰ τὸ μῆκος. ἔστι καὶ κρήνη Ἑλένη ἐν Χίῳ, ἐφ' ᾗ Ἑλένη ἐλούσατο. τὸ ἐθνικὸν Ἑλεναῖος ὡς Κασμεναῖος, ἢ Ἑλενίτης ἢ Ἑλένειος.

Ἐλευθέρα Κιλικία, μέρη αὐτῆς ἐν διαφόροις τόποις. οἱ οἰκήτορες Ἐλευθεροκίλικες, νῦν δὲ Ἐλευθερῖται.

Ἐλευθεραί, πόλις Βοιωτίας, ἀπὸ Ἐλευθῆρος τοῦ Ἀπόλλωνος. ἔστι καὶ Κρήτης ἀπὸ Ἐλευθῆρος ἑνὸς τῶν Κουρήτων, ἥ τις καὶ **Σάωρος** ἐκαλεῖτο ἀπὸ Σαιώρης νύμφης. ἔστι καὶ ἄλλη ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ἐν τῷ Πόντῳ, διὰ τὸ φυγόντας Αἰήτην τοὺς περὶ Ἰάσονα ἐκεῖ τοῦ φόβου ἐλευθερωθῆναι. ἔστι καὶ πόλις Λυκίας ἀπό τινος νύμφης. ὁ πολίτης Ἐλευθερεύς, ἢ Ἐλευθεραῖος, ὡς Ἡρακλείδης.

Ἐλευθέριον, πολίχνιον Μυσίας. οἱ οἰκῆται Ἐλευθεριεῖς, ὡς Βουπράσιον Βουπρασιεῖς.

---

1. πρὸς ΠRV, περὶ A. 2. Λιβύης M, Λιβυ^{κῆς} R, Λιβυκῶν AV. 3-5. νῆσος τῆς Ἀττικῆς — διὰ τὸ μῆκος om. R. 3. ἐκεῖ γὰρ] Pausan. 1, 35, 1: ἐς ταύτην ἀποβῆναι λέγουσιν Ἑλένην μετὰ τὴν ἅλωσιν τὴν Ἰλίου. 7. Ἑλενείτης R. 10. 11. Ἀπόλωνος R. 11. Κρήτης] Eadem quae infra Ἐλεύθερνα dicitur, Ἐλευθήρα autem s. v. Ἄωρος, quamquam id rectius aut Ἐλευθέρα (Dio Cass. 35, 17) aut Ἐλεύθερνα scripseris. 12. Σαίωρος V, Ἄωρος H, qui etiam mox Ἀώρης sive Ἀώρας pro Σαώρης. videtur utrumque dici posse. infra noster: Σάτρα, πόλις Κρήτης, ἡ μετονομασθεῖσα Ἐλεύθερνα, quod ex Σαώρα corruptum puto. Σαώρας? 13. παρὰ pro ἐπὶ Π. 16. Ἡρακλείδης M, Ἡράκλεια V, Ἡρακλεῖ^{α} R, Ἡράκλειος A, Ἡραῖος Salmasius. hoc quidem inepte; quid scripserit Stephanus, docent RV, in quorum scriptura ᾱ ex δ̄ corruptum videtur. scribendum igitur erat Ἡρακλείδης, sive nobilem illum Aristotelis discipulum intelligas, sive eum, cuius Lescharum memoriam duobus Stephani locis restitui Anall. Alex. p. 380 sq. 17. οἰκήτορες? Ἐλευθεριεύς R. 18. Βουπράσιον Βουπρασιεῖς H, Προύσιον Προυσιεῖς A, Προύσιον Προυσιεύς R, Προύσιος Προυσιεύς V.

Ἐλευθερίς, πόλις Βοιωτίας Ὠρωποῖ πλησίον, Κόθου καὶ Αἴκλου [κτίσμα]. Θεόπομπος μ'. τὸ ἐθνικὸν Ἐλευθερίτης.

Ἐλευθερίσκος, πόλις Μακεδονίας. Θεαγένης Μακεδονικοῖς. τὸ ἐθνικὸν Ἐλευθερίσκιος ὡς Τριποδίσκιος.

Ἐλεύθερνα, πόλις Κρήτης, ἀφ' ἑνὸς τῶν Κουρήτων. οἱ πολῖται Ἐλευθερναῖοι. καὶ Ἐλευθερνεύς.

Ἐλευσίς, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἐλευσίνιος. τὰ τοπικὰ Ἐλευσινόθεν Ἐλευσῖνάδε καὶ Ἐλευσῖνι. λέγεται καὶ Ἐλευσινιακός καὶ Ἐλευσινιάς. ἔστι καὶ Δήμητρος καὶ Κόρης Ἐλευσινίας ἱερόν.

Ἐλεύτιοι, ἔθνος τῆς Ἰαπυγίας, Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν ὁμοίως.

[*Ἐλεφαντίνη*, πόλις Αἰγύπτου.] Παρθένιος δὲ *Ἐλεφαντίδα* αὐτήν φησιν. τὸ ἐθνικὸν τῆς μὲν προτέρας Ἐλεφαντινίτης, τῆς δ' Ἐλεφαντίδος Ἐλεφαντίτης.

[*Ἐλεών*, πόλις τῆς Ταναγρικῆς.]

Ἐλιβύργη, πόλις Ταρτησσοῦ, Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ἐλιβύργιος.

Ἑλίκη, πόλις Πελοποννήσου. Ὅμηρος „οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγάς". ἀπὸ Ἑλίκα τοῦ Λυκάονος, ἢ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικός Σελινοῦντος δὲ τοῦ Ποσειδῶνος θυ-

---

1. *Κότου* X. 2. *Ἀίκλου* M, *Αἴκλου* B, *Ἐγκλέου* libri. cf. ad Scymn. Per. p. 35. *κτίσμα* add. B. *μ'* RV, *μγ'* A. *τὸ ἐθνικὸν* R, *καὶ ἐθνικὸν* A, *καὶ τὸ ἐθνικὸν* V. 3. 4. *Μακεδονικός* ante X. 4. *Τριτοσποδίσκιος* V. 5. *Ἐλευθέρνα* vulgo. cf. Lobeck. Path. p. 280. *ἀφ' οὗ ἑνὸς* V. 8. *Ἐλευσίναδε* A, *Ἐλευσινάθε* RV. *Ἐλευσῖνι* M, *Ἐλευσινία* R, *Ἐλευσίνια* V, *Ἐλευσίνισι* A. 11. 12. *τὸ ἐθνικὸν ὁμοίως* add. Pp. 13. *Ἐλεφαντίνη, πόλις Αἰγύπτου* add. Vossius. 14. *αὐτῷ* RV. 14. 15. *Ἐλεφαντινίτης* M, pro quo quod in libris legitur *Ἐλεφαντῖνος*, non habet typum Aegyptiacum. *Ἐλεφαντινίτης* habet titulus Boeckh. C. I. 4892, 32. 16. *Ἐλεών — Ταναγρικῆς*] Haec addidimus ductu indicis supra allati p. 259. cf. s. v. *Νεών*. Strab. 9 p. 403. Nonn. 13, 63. 19. *Ὅμηρος*] Il. 8, 203. 19. 20. *οἱ δέ τι εἰς Ἑλίκην τὰς αἶγας* libri, quod ex Homero correctum. 20. *Ἑλίκα* Pp*Π*V et Eustathius ad Hom. p. 292, 26, *Ἑλίκας* AR, *Ἑλίκου* X. 21. *τῆς* pro *τοῦ* RV.

γατρός. ὁ πολίτης Ἑλικώνιος ἀπὸ τοῦ κτιστοῦ Ἑλικῶνος, καὶ Ἑλικωνία τὸ θηλυκόν. ἴσως δὲ τοῦτο ἀπὸ τοῦ ὄρους γέγονεν. ἔστω οὖν Ἑλικεύς, ἢ Ἑλικωνίτης· ἴσως ἀπὸ τοῦ Ἑλικώνιος· ἢ Ἑλικήσιοι. [ἔστι καὶ ἄλλη Θετταλική.]

Ἐλιμία, πόλις Μακεδονίας, Στράβων ἑβδόμῳ. ἀπὸ Ἐλύμου τοῦ ἥρωος ἢ ἀπὸ Ἑλένου ἢ ἀπὸ Ἐλύμα τοῦ Τυρρηνῶν βασιλέως. τὸ ἐθνικὸν Ἐλιμιώτης. Ἀλέξανδρος δ' ἐν Εὐρώπῃ Ἐλίμειον φησί, διὰ μακροῦ τὴν μει συλλαβήν, τὴν δὲ λι διὰ βραχέος τοῦ ι.

Ἔλινοι, ἔθνος Θεσπρωτικόν, Ριανὸς δ' Θεσσαλικῶν. καὶ Ἐλινία ἡ χώρα. ἔστι καὶ Σικελίας πόλις. τὸ ἐθνικὸν Ἐλινῖνος.

Ἐλίξοια, νῆσος Ὑπερβορέων, οὐκ ἐλάσσων Σικελίας, ὑπὲρ ποταμοῦ Καραμβύκα. οἱ νησιῶται Καραμβῦκαι ἀπὸ τοῦ ποταμοῦ, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης.

Ἐλίσυκοι, ἔθνος Λιγύων, Ἑκαταῖος Εὐρώπῃ.

---

1. Ἑλικώνιος] Cogitavit de Neptuno Ἑλικωνίῳ apud Homer. Il. 20, 404. cuius sacra quin ad Helicen Achaicam revocanda sint non dubitandum est. dixit de his formationibus Ahrens Dial. Aeol. p. 159 et Lobeck. Pathol. p. 429. nec tamen incredibile est, pro Ἑλίκη antiquitus etiam Ἑλικών dictum fuisse, ut est in Homer. h. 21, 3: ὅσθ' Ἑλικῶνα καὶ εὐρείας ἔχει Αἰγάς, ubi Ἑλίκην τε scribebat H. cf. Bergkii Observ. crit. 4 p. 6. τοῦ κτιστοῦ R, κτίστου AV. 4. ἔστι καὶ ἄλλη Θετταλική add. H ex Eustathio l. l. 5. Ἐλιμία M, Ἐλίμεια R, Ἐλίμεια AV. ἑβδόμῳ] p. 326. ubi libri Αἰμία habent, quod Ἐλιμία potius quam Ἐλίμεια scribendum. 6. τοῦ Τρωός? cf. Strab. 13 p. 608. ἢ ἀπὸ Ἑλένου del. Pinedo. 7. Ἐλιμιώτης R, Ἐλιμειώτης AV. cf. Thucyd. 2, 99. ubi editur Ἐλειμιώτης, quod malim Ἐλιμιώτης scribi, ut apud Arrian. An. 1, 7, 5. 8. μει X, μίαν libri. 8. 9. τὴν δ' ἐλίου διὰ libri. correxit Gavelius, quod ignorabam Anall. Alex. p. 374. 10. Ἐλινοί S. 11. Ἐλινία PpR, Ἑλενία AV. ποταμός R. Ἐλινῖνος R, Ἐλενῖνος AV. 12. Ὑπερβορείων R. non improbabile videri potest Elixoeam esse peninsulam Jütlandicam, et Carambycam fluvium non diversum esse ab eo quem hodie Eideram dicunt. 13. ὑπὸ libri. ποταμοῦ RV, ποταμῷ A. Κοραμβύκα V. Καραμβύκαι V, Κεραμβύκαι AR. 13. 14. ἀπὸ τοῦ ποταμοῦ add. R. 15. Ἐλίκυσοι S.

Ἕλλα, χωρίον Ἀσίας, Ἀττάλου βασιλέως ἐμπόριον. Πολύβιος ιϛ΄. τὸ ἐθνικὸν Ἑλλαῖος.

Ἑλλάς, πόλις Θεσσαλίας. „πολλαὶ Ἀχαιΐδες εἰσὶν ἀν᾽ Ἑλλάδα τε Φθίην τε". ἐκτίσθη ὑπὸ Ἕλληνος, οὐ τοῦ Δευκαλίωνος, ἀλλὰ τοῦ Φθίου καὶ Χρυσίππης τῆς Ἴρου. ὁ δὲ Φθῖος ἦν Ἀχαιοῦ. ἔστι καὶ ἄλλη πόλις Ἑλλὰς κοίλης Συρίας. τὸ ἐθνικὸν Ἕλλην ὁμοίως τῷ πρωτοτύπῳ, καὶ Ἑλληνὶς τὸ θηλυκόν, καὶ Ἑλληνικός, καὶ Ἑλλαδικὸς ἀπὸ τῆς Ἑλλάδος.

Ἑλληνικὸν καὶ Καρικόν, τόποι ἐν Μέμφιδι, ἀφ᾽ ὧν Ἑλληνομεμφῖται καὶ Καρομεμφῖται, ὡς Ἀρισταγόρας.

Ἑλληνόπολις, πόλις Βιθυνίας. μετὰ τὸν ἀνοικισμὸν Βισάλθης. τὸ ἐθνικὸν Ἑλληνοπολίτης.

Ἑλλήσποντος, ἡ χώρα ἡ παρακειμένη τῷ κόλπῳ, ἀπὸ Ἕλλης. οἱ οἰκήτορες Ἑλλησπόντιοι καὶ Ἑλλησποντία καὶ Ἑλλησποντίς. ἔστι δ᾽ ἀπὸ δύο παρηγμένον, ὡς παρ᾽ ὠκεανὸν παρωκεανῖτις, παρὰ ποταμῷ παραποτάμιος.

Ἐλλοπία, χωρίον Εὐβοίας, καὶ αὐτὴ ἡ νῆσος, ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. τὸ ἐθνικὸν Ἐλλοπιεύς. ἐλέγετο καὶ ἡ περὶ Δωδώνην χώρα Ἐλλοπία, ἧς οἱ οἰκήτορες Ἑλλοί καὶ Σελλοί. Ὅμηρος „ἀμφὶ δὲ Σελλοί". ἔστι καὶ πόλις περὶ Δολοπίαν, καὶ χώρα περὶ Θεσπιάς.

---

1 Ἕλλα BH, Ἑλὰς S, Ἕλα ARV. βασιλέως [κτίσμα], ἐμπόριον? 2. ϛ΄ V. Ἑλλαῖος RV, Ἑλαῖος A. 3. πολλαὶ] Hom. Il. 9, 395. 4. τε post Ἑλλάδα add. RV. οὐ om. R. 5. Χρυσίπης R. 6. πόλις add. RV. 8. Ἑλληνικός RV, Ἑλλανικός A. 10. Καρομεμφῖται B, Καρικομεμφῖται libri. 11. ἀνῳκισμὸν libri. 12. Βισάλθης R, Βισάθλης V, Βιβάθλης Pp, Βιθάλβης A. in lacero hoc et luxato nescio cuius historici loco videtur Bisanthae, Thraciae urbis notissimae, latere memoria. praeterea excidisse videntur Apollodori verba ab Etym. M. p. 331, 38 servata: Ἀτταλὸς ἐκ τῶν Ἑλληνίδων πόλεων οἰκήτορας συναγαγὼν ἔκτισε πόλιν καὶ ὠνόμασεν αὐτὴν Ἑλληνόπολιν. quae non dubium est quin Etymologus, ut alia multa, Stephano debeat. 16. παρὰ ΠRV, περὶ A. ποταμοῦ V. an ποταμὸν? 18. τοῦ Ἴωνος] τοῦ Τιθωνοῦ Eust. ad Il. p. 280, 31. 20. ἀμφὶ ex Hom. Il. 16, 234. repositum, ἀπὸ libri. 21. καὶ χώρα περὶ Θεσπιάς om. R.

Ἐλλόπιον, πόλις Αἰτωλίας. Πολύβιος ια΄. τὸ ἐθνικὸν Ἐλλοπιεύς.

Ἐλμαντική, πόλις Ἰβηρίας τῆς ἐκτὸς Ἴβηρος ποταμοῦ. Πολύβιος γ΄. τὸ ἐθνικὸν Ἐλμαντικός.

Ἕλος, πόλις Λακωνική. „καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον". παρὰ τὸ ἐν ἕλει εἶναι. οἱ πολῖται Εἵλωτες. τῇ ἐκτάσει καὶ τῷ γένει καὶ τῇ προσθέσει τοῦ ῑ διαφέρει. λέγονται καὶ Εἱλῶται καὶ Ἕλειοι καὶ Ἑλεῖται, καὶ ἡ χώρα Εἱλωτία, καὶ θηλυκὸν Εἱλωτίς, καὶ κτητικὸν Εἱλωτικός. ἔστι καὶ Ἕλος Αἰγύπτου.

Ἕλουροι, Σκυθικὸν ἔθνος, περὶ ὧν Δέξιππος ἐν χρονικῶν ιβ΄.

Ἐλοῦσα, πόλις τῆς νῦν μὲν Παλαιστίνης τρίτης, πάλαι δ' Ἀραβίας. τὸ ἐθνικὸν Ἐλουσηνός.

Ἐλπία, πόλις ἐν Δαυνίοις, κτίσμα Ῥοδίων. τὸ ἐθνικὸν Ἐλπιανός.

Ἐλυμαία, χώρα Ἀσσυρίων πρὸς τῇ Περσικῇ, τῆς Σουσίδος ἐγγύς. οἱ οἰκοῦντες Ἐλυμαῖοι.

Ἐλύμνιον, νῆσος Εὐβοίας, πόλιν ἔχουσα. λέγεται καὶ Ἐλυμνία. τὸ ἐθνικὸν Ἐλύμνιος ἢ Ἐλυμνιεύς. τῆς δ' Ἐλυμνίας Ἐλυμνιάτης.

---

1. *καὶ* ante *Πολύβιος* in marg. V. 3. *ἐντοῖς* et e corr. *ἐντὸς* V. 4. *Ἐλαντικός* RV. 5. *καὶ Πτελεὸν*] Hom. Il. 2, 594. cuius verba de Messeniaco *Ἕλει* intelligenda. notavit scriptoris errorem Eustath. ad Hom. p. 295, 22. quamquam hunc non Stephani, sed epitomatoris errorem esse credo. Laconicae urbis memoria obscurata est apud Ptolemaeum Photii Bibl. p. 149, 4: *Ἑλένην (κληθῆναι) ἀπὸ τοῦ ἐν ἕλει ὑπὸ Λήδας τεχθῆναι.* 6. *ὁ πολίτης Εἵλως* Schubartus, quo non opus est, si distinguas, ut feci, post *Εἵλωτες*. 8. *Ἑλεῖται* M, *Ἑλεᾶται* libri. cf. p. 176, 24. 9. *Εἱλωτία* R, *Εἱλωτεία* AV. 10. *Αἰγύπτου*] V. Hemsterh. ad Plut. p. 55. 11. *Ἔλουροι* praecipit Moschopulus Sched. p. 194. ut est apud Arcad. p. 72, 27. Latini tamen scriptores constanter Heruli. 15. *Ἐλπία*] V. Tzschuck. ad Strabon. 14 p. 605. 16. *Ἐλπιανός* R, *Ἐλπιανοί* A, *Ἐλπιανή* V. 17. *Ἐλυμαῖα* S, *Ἐλύμαι* ARV. v. Strab. 11 p. 524 et 16 p. 745. 19. *πόλεις* RV. 20. *Ἐλεύς* RV.

Ἔλυρος, πόλις Κρήτης, ὡς Ξενίων ἐν Κρητικοῖς. ὁ πολίτης Ἐλύριος.

Ἕλωρος, πόλις Σικελίας, ἀπὸ Ἐλώρου ποταμοῦ τοῦ κατὰ Πάχυνον, ὃς λέγεται τιθασοὺς ἰχθῦς ἔχειν, ἀπὸ χειρὸς ἐσθίοντας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῃ. ἔστι καὶ Μακεδονίας ἄλλη. ὁ πολίτης Ἐλωρίτης. Θουκυδίδης δὲ ἐν ἑβδόμῃ καὶ Ἐλωρίνην ὁδόν φησι.

Ἔμβατον, τόπος τῆς Ἐρυθραίας. Θεόπομπος Ἑλληνικῶν ὀγδόῃ.

Ἔμισα, πόλις Φοινίκης Λιβανουσίας, ὡς Λάρισα. καὶ Ἐμισαῖος τὸ ἐθνικόν, ὡς Λαρισαῖος. Διονύσιος δὲ ὁ ποιητὴς συνέστειλε τὸ ῐ. φησὶ γὰρ „τῆς δὲ πρὸς ἀντολίης Ἐμίσων πόλιν", καὶ ἔοικε κλίνειν τὰ Ἔμισα· ἡ χρῆσις δὲ θηλυκῶς. ἔν τισι δὲ Ἔμεσα εὕρηται, ἀφ' οὗ Ἐμεσηνός.

Ἐμπόριον, πόλις Κελτική, κτίσμα Μασσαλιωτῶν. δευτέρα Μακεδονίας. τρίτη Σικελίας. τετάρτη Καμπανίας. ὁ πολίτης Ἐμπορίτης.

Ἐνετοί. Ὅμηρος „ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων". ᾤκουν δὲ περὶ Παφλαγονίαν. λέγονται καὶ Ἐνετίδες ἵπποι. ἦν δὲ καὶ κτητικὸν [Ἐνετικός]. ἔστι καὶ πόλις *Ἐνετός*, ἀφ' ἧς ἦν Μύρμηξ ὁ διαλεκτικὸς φιλόσοφος, ὡς Διογένης ἐν δευτέρῳ φιλοσόφου ἱστορίας.

---

1. Κρητικοῖς M, Κρητῆ: R, Κρήτῃ AV. 3. Ἕλωρος RS, Ἕλωρος AV. 4. τιθασοὺς V, τιθασσοὺς AR. apparent metri vestigia, τιθασοὺς ἰχθῦς ἔχειν — ἀπὸ χειρὸς ἐσθίοντας. 7. ἑβδόμῃ] c. 80. καὶ om. R. Ἑλωρίνην R, Ἑλωρινὴν AV, quod non minus vitiosum quam κόγχαι Πελωριναί pro Πελωρῖναι ap. Polluc. 6, 63. 8. ἀρχὴ τοῦ ιε' βιβλίου ante Ἔμβατον ΠR. Θέοπος R. 10. Ἔμισσα et mox Ἐμισσαῖος Salmasius. Λιβανησίας H. sed vid. Lobeck. Pathol. p. 432. Λάρισα et mox Λαρισαῖος V, duplice σ̄ AR. 11. Διονύσιος] V. Bernhardy ad Per. p. 493. δὲ add. R. 12. ἀντολίην BH. 14. ἔν τινι V. Ἐμεσηνός V, Ἐμέσηνός R, Ἐμισηνός A. 16. τρίτη Σικελίας] Emporium urbem in Sicilia novi nullam. error fluxit, opinor, e Scymni Per. 493. 18. Ὅμηρος] Il. 2, 852. 19. περὶ RV, παρὰ A. 20. Ἐνετικός add. B. 21. Ἔνετος R. 22. δευτέρῳ] c. 11, 113. ubi libri

Ἐνίσπη, πόλις Ἀρκαδίας „καὶ ἠνεμόεσσαν Ἐνίσπην". νῦν δ' οὐκ ἔστι. φασὶ δὲ ἢ τῆς Κλειτορίας γῆς εἶναι ἢ τῆς Ψωφῖδος. τὸ ἐθνικὸν Ἐνισπαῖος ἢ Ἐνισπίτης ἢ Ἐνισπεύς.

Ἔννα, πόλις Σικελίας, κτίσμα Συρακοσίων, μετὰ ο' ἔτη Συρακουσῶν. ὁ πολίτης Ἐνναῖος καὶ Ἐνναία.

Ἐνόπη, πόλις τῆς Μεσσηνίας. Ὅμηρος „Καρδαμύλην Ἐνόπην". τὸ ἐθνικὸν Ἐνοπεύς ὡς Ῥοδοπεύς. μέμνηται αὐτῆς καὶ Παυσανίας τρίτῳ.

Ἔντελλα, πόλις Σικελίας, Ἔφορος ις'. ἦσαν δ' οἱ οἰκοῦντες Καμπανοὶ τὸ γένος, σύμμαχοι Καρχηδονίων. τὸ ἐθνικὸν Ἐντελλῖνος.

Ἐντριβαί, ἔθνος Θρᾴκης, Ἑκαταῖος Εὐρώπῃ.

Ἕξγυον, πόλις Σικελίας, γραφὴν ἀττικῶς ἔχουσα ὡς τὸ ἕξκλινος. λέγεται δ' οὕτως διὰ τὸ ἓξ ἀγυιὰς ἔχειν.

Ἐορδαῖαι δύο χῶραι, Μυγδονίας [καὶ Μακεδονίας].

---

habent *Μύρμηκα τὸν Ἐξαινέτου*, Exaeneti filium, Meursius autem *ἐξ Ἐνετοῦ* scripsit, quod non debebat in textum admitti. veteres nullam in Paphlagonia urbem Enetum memorant, nec dubium est quin Stephanus, quem Eustathius ad Homeri l. l. sequitur, codicis vitio deceptus sit. Diogenis locum mirum est fugisse Salmasium ad Solin. p. 888. cuius figmento vereor ne plus fidei quam debebat habuerit O. Jahnius Prolegg. ad Pers. p. IX. 1. *καὶ ἠνεμόεσσαν Ἐνίσπην*] Hom. Il. 2, 606. 2. *Κλειτορίας* RV, *Κλητορίας* A. *γῆς* add. R. *εἶναι* om. R. 3. *Ψωφίδος* B, *Φωκίδος* libri. 4. *Συρακοσσίων* R, *Συρακουσῶν* A, *Συρακωσσίων* V. 4. 5. *ο' ἔτη* (vel *ἔτει*) *μετὰ Συρακουσῶν* [*κτίσιν*]? *Συρακοσσῶν* V. 6. *Ὅμηρος*] Il. 9, 150. *Καρδαμίλην* R. 7. *Ῥοδοπεύς* BH, *Ῥοπεύς* libri. 8. *τρίτῳ*] c. 26, 8. 9. *Ἔντελλα* RV, *Ἔντελα* A. 10. *Καρχηδόνων* V. 12. *Ἐντρίβαι?* *Θρᾴκης* RV, *Θρᾳκικόν* A. 13. *Ἑξγύϊος* AV, *Ἐεξγύϊος* R; corr. ex Eustath. p. 450, 45: *ὁμοίως τῷ ἕξκλινος καὶ τῷ Ἕξγυον, ὃ πόλις ἐστὶ Σικελίας ἓξ ἀγυιὰς ἔχουσα κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα.* inepta etymologia, cum probabilius sit *Ἕξγυον* nomen inditum esse urbi in sex collibus sitae. at probabile est nunquam huius nominis urbem extitisse, sed *Ἕξγυον* ex *Ἔγγυον* corruptum esse. *ἀττικῶς* RV, *ἀττικὴν* A. 14. *ἕξκλινος* Eustathius, *ἑξκλινής* AV, *ἑξκλινίς* R. *ἀγυιὰς* Eustathius, *ὑγνὶ* A, *ὑγνίας* R, *ὄγνιας* V, qui post *ἔχειν* lacunam indicat. 15. *Ἐορδαῖα* (non *Ἐορδαία*) R, unde L. Dindorfius coniecit *Ἐορδαία*,

εἰσὶ καὶ ἄλλαι δύο, ἡ μὲν Ἰβηρίας ἡ δὲ Θρᾴκης, ἀπὸ Ἐορδοῦ τινος. ὁ οἰκήτωρ Ἐορδαῖος. ὀξύνεται δὲ τὸ Ἐορδός, ὡς Ἡρωδιανὸς ἔκτῃ. ἐκλήθησαν καὶ Ἐορδισταί ἀπὸ τοῦ ἐορδίζω, ὡς Λυδός λυδίζω.

Ἐπάκρια, μία τῶν ἐπὶ Κέκροπος συνοικισθεισῶν δώδεκα πόλεων, διὰ τὸ ληίζεσθαι ὑπὸ Καρῶν [τὴν χώραν.] τὸ ἐθνικὸν Ἐπακριεύς.

Ἐπαρῖται, ἔθνος Ἀρκαδίας. ἡ δὲ πόλις αὐτῶν Ἔπαρις ἔδει, οὐχ εὕρηται δέ. περὶ δὲ τοῦ ἔθνους Ξενοφῶν καὶ Ἔφορος καὶ Ἀνδροτίων φασίν.

Ἐπειοί, οἱ Ἠλεῖοι, ἀπὸ Ἐπειοῦ βασιλέως. τὸ θηλυκὸν

χώρα Μυγδονίας. consultius visum est *καὶ Μακεδονίας* interserere. Mygdoniae Eordaeam dicit eam, in quam vetustissimi Macedoniae reges Eordaeorum partem ex patriis sedibus in Mygdoniam traduxerant. Thucyd. 2, 99: *ἀνέστησαν δὲ* (Temeni posteri) *καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐόρδους (Ἐορδούς)· ὧν οἱ μὲν πολλοὶ διεφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν* (in Mygdonia) *κατῴκηται.* 1. *Ἰβηρίας* R. Iberiae Eordaeam geographi norunt nullam. scribendum videtur *Ἰλλυρίας.* existimo autem neque Illyricam neque quam statim memorat Thracicam Eordaeam a Macedonica esse diversam. nimirum Stephanus more suo complurium scriptorum locos apposuerat, quorum alii, ut varii erant pro variis temporibus illarum provinciarum et fines et nomina, Eordaeam Illyrici alii Thraciae regionem dixerant, epitomator autem, quod centies factum ab eo vidimus, distinxit quae non distinguenda erant. aliter rem expedire conatus est Tafel. Thessal. p. 237. 2. *οἰκήτωρ Ἐορδαῖος*] Non est verisimile omissam esse a scriptore longe usitatissimam gentilis formam *Ἐορδός,* praesertim cum statim de eius accentu tractet. itaque scribendum *οἰκήτωρ [Ἐορδός καὶ] Ἐορδαῖος.* 3. *ἕκτῃ*] V. Arcad. p. 48, 15. ubi supple *τὸ δὲ ὀρυμαγδός [καὶ τὸ Ἐορδός] ὀξύνεται.* *Ἐορδισταί* si appellativum est, ut significet eos qui Eordorum partes sequuntur, ut *Αἰτωλισταί* et similia, recte *ὀξυτονεῖται,* sin gentile est, communi Thracicarum et Macedonicarum gentium *τονώσει* subiciendum erit. ex hoc genere sunt *Ὀρέσται, Ἐθνέσται, Κυρρέσται, Διέσται, Ταυρίσται, Πιάσται, Λυγκῆσται, Σκορδίσται* alia. cf. Herodianum apud nostrum s. v. *Πιάσται.* 4. *λυδίζω*] Addendum videtur *Λυδισταί.* 6. *τὴν χώραν* e Strab. 9 p. 397 add. H. 9. *Ξενοφῶν*] Hellen. 7, 4, 33, 36.

Ἐπειάς καὶ *Ἐπειίς*. λέγονται καὶ πατρωνυμικῶς *Ἐνδυμιωνιάδαι*.

Ἐπίδαμνος, πόλις Ἰλλυρίας, ἐπὶ χερρονήσου τῆς καλουμένης Δυρραχίου. ἔστι δ' ἑτέρα ἐν τῷ Ἰονίῳ κόλπῳ. τὸ ἐθνικὸν Ἐπιδάμνιος. εὕρηται παρὰ Παρθενίῳ καὶ διὰ διφθόγγου. τὸ θηλυκὸν Ἐπιδαμνιάς.

Ἐπίδαυρος, πόλις πρὸς τῷ Ἄργει, θηλυκῶς λεγομένη. τὸ γὰρ „ἀμπελόεντ' Ἐπίδαυρον" μετὰ ἀρσενικοῦ ἐπιθέτου θηλυκόν ἐστιν, ὡς τὸ „ψολόεντος ἐχίδνης" παρὰ Νικάνδρῳ. τινὲς δὲ Λειμήρην αὐτήν φασι, τὴν λειμῶνας ἔχουσαν. ἐκαλεῖτο καὶ Μελισσία καὶ Αἰμηρά διὰ τὸ συνεχῶς αἱμάσσεσθαι τὸν βωμὸν τοῦ Ἀσκληπιοῦ ὑπὸ τῶν θυσιῶν. εἶτα Ἐπίταυρος

---

1. *Ἐπηΐς* V. 3. *Ἰλλυρίας* RV, *Ἰλλυρίδος* A. 4. *ἔστι δ' ἐν τῷ* Palmerius, nisi potius totum hoc ad vocem sequentem *Ἐπίδαυρος* referendum et de Epidauro Dalmatica intelligendum sit. *Ἰονίῳ* V, *Ἰωνίῳ* AR. 5. *Ἐπιδάμνειος* PpV, *Ἐπιδάμνῖος* R. 6. *Ἐπιδαμνιάς* APpV, *Ἐπιδαμνῖάς* R. 8. *ἀμπελόεντ' Ἐπίδαυρον*] Il. 2, 561. 9. *Νικάνδρῳ*] Ther. 129. cf. Eustath. ad Il. p. 287, 31: *Ἐπίδαυρος δὲ θηλυκῶς μὲν λέγεται κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, εἰπόντα ὅτι τὸ ἀμπελόεντα Ἐπίδαυρον μετὰ ἀρσενικοῦ ἐπιθέτου θηλυκόν ἐστιν, ὡς τὸ ψολόεντος ἐχίδνης παρὰ Νικάνδρῳ, καὶ τὸ ἠμαθόεντος Πύλου* (Il. 2, 77) *καὶ ὅσα τοιαῦτα. ἐκαλεῖτο δέ ποτε Λειμηρή διὰ διφθόγγου ὡς λειμῶνας ἔχουσα, ἢ καὶ διὰ τοῦ ῑ, ὡς πολυλίμενος κατὰ Ἀρτεμίδωρον, οἱονεὶ λιμενηρά τις οὖσα. ἔστι δέ, φασί, τοῦ Σαρωνικοῦ κόλπου. ἐκλήθη δὲ καὶ Μιλησία καὶ Αἰμηρά, διὰ τὸ συχνὰ αἱμάσσεσθαι θύμασι τὸν ἐκεῖ βωμὸν τοῦ Ἀσκληπιοῦ, ὃς κατ' ἐξαίρετον ἐτιμᾶτο. εἶτα Ἐπίταυρος ὠνομάσθη, καὶ ἐκεῖθεν Ἐπίδαυρος· κατὰ δὲ τὸν γεωγράφον* (8. p. 374) *καὶ Ἐπίκαρον αὐτὴν οἴονταί τινες, ὡς Καρῶν αὐτὴν κατασχόντων*. in his quae diductis literis exarata sunt, Stephano deberi suspicamur. 10. *λειμήρη*? an *λειμηρὰν*? cf. Herodianus apud Etymol. M. p. 566, 33: *Λιμήρη Ἐπίδαυρος. τοῦτο δισσόν ἐστι, ὁπότε παρὰ τοῦ λιμένος λιμενήρη, ἢ παρὰ τοῦ λειμῶνος λειμωνήρη, λειμήρη. οὕτως Ἡρωδιανός*. ita enim haec scribenda esse vidit B, nisi quod *Ἐπίδαυρον* malim. 11. *καὶ Μελισσία* RV, *δὲ Μελισσία* A, *δὲ καὶ Μιλησία* Eustathius, quod *Μελισσία* scribendum esse monuit B. *Αἴμηρα* vulgo; id ex *Αἱμηρά* corruptum esse statuit Schottus. *διὰ τοῦ* V. *συχνῶς* Gavelius. 12. *εἶτα Ἐπίκαρος* B.

καὶ Ἐπίδαυρος. τινὲς δὲ Λιμηρὰν Λακωνικὴν λέγουσι, μίαν τῶν ἑκατόν, διὰ τὸ πολλοὺς ἔχειν λιμένας. ὁ πολίτης Ἐπιδαύριος, τὸ θηλυκὸν Ἐπιδαυρία καὶ Ἐπιδαυρίς. καὶ Ἐπιδαυριώτης φασίν.

Ἐπιεικίδαι, δῆμος τῆς Κεκροπίδος φυλῆς. ὁ δημότης Ἐπιεικίδης. τὰ τοπικὰ ἐξ Ἐπιεικιδῶν ἐν Ἐπιεικιδῶν [εἰς Ἐπιεικιδῶν].

Ἐπικηφισιά, δῆμος τῆς Οἰνηίδος φυλῆς. ὁ δημότης Ἐπικηφίσιος. τὰ τοπικὰ Ἐπικηφισιᾶθεν [Ἐπικηφισιάνδε καὶ Ἐπικηφισιᾶσι].

Ἐπιλευκάδιοι, πόλις μετὰ Ἀκαρνανίαν, Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ἐπιλευκάδιος ὁμοίως.

Ἐπιπολαί, χωρίον ἀπόκρημνον προσεχὲς Συρακούσαις. Θουκυδίδης ἕκτῃ. τὸ ἐθνικὸν Ἐπιπολαῖος τῷ κοινῷ τύπῳ.

Ἐπιτάλιον, πόλις τῆς Τριφυλίας, Πολύβιος τετάρτῃ. τὸ ἐθνικὸν Ἐπιταλιεύς.

Ἐπιφάνεια, πόλις Συρίας κατὰ Ῥαφανέας ἐν μεθορίοις Ἀράδου, ἀφ᾽ ἧς Εὐφράτης ὁ στωικὸς φιλόσοφος. δευτέρα Κιλικίας. τρίτη Βιθυνίας. τετάρτη κατὰ Τίγριν. ἐκλήθη δὲ καὶ Ἀρκεσίκερτα, ὅ ἐστιν Ἀρκεσίου κτίσμα. ὁ πολίτης Ἐπιφανεύς.

Ἐπονία, πόλις, ἡ νῦν Ἀμβρακία, ἡ πρότερον Παραλία. καὶ οἱ οἰκοῦντες Παράλιοι.

---

1. Λιμηρὰν B, Λειμηρὴν A, Λιμηρὴν R, Λειμηρὸν V. μία R. 5. Ἐπιεικίδα R. 6. ἐξ add. R. ἐν Ἐπιεικιδῶν R, ἐν Ἐπιεικιδῆσι A, ἐν Ἐπεικιδ̄ V. 6. 7. εἰς Ἐπιεικιδῶν add. M. 8. Ἐπικηφησία et deinceps Ἐπικηφήσιος et Ἐπικηφησιᾶθεν libri.
9. 10. verba uncis inclusa add. M. 11. κατὰ Schubartus. μετὰ servari posse videtur: nimirum Hecataeus postquam de Acarnania dixit, more suo ita perrexerat: μετὰ δὲ Ἐπιλευκάδιοι. 13. Συρακόσσαις V. 14. ἕκτῃ] c. 96. 15. Τριφυλίας X, Τρυφαλίας libri. τετάρτῃ] c. 80, 13. 19. Θιθυνίας V.
20. Ἀρκεσίκερτα BH, Ἀρτεσικέρατα libri. 22. πόλις [Θεσπρωτίας] ἡ νῦν?

Ἐπτακωμῆται, βάρβαροι τὸ Σκυδίσην οἰκοῦντες ὄρος. τινὲς δὲ τούτων ἐκαλοῦντο καὶ *Βύζηρες*.

Ἐπώπη. οὕτως ἡ Ἀκροκόρινθος ἐκαλεῖτο διὰ τὸ Σίσυφον ἐκεῖ ἰδεῖν τὴν Αἰγίνης ἁρπαγὴν ὑπὸ Διός. τὸ ἐθνικὸν Ἐπωπεὺς καὶ Ἐπωπίτης.

Ἐρβησσός, Σικελίας πόλις. τὸ ἐθνικὸν Ἐρβησσῖνος. Φίλιστος Σικελικῶν β'.

Ἔρβιτα, πόλις Σικελίας, Ἔφορος κη'. τὸ ἐθνικὸν Ἑρβιταῖος.

Ἐργέτιον, πόλις Σικελίας, Φίλιστος Σικελικῶν δευτέρᾳ. τὸ ἐθνικὸν Ἐργετῖνος καὶ Αἴτνη Ἐργετίνη.

Ἐρεβίδαι, μέρος Λωτοφάγων, Φίλιστος ὀγδόῳ.

Ἐρεμβοί, ἔθνος Ἀράβων. Ὅμηρος „καὶ Σιδονίους καὶ Ἐρεμβούς". τούτους δέ φησι τοὺς Τρωγλοδύτας, ἀπὸ τοῦ εἰς τὴν ἔραν βαίνειν. λέγονται καὶ *Ἐρεμβαῖοι* καὶ θηλυκὸν Ἐρεμβίς.

Ἔρεσος, πόλις Λέσβου, ἀπὸ Ἐρέσου τοῦ Μάκαρος, ἐξ ἧς Θεόφραστος Ἀριστοτέλους γνώριμος καὶ διάδοχος ὁ ἐπιφανέστατος, ὃς Τύρταμος ἐλέγετο καὶ διὰ τὸ τῆς φράσεως

---

1. *Σκυδίσην* R, *Σκυδισῶν* V, *Σκυθικὸν* A. cf. Strabo 12 p. 548. *οἱ οἰκοῦντες* V. 3. *Ἐπωπή* vulgo. nomen hoc ad late patentem ab Acrocorintho prospectum referendum esse satis nunc constat. cf. Strabo 6 p. 259: *ἵδρυται δ' ἡ πόλις* (Rhegium) *ἐπ' ὀφρύος, ἣν Ἐσῶπιν καλοῦσι*, ubi malim *Ἐπῶπιν*. adde *Ἐπισκοπεῖα* castelli nomen apud Athyram in Thrace commemorati a Procop. de Aed. 4, 8. atque idem significatur nomine *Ἐφύρα*, quod cum ad *ἐφορᾶν* referendum sit, nihil differt ab *Ἐπώπη*. nec dubium est, quin omnes urbes, quae hoc nomine usae sunt, in alto sitae fuerint. 4. *ἐκεῖ ἰδεῖν*] *ἐπιδεῖν* Gavelius. malim *ἐκεῖ[θεν ἐπ]ιδεῖν*. cf. s. v. *Κόρινθος*. *τὸ* om. R. 5. *Ἐπωπεύς καὶ* B, *Ἐπωπεῦσαι* RV, *Ἐπωπεύς* A. 6. *Ἔρβησσος* R. 10. *Ἐργέστον* R. 11. *Ἐργεστῖνος* R. *Αἴτνη Ἐργετίνη* Pp, *αἱ* (superscript τ') *εργετ* sequente triginta quinque literarum lacuna R, *αἱ εργετ* V, om. A. *Αἴτνη*, quod ex Pp allatum est, nescio an Salmasii coniectura sit plus quam incerta. 13. *Ὅμηρος*] Od. 4, 84. *Σιδωνίους* libri. 17. *Ἔρεσσος* R. *Λέσβου* R, *ἐν Λέσβῳ* AV. 19. *Τύταρμος Π.* res ipsa satis nota est. cf. Eustathius Epist. ed. Taf. p. 327, 26: *τὸν Τυρταῖον ἡ καλλιρημοσύνη μετέγραψε καὶ*

θεσπέσιον Θεόφραστος ἐκλήθη. τὸ ἐθνικὸν Ἐρέσιος ὡς Ἐφέσιος, καὶ Ἐρεσία καὶ Ἐρεσιεύς.

Ἐρέτρια, πόλις Εὐβοίας. Ὅμηρος „Χαλκίδα τ' Εἰρέτριάν τε". ἐκαλεῖτο δὲ Μελανηίς ἀπὸ Μελανέως τοῦ Εὐρύτου πατρός. οὕτω δ' ἐκλήθη ἀπὸ Ἐρετριέως τοῦ Φαέθοντος υἱοῦ. τοῦτον δ' εἶναι ἕνα τῶν Τιτάνων. ἔστι καὶ Θεσσαλίας. ὁ πολίτης Ἐρετριεύς. καὶ κλίνεται Ἐρετριέως καὶ Ἐρετριῶς ὡς Στειριῶς. καὶ Ἐρετρίς θηλυκὸν καὶ Ἐρετριάς. καὶ Ἐρέτριος καὶ Ἐρετριαῖος καὶ Ἐρετριακός.

Ἐρευάτης, πόλις Λυκίας, ἀπὸ Ἐρεύας τῆς καὶ Ἐλευθερᾶς. τὸ ἐθνικὸν Ἐρευάτης.

Ἔρημος, καὶ νῆσός ἐστιν ἐρήμη. ἐρήμη δ' ἐστὶ γῆ μεμονωμένη, ἀφ' ἧς ἐρημαῖος καὶ ἐρημαία.

Ἔρθα, πόλις Παρθίας ἐπὶ τῷ Εὐφράτῃ, ὡς Γλαῦκος ἐν Ἀραβικῶν δευτέρῳ. τὸ ἐθνικὸν Ἐρθηνός.

Ἐρίκεια, δῆμος Ἀθήνησι τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Ἐρικειεύς. τὰ τοπικὰ Ἐρικείαθεν Ἐρικειάνδε Ἐρικείασιν.

Ἐρικοῦσσα, μία τῶν Αἰόλου νήσων, ἀπὸ τοῦ φυτοῦ καλουμένη, ὡς τὸ Φοινικοῦσσα. τὸ ἐθνικὸν Λιπαραῖοι ἐξ

μετέθετο εἰς Θεόφραστον. leg. Τύρταμον. 3. Ὅμηρος] Il. 2, 537. ubi v. Eustathium, qui nostrum exscripsit. 4. Μελανέος R. 8. Στειριῶς Eustathius, τειριῶς libri. θηλυκὸν R, θηλυκῶς AV. 8. 9. καὶ Ἐρετριάς καὶ Ἐρέτριος καὶ Ἐρετριαῖος M, καὶ Ἐρέτριος καὶ Ἐρετριάς καὶ Ἐρέτριος RV, καὶ Ἐρέτριος καὶ Ἐρετριάς A. pro Ἐρετριαῖος possis etiam Ἐρετρικός. 10. Ἐρευάτῆς R, Ἐρευάτις A, Ἐρεβάτις V. Ἐρεύας τῆς IGronovius, Ἐρεβάστης R, Εὐάστης V, ῥευάστης A. Eleutheram nympham memorat noster s. v. Ἐλευθεραί, a qua Lyciae urbem Eleutheras denominatam dicit. eam nympham etiam Erevam dictam fuisse aliunde non constat, ac fortasse luxatus locus est et in hunc modum supplendus: ἀπὸ Ἐρεύας τῆς [Ἀπόλλωνος] καὶ Ἐλευθερᾶς. 11. Ἐρευάτης AV, Ἐρεβάτη R, Ἐρευατίτης Salmasius; at recte habet gentile Ἐρευάτης, si nomen urbis fuit quod ego posui Ἐρευάτης. cf. s. v. Αἰγινήτης· πολίχνιον καὶ ποταμὸς — τὸ ἐθνικὸν ὁμοίως διὰ τὴν τοῦ — πρωτοτύπου πρόληψιν. 14. 15. ὡς Γλαῦκος Ἀραβικῶν δευτέρῳ add. PpRV. 16. τῆς add. R. 17. Ἐρικιεύς R. Ἐρικειάνδε om. Π. 18. Ἐρικοῦσα V, Ἐρικκοῦσσα R. τοῦ add. R.

Ἐρικούσσης, καὶ πάλιν Λιπαραῖοι ἐκ Φοινικούσσης. πάντες γὰρ οἱ οἰκοῦντες Αἰόλου νήσους ἐκαλοῦντο κοινῶς μὲν Λιπαραῖοι, ἰδικῶς δὲ ἐξ ἑκάστης τοπικῶς, ὡς καὶ ἐν ἑτέροις δείξομεν τοῦτο φυλαττόμενον.

Ἔριμον, πόλις Οἰνώτρων ἐν μεσογείῳ, ὡς Ἑκαταῖος.

Ἐρινεός, πόλις Δωριέων ὑπὸ τὸν Παρνασσόν. λέγεται καὶ Ἐρινειός. ἔστι καὶ Θετταλίας ἄλλη καὶ Ἀχαΐας. ὁ πολίτης Ἐρινεάτης καὶ Ἐρινεεύς.

Ἐρινιάτης, κώμη Μεγαρίδος, Παυσανίας α΄. ὁ οἰκήτωρ Ἐρινιάτης διὰ τὸ προκατειληφός.

Ἑρκύνιον, ὄρος Ἰταλίας, ἀφ᾽ οὗ Ἑρκυνὶς ἡ χώρα καὶ Ἑρκύνιος τὸ κτητικόν. Ἀλέξανδρος Εὐρώπῃ.

Ἑρμιών .... καὶ Ἑρμιόνη, ἀπὸ τῆς Ἑρμιόνος γενικῆς, ὡς ἀπὸ τῆς κάλυκος ἡ Καλύκη καὶ τῆς χιτῶνος ἡ Χιτώνη καὶ ἡγεμόνος Ἡγεμόνη. ἐκαλεῖτο δὲ καὶ Λακέρεια. Ἑρμιὼν δὲ ἀπὸ τοῦ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτης ἀφικομένους ὁρμισθῆναι, καὶ τροπῇ τοῦ ō εἰς ē, ὅθεν καὶ ἱερὸν Ἥρας παρθένου ἦν ἐν αὐτῇ. τὸ ἐθνικὸν Ἑρμιονεύς, καὶ Ἑρμιονὶς τὸ θηλυκόν.

Ἕρμος, ὡς ἕρκος οὐδετέρως, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Ἕρμειος. τὸ εἰς τόπον εἰς Ἕρμους ἢ Ἑρμόσε, τὸ ἐν τόπῳ ἐν Ἕρμει.

---

3. ἰδιοτικῶς R. 5. μεσογείᾳ H. 6. τῶν Παρνασσῶν R. 7. Ἐρινειός R, Ἐρίνειος AV. Θετταλίας Pinedo, Ἰταλίας libri. 8. Ἐρινεύς operarum errore B. 9. Ἐρινιάτης R, Ἐρινιάτις AV, Ἐρινία τις IGronovius. α΄ R, δ΄ A, om. V. locus est c. 44, 5. ubi recte legitur ἐν Ἐρινείᾳ τῇ Μεγαρέων κώμῃ. 11. Γαλλίας vel Γαλατίας Salmasius, Γερμανίας H. 13. Ἑρμίων B, Ἕρμιον libri. lacunam indicavit M, excidisse videtur πόλις τῆς Ἀργολίδος, λέγεται. 15. Ἑρμίων HRV, Ἕρμιον A. 16. 17. ἀφικομένη V. 17. ō εἰς ē BH ex Eustath. p. 286, ī εἰς ē libri. 18. ἦν om. V. 21. Ἕρμιος R. εἰς Ἕρμος H. at Hesychius a B indicatus Ἕρμος ἢ Ἕρμοι. 21. 22. Ἕρμοσε Coraes ad Plut. vol. 5 p. 317. 22. Ἕρμει Guietus, Ἑρμεῖ libri. addendum cum L. Dindorfio: τὸ ἐκ τόπου ἐξ Ἕρμους vel Ἕρμου.

Ἑρμοτυμβιεῖς, μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν πρώτῃ. οἱ αὐτοὶ **Καλασίρεις**.

Ἑρμοῦ πεδίον, τόπος πλησίον Κύμης, Ἔφορος ὀκτωκαιδεκάτῃ. ὁ τοπίτης Ἑρμοπεδιεύς καὶ Ἑρμοπεδιανός καὶ ὅσα πεδίου ἐθνικά.

Ἑρμούπολις, Αἰγύπτου πόλις. Ἡρωδιανὸς δύο εἶναι λέγει, καὶ μεγάλην καὶ μικράν. καὶ γ' κατ' Αἴγυπτον. καὶ δ' κατὰ Θμοῦιν. καὶ ε' ἐπὶ τοῦ ποταμοῦ. καὶ ς' ἐν Κῷ τῇ νήσῳ. καὶ ζ' ἐν Ἀρκαδίᾳ. ὁ πολίτης Ἑρμεοπολίτης καὶ Ἑρμοπολίτης

Ἑρμώνασσα, νῆσος μικρά, πόλιν ἔχουσα, ἐν τῷ Κιμμερίῳ Βοσπόρῳ, Ἰώνων ἄποικον, ὡς ὁ περιηγητής. ταύτην ὁ Σκύμνος καὶ **Ἑρμώνειαν** καλεῖ. Στράβων ἐν ἑβδόμῃ **Ἑρμώνακτος κώμην** φησί. Μένιππος δὲ χωρίον Τραπεζοῦντος ἐν περίπλῳ τῶν δύο πόντων. Ἑκαταῖος δὲ καὶ Θεόπομπος πόλιν αὐτήν φασιν. ἀπὸ Ἑρμωνάσσης τὸ ἐθνικὸν Ἑρμωνασσαῖος ἢ Ἑρμωνάσσιος ὡς Συρακόσσιος.

Ἕρμωνθις, πόλις Αἰγύπτου, ὡς Μώμεμφις Μένουθις Θέρμουθις. ἀφ' ἧς Ζεὺς Ἑρμωνθίτης καὶ Ἀπόλλων. Στράβων ἑπτακαιδεκάτῳ. ἀφ' ἧς καὶ νομὸς Ἑρμωνθίτης. ἔστι δ' ἐκεῖ καὶ Ἴσιδος ἱερόν.

---

2. *Καλασίρεις* Cuperus Syll. Epist. 2 p. 690, *καὶ Λαβαρεῖς* libri. 6. *Ἡροδιανὸς* V, *Ἡρόδοτος* R. 8. *Θμοῦιν* H, *Θμοῦνιν* R, *Ῥυμοῦιν* AV. 9. *καὶ Ἑρμοπολίτης* add. RV. 11. *ἄποικος* R. *ὁ* om. V. *περιηγητής*] Dion. 552. ubi quae Eustathius ex Arriano affert, debentur sine dubio Stephano. sunt autem haec: *Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μιτυληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο.* 12. *Ἑρμώνειαν*] V. Scymn. Per. p. XVI. *ἐν* add. R. *ἑβδόμῃ*] p. 306. 14. *Ἕκατος* R. 15. *φησιν* R. *τὸ ἐθνικὸν τὸ μανασσαῖος* RV. 16. *Συρακόσσιος* RV, *Συρακούσιος* A. *Συράκοσσα* et *Συρακόσσιος* probat Herodianus teste Theognosto Bekk. p. 1421. *Συράκουσσα* autem Arcad. p. 97, 18. 17. *Ἕρμωθις* R, *Ἕρμηθις* V. 18. *Θέρμουθις* H, *Τερένουθις* libri. *Στράβων δὲ* RV. 19. *ἑπτακαιδεκάτῳ* (p. 817) B, *ἑκκαιδεκάτῳ* A, *ις'* RV.

Ἕρνικες, ἔθνος Λατίνων. Διονύσιος ὀγδόῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

Ἐροιάδαι, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Ἐροιάδης, τὰ τοπικὰ ἐξ Ἐροιαδῶν εἰς Ἐροιαδῶν ἐν Ἐροιαδῶν.

Ἐρύθεια, νῆσος Γηρυόνου ἐν τῷ ὠκεανῷ, ἀπὸ Ἐρυθείας τῆς Γηρυόνου, ἧς καὶ Ἑρμοῦ Νῶραξ, ὡς Παυσανίας. λέγεται δὲ καὶ Ἐρύθη κατὰ συναλοιφήν, ὡς τὸ Ἀγάμμεια Ἀγάμμη, καὶ Ζέλεια Ζέλη, Μαντίνεια Μαντίνη. ὁ νησιώτης Ἐρυθεύς ὡς Μαντινεύς, ἢ Ἐρυθείτης, ἢ κατὰ περίφρασιν ὁ κατοικῶν τὴν Ἐρύθειαν .... ὡς Ὅμηρος

Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν,
[οἱ μὲν δυσομένου Ὑπερίονος οἱ δ' ἀνιόντος].

Ἐρυθῖνοι, πόλις Παφλαγονίας. λέγεται δὲ παρὰ τὸ ἔρευθος. Ἀπολλώνιος [„αἰπεινούς τε παρὲξ ἐνέοντ' Ἐρυθίνους". καὶ Ὅμηρος] „καὶ ὑψηλοὺς Ἐρυθίνους". τὸ ἐθνικὸν ὅμοιον.

Ἐρυθρά, ἡ θάλασσα, ἀπὸ Ἐρύθρου τοῦ ἥρωος, Οὐράνιος δ' ἐν Ἀραβικῶν δευτέρᾳ ἀπὸ τῶν παρακειμένων ὀρῶν „ἃ ἐρυθρὰ δεινῶς εἰσι καὶ πορφυρᾶ, καὶ ἐπὴν βάλλῃ εἰς αὐτὰ ὁ ἥλιος τὴν αὐγήν, καταπέμπει εἰς τὴν θάλασσαν σκιὰν

---

1. ὀγδόῳ] c. 69. 4. ἐξ om. R. 6. Ἐρύθεια] De hac insula quae in genuino opere tradiderat Stephanus, eorum partem non dubitari potest quin servaverit Eustathius ad Dion. 558. prae ceteris haec: ᾄδεται δὲ Ἡρακλῆς εἰς αὐτὴν πλεύσας χαλκῷ λέβητι, ὅτε τὰς Γηρυονείους βοῦς ἀπήλασε „χαλκείῃ ἀκάτῳ βουπληθέος ἐξ Ἐρυθείης" ὡς ὁ Εὐφορίων λέγεται ἱστορεῖν. ὁμοίως καὶ ὁ Ἐφέσιος Ἀλέξανδρος εἰπών „χαλκείῳ δὲ λέβητι μέγαν διενήξατο πόντον". 7. Γηρυόνου ἧς καὶ Ἑρμοῦ Νῶραξ Pp, Γηρυονόνης καὶ Ἑρμουνόραξ R, γηρυονουσης καὶ ἑρμουνωραξ V, Γηρυόνου καὶ Ἑρμοῦ sine Νῶραξ A. Παυσανίας] 10, 17, 5. 8. Ἀγάμεια Ἀγάμη B. vide ad p. 13. 11. indicavi lacunam. Ὅμηρος] Od. 1, 23 sq. alterum versum, quem libri omittunt, a Stephano additum fuisse res ipsa docet. 14. Ἐρυθινοί libri. 15. Ἀπολλώνιος] Arg. 2, 941. 15. 16. αἰπεινούς — Ὅμηρος add. H. 16. Ὅμηρος] Il. 2, 855. Ἐρεθίνους R. 18. Ἀραβικῷ libri. δευτέρῳ V. ex Stephano Vranii locum attulit Eustathius ad Dion. 39. item Etym. M. p. 379, 8. 19. βάλῃ RV.

ἐρυθράν· καὶ ὄμβρῳ δὲ κατακλυσθέντων τῶν ὀρέων κάτω συρρέοντι εἰς θάλασσαν, οὕτω γίγνεται ἡ θάλασσα τὴν χρόαν". τὸ ἐθνικὸν Ἐρυθραῖος καὶ Ἐρυθραία καὶ Ἐρυθραῖον. καί ἐστιν ἄκρα Ἐρυθρά τῆς Λιβύης, ὡς Ἀρτεμίδωρος ἑβδόμῃ γεωγραφουμένων.

Ἐρυθρὰ βῶλος, πόλις Αἰγύπτου, Ἡρόδοτος δευτέρᾳ. τὸ ἐθνικὸν Ἐρυθροβωλίτης.

Ἐρυθραί, πόλις Ἰώνων, Ἑκαταῖος Ἀσίᾳ. ἐκαλεῖτο δὲ Κνωπούπολις ἀπὸ Κνώπου. ἔστι καὶ Λιβύης ἄλλη, καὶ ἄλλη Λοκρίδος. ἔστι καὶ Βοιωτίας, καὶ Κύπρου ἄλλη, ἡ νῦν Πάφος. ὁ πολίτης Ἐρυθραῖος. καὶ τοπικῶς Ἐρυθραίηθεν. ἐχρημάτιζε δὲ καὶ Ναυκράτης Ἐρυθραῖος, ὁ Ὅμηρον ὑπομνηματίσας.

Ἐρύκη, Σικελικὴ πόλις. Φίλιστος Σικελικῶν δευτέρᾳ. τὸ ἐθνικὸν Ἐρυκαῖος.

Ἐρύμανθος, ὄρος καὶ ποταμός. „ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον". ἐν τούτοις τοῖς ὄρεσι λέων οὐ γεννᾶται. ὅθεν Ὅμηρος περὶ τῆς Ἀρτέμιδός φησι „τερπομένη κάπροισι καὶ ὠκείῃς ἐλάφοισι", καὶ οὐ λέουσι. τὸ ἐθνικὸν Ἐρυμάνθιος, καὶ θηλυκὸν Ἐρυμανθίς, ὡς Βοιωτός Βοιωτίς. ἔστι καὶ οὐδέτερον Ἐρυμάνθιον.

---

2. *συρρέοντι* Eustathius, *συρρεόντων* RV, *συρρυέντων* A. 6. *δευτέρᾳ*] c. 111. 7. *Ἐρυθροβολίτης* R. 8. *Ἐρυθρά* libri, *Ἐρυθραί*, quod literarum ordo postulat, in suo exemplari repperisse videtur Eust. Hom. p. 267, 1: *Ἐρυθραί δὲ εἰσὶ μὲν καὶ Ἰωνίας καὶ Λιβύης καὶ Λοκρίδος, καὶ Κύπρου δέ, ἥτις ἐστί, φασίν, ἡ νῦν Πάφος.* *Ἕκατος* RV. 11. *Ἐρυθραίηθεν* (ita enim Eustathius pro eo quod libri habent *Ἐρυθραιῆθεν*), quasi ab *Ἐρυθραίη* formatum, epicus quidam poeta dixisse videtur, fortasse Dionysius in tertio Bassaricorum, cll. Nonn. 13, 445. *καὶ Τάμασον καὶ Τέμβρον Ἐρυθραίην τε πολίχνην*, ubi Graefius tamen *Ἐρύσθειαν* edidit. male Eustathius: *ἱστορεῖται δέ τις Ναυκράτης Ἐρυθραίηθεν Ὅμηρον ὑπομνηματίσαι.* 14. *Σικελικοῖς* libri. 15. *Ἐρυκῖνος* H. 16. *ἢ κατὰ*] Hom. Od. 6, 103. 18. *Ὅμηρος*] Ibid. 104. 19. *κάπροις* libri. *ἐλάφῃσι* R. 20. *Ἐρυμανθεῖσα* V. *Βοιωτός* om. R. *Βοιωτίς* om. V.

Ἔρυμναί, πόλις Λυκίας. Ἀλέξανδρος ἐν πρώτῃ Λυκιακῶν. τὸ ἐθνικὸν Ἐρυμναῖος.

Ἔρυξ, πόλις Σικελίας. ἀρσενικῶς, ἀπὸ Ἔρυκος τοῦ Ἀφροδίτης καὶ Βύτου. τὸ ἐθνικὸν Ἐρυκῖνος. καὶ Ἐρυκίνη Ἀφροδίτη ἐν Ῥώμῃ καὶ Σικελίᾳ.

Ἐρύσθεια, πόλις Κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται Ὑλάτης. Διονύσιος Βασσαρικῶν τρίτῃ

οἵ τ' ἔχον Ὑλάταο θεοῦ ἕδος Ἀπόλλωνος,
Τέμβρον Ἐρύσθειάν τε καὶ εἰναλίην Ἀμαμασσόν.

Ἐρυσίχη, πόλις Ἀκαρνανίας, ἥ τις ὕστερον *Οἰνιάδαι* ὠνομάσθη. καὶ τινὲς δὲ τὴν χώραν τῶν Οἰνιαδῶν πᾶσαν Ἐρυσίχην ὠνόμασαν ἀπὸ Ἐρυσίχης τῆς Ἀχελῴου θυγατρός. τὸ ἐθνικὸν Ἐρυσιχαῖος, περὶ οὗ πολὺς λόγος τοῖς ἀρχαίοις. ὁ τεχνικὸς γὰρ καὶ Ἡρωδιανός φασιν ὅτι σεσημείωται τὸ Ἐρυσίχαιος προπαροξυνόμενον ἐν τοῖς ἐθνικοῖς. μήποτε οὖν τὸ χαῖον ἐγκεῖσθαι, ὅ ἐστιν ἡ βουκολικὴ ῥάβδος, καὶ τὸν ἐρύσω μέλλοντα. διχῶς οὖν ἔσται, ὥς ἐστι δῆλον παρ' Ἀλκμᾶνι ἐν ἀρχῇ τοῦ δευτέρου τῶν παρθενείων ᾀσμάτων· φησὶ γάρ

οὐκ ἧς ἀνὴρ ἄγροικος οὐδέ
σκαιὸς οὐδὲ παρὰ σοφοῖσιν, οὐδὲ Θευσαλὸς γένος,
οὐδ' Ἐρυσιχαῖος [οὐδὲ ποιμήν].

---

1. 2. *Λυβιακῶν* V. 10. *Ἐρυσίχη* Salmasius, *Ἐρυσίκη* libri, qui in sequentibus fere χ̄ habent. *Οἰνιάδαι* om. V. 14. *Ἡρωδιανός* BH, *Ἡρωδικός* V, *Ἡρόδοτος* AR. *φασιν* RV, *φησιν* A. 15. *Ἐρυσιχαῖος προπαροξυνόμενον* libri, *Ἐρυσιχαῖος προπερισπώμενον* B. cf. Arcadius e quinto Herodiani p. 43, 18: *ἔτι τὰ διὰ τοῦ* ~~αιος~~ *ἐθνικὰ Ἀθηναῖος Θηβαῖος Ῥωμαῖος. σεσημείωται τὸ Ἀχαιός, καὶ τὸ Ἐρυσίχαιος προπαροξυνόμενον.* 16. *χαῖον* H, *χαιόν* libri. *ἐγκεῖσθαι* I. Horkelius, *ἔγκειται* libri. 16. 17. *καὶ τὸ (ὁ) ἐρύσω μέλλων* Bergkius. 17. *παρὰ ἀκβάνῃ* R, *παρὰ ἀηβαντι* V. 19. *ἧς* Bergkius e Chrysippo de Apoph. 21, *εἷς* libri. *ἄγροικος* Bergkius e Chrysippo, *ἄγριος* libri. 20. *παρὰ φοῖσιν* V, *παρὰ συφοῖσιν* Bergkius. an *παρ' ἀσόφοιϊν*, insipientibus parentibus ortus? ita Theocritus Epigr. 19, 3: *εἰ δ' ἐσσὶ χρήγυός τε καὶ παρὰ χρηστῶν*, quod iniuria tentatum videtur. 21. *οὐδὲ ποιμήν* e sqq. additum.

εἰ γὰρ τῷ „Θεσσαλὸς γένος" συναπτέον, ἐθνικόν ἐστι καὶ προπερισπάσθω· Ἡρωδιανὸς ἐν ταῖς καθόλου προσῳδίαις καὶ Πτολεμαῖος ἔφη· εἰ δὲ τῷ „οὐδὲ ποιμὴν" συνάψειέ τις λέγων ἢ „ἐρυσιχαῖος τὸ οὐδὲ ποιμήν", πρόδηλον ὡς προπαροξυνθήσεται καὶ δηλοῖ τὸν βουκόλον ἢ τὸν αἰπόλον, πρὸς ὃ τὸ ποιμὴν ἁρμόδιον ἐπαχθήσεται. ὁ πολίτης Ἐρυσιχαῖος, οὗ θηλυκὸν Ἐρυσιχίς. τὸ αὐτὸ καὶ ἐπὶ τῆς χώρας.

Ἑρχιά, δῆμος τῆς Ἀττικῆς, τῆς Αἰγηίδος φυλῆς, ἀπὸ Ἑρχίου τοῦ ξενίσαντος Δήμητραν. τρισυλλάβως δὲ τοὺς Ἑρχιᾶς φασιν. ὁ δημότης Ἑρχιεύς. καὶ Ἰσοκράτης Ἑρχιεὺς ἦν. τὰ τοπικὰ Ἑρχιᾶθεν Ἑρχιᾶζε καὶ Ἑρχιᾶσιν.

Ἕσδητες, ἔθνος Ἰβηρικόν, Ἑκαταῖος Εὐρώπῃ.

Ἑσπερία, ἡ δύσις καὶ τὸ δυτικὸν μέρος. τὸ ἐθνικὸν Ἑσπέριος καὶ Ἑσπεριώτης, καὶ ἑσπερίτης ὁ δυτικὸς παρὰ τὴν ἑσπέραν, τὴν δύσιν.

Ἑσπερίς, πόλις Λιβύης, ἡ νῦν Βερενίκη. ὁ πολίτης Ἑσπερίτης. Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν.

---

1. τῷ H, τὸ libri. συνάψειε Π. fort. συνάψεις. ἔσται? 2. Ἡρόδοτος RV. 3. εἰ δὲ τῷ H, εἰ δὲ τὸ libri. 4. λέγων ἢ ἐρυσιχαῖ. τὸ οὐδὲ ποιμήν ΠRV, λέγων ἢ ἐρυσιχαῖος τὸ δὲ οὐδὲ ποιμήν A, λέγων οὐδὲ ἐρυσιχαῖος οὐδὲ ποιμήν H. malim λέγων τὸ „οὐδὲ ποιμὴν ἢ ἐρυσίχαιος". 7. οὗ Passovius, οὐ RV, τὸ A. Ἐρυσιχαίς? 8. Ἑρχιά M, Ἐρεχία RV, Ἐρεχθία A, Ἐρχεία H. de spiritu v. Com. graec. vol. 3 p. 123. de accentu aliunde constat. prorsus reicienda quam H ex Harpocr. p. 87. posuit forma Ἐρχεία, quae neque legitimum accentum habet neque ad Ἑρχίος nomen revocari potest. 9. Ἐρχίου L. Dindorfius, Ἐρεχίου RV, Ἐρεχθέως A. τρισυλλάβως V, τετρασυλλάβως AR. 9. 10. Ἐρχιᾶς Dindorfius, Ἐρεχίας RV, Ἐρεχθέας A. 10. Ἐρχιεύς V, Ἐρεχιεύς R, Ἐρεχθιεύς A. Ἐρχιεὺς ἦν V, Ἐρεχιεὺς ἦν R, Ἐρεχθιεὺς ἦν A. 11. Ἐρχιᾶθεν Ἐρχιᾶζε Ἐρχιᾶσιν V, Ἐρεχιᾶθεν Ἐρεχίαζε καὶ Ἐρεχιᾶσιν R, Ἐρεχθιᾶθεν Ἐρεχθίαζε καὶ Ἐρεχθιᾶσιν A. 12. ἀρχὴ τοῦ ις' βιβλίου ante Ἕσδητες ΠR. Ἕσδητες H, Sedetanos dici recte existimans. Εἰδητές libri. 12. 13. Εὐρώπης ἑσπερίας pro Εὐρώπῃ. Ἑσπερία PpR. 14. Ἑσπεριώτης] Ἑσπεριάτης ΠRV. 16. Βερενίκη RV, Βερονίκη A. 17. Καλλίμαχος] Epigr. 39.

Ἑστίαια, πόλις Εὐβοίας. Ὅμηρος „πολυστάφυλόν θ' Ἑστίαιαν". ἀπὸ τῆς περὶ τὸν Ὄλυμπον Ἑστιαίας. τὸ ἐθνικὸν Ἑστιαιεύς. λέγεται καὶ τρισυλλάβως. ἔστι καὶ ἄλλη Ἀκαρνανίας. ὁ πολίτης Ἑστιαιώτης, [καὶ Ἑστιαιῶτις] ἡ Θετταλικὴ μοῖρα, καὶ Ἑστιαιεύς.

Ἐταιεῖς, διὰ διφθόγγου, ὡς Διπαιεῖς. ἔστι δὲ πόλις Λακωνική. τὸ ἐθνικὸν ὁμοίως.

Ἐτεωνός, πόλις Εὐβοίας. Ὅμηρος „πολύκνημόν τ' Ἐτεωνόν", ἀπὸ Ἐτεωνέως. καλεῖται δὲ νῦν Σκάρφη. κεῖται δ' ἐπὶ λόφου. τὸ ἐθνικὸν Ἐτεώνιος ὡς Σικυώνιος. ἐκ τόπου Ἐτεωνόθεν.

Εὖα, πόλις Ἀρκαδίας, Θεόπομπος ἐν ἕκτῳ. τὸ ἐθνικὸν Εὐαῖος.

Εὐαίμων, πόλις Ὀρχομενίων, Θεόπομπος ἐν ἕκτῳ. τὸ ἐθνικὸν Εὐαιμόνιος.

Εὐαληνοί, ἔθνος [Ἀραβίας], περὶ οὗ φησι Γλαῦκος ἐν δευτέρῳ περὶ Ἀραβίας.

Εὔβιοι, ἔθνος Αἰγυστικόν. εἴρηται ἐν τῷ περὶ τῶν Ἀρβαξανῶν.

Εὔβοια, νῆσος μία τῶν ἑπτά, παραμήκης, ἣ καὶ Μάκρις.

---

1. Ἑστίαιαι V. Ὅμηρος] Il. 2, 537. 1. 2. τ' Ἑστίαιαν RV, τε Ἑστίαιαν A. 3. Ἑστιεύς R, Ἑσταιευ V. τρισυλλάβως] Quaenam illa? Ἑστιεύς an Ἑσταιεύς? credo [illegible]-ιεύς ab Ἑστία. cf. s. v. Ἱστίαια. 4. καὶ Ἑστιαιῶτις add. Salmasius. 6. Ἐταεῖς libri. Διπαιεῖς BH, Διπεδιεῖς AV, πεδεῖς R. 8. [illegible]-ωνός ante X. Βοιωτίας BH. at Euboeae et Boeotiae nomina sequio. aetatis scriptores promiscue usurpant, ut rursus noster s. v. Μεσσάπιον, ὄρος Εὐβοίας. adde s. v. Κορόπη et Ὠρωπός. Liban. V. Dem. p. 5, 1. Φωκεῖς ὅμοροι τῇ Εὐβοίᾳ. cf. Vngeri Parad. Theb. p. 303. Ὅμηρος] Il. 2, 497. 9. Ἐτεωνοῦ Eust. ad Hom. l. l. 10. ὡς Σικυώνιος] Itaque etiam alteram formam Ἐτεών commemoraverat scriptor. 12. Εὖα RV, Εὔα A. ἐν add. R. 16. Ἀραβίας om. libri. 18. Εὔβιοι PpRV, Εὔιοι A. 19. Ἀρβαξανῶν BH, Ἀρταξάνων libri. 20. Εὔβοια] Hunc quoque articulum multo fuisse quam nunc est pleniorem intelligitur ex iis quae leguntur s. v. Παλλάντιον. τῶν ἑπτά] V. Com. gr. vol. 4 p. 518. παραμήκης H, περιμήκης libri. cf. Eustath. ad Dion. 520, 32. Μακρίς vulgo.

ἀπὸ Εὐβοίας. Ἡρόδοτος. ἔστι καὶ τόπος ἐν Ἄργει. ἔστι καὶ πόλις ἐν Μακεδονίᾳ, εἰς ἣν οἱ ἀπὸ τῆς νήσου εἰς Ἰλλυριοὺς ἀποβάντες Ἄβαντες ἐκλήθησαν. τὸ ἐθνικὸν τῆς νήσου Εὐβοιεύς, καὶ Εὐβοιίς τὸ θηλυκόν. καὶ Εὐβοεύς χωρὶς τοῦ ι, καί τοι τὰ ἀπὸ τῶν εἰς ᾱ παραγόμενα εἰς ευς φυλάττει τὴν παραλήγουσαν· διὸ καὶ τὸ Ἀλεξάνδρεια οὐ προϋπάρχει τοῦ Ἀλεξανδρεύς, ἔδει γὰρ Ἀλεξανδρειεύς, ἀλλ' ἀπὸ τοῦ Ἀλέξανδρος, ὡς Ταρσός Ταρσεύς. ἔστι καὶ Εὐβοϊκός κτητικόν.

Εὔγεια, χωρίον Ἀρκαδίας, Θεόπομπος πεντηκοστῷ ἕκτῳ. τὸ ἐθνικὸν Εὐγείτης ὡς Ζελείτης, ἢ Εὐγεώτης ὡς Μαρεώτης.

Εὐδείπνη, νῆσος Λιβυφοινίκων, Ἑκαταῖος περιηγήσει Λιβύης. τὸ ἐθνικὸν Εὐδειπναῖος ὡς Λερναῖος.

Εὐέλγεια, πόλις... Ἑκαταῖος περιηγήσει. ὁ πολίτης Εὐελγεύς.

Εὐεργέται, Σκυθικὸν ἔθνος, Στράβων. ὃ καὶ Ἀριμασποί ἐλέγετο. ἐκεῖ γὰρ τῶν ἐπὶ τῆς Ἀργοῦς χειμῶνος πνεύσαντος διασωθῆναι τὸ σκάφος καὶ οὕτως κληθῆναι.

Εὐεσπερίδες, πόλις Λιβύης, καὶ ἑνικῶς λεγομένη. λέγεται καὶ χωρὶς τοῦ ευ μορίου Ἑσπερίς. τὸ ἐθνικὸν Εὐεσπερίτης.

Εὐθηναί, πόλις Καρίας. τὸ ἐθνικὸν καθ' ἡμᾶς Εὐ-

---

1. Ἡρόδοτος] 5, 31. τόπος ἐν Ἄργει] V. Vngeri Parad. Theb. p. 3. λόφος B. 3. ἀποβάντες R, ἀπιόντες AV. cf. s. v. Ἄβαντες. Ἄβαντες ARV, Ἄμαντες PpS, an Ἄβαντες ἢ Ἄμαντες? τῆς om. V. 4. Εὐβηΐς V. 5. τὰ add. ΠRV. [οὐ] φυλάττει B. sed vide Etym. M. s. v. Εὔβοια p. 189. 7. τοῦ RV, τὸ A. ἔδει (ἔθει R) γὰρ Ἀλεξανδρειεύς add. RV. 8. Εὐβοϊκός R, Εὐβοεικός AV. 11. ἢ R, καὶ A. 12. Λιβυφοινίκων V, Λιβυοφοινίκων R, Λιβύης Φοινίκων A. Ἕκατος RV. 14. Εὐέλεια RV. indicavit lacunam M. Ἕκατος RV. 15. Εὐελγεύς RV, Εὐελγεεύς A. 16. Στράβων] 15 p. 724. Ἀριμασποί B, Ἀριμασπῶν libri. 17. τῶν V, τοὺς APpR. ἐπὶ τῆς add. PpRV. 19. καὶ add. R. 20. εὐμορίου R. 20. 21. σπερίτης R. 22. Εὐθηναί (Εὐθῆναι?) πόλις Καρίας om. V. καθ' ἡμᾶς om. V.

θηναῖος, κατ᾽ ἐκείνους δὲ Εὐθηνεύς. Πολέμων δὲ καὶ Εὐθηνίτας φησίν.

Εὐίππη, δῆμος Καρίας. ὁ οἰκήτωρ Εὐιππεύς.

Εὐκάρπεια, δῆμος τῆς μικρᾶς Φρυγίας. ἱστορεῖ Μητροφάνης, τὸν βότρυν ἐκεῖ τοσοῦτον γίνεσθαι τὸ μέγεθος, ὅσον ἅμαξαν ἀπ᾽ αὐτοῦ σχισθῆναι κατὰ μέσον. καὶ οὕτως ἐκλήθη διὰ τὸ εὔφορον. περὶ αὐτῆς γὰρ οἱ βάρβαροι ἔλεγον ὅτι Δήμητρι καὶ Διονύσῳ Ζεὺς τὴν χώραν τὴν τῶν Εὐκαρπέων δοίη. ἔστι καὶ Εὐκαρπία φρούριον Σικελίας ἐν τοῖς λεγομένοις ... Τίμαιος· καὶ γενέσθαι ἐν τούτῳ Λαΐδα, τὴν ἐπὶ κάλλει διαβεβοημένην ἑταίραν, ἣν οἱ πολλοὶ Κορινθίαν φασί. τὴν δὲ Λαΐδα τινὲς [ἐξ] Ὑκάρων λέγουσι καὶ Ὑκαρικὸν ἀνδράποδον, ὡς Συνέσιος ἐν ἐπιστολῇ. τὸ ἐθνικὸν Εὐκαρπεύς. δυνατὸν δὲ τὸ τῆς Σικελίας Εὐκαρπιανός καὶ Εὐκαρπιάτης καὶ Εὐκαρπίτης.

Εὐκρατιδία, πόλις Βάκτρων, παρὰ τὸν Εὐκρατίδαν. Στράβων ἑνδεκάτῳ.

---

1. 2. *Εὐθυνεύς* et *Εὐθυνίτας* R. 4. *Εὐκαρπία* libri, quod *Εὐκάρπεια* scribendum esse docet gentile *Εὐκαρπεύς;* ac legitur ita in nummo apud Eckhel. vol. 3 p. 153. 6. *ὡς ἂν ἅμαξαν ἐπ᾽ αὐτοῦ?* *μέσης* V, *μεσῆς* R. 8. *τὴν*] *αὐτὴν* R. 8. 9. *Εὐκαρπέων* M, *εὐκάρπων* libri. 9. *Εὐκαρπία*] Hoc ex *Ὕκκαρα* corruptum esse vidit B. 10. lacunam indicavit H, *Ὑκκάροις* supplens. *Τίμαιος* H, *Τιμαίοις* libri. *ἐν τούτῳ Λαΐδα* RV, *Λαΐδα ἐν τούτῳ* A. 11. *διαβεβοημένην* R, *διαβεβλημένην* AV. 12. 13. *τὴν δὲ Λαΐδα τινὲς Ὑκαρῶν λέγουσι καὶ Ὑκαρικὸν* R, *τὴν οὐδὲ Λαΐδα τινὲς Ὑκκαριῶν λέγουσι καὶ Ὑκκαρικὸν* V, *τὴν οὐδὲ Λαΐδα τινὲς λέγουσιν ἀλλὰ Ναΐδα καὶ χαρικὸν* A. sequutus sum R, nisi quod *ἐξ* addidi et *Ὑκάρων* scripsi. quod A habet, nescio an docto interpolatori debeatur. v. Athen. 13 p. 592 c. 13. *Νυνέσιος* R, *νῦν ἔσιος* V. *ἐπιστολῇ*] p. 161. Pet: *ἡ γὰρ Λαΐς, ἔφη τις ἤδη λογογράφος* (Timaeus), *ἀνδράποδον ἦν Ὑκαρικὸν ἐκ τῆς Σικελίας ἐωνημένον.* cf. Exercitt. philol. in Athen. 1 p. 27. Synesii testimonio ut ipsum Stephanum usum esse credam vix adducor. 14. *τὸ* om. RV. *Εὐκαρπιανός* RV, *Εὐκαρπιακός* A. 15. *καὶ Εὐκαρπίτης* om. *H.* 16. *Εὐκρατιδία* Strabo 11. p. 516, *Εὐκρατίδα* libri. praestat fortasse *Εὐκρατίδεια.* *παρὰ τὸν Εὐκρατίδαν* X, *παρὰ τὸν*

Εὐμένεια, πόλις Φρυγίας, Ἀττάλου καλέσαντος ἀπὸ Εὐμενοῦς τοῦ Φιλαδέλφου· ἢ Ὕλλος καλῶς μείνας ὠνόμασεν οὕτω. δευτέρα Καρίας. τρίτη ἐπὶ Ὑρκανίᾳ. ὁ πολίτης Εὐμενεύς. τὸ ἐθνικὸν ἀπὸ Εὐμενείας.

Εὐναί, πόλις Καρίας, ἐν ᾗ ποταμὸς Εὐναῖος. τὸ ἐθνικὸν Εὐναῖος. ἔστι καὶ πόλις Ἄργους *Εὐναία*, ἣν ᾤκουν Κυνούριοι. τὸ ἐθνικὸν ὅμοιον, ἢ καὶ Εὐναιάτης.

Εὐπαλία, πόλις Λοκρίδος, ἣν *Εὐπάλιον* Ἀρτεμίδωρός φησι. τὸ ἐθνικὸν Εὐπαλιεύς.

Εὐπατρία, πόλις Λυδῶν. οἱ πολῖται Εὐπατρίδαι, μᾶλλον δὲ Εὐπατρεῖς. Ξάνθος ἐν γ' Λυδιακῶν.

Εὐπορία, πόλις Μακεδονίας, ἣν Ἀλέξανδρος ταχέως νικήσας ἔκτισε καὶ ὠνόμασε διὰ τὸ εὔπορον. τὸ ἐθνικὸν Εὐποριεύς.

Εὐπυρίδαι, δῆμος Λεοντίδος φυλῆς. ὁ δημότης Εὐπυρίδης. τρικώμους δὲ τούτους ἐκάλουν, Εὐπυρίδας Κρωπίδας Πήληκας. τὰ τοπικὰ ἐξ Εὐπυριδῶν εἰς Εὐπυριδῶν καὶ ἐν Εὐπυριδῶν.

Εὐρύαμπος, πόλις Μαγνησίας. ὁ πολίτης Εὐρυάμπιος. Λυκόφρων „Ἀμφρυσίων σκηπτοῦχον Εὐρυαμπίων".

Εὐρύηλος. οὕτως ἡ ἀκρόπολις τῶν Ἐπιπολῶν. πολίχνιον δὲ τοῦτο Συρακουσῶν ἀπόκρημνον. τὸ ἐθνικὸν Εὐρυήλιος.

Εὐρυμέδων, ποταμὸς Παμφυλίας καὶ τόπος κατὰ Ταρσόν. τὸ ἐθνικὸν Εὐρυμεδόντιος. ἀπὸ δὲ Εὐρυμήδους Εὐρυμηδούντιος.

Εὐκρατίδα R, *περὶ τὸν* (*τῶν* V) *Εὐκρατίδα* AV. 2. *Ὕλλος* RV, *Ὕλλας* A. 4. *ἀπὸ Εὐμενείας*] Ita *ἀπὸ Ἀλεξανδρείας* Athen. 10 p. 420 d. 5. 6. *τὸ ἐθνικὸν Εὐναῖος* om. R. 7. *Κυνούριοι* H, *Κυρούριοι* libri. *τὸ* om. R. *Εὐνεάτης* RV. 10. *Εὐπάτρια* libri. 10. 11. *Εὐπατρίδαι μᾶλλον δὲ* om. RV. 11. *Εὐπατριεῖς*? 16. *Κροπίδας* RV, *Κεκροπίδας* A. cf. Leak. Dem. Att. ed. West. p. 22. et Elmsleius ad Arist. Ach. 234. 17. *Πήλικας* RV. 20. *Λυκόφρων*] vs. 900. *Ἀμφρυσσίων* R. *Εὐρυάμπιον* libri. 21. *ἀκρόπολις* PpRV, *μακρόπολις* A. 22. *Συρακοσσῶν* V. 24. *Εὐρυμηδοῦς* H, quod non sufficit. 24. 25. *Εὐρυμεδούντιος* R.

Εὐρυμεναί, πόλις Θεσσαλίας, Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Εὐρυμένιος ὡς Κλαζομένιος.

Εὐρυτᾶνες, ἔθνος Αἰτωλικόν. Λυκόφρων „μάντιν δὲ νεκρὸν Εὐρυτὰν στέψει λεώς". ὡς τὸ Αἰνιάν.

Εὔρωμος, πόλις Καρίας, ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός. τὸ ἐθνικὸν Εὐρωμεύς. Ἀπολλώνιος ἑπτακαιδεκάτῳ Καρικῶν.

Εὐρώπη, ἡ χώρα, ἐκ τῆς Φοίνικος θυγατρὸς [ἣ] τοῦ Ἀγήνορος. λέγεται καὶ Εὐρώπεια, καὶ διὰ τοῦ ῑ Εὐρωπία παρὰ Σοφοκλεῖ Αἰχμαλώτισι „καὶ νησιώτας καὶ μακρὰς Εὐρωπίας". καὶ Εὐριπίδης ἐν Θησεῖ „σχεδὸν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας". ὁ οἰκῶν Εὐρωπαῖος, καὶ θηλυκὸν καὶ οὐδέτερον, καὶ Εὐρωπίς.

Εὐρωπός, πόλις Μακεδονίας, ἀπὸ Εὐρωποῦ τοῦ Μακεδόνος καὶ Ὠρειθυίας τῆς Κέκροπος. ἔστι καὶ Συρίας ἄλλη. τὸ ἐθνικὸν Εὐρωπαῖος. ἔστι καὶ ἄλλη Καρίας, ἣν Ἰδριάδα ἀπὸ Ἰδριέως τοῦ Χρυσάορος. τὸ ἐθνικὸν Εὐρώπιος ὡς Ὠρώπιος.

Εὔταια, πόλις Ἀρκαδίας, Ξενοφῶν Ἑλληνικῶν ἕκτῳ. τὸ ἐθνικὸν Εὐταιεύς, ὡς Ἡραιεὺς Φωκαιεύς.

Εὔτρησις, κώμη [Βοιωτίας]. Ὅμηρος „Κώπας Εὔτρησίν τε". κεῖται δὲ παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιὰς ἀπάγουσαν, ἣν ἐτείχισε Ζῆθος καὶ Ἀμφίων. ἐκλήθη δὲ Εὔτρησις διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρήσασθαι ῥύμαις,

---

1. *Θεσσαλίας*] Fuit etiam Epiri urbs Eurymenae. v. Wessel. ad Diod. 19, 88. 3. *Αἰτωλικόν* Casaubonus, *Ἰταλικόν* libri. *Λυκόφρων*] vs. 799. 4. *Εὐρυτανῶν* ARV, *Εὐρυταν`* A. *τὸν* R. *Αἰνιάν* H, *Αἰνιανόν* libri. 8. *Φοίνικος* HRV, *Φοινίκης* A. *ἣ* add. B. 9. *Ἀγήνωρος* R. 10. *νησιώτης* V. nonne *μακρᾶς*? in sequentibus erat haud dubie *οἰκήτορας* vel simile quid. 14. *Εὐρωποῦ* R, *Εὐρώπου* A. 15. *καὶ* add. X. *Ὠρυθείας* R. 16. *Καρίας*] „Haec eadem est quae supra Euromus" B. 17. *Ἰδριέως* H, *Ἴδριος* libri. 18. *Ὠρόπιος* libri. 19. *Εὐταία* libri. *ἕκτῳ*] c. 5, 12, 20 et 21. 20. *Φωκαιεύς* RV, *Φωκαεύς* A. 21. *Βοιωτίας* add. M. *Ὅμηρος*] Il. 2, 502. 22. *Θεσπειῶν* V. 23. *Ἀμφίων* X, *Ἄμφισος* libri. 24. *τρήσασθαι* BH, qui debebant

ὡς Ἐπαφρόδιτος. ὁ κωμήτης Εὐτρησίτης, ἀφ' οὗ Ἀπόλλων Εὐτρησίτης· καὶ ἱερὸν αὐτοῦ καὶ μαντεῖον ἐνδοξότατον. τὸ γὰρ Εὐτρήσιοι πόλις Ἀρκαδίας καὶ οὐκ ἐθνικόν. ἔστι δὲ καὶ εἰς τόπον ἐπίρρημα Εὔτρησίνδε, ὡς Μενέλαος.

Εὔφραντα, πόλις Λιβυκή. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. τὸ ἐθνικὸν Εὐφρανταῖος.

Εὐφρατίς, ἡ Συρία, ἀπὸ τοῦ παρακειμένου ποταμοῦ. ἐλέγοντο αὐτὸς καὶ Ἀράξης ἀδελφοί, ῥέοντες ἐξ ὄρους Ἀρμενίας. τὸ ἐθνικὸν Εὐφρατίτης ὡς Προσωπίτης.

Εὐωνύμεια, πόλις Καρίας. τὸ ἐθνικὸν Εὐωνυμεύς. ἔστι καὶ δῆμος Ἀθηναίων. ἀπὸ Εὐωνύμου τοῦ Γῆς καὶ Οὐρανοῦ ἢ Κηφισοῦ. ὁ δημότης Εὐωνυμεύς. τὰ τοπικὰ ἐξ Εὐωνυμέων [εἰς Εὐωνυμέων ἐν Εὐωνυμέων.] λέγεται καὶ ὁ δῆμος Εὐώνυμος.

Εὐωνυμῖται, ἔθνος Αἰγύπτιον πρὸς τῇ Αἰθιοπίᾳ, Ἀλέξανδρος Αἰγυπτιακῶν πρώτῳ.

Ἔφεσος, πόλις Ἰωνίας ἐπιφανεστάτη καὶ λιμὴν ἐν κόλπῳ. Ἡρόδοτος δὲ Λυδίας αὐτήν φησιν. ἐκαλεῖτο δὲ Σμύρνα ἀπὸ Σμύρνης τῆς Ἀμαζόνος. ἐκαλεῖτο δὲ καὶ Σάμορνα καὶ Τρηχεῖα καὶ Ὀρτυγία καὶ Πτελέα, ἧς ὁ πολίτης Πτελεαῖος. ἦν δὲ καὶ Ἀρτέμιδος ἱερὸν ἐκεῖ. καὶ Πτελεάτης ὁ πολίτης. τὸ ἐθνικὸν τοῦ Σάμορνα Σαμορναῖος. ἐκλήθη δὲ ἀπὸ μιᾶς τῶν

τετρῆσθαι, quod legisse videri potest Eustathius ad Hom. l. l: ἐκλήθη δὲ οὕτω διὰ τὸ πολλαῖς αὐτὴν ῥυμοτομίαις οἱονεὶ συντετρῆσθαι τεμνομένην εἰς ἀμφόδους συχνάς. 1. κωμίτης R. 3. Εὐτρήσιοι B, Εὐτρήσιος PpR, Εὐτρήσιον AV. 4. ἐπίρρημα R, ἐπιρρηματικῶς AV. Ἔστρησίνδε RV. 5. Εὐφραντά A. 7. Εὐφρατίς Pp, Εὐφραντίς ARV. 8. ἐλέγοντο Pp, ἐλέγετο cum praecedentibus coniunctum AR. 9. Εὐφρατίτης R, Εὐφραντίτης AV. 10. Εὐωνύμεια M, Εὐωνυμία libri. 12. Κιφισοῦ RV, Κηφισσοῦ A. 13. εἰς Εὐωνυμέων ἐν Εὐωνυμέων om. libri. 16. πρώτῳ] α' R. 17. λίμνη libri, corr. X. 18. Ἡρόδοτος] 1, 142. 19. Τρηχεῖα Pp, Τριχεῖα RV, Τριχία A, Τραχεῖα B. recte scribi Τρηχεῖα ostendit Creophylus apud Athen. 8 p. 361 d. e. 20. Πτελέα ἧς Gavelius, Πτελεῆς AV, Πτελεις R, Πτελέα B.

Ἀμαζόνων, ἣν καὶ βασίλισσαν καὶ πρόπολον Ἀρτέμιδος εἶναί φασιν. ἐσχηκέναι δὲ καὶ θυγατέρα Ἀμαζώ, ἀφ' ἧς αἱ Ἀμαζόνες. ἡ δὲ πόλις ἐν κοίλῳ τόπῳ κατοικισθεῖσα χειμῶνος κατεκλύσθη καὶ μυρίων ἀποθανόντων Λυσίμαχος τὴν πόλιν μετέθηκεν ἔνθα νῦν, καὶ Ἀρσινόην αὐτὴν ἀπὸ τῆς γυναικὸς Ἀρσινόης ὠνόμασεν, οὗ τελευτήσαντος ἡ προτέρα κλῆσις ἀνελήφθη. φέρεται δὲ Δούριδος ἐπίγραμμα τοῦ Ἐλαΐτου εἰς τὸν κατακλυσμὸν οὕτως

ἠέριαι νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι
  νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε,
οὐ Λιβύης, Ἐφέσου δὲ τὰ μυρία κεῖνα ταλαίνης
  αὔλια καὶ μακρῶν ἐξ ἐτέων κτέανα;
ποῦ δὲ σαωτῆρες τότε δαίμονες ἔτραπον ὄμμα;
  αἰαῖ τὴν Ἰάδων πολλὸν ἀοιδοτάτην.
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα
  εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

ἔστι καὶ Ἔφεσος νῆσος ἐν τῷ Νείλῳ, καὶ Χίος καὶ Λέσβος καὶ Κύπρος καὶ Σάμος καὶ ἄλλαι, ὡς Ἑκαταῖος. τὸ ἐθνικὸν Ἐφέσιος. εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς. λέγεται καὶ Ἐφεσίτης, ὡς Ἅβρων

---

1. nonne καὶ μέλισσαν? v. Anall. Alex. p. 361. πρόπολον PpRV, πρόσπολον A. 2. Ἀμαζῶνα V, Ἀμαζόνα A, Ἀμαζῶ R. hinc edidi Ἀμαζώ, quod nomen fuit matris Amazonum. cf. Eustath. ad Dion. p. 261, 7: τὴν Ἔφεσον ... ἀφ' ἧς ἡ πόλις ὀνομάζεται, πρόσπολον Ἀρτέμιδός φασι, καὶ θυγατέρα αὐτῆς τὴν Ἀμαζὼ ἱστοροῦσιν. Gramm. Crameri AO. vol. 1 p. 80: οἱ δὲ (τὰς Ἀμαζόνας κληθῆναί φασιν) ἀπὸ μητρὸς Ἀμαζοῦς. Hesychius: Ἀμαζών· μία τῶν Ἀμαζόνων. leg. Ἀμαζώ· ἡ μήτηρ τῶν Ἀμαζόνων. 5. 6. ἔνθα νῦν ἐκάλεσε. καὶ Ἀρσινόην αὐτὴν ἀπὸ τῆς γυναικὸς ὠνόμασεν RV, ἔνθα νῦν. ἐκάλεσε δ' αὐτὴν ἀπὸ τῆς γυναικὸς Ἀρσινόης A. cf. Eustath. ad Dion. p. 261, 1. 8. οὕτως [ἔχον]? 11. ταλαίνης in marg. V, τάλαιναι ARV. 12. μακρῶν Salmasius, μακάρων libri. 13. ποῦ δὲ σαωτῆρες (σαοτῆρες R) τότε δαίμονες ΠRV, ποῦ δέ γε σωτῆρες δαίμονες A. ποῖ pro ποῦ Bothius. 14. πολλὸν in marg. V, πολλῶν AR, πόλιν V. 16. οὖν A. 19. Ἐφέσια R. 20. Ἀλεξάνδρῳ RV, Ἀλὲξ Π, Ἀλεξ... A, Ἀλεξάνδρᾳ Rutgersius. Ἅβρων Rutgersius, Ἀβρι.. libr.

φησί, καὶ Ἐφεσεύς, ὡς Ταρσός Ταρσεύς, Ἁλικαρνασσός Ἁλικαρνασσεύς.

Ἐφύρα, πόλις Ἠπείρου, ἀπὸ Ἐφύρου τοῦ Ἄμβρακος τοῦ Θεσπρωτοῦ τοῦ Λυκάονος τοῦ Πελασγοῦ τοῦ γηγενοῦς τοῦ Ἀρκάδος. ἐκ ταύτης Ἀστυόχη, ἡ μήτηρ Τληπολέμου, ὥς φησιν Ὅμηρος. ἦν δὲ αὕτη μεταξὺ Πύλου καὶ Ἤλιδος, ὡς Παρμενίσκος φησίν. ἠγνόησε δ' ὅτι μυχὸς ἡ Κόρινθός ἐστι Γλαύκῳ πρὸς ἀνατολὰς οἰκοῦντι ὡς ἂν τῆς Εὐρώπης οὖσα δυτικωτάτη. κέκληται δὲ ἀπὸ Κορίνθου. Ὅμηρος οὖν τὸ Ἐφύρη ἐπὶ τῆς Κορίνθου ἔφη. ἔστι καὶ ἄλλη Ἐφύρη Κράννουν λεγομένη, ὥς φησι Κινέας ὁ ῥήτωρ καὶ Ἐπαφρόδιτος.

---

3. *Ἠπείρου*] *ἐν τῇ Θεσπρωτίδι* add. B. *Ἀμάρακος* libri, corr. Palmerius. v. in *Ἀμβρακία*. 4. *Λυκαῖνος* R. *Λυκάονος τοῦ Πελασγοῦ* Palmerius, *Πελασγοῦ τοῦ Λυκάονος* libri. 5. *ταύτης* ΠRV, *τούτου* A. Epiroticam sive Thesproticam Ephyram etiam Apollodorus 2, 7. et Diodorus Sic. 4, 36. Astyochae patriam urbem nuncupant, plerisque Homericum locum, quem affert Stephanus, de Eliaca Ephyra interpretantibus. de qua cum certum sit in proxime sequentibus agi, manifestum est aut ante *ἐκ ταύτης* aut ante *ἦν δὲ αὕτη* excidisse verba *δευτέρα περὶ Ἦλιν*. 6. *Ὅμηρος*] Il. 2, 658. 7. *ἠγνόησε*] De Ephyra Corinthiaca agi docent sequentia. itaque excidisse vel ab epitomatore omissa esse videntur verba *τρίτη ἡ ὕστερον Κόρινθος ὀνομασθεῖσα*. *ἠγνόησε* igitur non ad Parmeniscum spectat, sed ad alium grammaticum, qui Homerica (Il. 6, 151.) *ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο*, quae non dubium est quin Stephanus apposuerit, non de Corintho, sed de alia Ephyra intelligi voluerat. sequentia minus quam putantur esse obscura videbuntur, si Glaucum intelligas non Corinthium, sed Lycium, Corinthii pronepotem, i. e. eum ipsum quem Homerus ista dicentem fecit. itaque hoc fere dicit: Glaucum, longinquo intervallo a Graecia dissitum, existimare Ephyram in extremo Europae recessu sitam esse. 9. *κέκληται δὲ ἀπὸ Κορίνθου*] Ephyram postea Corinthum appellatam esse dicit a Corintho Iovis vel ut aliis placuit Marathonis filio, de quo v. Pausan. 2, 1, 1. et 2, 3, 10. schol. Arist. Ran. 439. 10. *ἐπὶ* M, *περὶ* libri. 10. 11. *Κραννοῦν* V, *Κράννους* AR, *Κρανών* BH. restituenda erat forma Thessalica, cuius non obscura vestigia habes in nummo apud Eckhel. DN. 2. p. 136. *ΚΡΑΝΝΟΥ. ΕΦΥΡ.* i. e. *Κραννουνίουν Ἐφύρουν*. cf. Boeckh. C. I. vol. 1. p. 860. Ahrens Dial. Aeol. p. 221. Dor. p. 529. quorum exemplis adde *Θούμαιον*

δευτέρα περὶ Θεσσαλίαν. τρίτη Οἰνόη. καὶ νῆσος οὐ μακρὰν ἀπέχουσα Μήλου. ὁ πολίτης Ἐφυραῖος. ἔστι καὶ Ἀρκαδίας ἄλλη. ἔστι [καὶ Θεσσαλίας] καὶ Ἰταλίας κατὰ Καμπανίαν. ἔστι καὶ κώμη Αἰτωλίας Ἐφύρα. τὸ ἐθνικὸν Ἔφυρος. τὸ κτητικὸν τῆς Θεσπρωτίας Ἐφύριος. καὶ Ἐφύρηθεν ἀπὸ τόπου ἐπίρρημα.

Ἐχελίδαι, δῆμος τῆς Ἀττικῆς, ἀπὸ Ἐχέλου ἥρωος.

Thessalicae urbis nomen pro *Θώμαιον*, de quo noster agit s. v. *Ἰθώμη*. nec mirum est ea forma usum esse Cineam i. e. hominem Thessalum, in libro ut videtur Thessalicorum, ex quo etiam ea quae s. v. *Δωδώνη* p. 247. leguntur, derivata sunt. adde Boeckh. ad schol. Pind. Pyth. 10, 85. ac fortasse quae sequuntur statim verba, *δευτέρα* (*β'* RV) *περὶ Θεσσαλίαν* (*Θεσσαλίᾱ* R), in quibus *δευτέρα* ferri non potest, cum de tribus iam Ephyris actum sit, cum Cineae nomine in hunc modum coniungenda sunt: *Κινέας ὁ ῥήτωρ β' περὶ Θεσσαλίας καὶ Ἐπαφρόδιτος.* ad hanc Thessalicam Ephyram, quam Hom. Il. 13, 301 commemorat, schol. Pind. Nem. 7, 53 non recte refert Odyss. 1, 249, quem locum veteres ad Thesproticam rettulerunt. sed scholiastae verba ita potius corrigenda sunt: *τέσσαρας δὲ ἀναγράφει* (*Φίλων* opinor in libro de urbibus) *τὰς Ἐφύρας. πρώτην μὲν τὴν αὖθις Κόρινθον ὀνομασθεῖσαν. Ὅμηρος „ἔστι πόλις Ἐφύρη". ἑτέραν δὲ τὴν περὶ Θεσσαλίαν. τρίτην δὲ περὶ Ἦλιν, ἧς Ἱππίας μνημονεύει. τετάρτην τὴν ἐν Θεσπρωτοῖς. Ὅμηρος „ἐξ Ἐφύρης ἀνιόντι παρ' Ἴλου Μερμερίδαο".* ac fortasse post *Θεσσαλίαν* exciderunt haec: *Ὅμηρος „τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον".* 1. *τρίτη*] *τ'* RV. si de superioribus recte statuimus, scribendum est *ε'*. *Οἰνόη* X, *ἡ Οἰνόη* H, *Οἰνόην* AV, *Οἰνοη̄ν* R. possis etiam [*ἐν*] *Οἰνόῃ* vel [*περὶ*] *Οἰνόην*. hanc vero Oenoen non diversam esse ab Ephyra Eliaca constat e schol. Il. *ο'*, 531: *ἐξ Ἐφύρης*] *τῆς ἐν Ἤλιδι, ἣ νῦν καλεῖται Οἰνόη*, et Strab. 7. p. 338: *ἐφ' ᾧ* (*Σελλήεντι*) *Ἐφύρα πόλις — ἤτοι ἡ αὐτὴ οὖσα τῇ Βοιωνώᾳ* (*τὴν γὰρ Οἰνόην οὕτω καλεῖν εἰώθασιν*) *ἢ πλησίον αὐτῆς*. ubi pro *Βοιωνώᾳ* Coraes recte suspicatur *Βοινώᾳ*, quod Stephanus confirmat s. v. *Οἴνη, πόλις Ἄργους — Ὧρος δὲ Οἰνώην αὐτήν φησιν, ἧς τὸ ἐθνικὸν Οἰνωάτης, καὶ θηλυκὸν Οἰνωᾶτις Ἄρτεμις, ἡ ἐν Οἰνώῃ τῆς Ἀργείας ἱδρυμένη ὑπὸ Προίτου.* ubi vide quae adnotavimus. 2. *Ἀρκαδίας*] Haec eadem cum Eliaca, ut recte BH. haud raro Eliaca loca Arcadiae contermina Arcadicis accensentur. cf. Vngeri Par. Theb. p. 462. 3. *καὶ Θεσσαλίας* nil est nisi *διττογραφία* sequentium verborum. itaque seclusi. 7. *Ἐχελῖδαι* R.

οὕτως δ' ἀπὸ Ἕλους τόπου μεταξὺ ὄντος τοῦ Πειραιέως καὶ τοῦ τετρακώμου Ἡρακλείου, ἐν ᾧ τοὺς γυμνικοὺς ἀγῶνας ἐτίθεσαν τοῖς παναθηναίοις. ὁ δημότης Ἐχελίδης. τὰ τοπικὰ ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν.

Ἐχετία, πόλις Ἰταλίας. ὁ πολίτης Ἐχετιανός ὡς Καρδιανός.

Ἐχέτλα, πόλις Σικελίας. ὁ πολίτης Ἐχετλάτης.

Ἐχέτρα, πόλις Ἰταλίας. διαφέρει Οὐολουσκοῖς. τὸ ἐθνικὸν Ἐχετρανός. Διονύσιος δεκάτῳ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

Ἐχῖναι, νῆσοι περὶ τὴν Αἰτωλίαν, αἷς Ἀχελῷος ὁ ποταμὸς προσβάλλει ἰλύν. λέγονται καὶ *Ἐχινάδες* διὰ τὸ τραχὺ καὶ ὀξύ, παρὰ τὸν ἐχῖνον, ἢ διὰ τὸ πλῆθος ἔχειν ἐχίνων. Ἀπολλόδωρος δὲ ἀπὸ Ἐχίνου μάντεως. τὸ ἐθνικὸν τοῦ Ἐχῖναι Ἐχιναῖος, τοῦ δ' Ἐχινάδες Ἐχιναδεύς ὡς Ἀρκάδος Ἀρκαδεύς, ἢ Ἐχινάδιος.

Ἐχῖνος, πόλις Ἀκαρνανίας, Ἐχίνου κτίσμα. Ῥιανὸς „Ἐχίονος ἄστυ" ταύτην εἶπεν. ὁ πολίτης Ἐχιναῖος, ὡς χέρσος χερσαῖος καὶ Ἄπειρος Ἀπειραῖος Κύφος Κυφαῖος. καὶ ἀπὸ

---

1. οὕτως RV, οὗτος A. 2. τετρακώμου] V. Leak. Dem. Att. ed. West. p. 25. ἀγῶνας suppositis punctis notat R. et potest sane omitti, ut omissum est in titulo Acmoniensi apud Franzium Comment. de quinque tit. et urb. p. 6: τοὺς πενταετηρικούς, et a Scymno Per. 353: ἀδρόμισθον Ἥρᾳ (ita Bergkius) γυμνικόν τιν' ἐπετέλουν. 5. Ἐχετία ex Ἐχέτρα corruptum vidit Cluverus. 7. Ἔχετλα? Ἐχετλάτης Cluverus, Ἐχετλιάτης libri. 8. διαφέρει eodem sensu non Stephanus, sed epitomator supra posuit p. 61, 6. Οὐολουσκοῖς X, Οὐολίσκοις Pp, Ἰολοισκοῖς ARV. 9. δεκάτῳ] c. 21. 10. ὁ add. RV. 11. προβάλλει RV. 12. παρὰ τὸν ἐχῖνον X, παρὰ ἐχίνων R, παρὰ τὸ ἐχίνην AV. 14. Ἐχινάδες PpRV, Ἐχινάδαι A. Ἄσκαρδος Ἀσκαρδεύς R. 15. Ἐχινάδιος [ὡς Ἀρκάδιος]? 16. κτίσμα. [ἔστι καὶ Θεσσαλίας.] Ῥιανὸς? cf. Anall. Alex. p. 204. et ad Scymn. p. 36. 17. Ἐχίονος Salmasius, Ἐχίνιον H, Ἔχιον libri. 18. Ἄπρος Ἀπραῖος? nam Ἄπειρος, quod pro Ἤπειρος dictum esse ex Homerico Ἀπείρηθεν male coniciunt, Stephanus non agnoscit. recte vero Ἀπραῖος, ut supra s. v. Ἄπρος. possis item ἤπειρος ἠπειραῖος cll. Etym. M. p. 397, 46: Εὔρωπος, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Εὐρωπαῖος, ὡς ἤπειρος ἠπειραῖος, [νῆσος] νησαῖος.

τοῦ Ἐχιναῖος Ἐχιναιεύς, ὡς Κρηταῖος Κρηταιεύς. τινὲς δὲ καὶ Ἐχινοῦντα φασὶ τὴν αὐτήν.

Ζάβιδα, κώμη ἐν τῷ μεσογείῳ τῆς εὐδαίμονος Ἀραβίας. Οὐράνιος Ἀραβικῶν τρίτῃ.

Ζάβιοι, ἔθνος Ἰνδικόν, πολεμῆσαν μετὰ Δηριάδου Διονύσῳ.

Ζάγκλη, πόλις Σικελίας, Ἑκαταῖος Εὐρώπῃ. οἱ μὲν ἀπὸ Ζάγκλου τοῦ γηγενοῦς ἢ ἀπὸ κρήνης Ζάγκλης, οἱ δὲ διὰ τὸ ἐκεῖ Κρόνον τὸ δρέπανον ἀποκρύψαι, ᾧ τὰ τοῦ πατρὸς ἀπέκοψεν αἰδοῖα. Νίκανδρος ἐν τῷ η' Σικελίας „καί τις καὶ Ζάγκλης ἑδάη Δρεπανηΐδος ἄστυ." τὸ γὰρ δρέπανον οἱ Σικελοὶ ζάγκλον καλοῦσι. τὸ ἐθνικὸν Ζαγκλαῖος, καὶ Ζαγκλαϊκὸς τὸ κτητικόν.

Ζάγυστις, χωρίον Λιβύης, Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. τὸ ἐθνικὸν Ζαγυστῖται.

Ζαδράμη, βασίλειον τῶν Κιναιδοκολπιτῶν, περὶ οὗ ἐροῦμεν ἐν τῷ κ̄. εἰσὶ δὲ ἔθνος τῆς εὐδαίμονος Ἀραβίας. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς „Ζαδραμιτῶν [καὶ] Κιναιδοκολπιτῶν". τὸ ἐθνικὸν Ζαδραμαῖος.

Ζαΐα, πόλις Βοιωτίας ἀρχαιοτάτη, Ἡρωδιανός. καὶ διὰ τοῦ ε̄ καὶ διὰ τῆς α̅ι̅ διφθόγγου. τὸ ἐθνικὸν Ζαιάτης ὡς Βοιάτης.

---

1. *Κρηταῖος Κρηταιεύς* R, *Κριταῖος Κριταιεύς* AV. 2. *Ἐχινοῦντα*] Hac forma de Thessalica urbe utitur Arist. Lys. 1169. ubi schol. *κόλπον Ἐχινοῦντα* comminiscitur. 3. *βιβλίον ιζ'* ante *Ζάβιδα* *Π*R. 4. *Ἀραβικὸς* RV. 5. *Ζάβιοι*] Haec ad Dionysii Bassarica referenda sunt. ac fortasse post *Διονύσῳ* excidit *ὡς Διονύσιος*. 10. *τῷ* om. R. *η'* *Π*V, *ζ'* R, *δεκάτῳ* A. *καί τις* PpRV, *καί τοι* A. 17. *τῷ* om. R. 18. *Ζαδραμητῶν* R. *καὶ* om. *Π*R. 18. 19. *Κιναιδοκολπικῶν* R. 19. *τὸ ἐθνικὸν Ζαδραμαῖος*] Stephanus sine dubio dixerat legitimum gentile esse *Ζαδραμίτης*, at graeco typo etiam *Ζαδραμαῖος* dici posse. 20. *Ζαΐα* RV, *Ζαιά* A. *Ἡρωδιανός*] Libro undecimo *τῆς καθόλου*, ut videtur. v. Arcad. p. 97, 22. Zaeae urbis memoriam Gronovius restitutum ivit Ovid. A. A. 1, 731. in Zaeae silvis, et Nonno 13. 77. dubitanter Graefius. 21. *διφθόγγου* add. V. 21. 22. *τὸ ἐθνικὸν — Βοιάτης* (*Βαιάτης*?)

Ζάκανθα, πόλις Ἰβηρίας, ἣν καθεῖλεν Ἀννίβας, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ. τὸ ἐθνικὸν Ζακανθαῖος.

Ζάκυνθος, πόλις, ἀπὸ Ζακύνθου τοῦ Δαρδάνου. ἀρσενικῶς Ὅμηρος καὶ θηλυκῶς „καὶ ὑλήεσσα Ζάκυνθος" καὶ „ὑλήεντα Ζάκυνθον". δευτέρα Ἰβηρίας. τρίτη Λιβύης, ἣν καὶ *Ζακυνθίαν* τινὲς ἀνέγραψαν. ὁ πολίτης τῆς Ζακύνθου Ζακύνθιος καὶ Ζακυνθία, τῆς δὲ Ζακυνθίας Ζακυνθιανός ὡς Ἀδριανός, ἢ Ζακυνθιεύς ὡς Ἀκανθιεύς Οἰχαλιεύς.

Ζάρηξ, πόλις Λακωνικὴ πρὸς τῇ θαλάσσῃ. καὶ ἥρως Ἀθηναῖος, ὡς Παυσανίας ἐν πρώτῳ „ἔστι καὶ Ἱπποθόωντος ἡρῷον, ἀφ' οὗ τὴν φυλὴν ὀνομάζουσι [καὶ πλησίον Ζάρηκος".] τὸ ἐθνικὸν Ζαρήκιος ἀπὸ τῆς γενικῆς, ὡς Θράκιος.

Ζάρητα, κρήνη ὑπὲρ τῆς Καλχηδονίας θαλάσσης, μικροὺς τρέφουσα κροκοδείλους, οἳ καλοῦνται Ζαρήτιοι.

Ζαρίασπα ἢ *Ζαριάσπη*, πόλις Βακτριανή, Στράβων ἑνδεκάτῃ. ἣ ἐκαλεῖτο καὶ *Βάκτρα*. Χάραξ δὲ οὐδετέρως τὰ Ζαρίασπα. οἱ οἰκοῦντες Ζαριασπηνοὶ ἐγχωρίως. ἀπὸ δὲ τοῦ Ζαριάσπη Ζαριασπεύς.

Ζαύηκες, ἔθνος Λιβύης, Ἡρόδοτος δ'. „Ζαύηκες ἔθνος" Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας.

Ζεβέκη, πόλις τῆς Γαλιλαίας. Ἰώσηπος Ἰουδαϊκῆς ἀρχαιολογίας πέμπτῳ. τὸ ἐθνικὸν Ζεβεκηνός, ὡς αὐτός. σημαίνει δὲ τὸ ὄνομα κύριος.

---

hoc loco habent PpRV, post ἀρχαιοτάτη A. 1. ειλεν (καθ supra) R, εἷλεν AV. Apollodori versus fuisse videtur hic fere: πόλιν Ζάκυνθαν, ἣν καθεῖλεν Ἀννίβας. Ἀνήβας R. 4. Ὅμηρος] Od. 9, 24 et 1, 246. καὶ ὑλήεσσα Ζάκυνθος om. R. 8. Ἀκανθιεύς] Itaque etiam Ἀκανθία dictum pro Ἄκανθος? non credo. malim igitur Ἀβαντιεύς ab Ἀβαντία. cf. s. v. Ἀβαντία. favet R, in quo est Ἀκανθιεύς (τ supra). 10. πρώτῳ] c. 38, 4. ἔστι post ἀφ' οὗ transponit R. δὲ pro καὶ Pausanias. 11. τὴν V, τ R, καὶ A. καὶ πλησίον Ζάρηκος ex Pausania addita. 13. Ζάρητα] Ἀζαριτία Straboni 12 p. 563. fort. Ζαρητία. Χαλκηδονίας V. θαλάττης RV. 16. ἑνδεκάτῃ] p. 514. 19. δ' (c. 193) R, ζ' A. Ζαύηκες ἔθνος] Haec videntur pars esse verborum Hecataei. Ζαύξεθνος R. 21. 22. Ἰουδαϊκῇ

Ζειρηνία, πόλις Θρᾴκης, Θεόπομπος Φιλιππικῶν γ'. τὸ ἐθνικὸν Ζειρηνιάτης ὡς Κυδωνιάτης.

Ζέλεια, πόλις Τρῳάδος. „οἳ δὲ Ζέλειαν ἔναιον" Ὅμηρος. ἀπὸ Ζελείου ἥρωος. οἱ δὲ Ζέλην αὐτήν φασι. παρὰ Ποσειδίππῳ δ' εὕρηται διὰ τοῦ ἰ [Ζελίη]. τὸ ἐθνικὸν Ζελείτης. Ἡρωδιανὸς δὲ Ζελειατῶν φησιν. ἔστι γὰρ Ζελειάτης καὶ Ζελείτης. ἔστι καὶ Ζέλεια φρούριον Κυζίκου, ὡς Διογένης ἐν τρίτῃ [περὶ] Κυζίκου. τὸ ἐθνικὸν ὅμοιον. Ποσείδιππος δὲ Πάνδαρον παρὰ τῷ Σιμοῦντι τετάφθαι φησίν „οὐδὲ Λυκαονίη δέξατό σε Ζελίη, ἀλλὰ προχοαὶ Σιμόεντος… διὰ τοῦτό σοι Ἕκτωρ σῆμα καὶ ἀγχέμαχοι θέντο Λυκαονίδαι".

Ζεῦγμα, πόλις Συρίας ἐπὶ τῷ Εὐφράτῃ, ὃν Ἀλέξανδρος ζεύξας ἁλύσεσι διεβίβασε τὰ στρατόπεδα. τὸ ἐθνικὸν οἱ μὲν ἐπιχώριοι Ζευγματεύς, δεῖ δὲ Ζευγματίτης ὡς Ἀσκαλωνίτης, ὡς καὶ Πρωτέας ὁ γραμματικὸς Ζευγματίτης.

Ζεφύριον, ἡ Ἁλικαρνασσὸς τῆς Καρίας οὕτως ἐκαλεῖτο. καὶ πόλις Κιλικίας. τὸ ἐθνικὸν Ζεφυριώτης. ἔστι καὶ Σκυθίας χωρίον. ἔστι καὶ Ἰταλίας Ζεφύριον, ἀφ' οὗ Λοκροὶ Ἐπιζεφύριοι. ἔστι καὶ ἄκρα τῆς Αἰγύπτου, ἀφ' ἧς ἡ Ἀφρο-

---

ἀρχαιολογίᾳ ἱστορίας R, Ἰουδαϊκῆς ἀρχαιολογίας ἱστορίας ΠV. locus est AI. 5, 2. ubi codd. Βεζέκη. 22. σημείωσαι R. 23. κύριος Iosephus, κυρίως libri. 1. Ζειρινία AV, Ζηρηνία R. 2. Ζηρηνιάτης R, Ζηριάτης V, Ζειριάτης A. 3. 4. Ὅμηρος] Il. 2, 824. 5. Ποσιδίππῳ libri. Ζελίη add. Eustathius ad Hom. p. 354, 9. 5. 6. verba τὸ ἐθνικὸν Ζελείτης in libris post αὐτήν φασιν leguntur. 7. φρούριον Κυζίκου] Hoc non diversum esse ab urbe Zelea monuit B. 8. περὶ add. B. Ποσείδιππος V, Ποσίδιππος AR. 9. Πάνδαρον M, Πάνδαρος libri. τετάφθαι M, τέθαπται libri. φησί R, φασίν AV. 9. 10. Λυκάων libri, quod Λυκαονίη scripsi, nisi malis Λυκάν et sequente versu Ζελίῃ. de Λυκάν pro Λυκάων cf. s. v. Λυκαονία. 10. Ζελείῃ R, Ζελείην AV. προχοαὶ M, προχοῇσι libri, προχοὴ alii. lacuna absorpsit pentametrum cum dimidio hexametri. ceterum Posidippi verba non ex carmine elegiaco (Jacobs. Catal. poet. Anth. p. 942) petita, sed epigrammatis sepulcralis partem esse crediderim. 14. καλωνίτης RV. 15. καὶ ὡς καὶ V. 19. ἐπὶ ζεφύρου RV. ἄκρα τῆς Αἰγύπτου] Hedylus apud Athen. 7 p. 318 d. de Arsinoe Aphrodite: ἣν ἄρα κοιρανέουσαν

δίτη καὶ Ἀρσινόη Ζεφυρῖτις, ὡς Καλλίμαχος. τὸ οὖν Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης, συγκοπῇ τοῦ ω, ὡς τὸ Θρονίτης. Ἀρκάδιος δὲ διὰ διφθόγγου γράφει.

Ζήβυττις, πόλις Λιβύης, Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Ζηβυττίτης.

Ζῆλα, τόπος Ἀρμενίας, [ἐν] ᾧ Ἀρτέμιδι Σάκαια [τελοῦσιν]. οὐδετέρως, Στράβων ιά. ἔστι καὶ Ποντικὴ Ζῆλα λεγομένη καὶ αὐτὴ οὐδετέρως. ἔστι καὶ Ζήιλα τρισυλλάβως, πόλις Καππαδοκίας, ἣν ἔκτισεν ὁ Νικομήδους υἱὸς Ζηίλας. ὁ πολίτης Ζηλίτης.

Ζῆλος, πόλις τῶν ἑσπερίων Αἰθιόπων, Στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης Ζηλίτης.

Ζηνοδότιον, πόλις Ὀσροηνῆς πλησίον Νικηφορίου, Ἀρριανὸς Παρθικῶν δευτέρῳ. τὸ ἐθνικὸν Ζηνοδότιος καὶ Ζηνοδοτιεύς, καὶ Ζηνοδοτηνός ἐπιχωρίως.

Ζηράνιοι, ἔθνος Θρᾴκης, Θεόπομπος εἰκοστῷ πέμπτῳ. καὶ Ζηρανία ἐπὶ τῆς χώρας, Ἔφορος εἰκοστῷ ἑβδόμῳ.

Ζήρυνθος, πόλις καὶ ἄντρον Ἑκάτης ἐν Θρᾴκῃ. Λυκόφρων „Ζήρυνθον ἄντρον τῆς κυνοσφαγοῦς [θεᾶς]". ὁ πολίτης Ζηρύνθιος καὶ Ζηρυνθιάς.

ἐπὶ Ζεφυρίτιδος ἄκρης, ubi ante Valcken. Callim. eleg. p. 165. legebatur *Ζεφυρηίδος ἀκτῆς*, quod ignorabam Exerc. in Athen. 2. p. 15. adde Synesium Epist. 55: *κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν Ζεφυρῖτιν ᾐόνα.* quod male de litore occidentali intelligunt.
1. *Ζεφυρίτις* X, *ζεφυρίτης* libri. *Καλλίμαχος*] Vid. Alph. Heckeri Comm. de Anthol. p. 73. 1. 2. *τὸ οὖν Ζεφυρίτης* om. R.
4. *Ζύβηττις* (*η* et *υ* superscr.) R. 6. *πόλις* pro *τόπος* *Π*. *ἐν ᾧ* B, *ᾧ* PpRV, *ὢ* *Π*, *ἣ* A. an *οὗ*? *Ἀναΐτιδι* BH. *Σάκεα* libri. 6. 7. *τελοῦσιν* add. e Strabon. 11 p. 512. 7. 8. *Στράβων ιά. ἔστι καὶ Ποντικὴ Ζῆλα οὐδετέρως* add. RV. *λεγομένη καὶ αὐτή*, quae libri post *Σάκαια* habent, huc transposuit Schubartus. 8. *Ζήιλα* B, *Ζίηλα* libri. cf. Kramer. ad Strab. vol. 2 p. 556. 9. *Ζηίλας* B, *Ζιήλας* libri. 10. *Ζηλίτης* R, *Ζιλήτης* A*Π*V. 11. 12. *ἑπτακαιδεκάτῃ* (p. 827) Ortelius, *ις'* RV, *ἑκκαιδεκάτη* A. 13. *Ὀσροηνῆς* RV, *Ὀσροήνης* A. 14. *παρθενικὸς* RV. *Ζηνοδότιος καὶ* om. *Π*. 15. *Ζηνοδοτηνός* H, *Ζηνοδοτῖνος* libri. 16. *εἰκοστῷ πέμπτῳ*] *κέ* *Π*RV. 18. 19. *Λυκόφρων*] vs. 77. 19. *Ζήρυνθος* libri.

Ζιποίτιον, πόλις Βιθυνίας, ἀπὸ Ζιποίτου βασιλέως. τὸ ἐθνικὸν Ζιποίτιος.

Ζόαρα, πόλις Περσική. οἱ οἰκοῦντες Ζοαρᾶται. Διονύσιος καὶ Ζοάρους αὐτούς φησιν ἐν τρίτῳ Βασσαρικῶν. ἔστι καὶ κώμη μεγάλη ἢ φρούριον ἐν Παλαιστίνῃ ἐπὶ τῇ Ἀσφαλτίτιδι καλουμένῃ θαλάσσῃ Ζόαρα οὐδετέρως. δηλοῖ δὲ τῇ Ἑβραίων φωνῇ τὸ μικρόν. ὅπου ὁ Λὼτ ἔφυγε καὶ ἐσώθη ἀπὸ τῆς Σοδομιτικῆς ὀργῆς. οἱ πολῖται τοῦ χωρίου Ζοαρηνοί διὰ τὸν ἐγχώριον τύπον καὶ Ζοαρᾶται· οἱ γὰρ δύο τύποι Ἀράβιοι.

Ζοίτειον, πόλις Ἀρκαδίας, Παυσανίας η'. λέγεται καὶ *Ζοίτεια*. ἀπὸ Ζοιτέως. τὸ ἐθνικὸν παρὰ τὸ Ζοίτειον Ζοιτειεύς, παρὰ δὲ τὴν Ζοίτειαν Ζοιτεύς.

Ζομβίς, πόλις τῆς Μηδίας.

Ζοῦχις, πόλις Λιβύης περὶ τὴν Σύρτιν. Στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης Ζουχίτης.

Ζύγαινα, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν Ζυγαινίτης, καὶ κτητικὸν Ζυγαινιτικός.

Ζυγαντίς, πόλις Λιβύης. Ἑκαταῖος Ἀσίας περιηγήσει. οἱ πολῖται Ζύγαντες, οἵ τινες τὰ ἄνθη συλλέγοντες μέλι

---

19. *κυνοσφαγοῦς* Lycophro, *κυνός φασίν* R, *κυνὸς φησιν* AV. *θεᾶς* e Lycophr. add. X. 20. *Ζηρυνθιάς* RV, *Ζηρυνθίας* A. 1. *Ζιπότου* Pp. 4. *Βασσαρικός* RV. 5. *ἢ* add. Pp. 5. 6. *Ἀσφαλτίτιδι* Gavelius, *Ἀσφαλτίδι* libri. 7. *ὅπου* *Π*R, *ὅποι* A. 8. *Σοδομιτικῆς* RV, *Σοδομητικῆς* A. 9. *ἐπιχώριον* R. *τόποι* R. 11. *Ζοίτιον* (ει supra) R. *ή* RV, *σή* *Π*, *διακοσιοστῷ ὀγδόῳ* A. Pausaniae locus est 8, 27, 3. ubi *Ζοίτιον* editur, at 35, 27 *Ζοιτίαν*, quod ductu codd. *Ζοίτειαν* scribendum; atque ita legisse Stephanum docet gentile *Ζοιτεύς*. 12. *Ζοίτεια* BH, *Ζήτειον* R, *Ζείτιον* V, *Ζείτειον* A et qui *δὲ* addit *Π*. *Ζοιτέως* V, *Ζήτεως* R, *Ζείτεως* A. *Ζήτειον Ζητειεύς* R. 13. *Ζήτειαν Ζητεύς* R. 14. *Ζόμβις*? *Μηδείας* R. 15. *Σύρτην* R. 15. 16. *ἑπτακαιδεκάτῃ* (p. 834) B, *ἑκκαιδεκάτῃ* A, *ις'* RV. 17. *Ζύγαινα* B, *Ζιύγινα* (υ supra) R, *Ζύγινα* AV, *Ζύγενα* X. 18. *Ζυγενίτης* ante B. 18. *Ζυγαινιτικός* Gavelius, *Ζυγαινικός* B, *Ζυγενικός* libri.

ποιοῦσιν, ὥστε μὴ λείπεσθαι τοῦ ὑπὸ τῶν μελισσῶν γινομένου, ὡς Εὔδοξος ὁ Κνίδιος ἐν ἕκτῳ γῆς περιόδου.

Ζυγοί, πρὸς τῷ τῆς Ἀσίας Βοσπόρῳ, Στράβων ἐνδεκάτῃ. τούτων ἔοικε καὶ ἡ Ζυγόπολις παρὰ Τραπεζοῦντα, Στράβων δωδεκάτῃ. τοῦ Ζυγοὶ τὸ ἐθνικὸν Ζυγιανός.

Ζωβίδαι, ἔθνος πλησίον Καρμανίας. Κουάδρατος ἐν Παρθικῶν δευτέρῳ.

Ζώνη, πόλις Κικόνων. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ζωναῖος.

Ζωστήρ, τῆς Ἀττικῆς ἰσθμός, ὅπου φασὶ τὴν Λητὼ λῦσαι τὴν ζώνην [καὶ] καθεῖσαν ἐν τῇ λίμνῃ λούσασθαι. ἐνταῦθα θύουσιν Ἁλαεῖς Λητοῖ καὶ Ἀρτέμιδι καὶ Ἀπόλλωνι Ζωστηρίῳ. ὁ τοπίτης Ζωστήριος. τιμᾶται καὶ Ζωστηρία Ἀθηνᾶ ἐν Λοκροῖς τοῖς Ἐπικνημιδίοις.

Ἠδοί, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ.

Ἠδύμη, πόλις Καρίας. τὸ ἐθνικὸν Ἠδυμαῖος.

Ἠδωνοί, ἔθνος Θρᾴκης, ἀπὸ Ἠδωνοῦ τοῦ Μύγδονος ἀδελφοῦ. καὶ τὸ θηλυκὸν Ἠδωνή καὶ Ἠδωναί. λέγεται καὶ Ἠδωνεύς καὶ Ἠδωνιάτης.

Ἠετιώνεια, οὕτως ἡ ἑτέρα τοῦ Πειραιέως ἄκρα, ἀπὸ Ἠετίωνος. τὸ ἐθνικὸν Ἠετιώνειος.

Ἠιών, πόλις ἐν χερρονήσῳ, ὡς Θουκυδίδης. τὸ ἐθνικὸν

---

1. 2. *γινομένου* RV, *γιγνομένου* A. 2. *Κνήδιος* R. cf. Apollonius Dysc. Mirab. 38. ubi *Γύζαντες* dicuntur ab Eudoxo, quos noster ex eodem *Ζύγαντας* appellat. *ἑβδόμῳ* Apollonius, quod nescio an praestet. in sexto enim libro Eudoxus de Graecia et Italia et Sicilia egerat. cf. ad v. *Καλὴ ἀκτή*. 3. *τῆς* om. R. 3. 4. *ἐνδεκάτῃ*] p. 492. 4. *τούτων* X, *τοῦτον* libri. 5. *δωδεκάτῃ*] p. 495. 7. *παρθενικῶν* RV. 11. *καὶ* add. M. 12. *ἁλαεῖς* R, *ἀληαεῖς* V, *ἁλιεῖς* A. codices igitur confirmant quod conieci Anall. Alex. p. 122. 13. *Ζωστηρίῳ — τιμᾶται καὶ* om. R. 15. *βιβλίον ιη'* ante *Ἠδοί* *Π*R. 16. *Ἠδύμη* ex *ἡ Σύμη* corruptum iudice B. 18. *Ἠδωνοί* pro *Ἠδωνή* RV. possis *Ἠδωνίς*, quod sequenti *Ἠδωναί* substitui voluit B. at malim *καὶ τὸ ἐθνικὸν Ἠδωνοί καὶ Ἠδωναί*. 21. *Ἠετιώνειος* R, *Ἠετιών* AV. fort. *Ἠετιωνεύς*. 22. *ἐν χερρονήσῳ* i. e. non procul a chersoneso Chalcidica, qui frequentissimus

Ἠιονεύς. ἔστι καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ. τὸ ἐθνικὸν ταύτης Ἠιονίτης.

Ἠλακαταῖον, ὄρος Θεσσαλίας, ὅπου καὶ Διὸς Ἠλακαταίου ἱερόν. τὸ ἐθνικὸν Ἠλακαταιεὺς Ζεύς. καὶ Ἠλακατεύς.

Ἠλεκτρίδες νῆσοι, ἐν αἷς εἰσι δύο ἀνδριάντες Δαιδάλου καὶ Ἰκάρου. „ταύτας δὲ τὰς νήσους φασὶ καὶ τὸν Ἠριδανὸν ποταμὸν προσκεχωκέναι. ἔστι δὲ καὶ λίμνη πλησίον τοῦ ποταμοῦ ὕδωρ ἔχουσα θερμόν, ὀσμὴ δὲ ἀπ' αὐτῆς βαρεῖα

---

nostro ἐν praepositionis usus est. χερρόνησον autem de Chalcidice dixit idem compluribus locis, quos attuli ad v. Σάνη. iniuria igitur carpunt nostri errorem. 22. Θουκυδίδης] 1, 98. 4, 50, 107. τὸ ἐθνικὸν om. R. 1. πρὸς τῇ Πιερίᾳ] Hanc non diversam a superiore existimat H, Pieriam intelligens regionem eam, quam olim Pieres ad Strymonis ostia tenuerunt. sed huic coniecturae parum favet gentilis diversitas, quae hanc potius vim habere debet ut Pieriam intelligamus Syriacam. constat Macedones quas in Syria Phoenicia aliisque provinciis urbes condiderunt, iis Macedonicarum nomina imponere solitos fuisse, ex quo genere sunt Larisa Dion Pella Heraclea Europus Beroea Arethusa Cyrrhus Chalcis aliae. non incredibile igitur etiam Eionem Syriacae Pieriae fuisse urbem, a Macedonica urbe denominatam. nec urbium tantum, sed etiam fluviorum Macedonicorum nomina in Syriam transtulere, cuius rei unum, sed satis certum, ut mihi quidem videtur, exemplum repeti posse existimo ex Aristotelis, qui dicitur, scripto de ventorum nominibus ed. Berol. p. 973. ubi haec leguntur: οὗτος (ἀπηλιώτης) ἐν μὲν Τριπόλει τῆς Φοινίκης ποταμεὺς καλεῖται, πνεῖ δὲ ἐκ πεδίου ὁμοίου ἅλωνι μεγάλῃ, περιεχομένου ὑπό τε τοῦ Λιβάνου καὶ τοῦ Βαπύρου ὄρους, παρὸ καὶ ποταμεὺς καλεῖται. horum postrema apertum est ita scribenda esse: ὑπό τε τοῦ Λιβάνου ὄρους καὶ Βαπύρου ποταμοῦ, παρὸ καὶ ποταμεὺς καλεῖται. pro Βαπύρου autem conicio Βαφύρου, quod Macedonici fluvii in Pieria nomen est, ut constat ex Archestrato Athenaei 7. p. 226 e. Lycophr. 274 et Pausan. 9, 30, 8. 3. Ἠλακάταιον libri. cf. Arcad. p. 120, 24: τὰ διὰ τοῦ αιον προπαροξύνεται .. χωρὶς τοῦ Χαλαστραῖον νίτρον καὶ Στεφαναῖον καὶ Ἠλακαταῖον καὶ Καναστραῖον. 4. Ζεὺς καὶ ΠRV, καὶ Ζεὺς A. 5. Ἠλεκτρίδαι ante X. νῆσοι A, νῆσος RV. εἰς ἃς RV, quae epitomatoris est graecitas. 6. ταύτας] Aristotelis verba sunt Mir. Ausc. 163. φησὶ RV. 7. Ἠριδανὸν τὸν ποταμὸν R. προσκεχωκέναι Aristoteles, προσκεχωρηκέναι libri. ἔστι καὶ R. πλησίον om. Π.

καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον πίνει ἐξ αὐτῆς οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. ἔστι δὲ ὁ κύκλος στάδιοι διακόσιοι, τὸ [δὲ] εὖρος [ἕως δέκα]. καὶ μυθολογοῦσι Φαέθοντα κεραυνωθέντα πεσεῖν ἐκεῖ. εἶναι δὲ ἐκεῖ καὶ αἰγείρους πολλάς, ἐξ ὧν πίπτει τὸ καλούμενον ἤλεκτρον, ὅμοιον κόμμι διὰ τὸ σκληρύνεσθαι ὡς λίθον". οἱ κατοικοῦντες Ἠλεκτρῖται πρὸς τὸν τύπον [τῶν εἰς ις], Ἠλεκτρῖνοι διὰ τὸ ἐπιχώριον.

Ἡλιαία, δικαστήριον Ἀθηναίων, παρὰ τὸ „ἁλέες δεῦτε" παράγωγον ἁλία καὶ ἡλιαία. ἔστι δὲ τὸ μέγα δικαστήριον, τὸ ἐκ τῶν τεττάρων ἠλισμένον δικαστηρίων, ἐκ τοῦ πεντακοσίων καὶ τετρακοσίων καὶ διακοσίων καὶ ἑκατόν. οἱ δὲ ἐκφερόμενοι ἐλέγοντο ἡλιασταί. ἐκ γὰρ τοῦ ἅλις ἁλία γίνεται. καὶ ὡς βία βιάζω καὶ αἰτία αἰτιάζω, οὕτως ἁλία ἁλιάζω, καὶ ἁλιαστής ὡς δικαστής, καὶ ἡλιαστής, καὶ κτητικὸν ἡλιαστικός παρὰ τὸ ἡλιαστής.

Ἡλιούπολις, πόλις Αἰγύπτου, ἣν ἔκτισεν Ἀκτὶς ὁ Ἡλίου [καὶ] Ῥόδης. Ἡρόδοτος δευτέρᾳ. ἔστι καὶ Θρᾴκης. καὶ τῆς Ἀρωματοφόρου, ἀπὸ τῆς Αἰγυπτίας. καὶ δ' ἐν Σάρδεσι. καὶ ἡ Κόρινθος Ἡλιούπολις ἐλέγετο, εἶτα Πάγος, καὶ οὕτως Ἐφύρη. ἔστι καὶ ἐν Φοινίκῃ. ὁ πολίτης Ἡλιοπολίτης.

---

1. χαλεπὴ RV, χαλαιπὴ A, χαλεπὸν Aristoteles. 3. στάδιοι διακόσιοι PpRV, στάδια διακόσια A, σταδίων διακοσίων Aristoteles. δὲ ex Aristotele additum. ἕως δέκα ex Aristotele additum. 6. κόμμι διὰ τὸ Aristoteles, κομιδίῳ (κομμιδίῳ A) διὰ τὸ ARV. ἀποσκληρύνεσθαι Aristoteles. 7. τῶν εἰς ις add. B. Ἠλεκτρινοί libri. 8. [δὲ] διὰ B. 9. παρὰ τὸ ἁλέες δεῦτε M, παρὰ τὸ ἁλέες δεύτερον Pp, παρὰ τὸ ἅλεες δεύτε RV, παρὰ τὸ ἅλις δεύτερον A. sunt Callimachi verba. v. ad Poet. chol. p. 156.
11. τεσσάρων R. τοῦ add. V. 12. τετρακοσίων (sive potius ύ) RV, πεντήκοντα A. 12. 13. ἐκφερόμενοι suspectum. 13. ἡλιασταὶ ἐλέγοντο R. ἅλις] Rectius esset ἁλής. at v. schol. Arat. 254: παρὰ τὸ ἅλις, ὅθεν καὶ ἁλίαν οἱ Δωριεῖς τὴν ἐκκλησίαν καλοῦσιν. 17. Ἡλίου πόλις R. Ἀκτὴς R. 18. Ἡλίου καὶ Tanaquil Faber, ἡλι... AV, ἡ^λι R. 18. δευτέρᾳ] c. 3. 19. Ἀρωματοφόρου V. ἄπο[ικος]? δ'] δύο libri. 20. ἐλέγετο, [εἶτα Ἐπώπη,] εἶτα Πάγος? vide supra p. 275, 3. et in Κόρινθος.

Ἦλις, πόλις πρὸς τῇ [*Αἰγυπτίᾳ*] Ὀλυμπίᾳ, ἀπὸ Ἠλίου τοῦ Ταντάλου παιδός. ἔστι καὶ ἄλλη Ἀρκαδίας. καὶ τρίτη Ἱσπανίας. ὁ πολίτης ἀπὸ τῆς Ἤλιδος γενικῆς ἀναλόγως Ἠλίδειος ὡς Ἀδωνίδειος καὶ Εὐπολίδειος κτητικῷ τύπῳ, καὶ καθ' ὕφεσιν τοῦ δ Ἠλίειος καὶ Ἠλεῖος. ἀφ' οὗ „Ἀλεῖος ὁ Ζεύς". Τρύφων δέ φησιν ὅτι Ἠλίεος καὶ Ἠλέϊος καὶ Ἠλεῖος. Ὅμηρος δ' Ἐπειοὺς αὐτούς φησι. καὶ κτητικῶς λέγεται Ἠλιακός. λέγονται καὶ πατρωνυμικῶς Ἠλιάδαι. λέγεται καὶ *Ἠλιδία*, ὡς Ψωφιδία καὶ Ἀρκαδία, ἀπὸ γενικῆς, καὶ ἐπίρρημα Ἠλιδίαθεν. τὸ δὲ Ἠλεῖος καὶ θηλυκῶς φασιν.

Ἠλώνη, πόλις Περραιβική. Ὅμηρος „Ὄρθην Ἠλώνην τε". νῦν δὲ *Λειμώνη*, διὰ τὸν ἐν αὐτῇ λειμῶνα. τὸ ἐθνικὸν Ἠλωναῖος.

Ἠμαθία, πόλις καὶ χωρίον. ἡ νῦν Μακεδονία. καὶ *Ἠμαθίς* ἡ χώρα.

---

1. *Αἰγυπτίᾳ* omittit Eustathius ad Il. p. 303, 36: *ἡ δὲ Ἦλις πόλις ἦν πρὸς τῇ Ὀλυμπίᾳ κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, κληθεῖσα, φησίν, ἀπὸ Ἠλίου παιδὸς Ταντάλου.* *Ἠλίου* Eustathius, *Ἠλείου* libri. 3. *Σπανίας* R. 4. *κτητικῷ τύπῳ καὶ* H ex Eustathio l. l., *καὶ κτητικῷ τύπῳ* AV, *καὶ κτητικὸν τύπῳ* R. 5. 6. *ἀφ' οὗ — καὶ Ἠλεῖος* om. R. *Ἀλεῖος ὁ Ζεύς* Callimachi verba fr. 99. *Ἠλεῖος* temere BH. 6. *Ἠλίεος καὶ Ἠλέϊος* Eustathius, *Ἠλιέος καὶ Ἠλιέϊος* libri. Gavelius: „num ita voluit Trypho: *Ἦλις, λιος, Ἠλιεύς, λιέος, λιέϊος, Ἠλεῖος*"? 7. *Ὅμηρος*] Od. 13, 275. *κτητικὸν* R. 8. *λέγονται* RV, *λέγεται* A. 9. *Ἠλιδίς ὡς Ψωφιδίς καὶ Ἀρκαδίς* Salmasius. at v. Anall. Alex. p. 318. *Ψωφειδία* ante X. 10. *Ἠλίαθεν* V. *θηλυκόν* R. 11. *Περαιβική* AV, *Περρεβική* R. *Ὅμηρος*] Il. 2, 739. *Ὄρθην καὶ Ἠλώνην* libri. 12. *αὐτῷ* V. ceterum haec de Elona plenius scripta repperisse videtur Eustathius ad Hom. p. 333, 31: *Ἠλώνη τῷ μὲν τόνῳ ὡς Κορώνη, καθά φασιν οἱ παλαιοί· ἐκτίσθη δὲ ὑπὸ Ἡρακλέους ἐπὶ τῷ θανάτῳ τῶν Κενταύρων· μετέβαλε δέ, φασί, τοὔνομα εἰς Λειμώνην διὰ τὸν ἐν αὐτῇ λειμῶνα.* 14. *Ἠμαθία πόλις*] Id vetustissimum Thessalonicae nomen fuisse falso dicit Zonaras. v. Tafel. Thessal. p. IV. cf. Symeon ed. Bonn. p. 706, 19: *ἦν δὲ καὶ πόλις Ἀμαθία* (leg. *Ἠμαθία*) *λεγομένη πρὸς τῇ θαλάσσῃ τῷ ἔθνει ὁμώνυμος.* Oesymam sic vocitatam fuisse dicit noster in *Οἰσύμη*, ubi vide. *καὶ χώρα, ἡ νῦν?* 15. *Ἠμαθίς*] V. Delect. Anth. gr. p. 221.

Ἡμεροσκοπεῖον, πόλις Κελτιβήρων, Φωκαέων ἄποικος. Ἀρτεμίδωρος δευτέρῳ λόγῳ γεωγραφουμένων.

Ἡμίκυνες, ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων. [Σιμμίας] ἐν Ἀπόλλωνι

Ἡμικύνων τ' ἐνόησα [γένος] περιώσιον ἀνδρῶν,
τοῖς ὤμων καθύπερθεν ἐυστρεφέων κύνεος κράς
τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνός.
τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε
ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν.

καὶ Ἡσίοδος.

Ἡνιοχεία, χώρα παρὰ τῷ Καυκάσῳ. οἱ οἰκήτορες Ἡνίοχοι. Στράβων ἐνδεκάτῃ.

Ἤπειρος, ἡ γενικὴ χώρα. οἱ μὲν γὰρ εἰς δύο τὴν γῆν, οἱ δὲ εἰς τρία, οἱ δὲ εἰς τέσσαρα διεμέρισαν. ἐξ αὐτῆς Ἠπειρώτης καὶ Ἠπειρωτικός.

Ἤπιον, πόλις Τριφυλίας, ἣν Ἠλεῖοι προσελάβοντο. τὸ ἐθνικὸν Ἠπιεύς.

Ἥραια, ἄκρα οὕτω λεγομένη καταντικρὺ Καλχηδόνος. ταύτην δ' ἐν τῇ συνηθείᾳ Ἡερίαν φασί τινες, κακῶς. ἄλλοι δὲ Ἤριον, μυθοποιοῦντες ὡς ἐκεῖσε ὀρύξαντες τάφους χύτρας

---

1. Ἡμεροσκόπιον RV. πόλις Κελτιβήρων RV, Κελτιβήρων πόλις A. 2. γεωγραφούμενος V. 3. 4. Ὑπερβορέωνος R. 4. Σιμμίας add. Salmasius. Ἀπόλλωνι RV, Ἀπολλωνίῳ A. 5. Ἡμικύνω libri. γένος add. Tzetzes Hist. 7, 702. 6. τοῖς ὤμων M, τοῖς ὤμοις libri, τῶν ὤμων Tzetzes. ἐυστρεφέων Tzetzes, ἐυστεφέων libri. κύνιος κράς RV, κυνιοσκράς Π, κυνισκράς A, κύνεον κράς Tzetzes. 7. γαμφυλῇσι R. ἐρυμνόν Tzetzes, ἐρυμνῶς libri. 10. Ἡσιόδωρος RV. cf. Strab. 1 p. 43 et 6 p. 299. 11. Ἡνιοχία? 12. ἐνδεκάτῃ] p. 496. 14. διεμέτρησαν R. 16. Τριφυλίας X, Τριφυλλίας libri. 17. Ἠπιεύς R, Ἠπειεύς AV. probat hoc H, pro Ἤπιον reponens Ἤπειον. 18. Ἡραία vulgo. Καλχηδόνος R, Χαλκηδόνος AV. 19. Ἡερίαν Etym. M. p. 437, 45, ἱερειαν R, Ἡερίειαν Π, Ἱέρειαν V, Ἡέρειαν A. cf. Nicephori Brev. ed. Bonn. p. 25. 20. Ἤριον R, Ἥριον AV. cf. Etym. M. l. l. et Cedrenus Origg. Const. p. 122: Ἡραῖον δὲ ἐκλήθη ὅτι πάλαι τῆς Ἥρας ἦν ὁ ναὸς ἐκεῖ, ἢ Ἠρίον ὅτι τὸ παλαιὸν ἐκεῖ ἐθάπτοντο οἱ πολῖται. μυθοποιοῦνται RV.

εὑρον καὶ ὀστᾶ. πειστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ δ' βιβλίῳ

ἔστι δέ [τις] προπάροιθε κλυτῆς Καλχηδόνος ἄκρη
Ἥραια, τρήχουσα, πολυσπιλάς. ἔνδοθι δ' αὐτῆς
λαΐνεον περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω
κόλπος ἁλός· φαίης κεν ἰδὼν βαθυδινέα πάντη
ἔμμεναι, εἰαμενὴ δὲ καὶ οὐ βυθός ἐστι θαλάσσης.
ἔνθα τε νῆας ἦγον, διόμενοι σκέπας εἶναι
αὐτοφυοῦς ὅρμοιο, κακῷ δ' ἐνέκυρσαν ἑτοίμῳ.

καὶ ἄλλοι οὕτως. ἔστι καὶ πόλις Ἀρκαδίας, ἣ ἐλέγετο Σολογοργός. κεῖται δὲ κατὰ Μεσσήνην πρὸς Πελοπόννησον. τὸ ἐθνικὸν Ἡραιεύς. λέγεται καὶ χωρὶς τοῦ ῑ ὡς Νικαεύς.

Ἥραιον, πόλις Θρᾴκης, Ἡρόδοτος τετάρτῃ. τὸ δὲ τεῖχος Ἡραῖον. οἱ πολῖται Ἡραῖοι. τοῦ δὲ Ἡραίου τείχους Ἡραιοτειχίτης.

Ἡράκλεια, πόλις Θρᾴκης ἐν τῷ Πόντῳ διάσημος. β' Σικελίας. γ' Λυδίας. δ' Λιβύης. ε' Σαρδοῦς. ς' Ἰταλίας. ζ' Κελτικῆς. η' Θεσσαλίας. θ' Καρίας. ι' ἐν τῷ Λυδίῳ Ταύρῳ. ια' μεταξὺ Σκυθίας καὶ Ἰνδικῆς. ιβ' νῆσος ἐν τῷ Καρπαθίῳ πελάγει. ιγ' Συρίας. ιδ' Φοινίκης. ιε' Πιερίας. ις' πόλις καὶ νῆσος ... ιζ' Κρήτης. ιη' Πισαϊκή. ιθ' Καρίας, ἡ λεγομένη

---

2. ἐν τῷ ιδ' libri, correctum ex EM. 3. τις add. X. προπάροιθεν R. Καλχηδόνος M, Καρχηδόνος libri. Χαλκηδόνος X. 4. Ἡραία vulgo. τρύχουσα R. ἔνδοθι V et EM, ἔνδοθε AR. 5. λαΐνεον R, λαΐναιον AΠV. κιλαίνεται RV. 6. μὲν Π. 7. εἰαμενὴ X, ἰαμενὴ RV, ἰαμενῆ A. βυθός R, βύθος PpV, βάθος EM, βαθείας A. 8. ἔνθα γε νῆας ἐνῆγον H, ἔνθα θοὰς νηῦς ἦγον EM. an ἔνθα θοὰς νέας ἦγον? ferri non potest quod X posuit ἀνῆγον, pro quo potius κατῆγον dicendum erat. 9. κακῷν et ἑτοίμως EM. 11. περὶ pro πρὸς? 13. Ἥραιον Gavelius, Ἡραῖον libri. τετάρτῃ] c. 90. 13. 14. τὸ δὲ τεῖχος Ἥραιον] ἢ καὶ Ἡραῖον τεῖχος B. recte explicat Gavelius: „si τεῖχος addas, dicendum est Ἡραῖον, προπερισπωμένως, ut sit Ἡραῖον τεῖχος". vide p. 11, 4. 15. Ἡραιοτειχίτης RV, Ἡραιοτειχῖται A. 18. Λυκίῳ Ταύρῳ? 19. καὶ Ἰνδίας R. Παρθίῳ R. 21. indicavi lacunam. Πισσαϊκή libri.

Ἀλβάκιος, μεσόγειος. κ΄ πόλις πρὸς τῇ Κυμαίᾳ τῆς Αἰολίδος. κα΄ Ἀκαρνανίας πόλις. κβ΄ νῆσος ἐν τῷ Ἀτλαντικῷ. κγ΄ Μακεδονίας, Ἀμύντου τοῦ Φιλίππου κτίσμα. τὸ ἐθνικὸν Ἡρακλεὺς καὶ Ἡρακλειώτης καὶ Ἡρακλεώτης. καὶ Ἡράκλειον καὶ Ἡρακλεωτικόν.

Ἡρακλεοβουκόλοι, Αἰγυπτιακὴ συνοικία.

Ἡρακλεούπολις, πόλις Αἰγυπτία, ἐξ ἧς Θεοφάνης ὁ φυσικός. β΄ πλησίον Πηλουσίου. γ΄ κατὰ τὸ Κανωβικὸν στόμα. οἱ πολῖται Ἡρακλεοπολῖται.

Ἡρητός, πόλις Σαβίνων. τὸ ἐθνικὸν Ἡρητῖνος.

Ἡρώ, πόλις Αἰγυπτία, ἣ Αἷμος ἐκλήθη διὰ τὸ τὸν Τυφῶνα ἐνταῦθα κεραυνῷ βληθῆναι καὶ αἷμα ῥυῆναι. Στράβων δὲ Ἡρώων πόλιν αὐτὴν καλεῖ. ὁ πολίτης ταύτης Ἡρωοπολίτης, τῆς δὲ πρώτης Ἡρῷος ὡς Κῷος.

Ἠσιονία, ἡ Σάρδεων χώρα, ἡ καὶ Ἀσία. τὸ ἐθνικὸν Ἠσιονεύς.

Ἡσσός, πόλις Λοκρίδος. τὸ ἐθνικὸν Ἥσσιος. Θουκυδίδης τρίτῃ.

---

1. *Ἀλβάκιος* vel *Σαλβάκιος* Boeckh. C. I. vol. 2 p. 510, *Ἀλμακίς* vel *Σαλμακίς* H, *Ἀλκμάκιος* RV, *Ἀλμάκιος* Pp, *Ἀλκμάνιος* A, *Ἀλκμᾶνι* vel *Λάτμιος* Salmasius, *Ἀλκμᾶνι Λάτμος* sine *μεσόγειος* B, deceptus ille male intellecto schol. Apollon. Rh. 4, 57. ubi e cod. Par. scribendum: *καὶ πόλις δὲ ἐκεῖ (ἐν τῷ Λάτμῳ) κληθεῖσα Ἡράκλεια.* neque vero ipsa Heraclea unquam *Λάτμος* dicta est, sed *ἡ ὑπὸ Λάτμῳ.* non monerem, nisi simul in errorem tractos vidissem Schneidewinum Coni. p. 25 et Bergkium Lyr. poet. p. 564. addidit autem *μεσόγειος*, ut hanc Heracleam ab altera cognomine Cariae urbe distingueret, ex quo intelligitur eam quam nono loco memoravit Heracleam eandem esse cum Latmiaca, quam in ipso maris litore sitam fuisse Strabo 14 p. 635 docet. 3. *Ἀμάθου* PpV, *Ἀμάτου* R. 4. *καὶ* [*κτητικὸν*] *Ἡράκλειον*? 7. *Ἡρακλεόπολις*? an *Ἡρακλέους πόλις*? *πόλις* om. V. 8. *κατὰ* om. V. 9. *Ἡρακλεοπολῖται* V, *Ἡρακλεωπολῖται* AR. 12. *Τυφῶνα* RV, *Τυφῶ* A. 12. 13. *Στράβων*] 17 p. 836. 15. *Ἠσιονία* B, *Ἠριονία* libri. *Σαρδέων* vulgo. *ἢ καὶ Ἀσίαν* V. 16. *Ἠσιονεύς* B, *Ἠριονεύς* libri. apertum est hoc gentile non ad *Ἠσιονία*, sed ad *Ἠσιόνη* revocandum esse. 18. *τρίτῃ*] c. 101. ubi *Ἡσσίους* editur.

Ἦτις, δῆμος Λακωνικῆς, καὶ τῆς Κρήτης πόλις, ὅθεν ἦν Μύσων εἷς τῶν ἑπτὰ σοφῶν χρηματίζων Ἠτεῖος, οὗ μέμνηται Πλάτων ἐν τῷ Πρωταγόρᾳ Χηνέα τοῦτον εἰπών. Δίδυμος δὲ συμποσιακῶν δεκάτῳ Ἠτεῖον αὐτὸν καλεῖ.

Ἡφαιστιάδαι, δῆμος Ἀκαμαντίδος φυλῆς, ἐν ᾧ ἦν Ἡφαίστου ἱερόν. ὁ δημότης Ἡφαιστιάδης. τὰ τοπικὰ ἐξ Ἡφαιστιαδῶν καὶ τὰ λοιπά.

Ἡφαιστιάς, πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ἡφαιστιεύς. Χάραξ δ' ἐν δεκάτῳ χρονικῶν φησιν ὅτι „Μυριναῖοι τῶν Πελασγικῶν ὑποσχέσεων οὐ φροντίσαντες ἀπέκλεισαν τῷ Μιλτιάδῃ τὰς πύλας, κἀκεῖνος πολιορκίᾳ παρεστήσατο αὐτούς. τῶν δ' Ἡφαιστιέων τύραννος [Ἕρμων, τῶν Περσ]ῶν φοβηθεὶς τὴν δύναμιν, ἔφη χαριζόμενος τοῖς Ἀθηναίοις φίλοις οὖσιν ἐμπεδοῦν τὰ ὁμολογηθέντα ὑπὸ τῶν Πελασγῶν, καὶ ἀμαχεὶ παρέδωκε τὴν πόλιν".

Ἡφαίστου νῆσοι, τῆς Ἀδιαβηνῆς. Ἀρριανὸς ιγ' Παρθικῶν. τὸ ἐθνικὸν Ἡφαιστονησιώτης.

[*Ἡφαίστου πόλις*, πόλις ... τὸ ἐθνικὸν Ἡφαιστοπολίτης.]

---

1. *Ἦτις* M, *Ἠτιά* R, *Ἠτία* AV, *Ἤτεια* Casaubonus. *Ἦτις* hoc oppidum vocat Pausan. 3, 2, 11 et 8, 12, 8. 2. *Ἠτεῖος* M, *Ἤτειος* Casaubonus, *Ἤτιος* libri. cf. Etym. M. p. 248, 34: *Ἦτις ὄνομα πόλεως, καὶ Ἠτεῖος ὁ πολίτης.* compara *Ἦλις Ἠλεῖος.* 3. *Πρωταγόρᾳ*] p. 343 a. *Χηνέα* X, *οὐχηνέα* HV, *οὐχηνέα* R, *οὐχ ἠνέα* A. Stephanus sine dubio, ut infra s. v. *Χῆναι*, ita etiam hic ipsa Platonis verba (*Μύσων ὁ Χηνεύς*) apposuerat, ex quo causa erroris intelligitur. 4. *Ἤτιον* libri. 5. *Ἡφαιστιάδαι* Meursius, *Ἡφαιστία* libri. 8. *Ἡφαιστία* libri, pro quo quam postulante literarum ordine restitui formam *Ἡφαιστιάς*, ea usi sunt Ptolem. 3, 13, 47 et schol. Paris. Apoll. Rh. 1, 601. cf. s. v. *Ὀρθωσία.* 10. *Μυριναῖοι* RV, *Μυρηναῖοι* A. *ὑποσχέσεων* Valcken. ad Herod. 6, 140, *ὑποθέσεων* libri. 12. 13. *τύραννος [Ἕρμων, τῶν Περσ]ῶν* Valckenarius, *τύραννος ὢν* libri. 14. *ἐμπεδοῦν* X, *ἐμποδῶν* RV, *ἐμποδὼν* A. 15. *καὶ* add. RV. 16. 17. *παρθενικῶν* RV. 18. *Ἡφαίστου πόλις, πόλις... τὸ ἐθνικὸν Ἡφαιστοπολίτης* addidit M propter ea quae leguntur s. v. *Ἀδάρου πόλις.*

Θαλάμαι, πόλις τῆς Μεσσηνίας. Θεόπομπος τριακοστῷ δευτέρῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Θαλαμᾶται.

Θάλασσα. τὸ ἐθνικὸν θαλασσαῖος καὶ θαλασσεύς καὶ θαλάσσιος.

Θάλπουσα, πόλις τῆς Ἀρκαδίας τοῦ Ὀρχομενοῦ. τὸ ἐθνικὸν Θαλπούσιος.

Θαμαναῖοι, ἔθνος Πέρσαις ὑπήκοον. Ἡρόδοτος τρίτῃ.

Θαμία, πόλις Θεσσαλίας. Ῥιανὸς ιδ' Θεσσαλικῶν. καὶ *Θαμίεια*. τὸ ἐθνικὸν Θαμιεύς.

Θάμνα, πόλις Παλαιστίνης. Ἰώσηπος πέμπτῳ Ἰουδαϊκῆς ἱστορίας. οἱ πολῖται Θαμνῖται.

Θαμουδά, Ναβαταίων γείτων τῶν Ἀραβίων. Οὐράνιος Ἀραβικῶν τρίτῃ. ὁ οἰκήτωρ Θαμουδηνός.

Θάσος, νῆσος πρὸς τῇ Θρᾴκῃ, πόλιν ὁμώνυμον ἔχουσα, ἔνθα Τηλέφη ἡ τῆς Εὐρώπης θνήσκει μήτηρ. ἀπὸ Θάσου. „δέκα δὲ γενεαῖς Ἡρακλέους καὶ Θάσος παλαίτερος, εἴπερ ἀπὸ Ἀγήνορος Προῖτος ἦν, Ἀγήνορος δὲ Βῆλος ἀδελφὸς ἦν, Βήλου δ' Αἴγυπτος, οὗ Λυγκεύς, οὗ Ἄβας, οὗ Δανάη, ἧς Περσεύς, οὗ Ἀλκαῖος, οὗ Ἀμφιτρύων, οὗ Ἡρακλῆς". ὅτι δὲ καὶ *Ἀερία* ἡ Θάσος, δῆλον ἐκ τοῦ χρησμοῦ τοῦ δοθέντος τῷ πατρὶ τοῦ Ἀρχιλόχου·

---

1. *βιβλίον ιθ'* ante *Θαλάμαι* ΠR. *Μεσηνίας* libri. 3. *τοπικὸν*? 5. *τοῦ Ἀρκάδος* RV. *τοῦ Ὀρχομενοῦ [κτίσμα]* B, *[πλησίον] τοῦ Ὀρχομενοῦ* H. codicum scriptura, *τοῦ Ἀρκάδος*, indicare videtur haec ita potius refingenda esse: *πόλις τοῦ Ἀρκαδικοῦ Ὀρχομενοῦ*. 6. *Θαλπούσσιος* V. 7. *Θαμαναῖοι* H, *Θαλαμαναῖοι* A, *Θαλμαναῖοι* RV. *τρίτῃ*] c. 93. 8. *Θαμία* Pp, *Θαλαμία* ΠRV. *Θεσσαλιακῶν* ante B. 10. *πέμπτῳ*] c. 10. 11. *ἱστορίας* om. R. 12. *Θαμουδά* PpR, *Θαμουδᾶ* A, *Θαμουδα* V. 14. *Θάσος* R, *Θάσσος* AV. *νῆσος* om. R. *πόλιν ὁμώνυμον ἔχουσα* add. PRV. 15. *Τηλέφασσα* frustra Scaliger; vide s. v. *Δάρδανος* et ad Moschi Id. 2, 40. *Θάσσου* libri. 16. *δέκα* — 19. *Ἡρακλῆς* non Stephani, sed nescio cuius mythographi verba sunt. *Θάσος* R, *Θάσσος* AV. 18. *μήλου* V. *οὗ Ἄβας* om. V. 20. 21. *τῷ πατρὶ* Pp, *πατρὶ* ΠV, *περὶ* R, *τῷ* A. 21. *Ἀρχελόχου* RV.

ἄγγειλον Παρίοις, Τελεσίκλεες, ὥς σε κελεύω,
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

Θαυμακία, πόλις Μαγνησίας. Ὅμηρος „οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο". ἀπὸ Θαυμάκου τοῦ Ποίαντος πατρός, ἀφ' οὗ νῆσος. δευτέρα πόλις κατὰ τὸν Μαλιακὸν κόλπον. οἱ ἔνοικοι Θαυμακοί καὶ „Θαυμακίης ἱερὸν Ἀρτέμιδος".

Θαυμάσιον, ὄρος Ἀρκαδίας, ἐν ᾧ τὸν λίθον ὁ Κρόνος κατέπιεν. οἱ ἐνοικοῦντες Θαυμάσιοι.

Θάψακος, πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ. Θεόπομπος ἐν Φιλιππικῶν τρίτῳ. ὁ πολίτης Θαψακηνός.

Θαψίπολις, πλησίον Καρχηδόνος. τὸ ἐθνικὸν Θαψιπολίτης. Κουάδρατος δωδεκάτῳ Ῥωμαϊκῆς [χιλιάδος].

---

1. *Τελεσίκλεες* R, *Τελεσίκλεος* V, *Τελεσίκλεις* A. 2. *εὐδίελον* RV. 3. *Ὅμηρος*] Il. 2, 716. 4. *Μηθώνην* libri. 4. 5. *ποιήσαντος* pro *Ποίαντος* PpRV. 5. *νῆσος*] Malim *ἡ νῆσος*, ut ipsa intelligatur Thaumacia, quam more suo *νῆσον* vocat i. e. urbem maritimam. male Stephani verba intellexit et simul in errorem traxit recentiores Eustathius ad Hom. p. 329, 6: *τὴν δὲ Θαυμακίαν πόλιν Μαγνησίας ὁ τῶν ἐθνικῶν συλλέκτης φησίν, λέγων καὶ ἑτέραν εἶναι Θαυμακίαν κατὰ τὸν Μηλιᾶ κόλπον, καὶ νῆσον δὲ ὁμώνυμον.* *δευτέρα*] Haec altera eodem quo incolae nomine dicitur *Θαυμακοί*, de quo ipse Stephanus admonuit s. v. *Ἀμφίδολοι*. in epigrammate Anth. Pal. 7, 544:

Εἰπὲ ποτὶ Φθίαν εὐάμπελον ἤν ποθ' ἵκηαι
καὶ πόλιν ἀρχαίαν, ὦ ξένε, Θαυμακίαν,

pro ultima voce Pal. habet *Θαυμακίδαν*, quod *Θαυμακιδᾶν* scribendum videtur, notissimo poetarum usu patronymica pro gentilibus ponentium. Maliacam autem urbem, cuius situm non recte indicant mappae Kiepertianae, hoc loco intelligendam esse, e sequentibus intelligitur: *ὡς δρυμὸν Μαλιαῖον ἀναστείβων ποτ' ἔρημον*, ubi pro *Μαλιαῖον*, quod dupliciter vitiosum est, scribendum *Λαμιαῖον*.
5. 6. *Μαλιακὸν* R, *Μαλίαν* AV, *Μηλιὰν* Pp, *Μηλιᾶ* X. 6. *Θαυμακιᾶς* (η suprascr.) R, *Θαυμακίας* AV. videntur haec verba ex elegiaco carmine deprompta esse. 12. *Καρχηδόνος* RV, *Χαλκηδόνος* A. 13. *Ῥωμαϊκῆς* R, *Ῥωμαϊκῶν* AV, quo nomine cum nusquam noster Quadrati historiam appellet, *χιλιάδος* excidisse probabile erat.

Θάψος, πόλις Λιβύης. Στράβων ἑπτακαιδεκάτῳ. ἔστι καὶ Σικελίας. ἔστι δὲ χερσόνησος ἐν στενῷ ἰσθμῷ, ὡς Θουκυδίδης. τὸ ἐθνικὸν Θάψιος.

Θέα, πόλις Λακωνικῆς. Φιλόχορος τρίτῳ. [οἱ πολῖται] Θεεῖς.

Θεάγγελα, πόλις Καρίας. ὁ πολίτης Θεαγγελεύς.

Θεβηθά, φρούριον Μεσοποταμίας. Ἀρριανὸς ἑνδεκάτῃ. ὁ οἰκήτωρ Θεβηθηνός, ὡς Ἄμαθα Ἀμαθηνός.

Θεισόα, πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ. ὁ πολίτης Θεισοάτης ὡς Λυκοάτης.

Θελαμοῦζα, φρούριον τῆς παρ' Εὐφράτην Ἀραβίας, ὡς Κουάδρατος ἐν Παρθικῶν ἑβδόμῃ. τὸ ἐθνικὸν Θελαμουζαῖος.

Θεμβρίημος, πόλις Καρίας, ἀπὸ Θεμβρίμου. ὁ πολίτης Θεμβριμεύς.

Θεμίσκυρα, πόλις, ἥ ἐστιν ἀντίον Θερμώδοντος, καὶ ἡ χώρα. οἱ οἰκοῦντες Θεμισκύριοι. λέγεται καὶ Θεμισκύρειαι.

---

1. ἑπτακαιδεκάτῳ (p. 831) B, ις' RV, ἑκκαιδεκάτῳ A. 2. δὲ H, καὶ libri. ἐν στενῷ ἰσθμῷ H, ἐν τῷ στενῷ ἰσθμοῦ RV, ἐν τῷ στενῷ τοῦ ἰσθμοῦ A. 2. 3. ὡς Θουκυδίδης huc retraxi, cum vulgo in sequenti lemmate post Θεεῖς legantur. at Theensium nulla apud Thucydidem memoria est, est vero Thapsi lib. 6, 97: εἰς τὴν Θάψον καθορμισάμενοι· ἔστι δὲ χερσόνησος μὲν ἐν στενῷ ἰσθμῷ προὔχουσα ἐς τὸ πέλαγος. 4. οἱ πολῖται add. B. 7. Θεβηθά AV, Θεβιδά R. 8. Θεβηθηνός B, Θεβηνός libri. Ἄμαθα Ἀμαθηνός B, Ἄκμαθα Ἀκμαθηνός RV, Ἔκμαθα Ἐκμαθηνός A. 9. Θείσοα AV, Θήσοα R. ὀγδόῳ] c. 27, 4. 10. Θισοάτης R. 12. παρθενικῶν RV. Θελαμουζαῖος R, Θαλαμουζαῖος AV. 13. Θέμβριμος B. corrigendum potius videtur: Θεμβρία, δῆμος ἢ πόλις Καρίας, et mox Θέμβρου pro Θεμβρίμου et Θεμβριεύς pro Θεμβριμεύς. cui coniecturae nonnihil ponderis accedit ex eo, quod in Θεμβρίμου literas ιμ punctis suppositis notat R. Thembria autem eadem quae Thymbria apud Strab. 14 p. 636. qui κώμην dicit, quo significatu noster aliquoties voce δῆμος utitur, e. c. in Βουκεφάλεια, Γλαύκου δῆμος, Δαφνοῦς, Ἱερὰ κώμη et Κεκροπία. 15. 16. καὶ ἡ χώρα add. RV. 16. οἱ οἰκοῦντες RV, καὶ οἱ οἰκοῦντες τὴν χώραν A. Θεμισκύρειά R, Θεμισκύρεια AV. respicit Apoll. Rh. 2, 995: ἔνθα Θεμισκύρειαι Ἀμαζόνες.

Θεμισσός, πόλις Καρίας, ἣν ἔκτισε Λάδας. ἀπὸ Θεμισσοῦ παιδός, ὃν λύκοι διεχρήσαντο. ὁ πολίτης Θεμισσεύς.

Θεμισώνιον, χωρίον Φρυγίας. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ. τὸ ἐθνικὸν Θεμισώνιος.

Θεναί, πόλις Κρήτης. τινὲς δὲ Ἀρκαδίας. οἱ δὲ ὄρος. τὸ ἐθνικὸν Θεναῖος καὶ Θεναία καὶ Θενεῖς.

Θευδοσία, Ταυρικὴ πόλις παραλία. Στράβων ζ΄. τὸ ἐθνικὸν Θευδοσιανός καὶ Θευδοσιεύς.

Θεούπολις, ἡ μεγίστη τῆς ἕω πόλις, ἥτις ἐξ Ἀντιοχείας μετὰ τὸν σεισμὸν ὠνομάσθη ἀπὸ Ἰουστινιανοῦ. ὁ πολίτης Θεουπολίτης. ἔστι καὶ ἐν Αἰγύπτῳ *Θεόπολις*. ὁ πολίτης ὁμοίως.

Θεράπναι, πόλις Λακωνική, ἥν τινες *Σπάρτην* φασίν. ἔστι καὶ τόπος ἔχων ναὸν τῶν Διοσκούρων, διὰ τὸ ἐκεῖσε τούτους τιμᾶσθαι· θεραπεύειν γὰρ τιμᾶν σημαίνει καὶ ὁ ναὸς τὴν οἰκίαν, ἔνθα θεοὶ θεραπεύονται. τὸ ἐθνικὸν Θεραπναῖος καὶ Θεραπναία καὶ Θεραπναῖον.

Θέρμα, χωρίον Σικελίας. Φίλιστος τρίτῳ. τὸ ἐθνικὸν Θερμαῖος. ἔστι καὶ Βιθυνίας Θέρμα τὰ μὲν Πύθια τὰ δὲ ἐν Προύσῃ βασιλικὰ λεγόμενα, τὰ δὲ ἐν Καππαδοκίᾳ, τὰ δὲ ἐν Συρίᾳ, τὰ δὲ Δορυλαείου. οἱ οἰκοῦντες Θερμηνοί.

Θέρμη, πόλις Θρᾴκης. Ἀπολλόδωρος δὲ Μακεδονίας

---

2. διεχρήσαντο X, διεχωρίσαντο libri. 5. Θεναί H, Θέναι RV, Θένναι A. 6. Θενναῖος καὶ Θενναία libri. Θενὶς R, Θεννεῖς AV. 7. Θεοδοσία pro Θευδοσία et sic porro B, malim Θεοδοσία ἢ Θευδοσία cum H. ζ΄] p. 309. ubi Θεοδοσία. 10. ὑπὸ? 10. 11. ὁ πολίτης — Θεόπολις add. R. 11. Θεούπολις W. 13. Θεράπναι Pp, Θέραμναι ARV. fortasse ambo coniungenda: Θεράμναι ἢ Θεράπναι. certe Theramne agnoscitur etiam a Plinio NH. 4, 5, 8. 14. ἔστι δὲ? 15. 16. τιμᾶν σημαίνει καὶ ὁ ναὸς τὴν οἰκίαν Pp, τιμᾶν σημαίνει, σημαίνει καὶ τὴν οἰκίαν ARV. 16. ἔνθα θεοὶ θεραπεύονται add. Pp. 16. 17. Θεραπναῖος καὶ Θεραπναία καὶ Θεραπναῖον PpRV, Θεραμναῖος καὶ Θεραμναία καὶ Θεραμναῖον A. 18. Φίλιστος X, Φίλιππος libri. 21. Δορυλαείου M, Δορυλαίου R, Δορυλαίου AV.

φησὶ καὶ Θουκυδίδης. ὁ πολίτης Θερμαῖος. ἔστι καὶ Θερμαῖος κόλπος.

Θέρμος, πολίχνιον Αἰτωλίας, ὡς Πολύβιος. τὸ ἐθνικὸν Θέρμιος, καὶ τὸ κτητικὸν Θερμικός.

Θέρμυδρα, λιμὴν τῆς μιᾶς τῶν ἐν Ῥόδῳ πόλεων. τὸ ἐθνικὸν Θερμυδρεύς.

Θέρνη, πόλις Θρᾴκης. τὸ ἐθνικὸν Θερναῖος.

Θερσῖται, ἔθνος Ἰβηρικόν. Πολύβιος ἐν τρίτῳ.

Θέσπεια, πόλις Βοιωτίας. Ὅμηρος „Θέσπειαν Γραῖάν τε". Θεσπιάδου κτίσμα, [κατὰ δέ τινας Θεσπίου] τοῦ Τεύθραντος τοῦ Πανδίονος. γράφεται καὶ διὰ τοῦ ῑ καὶ ἐκτείνεται. καὶ συστέλλεται παρὰ Κορίννῃ. καὶ ἐπίγραμμα τῶν ἀναιρεθέντων ὑπὸ τῶν Περσῶν. ἦν δὲ Φιλιάδου Μεγαρέως·

ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

πληθυντικῶς δὲ Θεσπιαὶ ὀξυτόνως. καὶ θαῦμα πῶς τὸ ἑνικὸν διὰ διφθόγγου γράφεται. δευτέρα Θεσσαλίας. τρίτη ἐν Σαρδοῖ. ὁ πολίτης Θεσπιεύς καὶ Θεσπιάς καὶ Θεσπίς.

Θεσπρωτία, πόλις καὶ χώρα ἔξω τοῦ Ἀμβρακικοῦ κόλπου. τὸ ἐθνικὸν Θεσπρωτός καὶ Θεσπρωτίς. καὶ Θεσπρωτιακός.

Θεσσαλία, ἀπὸ Θεσσαλοῦ, ἡ πρότερον Πελασγία. ἐν ταύτῃ οὐκ ἔξεστι πελαργοὺς κτείνειν· τοὺς γὰρ τῆς χώρας ὄφεις ἀναιροῦσιν. ὁ πολίτης Θεσσαλιώτης καὶ Θετταλιώτης καὶ Θετταλός καὶ Θετταλίς. ἔστι καὶ θετταλίς ὑπόδημά τι

---

1. Θουκυδίδης] 1, 61. 3. Πολύβιος] 5, 8, 1. 3, 11. 4, 1. 8. ἐν add. RV. τρίτῳ] c. 33, 9. 9. Ὅμηρος] Il. 2, 498. Θέσπιαν R. 10. κατὰ δέ τινας Θεσπίου add. Eustath. ad Hom. p. 266, 13. 11. 12. ἐκτείνεται] Scil. in ipso illo Homeri versu, in quo alii Θέσπειαν alii Θέσπιαν scribebant. 12. Κορίννῃ] Fragm. 23: Θέσπια καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε. 13. ὑπὸ τῶν om. RV. 14. τοί pro θ' οἵ Brunckius. κροτάφοις Eustathius, κροτάφῳ ARV. 15. αὐχεῖ et εὐρύχορος Eustathius, ἄρχει (ἀρχεῖ P) et εὐρύχωρος libri. 18. Θεσπιάς M, Θεσπιακὸς R, Θεσπιακός AV. fortasse igitur καὶ Θεσπιά [καὶ Θεσπιακός]. 19. Ἀμβρακικοῦ RV, Ἀμπρακικοῦ A. 22. ταλαργοὺς libri, [τοὺς] πελαργοὺς X.

ποιόν, ὡς Λύσιππος ἐν Βάκχαις. τὸ Θεττάλη δρᾶμα Μενάνδρου βαρύνεται παρὰ Ἀττικοῖς, εἰς ἰδιότητα τεθέν. λέγεται καὶ θετταλίζω ὡς δωρίζω, ἀφ' οὗ τὸ ἐντεθετταλίσμεθα παρὰ τῷ Εὐπόλιδι ἐν Μαρικᾷ, τουτέστι χλαμύδα Θετταλικὴν φοροῦμεν. Θετταλικὸν περόνημα.

Θεσσαλονίκη, πόλις Μακεδονίας, ἥτις ἄρα ἐκαλεῖτο Ἁλία, Κασάνδρου κτίσμα .... ἢ ὅτι Φίλιππος τοῦ Ἀμύντου ἐκεῖ Θετταλοὺς νικήσας οὕτως ἐκάλεσε. Λούκιος δὲ ὁ Ταρραῖος περὶ Θεσσαλονίκης βιβλίον ἔγραψεν, ὅς φησιν ὅτι Φί-

---

1. *Λύσιππος* B, *Λύσις* libri. 3. *ἐντεθετταλίσμεθα* B, *ἐνθετταλίσμεθα* libri. 4. *τῷ* om. R. *Μαρικᾷ* R, *Μαρυκᾷ* A, *Μαρυκῷ* V. 5. [*καὶ*] *Θετταλικὸν πτέρον* Salmasius, [*ἢ*] *Θετταλικὸν πτέρον* B. de vestitu Thessalico classicus locus est Strab. 11 p. 530. quem quoniam qui de rebus scenicis scripserunt omisere hic adscribam: *καὶ τὴν ἐσθῆτα δὲ τὴν Ἀρμενιακὴν Θετταλικήν φασιν, οἷον τοὺς βαθεῖς χιτῶνας, οὓς καλοῦσι Θετταλικοὺς ἐν ταῖς τραγῳδίαις, καὶ ζωννύουσι περὶ τὰ στήθη, καὶ ἐφαπτίδας, ὡς καὶ τῶν τραγῳδῶν μιμησαμένων τοὺς Θετταλούς. ἔδει μὲν γὰρ αὐτοῖς ἐπιθέτου κόσμου τοιούτου τινός, οἱ δὲ Θετταλοὶ μάλιστα βαθυστολοῦντες — ἐπιτηδειοτάτην παρέσχοντο μίμησιν τῇ τῶν ὑποκριτῶν διασκευῇ ἐν τοῖς ἀναπλάσμασιν.* 6. *Θεσσαλονίκη*] Haec sectio paucis exceptis in Etym. M. p. 447, 32 illata est. 6. 7. *ἥτις Ἁλία ἐκαλεῖτο* EM. 7. *Ἁλία*] Mirum est memorari nomen urbis aliunde prorsus non cognitum, reticeri autem longe frequentissimum *Θέρμα* vel *Θέρμη*. in R scriptum est *αλια* i. e. *ΑΛΑ* sive *ΜΑ*. corrigendum igitur [*Θέρ*]*μα*. nimirum hic quoque factum est quod plurimis locis factum iam vidimus et porro videbimus, ut in libris Stephani primae nominum syllabae exciderint. exempla pauca de multis composui ad *Χορτασώ*. de nominis forma, *Θέρμα* pro *Θέρμη*, dixit Tafelius Thessal. p. 8, 15. in eo tamen falsus quod eam doricam esse existimat. v. ad *Μέδμη*. Atticos *Θέρμη* probasse ex Photio p. 86, 10 intelligitur. *Κασάνδρου* RV, *Κασσάνδρου* A. post *κτίσμα* lacunam indicandam fuisse sequentia docent. quid exciderit intelligitur e Strab. Exc. 7 p. 330: *Θεσσαλονίκη πόλις, ἣ πρότερον Θέρμη ἐκαλεῖτο. κτίσμα δ' ἐστὶ Κασάνδρου, ὃς ἐπὶ τῷ ὀνόματι τῆς ἑαυτοῦ γυναικός, παιδὸς δὲ Φιλίππου τοῦ Ἀμύντου, ὠνόμασεν.* quae paulo aliter scripta e libris Vat. et Pal. edidit Kramerus vol. 2 p. 79. 8. *Λούκιλλος* X, non V, ut narrat B. libri omnes *Λούκιος*, quae nominis forma ubique nostro nunc ex libris restituta est. v. in *Κάλαρνα*, *Μίεζα* et *Τάρρα*.

λιππος θεασάμενος κόρην εὐπρεπῆ καὶ εὐγενῆ (Ἰάσονος γὰρ ἦν ἀδελφιδῆ) ἔγημε, καὶ τεκοῦσα τῇ εἰκοστῇ ἡμέρᾳ τῆς λοχείας τέθνηκεν. ἀναλαβὼν οὖν ὁ Φίλιππος τὸ παιδίον ἔδωκε Νίκῃ τρέφειν καὶ ἐκάλεσε Θεσσαλονίκην· ἡ γὰρ μήτηρ τοῦ παιδίου Νικασίπολις ἐκέκλητο. Στράβων δὲ Θεσσαλονίκειαν αὐτήν φησι. τὸ ἐθνικὸν Θεσσαλονικεύς.

1. *Μεσσηνίας* et *Μεσσηνιακῶν* R, *Μεσηνίας* et *Μεσηνιακῶν* AV. *ἐν* om. R. 2. *πόλις Μαλιέων*] Eadem quae infra *Ἶρος*. *τῶν* ante *Μαλιέων* add. Pp. *ἀπὸ Ἴρου* — 4. *Μαλιέων* add. PpRV. 3. *ἡ* add. RV. *Ὁμήρῳ* (Il. 9, 150) Pp, *Ὅμηρον* RV. 4. *Ἱρεύς*? 5. *Ἴρασα*] Cf. s. v. *Ἴεράσα*. *ὃν* RV, *ἣν* A. 6. *τετάρτῃ*] c. 158. 7. *Μύλασσα Μυλασσεύς* libri. 8. *πόλις Θεσσαλίας*] Eadem quam supra Iram dixit. *Λυκόφρων*] vs. 905. *Ἶρρον* R. 9. *Περραβικήν* AV, *Περαβικήν* R. 10. *Μαλλώτης* X, *Βιαλλιώτης* R, *Βιαλλώτης* AV. 11. *πρώτῃ*] c. 179. 12. *ἄσφαλτος ἐν β τεῖχος* PpRV, *ἄσφαλτος ἐν δευ.. τεῖχος* A, correctum ex Herod. *ἐκομήθη* (*ισ* suprascr.) R. 13. *Ἰσαυρία*] Hanc sectionem B ita interpolavit: *Ἴσαυρα, οὐδετέρως, πόλις Ἰσαυρίας, μεταξὺ Λυκαονίας καὶ Κιλικίας, πρὸς τῷ Ταύρῳ. Χάραξ δὲ θηλυκῶς.* cf. Strabo 12 p. 568: *τῆς δὲ Λυκαονίας ἐστὶ καὶ ἡ Ἰσαυρικὴ πρὸς αὐτῷ τῷ Ταύρῳ, εἶτα Ἰσαυρία ἔχουσα κώμας δύο ὁμωνύμους, τὴν μὲν παλαιὰν καλουμένην τὴν δὲ εὐερκῆ· ὑπήκοοι δ' ἦσαν ταύταις καὶ ἄλλαι κῶμαι συχναί.* ubi Coraes corrigit *τῷ Ταύρῳ ἡ τὰ Ἴσαυρα ἔχουσα*. Groskurdius praeterea *ἡ τὰ* [*Ἴσαυρα καὶ τὴν*] *Ἰσαυρίαν ἔχουσα*, propter ea quae p. 569 sequuntur: *καὶ τὰ Ἴσαυρα καὶ τὴν Δέρβην Ἀμύντας εἶχεν, ἐπιθέμενος τῷ Δερβήτῃ καὶ ἀνελὼν αὐτόν, τὰ δ' Ἴσαυρα παρὰ τῶν Ῥωμαίων λαβὼν καὶ δὴ βασίλειον ἑαυτῷ κατεσκεύαζεν ἐνταῦθα, τὴν παλαιὰν Ἰσαυρίαν ἀνατρέψας.* 13. 14. *τῷ Ταύρῳ, Χάραξ δὲ θηλυκῶς* (*θηλυκὸν* R) *καὶ πόλις* libri, correxit et supplevit M.

Ἴσβος, Ἰσαυρίας πόλις. τὸ ἐθνικὸν Ἰσβώτης, ὡς Μαλλὸς Μαλλώτης.

Ἰσεῖον, πόλις Αἰγύπτου, ἀπὸ Ἴσιδος. οἱ οἰκοῦντες μετάβολοι· τοιοῦτοι γὰρ ἦσαν. πωλοῦσι δὲ μόνοις τοῖς ἐμπόροις ἀθρόα τὰ φορτία παρὰ τῶν τεχνιτῶν ἀγοράζοντες αὐτὰ κατ' ὀλίγα καὶ κοτυλίζουσι τοῖς ἐγχωρίοις. προπερισπᾶται δέ, ὡς Ἰρεῖον καὶ Νεμεσεῖον καὶ τῶν ὅσα μὴ τῆς γενικῆς τὸ δ ἐφύλαξαν τεμενικῶν· τοιοῦτος γὰρ ὁ τύπος.

Ἴσηπος, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ.

Ἰσθμός, ἡ Ἁλικαρνασσός, τῆς Καρίας πόλις. ὁ πολίτης Ἴσθμιος. ἔστι καὶ Κορίνθου *Ἰσθμός*, ἐν ᾗ Ἴσθμιος ὁ Ποσειδῶν. καὶ νίκη Ἰσθμιάς καὶ Ἰσθμιάδες σπονδαί. λέγονται καὶ Ἰσθμιῶται.

Ἴσινδος, πόλις Ἰωνίας. ὁ πολίτης Ἰσίνδιος αἰνετιτάς. λέγεται καὶ *Ἴσινδα*· τὸ ἐθνικὸν Ἰσίνδιος. καὶ χωρίον *Ἰσινδία* καὶ Ἴσινδα.

Ἰσμάηλα, τῆς Ἀραβίας χωρίον. οἱ οἰκοῦντες Ἰσμαηλῖται.

Ἴσμαρος, πόλις Θρᾴκης τῶν Κικόνων. Ὅμηρος. ὁ πολίτης Ἰσμάριος, καὶ Ἰσμαρικός τὸ κτητικόν. ἔστι καὶ Ἰσμαρὶς λίμνη. Ἡρόδοτος ζ'.

Ἰσμήνη, ἡρωὶς καὶ κώμη Βοιωτίας. ὁ κωμήτης Ἰσμήνιος καὶ Ἰσμηναῖος καὶ Ἰσμηνεύς καὶ Ἰσμηνίτης. ἔστι καὶ *Ἰσμηνός* ποταμὸς Βοιωτίας, ἀφ' οὗ Ἰσμήνιος ὁ Ἀπόλλων καὶ Ἰσμηνία.

6-8. *προπερισπᾶται — ὁ τύπος*, quae libri l. 4. post *τοιοῦτοι γὰρ ἦσαν* habent, huc transposui. 7. *Ἰρεῖον* V, *Ἱρεῖον* R. cf. Lobeck. ad Phryn. p. 372. *Ἰβεῖον* probabiliter Wesseling. ad Anton. Itin. p. 157. *Ὀσιρεῖον* Gavelius. *Νεμισεῖον* R. 10. *ἡ*? *Ἁλικαρνασσός* RV, *Ἁλικαρνασός* A. 11. *Ἴσθμιος* RV, *Ἰσθμός* A. 12. *Ἰσθμιάς* RV, *Ἰσθμίας* A. *νίκη Ἰσθμιάς* e Callimacho (fr. 103, 3) petiit. 14. *αἰνετιτάς* R, *ἐναιτίτας* P[a], *ἐναιτιτάς* V, *ἐνετίτας* P[b], *ἐνετιτάς* A, *κατά τινας* H, om. B. 15. *τὸ ἐθνικὸν Ἴσινδα καὶ Ἰσίνδιος* R. forsan *τὸ ἐθνικὸν Ἰσινδεύς καὶ Ἰσίνδιος*. 17. *Ἰσμαϊλῆται* R. 18. *Ὅμηρος*] Od. 9, 40. 19. *Ἰσμαλὶς* R. 20. *ζ'* (c. 199) om. R. 21. *ἥρω καὶ* RV. *ὁ* om. R. 22. *Ἰσμηνήτης* R. *Ἴσμηνος* R. 23. *ὁ* add. R. *Ἰσμηνίας* RV. forsan igitur *καὶ* [*Ἰσμηνία καὶ*] *Ἰσμηνιάς*.

Ἱσπανίαι, [ἀπὸ Ἱσπάνου γίγαντος οὕτω λεγομένου.] δύο τῆς Ἰταλίας ἐπαρχίαι, ἡ μὲν μεγάλη ἡ δὲ μικρά. [ταύτης ἐμνήσθη Χάραξ ἐν ί χρονικῶν „ἐν Ἱσπανίᾳ τῇ μικρᾷ τῇ ἔξω Λουσιτανῶν πάλιν ἀποστάντων ἐπέμφθη ὑπὸ Ῥωμαίων στρατηγὸς ἐπ' αὐτοὺς Κύϊντος". ὁ αὐτὸς ὁμοῦ περὶ τῶν δύο „Κύϊντος ὁ τῶν Ῥωμαίων πολέμαρχος ἐν ἀμφοτέραις ταῖς Ἱσπανίαις, ἡσσώμενος δὲ ὑπὸ Οὐιριάθου σπονδὰς πρὸς αὐτὸν ἐποιήσατο". ταύτην κεκλῆσθαί φησιν *Ἰβηρίαν* ἐν Ἑλληνικῶν γ' „τὴν δὲ Ἱσπανίαν Ἕλληνες τὰ πρῶτα Ἰβηρίαν ἐκάλουν, οὔπω ξύμπαντος τοῦ ἔθνους τὴν προσηγορίαν μεμαθηκότες, ἀλλ' ἀπὸ μέρους τῆς γῆς, ὅ ἐστι πρὸς ποταμὸν [Ἴβηρα,] Ἰβηρίαν καὶ ἀπ' ἐκείνου ὀνομάζονται, τὴν πᾶσαν οὕτω καλοῦντες. ὕστερον δέ φασιν αὐτὴν μετακεκλῆσθαι Πανίαν".]

Ἴσσα, πόλις ἐν Λέσβῳ, κληθεῖσα *Ἱμέρα*, εἶτα *Πελασγία* καὶ Ἴσσα ἀπὸ τῆς Ἴσσης τῆς Μάκαρος. ἔστι καὶ νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ Δελματίαν καὶ Ἰλλυρίαν .... ἔστι καὶ θηλυκὸν Ἰσσάς ἐπὶ τῆς Λέσβου παρὰ Παρθενίῳ ἐν Ἡρακλεῖ.

Ἰσσηδόνες, ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίᾳ. Ἀλκμὰν δὲ μόνος Ἐσσηδόνας αὐτούς φησιν. εὑρίσκεται δὲ ἡ δευτέρα παρ' ἄλλοις διὰ τοῦ ε̄. λέγονται καὶ *Ἰσσηδοί* τρισυλλάβως. ἔστι καὶ *Ἰσσηδών* πόλις.

---

1. Ἱσπανίαι] Hoc tmema supplevi e Constant. Porph. de Admin. imp. 24 p. 109 Bonn. epitome ita: *Ἱσπανίαι δύο τῆς Ἰταλίας ἐπαρχίαι ἡ μὲν μεγάλη ἡ δὲ μικρά. ἐκλήθη δὲ καὶ Ἰβηρία καὶ Παννωνίαν* (*Πανωνίαν* R, *Παννωνία* V). 11. *Ἴβηρα* add. M. 11. 12. *Ἰβηρίαν ἀπ' ἐκείνου ὠνόμαζον καὶ τὴν πᾶσαν?* 13. *Πανίαν* Bandurus, *Πανωνίαν* libri. 14. *Ἴσα* R. 14. 15. *κληθεῖσῃ Ἱμέρᾳ* (*ἱμέρα* AV, *ἡμέρα* R) *εἶτα Πελασγίᾳ καὶ Ἴσσῃ* Wesseling. ad Diod. Sic. vol. 1 p. 396. 15. *τῆς* om. RV. *Ἴσης* RV. *πόλις* RV. 16. *ἔχου κατὰ* R. *Δελματίαν* V, *Δαλματίαν* AR. indicavi lacunam. non sufficit quod B supplebat *τὸ ἐθνικὸν Ἰσσεύς*. 17. *θηλυκὸν Ἰσσάς* V, *θηλυκὸν Ἰσάς* R, *θηλυκῶς Ἰσσεύς* A, *θηλυκὸν Ἰσσῆς* Salmasius. 18. *Ἀλκμᾶν* V. 19. *Ἐσσηδόνας* (non *Ἐσσεδόνας*) R, *Ἀσσεδόνας* A, *Ἀσεδόνας* V. 19. 20. *εὑρίσκεται καὶ ἡ δευτέρα* [*γραφὴ*] *παρ' ἄλλοις* B, interpolatione inutili; librorum lectio docet fuisse qui *Ἰσσεδόνες* scriberent. 20. *Ἰσσηδοί* H, *Ἴσσιδοι* AV, *Ἴσιδοι* R. 21. *Ἰσιδών* R. apud Herod. dict. sol. p. 9, 17

Ἰσσός, πόλις μεταξὺ Συρίας καὶ Κιλικίας, ἐν ᾗ Ἀλέξανδρος Δαρεῖον ἐνίκησεν, ἣ ἐκλήθη διὰ τοῦτο Νικόπολις ἀπ' αὐτοῦ. καὶ ὁ Ἰσσικὸς κόλπος. ὁ πολίτης Ἰσσαῖος, ὡς Νεῖλος Νειλαῖος. ἐκεῖ δὲ καὶ ποταμὸς Πίναρος ὀνομαζόμενος.

Ἰσσώριον, ὄρος τῆς Λακωνικῆς, ἀφ' οὗ ἡ Ἄρτεμις Ἰσσωρία. τὸ ἐθνικὸν Ἰσσώριος.

Ἱστίαια, πόλις Εὐβοίας. Ὅμηρος „πολυστάφυλόν τ' Ἱστίαιαν". ἡ δὲ διὰ τοῦ ῑ ἰωνικὴ γραφή ἐστι. νῦν δὲ καλεῖται Ὠρεός .... ὁ πολίτης Ἱστιαιεύς. Ἔφορος δὲ τὸ ἐθνικὸν Ἑστιαῖός φησι. καὶ Ἱστιώτης ὁ τῆς Θετταλικῆς. τῆς δὲ Εὐβοίας ἀδιάφορος κατὰ τὴν γραφὴν καὶ διὰ τοῦ ῑ καὶ διὰ τοῦ ε̄ ψιλοῦ.

Ἱστός, νῆσος Λιβύης, Οὐδενόη λεγομένη ὑπὸ Λιβύων, ὑπὸ δὲ Φοινίκων Κέλλα ῥαφσάθ, ὃ ἑρμηνεύεται ἱστὸς νεώς. νηὶ γάρ ἐστι παραπλήσιος. τὸ ἐθνικὸν Ἵστιος, τῷ λόγῳ τῶν εἰς ο̄ς̄ δισυλλάβων ἐπὶ νήσων, Ἴμβριος Ἄνδριος.

Ἰστρία, χώρα κατὰ τὸν Ἰόνιον κόλπον. οἱ οἰκοῦντες Ἴστροι καὶ Ἴστριοι.

Ἰστριανά, πόλις παρὰ τὴν Περσικὴν θάλασσαν, ὡς Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν Ἰστριανηνός ἢ Ἰστριανίτης.

Ἴστροι, ἔθνος ἐν τῷ Ἰονίῳ κόλπῳ. Ἑκαταῖος Εὐρώπῃ.

---

pro Ἀσσιδιών malim Ἰσσηδιών quam quod GDindorfius voluit Ἀσσεδιών. 2.3. ἀπ' αὐτῆς RV. an ὑπ' αὐτοῦ? nisi ἀπ' αὐτῆς sequentibus iungenda. 4. Πίναρος R, Πιναρός A. 5. Ἰσιώριον RV. 6. Ἰσωρία R. Ἰσιώριος R. 7. Ἱστίαια [καὶ Ἑστίαια]? Ὅμηρος] Il. 2, 537. 7. 8. τ' Ἱστίαιαν RV, τ' Ἑστίαιαν A. 9. Ὠρεός Salmasius, Ὠρωπός AR, Ἠρωπός V. indicavi lacunam; excidit ἔστι δὲ καὶ Θετταλίας, vel simile quid. 10. Ἱστιώτης AV, Ἑστιώτης R, Ἱστιαιώτης H. de trisyllaba forma Ἱστία cf. s. v. Ἑστίαια. Θεσσαλικῆς R. 11. ἀδιάφορος Schubartus, διάφορος libri. τοῦ ῑ] τοῦ η̄ R. 14. ῥαρσάθ libri, ῥαφσάθ Bochartus, qui praeterea coniunctim scribebat Κεβλαραφσάθ vel Χεβλαραφσάθ. ἱστὸς νεώς M, ἱστὸς νηός Salmasius, ἱστωνίς libri. 19. παρὰ V, περὶ AR. 20. αὐτοῦ R. Ἰστριανός R, Ἰστιρανινός V.

τὸ ἐθνικὸν [Ἴστρος], καὶ κτητικὸν Ἰστρικός, ὡς τὸ Ταῦροι Ταυρικός.

Ἴστρος, πόλις Κρήτης, ἣν Ἀρτεμίδωρος Ἰστρῶνά φησι. δευτέρα πόλις Ἴστρος ἐν τῷ Πόντῳ. τὸ ἐθνικὸν Ἴστριος καὶ Ἰστριεύς. Ἀρριανὸς δὲ Ἰστρίαν ὡς Ὀλβίαν αὐτήν φησι. τὸ ἐθνικὸν ταύτης Ἰστριανός ὡς Ὀλβιανός, καὶ κατὰ τροπὴν Ἰστριηνὸς λιμήν καὶ Ἰστριανίς, θηλυκῶς. τρίτη νῆσος πόλιν ὁμώνυμον ἔχουσα κατὰ τὸ Τριόπιον τῆς Κνιδίας. τετάρτη πόλις τῆς Ἰαπυγίας, ὡς Ἔφορος εἰκοστῷ ἐνάτῳ.

Ἰστώνη, ὄρος προσεχὲς τῇ Κερκύρᾳ. Θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν Ἰστωναῖος ὡς Τορωναῖος.

Ἰταλία, ἡ χώρα, ἀπὸ Ἰταλοῦ, ἡ πρὶν Αὐσονία καὶ Αὐσονίς. τὸ ἐθνικὸν Ἰταλός καὶ Ἰταλίς. ἀπὸ δὲ τοῦ Ἰταλία τὸ Ἰταλιώτης ὡς Κιλικιώτης Φθιώτης. τί δὲ διαφέρει τὸ Ἰταλός τοῦ Ἰταλιώτου, ἐν τῷ περὶ Σικελίας εἰρήσεται. τὸ θηλυκὸν Ἰταλιῶτις. καὶ Ἰταλιεύς, ὡς τοῦ Αὐσονία τὸ Αὐσονιεύς. καὶ ἰταλιάζειν ῥῆμα. καὶ Ἰταλικός τὸ κτητικὸν καὶ Ἰταλιωτικός. ἔστι καὶ Ἰταλικόν χωρίον Σικελίας. ἔστι καὶ Ἰταλίκη πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Ἰταλικήσιος καὶ Ἰταλικησία. ἐκαλεῖτο ἡ χώρα καὶ Οἰνωτρία καὶ Ἑσπερία.

Ἰτανός, πόλις ἐν Κρήτῃ, ἀπὸ Ἰτανοῦ Φοίνικος, ἢ τῶν Κουρήτων ἑνὸς μιγάδος. οἱ πολῖται Ἰτάνιοι. ἔστι καὶ ἄκρα.

---

1. Ἴστρος add. M. καὶ κτητικὸν om. R. Ἰστρικός B, Ἰστρικῶς R, Ἰστρικόν AV. 2. Ταυρικῶς RV. 3. πόλις] ποταμὸς R. Ἰστρῶνα] Hinc Ἰστριώνιοι in titulo apud Boeckh. no. 3048. 4. 5. τὸ ἐθνικὸν — Ἰστριεύς ante δευτέρα transponenda. 5. ὡς Ὀλβίαν Ἰστρίαν R. 6. ταύτης B, ταὐτὸν R. Ἰστρινός V. 7. θηλυκόν R. πόλις R. 8. τὸ add. V. 10. τρίτῃ] c. 85. 11. Τορωναῖνος R. 14. Κιλικιώτης Φθιώτης R, Φθιώτης Κιλικιώτης V, Φθιώτης καὶ λιώτης A, Σικελιώτης Φθιώτης Schubartus. recte legi videtur Κιλικιώτης, quamquam alibi non obvium. cf. s. v. Κασταλία, πόλις Κιλικίας. τὸ ἐθνικὸν Κασταλιώτης. ὁ τύπος τοῖς Κίλιξι συνήθης. adde Μαλλώτης et Λαμιώτης. 15. Σικελίαν V. 16. Ἰταλιεύς Salmasius, Ἰταλεύς libri. 18. Ἰταλίας BH. vide ad Σινόεσσα. 19. Ἰταλίκη B, Ἰταλική libri. 22. μιγάδοις RV. latet fortasse scriptoris nomen, e. c. Ἑλλάδιος.

Ἰτέα, δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Ἰτεαῖος. Ἀνδροτίων δὲ τρισυλλάβως ἔφη.

Ἰτύκη, πόλις Λιβύης, Τυρίων ἄποικος. τὸ ἐθνικὸν Ἰτυκαῖος. ἀφ' οὗ Διονύσιος ὁ Ἰτυκαῖος ῥιζοτομικῶν πρώτῳ.

Ἴτων, πόλις Θεσσαλίας „Ἴτωνά τε μητέρα μήλων". οἱ ἐγχώριοι ὀξυτόνως αὐτήν φασιν Ἰτών. τινὲς δὲ Σιτῶνα αὐτήν φασι διὰ τὸ σιτοφόρον. λέγεται καὶ ἡ Ἴτωνος ἀπὸ Ἰτώνου ἥρωος, ἀφ' οὗ καὶ Ἰτωνία ἡ Ἀθηνᾶ. ἢ τις καὶ Ἰτώνη. τὸ ἐθνικὸν Ἰτωναῖος καὶ Ἰτωναία ἡ Ἀθηνᾶ. ἔστι καὶ πόλις Ἰτώνη ἐν Ἠπείρῳ, καὶ Ἰταλίας, καὶ Βοιωτίας, καὶ Λυδίας. ὁ πολίτης Ἰτώνιος καὶ Ἰτωνία, καὶ Ἰτωνία ἡ Ἀθηνᾶ, καὶ Ἰτωνιάς καὶ Ἰτωνίς. καὶ χώρα Ἰτώνη ὑπὸ τὸν Αἷμον, ὡς Ἑκαταῖος Εὐρώπῃ.

Ἴχανα, πολίχνιον τῆς Σικελίας, διὰ τὸ τῇ αὐτοῦ ἁλώσει πολλὰ προσλιπαρῆσαι τοὺς Συρακουσίους. ἰχανᾶν δὲ τὸ ἐπιθυμεῖν. τὸ ἐθνικὸν Ἰχανῖνος.

Ἴχναι, πόλις Μακεδονίας. Ἡρόδοτος ἑβδόμῃ. Ἐρατοσθένης δὲ Ἄχνας αὐτήν φησι. Φιλητᾶς δ' ἄλλην φησὶ διὰ τοῦ ᾱ. τὸ ἐθνικὸν Ἰχναῖος καὶ Ἰχναία ἡ Θέμις. διωκομένη γὰρ ὑπὸ τοῦ Διὸς κατελήφθη ἐν τοῖς τῶν Ἰχναίων τόποις, καὶ ἀπὸ τοῦ διωχθῆναι κατ' ἴχνος ὠνομάσθη. ἔστι καὶ ἑτέρα τῆς ἀνατολικῆς πόλις.

---

1. Ἀκαμαντηΐδος RV. Ἰτεαῖος V, Ἰετaῖος Pp, Ἰταῖος AR. 4. Διοκλῆς B. at Dionysii Rhizotomica habes apud schol. Nicandri Ther. 520. eundem cum Diocle nominat Plinius NH. 20, 3, 9. ὁ Ἰτυκαῖος M, οἰτυκαῖος R, Ἰτυκαῖος AV. ῥιζοτομικὸς ά RV. an ῥιζοτομικὰ [γράψας]? 5. Ἴτωνά τε μητέρα μήλων] Hom. Il. 2, 696. 6. Ἰτῶνα V. 7. σιφόρον V. 8. 9. τὸ ἐθνικὸν om. V. 11. καὶ Ἰτωνία post Ἰτώνιος add. R. 12. χώρα Ἰτώνη] Hoc ex Σιθωνίη vel Ἠδωνή corruptum suspicatur H. 15. ἰσχανᾶν B. ἰχανᾶν praeter Hesychium s. v. et Dracon. Strat. p. 50, 9 habet Babrius fab. 77, 2. 17. ἑβδόμῃ] c. 123, ubi ut apud Stephanum Ἴχναι scribitur, grammatico Crameri AO vol. 1 p. 48 Ἰχναί requirente. 18. Φιλίτας V. Ἄχνην pro ἄλλην X. malim in sequentibus φησὶ [τὴν] διά. 19. καὶ om. R. 20. κατελήφθη R, κατελείφθη AV. 21. ἔστι καὶ ἑτέρα R, καὶ ἑτέρα ἐστὶ AV.

Ἰψίκουροι, ἔθνος Λιγυστικόν. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ „ἣν ἐνέμοντο πρότερον Ἰψίκουροι καὶ Ἀρβαξανοὶ καὶ Εὔβιοι, Λίγυες τὸ γένος".

Ἰωλκός, πόλις Θεσσαλίας. „Βοίβην καὶ Γλαφύρας καὶ ἐυκτιμένην Ἰαωλκόν". ἀπὸ Ἰωλκοῦ τοῦ Ἀμύρου, ἀφ' οὗ τὸ Ἀμυρικὸν πεδίον Λαρισαίων. τὸ ἐθνικὸν Ἰώλκιος καὶ Ἰωλκία καὶ Ἰωλκίς καὶ Ἰωλκιάς.

Ἴωλον, ὄρος Περραιβίας. οἱ οἰκοῦντες Ἴωλοι. Ὅμηρος „τῷ δ' Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί" .... „τῷ δ' ἄρ' Ἴωλοι ἕποντο μενεπτόλεμοί τε Περαιβοί".

Ἰώνη. οὕτως ἐκαλεῖτο ἡ Ἀντιόχεια ἡ παρὰ Δάφνην, ἣν ᾤκησαν Ἀργεῖοι. τὸ ἐθνικὸν Ἰωνίτης ἢ Ἰωναῖος ὡς Κλεωναῖος „Κλεωναίοιο χάρωνος".

Ἰωνία. οὕτως ἡ Ἀττικὴ πρότερον, ἀπὸ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως. „οὕτω μὲν οἱ Ἀθηναῖοι. ἐν μέν τοι Δωριεῦσιν Αἰτωλοί, ἐν δὲ Αἰολεῦσι Βοιωτοί, ἐν δὲ τοῖς Ἴωσιν Ἀθηναῖοι". ὁ οἰκῶν Ἴων καὶ Ἰωνίς καὶ Ἰάς καὶ Ἰωνικός καὶ ἰωνίζω ῥῆμα.

Ἰωνίδαι, δῆμος τῆς Ἀττικῆς, τῆς Αἰγηίδος φυλῆς. ὁ

---

1. *Λυγιστικόν* R. 2. *Ὑψίκουροι* RV. *Ἀρβαξανοὶ* R, *Ἀρβάξανοι* V, *Ἀρβάζανοι* A. genuinam nominis scripturam esse *Ἀρβαξανοί* intelligitur ex nostro p. 110. ubi *Ἀρβαζανοί* contra literarum seriem edebatur. 3. *Εὔβιοι* BH, *Εὔβοιοι* libri. *Λίβυες* ante X. 4. *Ἰαωλκός* R. *Βοίβην*] Hom. Il. 2, 712. 5. *εὐκτιμένη* V. *Ἰαωλκόν* RV, *Ἰωλκόν* A. 6. *Λαρισαῖον* R. 7. *Ἰωλκίας* V. 8. *Ἴωλλοι* V. *Ὅμηρος*] Il. 2, 749. 9. *Αἰνιῆνες* AP^b RV, *ἄρ' Ἴωλοι* P^a. *μενεπτόλεμοι Περραιβοί* V. 9. 10. *τῷ δ' ἄρ' Ἴωλοι — Περαιβοί* add. RV. quam indicavi lacunam, ea ita fere explenda: *ταὐτά τινες οὕτω μετέγραψαν*. 11. *παρὰ Δάφνην* M, *παρὰ Φάδνην* R, *παρὰ δαφάδνην* V, *ἐπὶ Φάδνην* A, *ἐπὶ Δάφνῃ* X. 12. *ᾤκισαν* X. 13. *Κλεωναῖοι ὁ χάρωνος* RV, *Κλεωναῖος ὁ χάρωνος* A. correxi Anall. Alex. p. 85. quae post *χάρωνος* B intulit verba, *τοῦ χαροποῦ λέοντος*, ea nullus liber agnoscit. 14. *οὕτως* add. Pp. *Ἴωνος τοῦ* X, *Ἰωνίου* libri. 15. *μὲν*] *δὲ* R. 16. *ἐν μέν τοι*] Haec non ipsius Stephani, sed nescio cuius historici verba esse videntur, ex pluribus contracta nec sine vitio descripta. 18. *Ἰωνικίζω* R, *ἰωνικίζω* AV. 19. *τῆς Ἰωνίδος φυλῆς* R.

δημότης Ἰωνίδης. τὰ τοπικὰ ἐξ Ἰωνιδῶν εἰς Ἰωνιδῶν ἐν Ἰωνιδῶν.

Ἰωπίς, ὀξυτόνως, Λακωνικὴ χώρα. Ἡρωδιανὸς τετάρτῃ.

Ἰωτάπατα, πόλις Συρίας. Ἰώσηπος ἐν τρίτῳ. καὶ θηλυκῶς Ἰωταπάτη. τὸ ἐθνικὸν Ἰωταπατηνός.

Καβαλίς, πόλις πλησίον Κιβύρας πρὸς νότον Μαιάνδρου. [Στράβων τρισκαιδεκάτῃ.] ἡ γενικὴ Καβαλίδος. ὁ πολίτης Καβαλεύς. Ἑκαταῖος Ἀσίᾳ. καὶ θηλυκῶς, ὡς Στράβων ἐν τῇ εἰρημένῃ „ἀπόγονοι δὲ Λυδῶν οἱ Κιβυρᾶται τῶν κατασχόντων τὴν Καβαλίδα". ὁ δὲ πολυίστωρ Ἀλέξανδρος Καβάλισσαν φησὶ τὸ θηλυκόν. εἶναι δὲ τὸ γένος αὐτὴν Ὀλβίαν.

Καβασσός, πόλις ἐν Καππαδοκίᾳ, πατρὶς Ὀθρυονέως. Ὅμηρος „Καβησσόθεν ἔνδον ἐόντα". Ἑκαταῖος δ' ὁ Μιλήσιος Καβησσὸν πόλιν εἶναί φησιν ὑπερβάντι τὸν Θρᾴκιον Αἷμον. καὶ συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῶν Θρᾳκῶν ἀκολασίᾳ.

---

3. τετάρτῃ] Hinc supple Arcad. p. 33, 15. 4. ἐν add. RV. τρίτῳ] B. I. c. 6. 4. 5. θηλυκὸν V. 6. Καβαλίς] βιβλίον κβ' praemittunt ΠR. νῶτον ante X. 7. Στράβων τρισκαιδεκάτῃ (p. 629) add. B. ἡ γενικὴ Καβαλίδος suspectat Schubartus; sed vide, ut alia mittam, infra s. v. Κρουσίς. 8. Καβαλεύς] Hoc non ad Καβαλίς, sed ad aliam formam, e. c. Κάβαλα, revocandum. 9. εἰρημένῃ] p. 631. Κιβυράται B, Κυβιρᾶται R, Κιβυριάται AV. 10. τὴν X, ἐστὶ AΠRV. 11. εἶναι δὲ] Haec ad origines Cabalensium refert B, afferens Strab. 13 p. 630: Σολύμους εἶναί φασι τοὺς Καβαλεῖς. Olbiam autem intelligit eam quae in Solymorum terra sita erat. v. nostrum in Ὀλβία. quae si vera sunt, nescio an αὐτοὺς Ὀλβίους scribendum sit. at Alexander de certa quadam muliere Cabalensi locutus esse eamque genere Olbiam fuisse dixisse videtur. 12. Καβασσός AΠV, Καβασσοί R, Κάβησος Eust. ad Hom. p. 937, 46, Καβησσός B. fuitne Καβασσός [ἢ Καβησσός]? prius enim literarum ordo postulat. 13. Ὅμηρος] Il. 13, 363. 14. Καβασσὸν W. Αἷμον] ὅρμον an αἷμον incertum R. cf. Eustathius l. l.: Κάβησος πόλις Ἑλλησποντὶς ἢ Θρᾴκης τῆς κατὰ τὸν Αἷμον. 15. γάμων R. τῶν Θρᾳκῶν ἀκολασίᾳ] Othryoneus nuptiarum spe illectus Troiam venerat Καβησσόθεν. eam alii alius provinciae, Hecataeus autem Thraciam urbem esse dixerat; id probat Stephanus confirmarique dicit Thracum intemperantia. vide annotata ad Menandri Reliq. p. 195. quibus adde, quem Stephanus secutus

Ἑλλάνικος δὲ τῆς Λυκίας πόλιν Καβησσόν. Ἀπίων δὲ ἀληθέστερόν φησι κώμην εἶναι Καππαδοκίας μεταξὺ Ταρσοῦ καὶ Μαζάκων. Μάζακα δὲ ἡ Καππαδοκίας ἐκαλεῖτο Καισάρεια. ἐθνικῶς ἀρκεῖ τὸ Ὁμηρικὸν Καβησσόθεν. πολλὰ γὰρ τοιαῦτα, ὡς τὸ Καμειρόθεν, τὰ τοπικὰ ἐθνικῶς. δύναται δὲ Καβήσσιος ἢ Καβησσίτης.

Καβειρία, πόλις τῆς κάτω Ἀσίας, ἧς τὴν γῆν Καβείριοι ᾤκουν. εἰσὶ καὶ Καβείριοι ἔθνος Βοιωτίας, ὡς Παυσανίας ἐνάτῳ. καὶ Κάβειρος Καβειρία, ἀφ' οὗ τὸ Καβειραῖος καὶ Καβειραία καὶ Καβειρίτης. καὶ Καβείριον. τούτου τὸ ἐθνικὸν Καβείριος, ὡς τὸ Βυζάντιον Βυζάντιος, καὶ Καβειρία τὸ θηλυκόν. καὶ Καβειριεύς. καὶ νύμφαι Καβειρίδες, ἀπὸ Καβειροῦς τῆς Πρωτέως καὶ Ἀγχινόης, ἀφ' ἧς καὶ Ἡφαίστου Κάδμιλος. ἔστι δὲ ἡ μὲν Καβειρίς παρὰ τὸ Κάβειρος, ἡ δὲ Καβειριάς παρὰ τὸ Καβείριος. τὸ κτητικὸν Καβειρικός καὶ Καβειρική, καὶ καβειριάζεσθαι ῥῆμα.

Καβελλιών, πόλις Μασσαλίας. Ἀρτεμίδωρος ἐν πρώτῃ γεωγραφουμένων. τὸ ἐθνικὸν κατὰ τὸν ἐπιχώριον τύπον Καβελλιωνήσιος ὡς Ταρρακωνήσιος, κατὰ δὲ τὸν Ἑλληνικὸν Καβελλιωνίτης ὡς Ταρρακωνίτης.

---

est, schol. Iliad. 13, 363: Κάβησα δὲ πόλις Ἑλλησποντίς, ἡ νῦν Κάβασα. οἱ δὲ Θρᾷκης, καὶ συνᾴδει ἡ ἀκολασία τοῦ γάμου.
1. Κιλικίας Sturzius. Καβασσόν W. 2. ἀληθέστερόν RV, ἀληθεστέραν A. 3. Καππαδοκίας R, Καπαδοκίας V, Καππαδοκία A. 3. 4. Καισάρεια RV, καὶ σάρεια A. 5. ἐθνικά R. δὲ] καὶ R. 6. Καβήσιος libri, Καβάσσιος W. Καβησίτης libri, Καβασίτης R, Καβασσίτης W. 9. ἐνάτῳ] c. 25, 5. καὶ Κάβειρος Καβειρία] H. e. pro Καβειρία dici etiam Κάβειρος, hinc infert ἀφ' οὗ Καβειραῖος, quemadmodum e. c. Ἀπραῖος formatur ab Ἄπρος, Νειλαῖος a Νεῖλος etc. fortasse ἡ addendum ante Καβειρία.
11. τοῦ? Καβειρία] Καβειρίς B. 12. Καβειριάς X. 12-14. καὶ νύμφαι — ἡ μὲν Καβειρίς add. PpRV. Καβειρίδες [καὶ Καβειριάδες] ἀπὸ? 13. Καβειροῦς ΠRV, Καβείρους Pp, Καβείρης B. 14. Καδμίλος ΠV. 16. καβειράζεσθαι V. 17. Μασσαλίας πόλις RV. 18. 19. Καβελλιωνήσιος V, Καβελιωνήσιος AR. 20. Καβελιωνίτης libri.

Καβύλη, πόλις Θράκης οὐ πόρρω τῆς τῶν Ἀστῶν χώρας. Πολύβιος τρισκαιδεκάτῃ. τὸ ἐθνικὸν Καβυληνός ὡς Ἀρταχηνός.

Καδμεία πόλις, Θηβῶν ἀκρόπολις, ἀφ' ἧς οἱ Θηβαῖοι Καδμεῖοι καὶ Καδμείωνες καὶ Καδμεῖαι, καὶ τὸ τεῖχος Καδμεία.

Κάδοι, πόλις Μυσίας. Στράβων ιβ' „καὶ Δορυλάειον πόλις καὶ Κάδοι". τὸ ἐθνικὸν Καδηνός.

Καδούσιοι, ἔθνος μεταξὺ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Πόντου. Στράβων ἐνδεκάτῃ.

Κάδρεμα, πόλις Λυκίας, ἄποικος Ὀλβίων. ἑρμηνεύεται δὲ σίτου φρυγμὸς ἡ πόλις. τὸ ἐθνικὸν Καδρεμεύς.

Κάθαια, πόλις Ἰνδική. τιμῶσι δὲ τοὺς καλοὺς ἐπὶ τοσοῦτον, ὥστε βασιλέα τὸν κάλλιστον αἱροῦνται. ὁ πολίτης Καθαιαῖος.

Καικῖνον, χωρίον Ἰταλικόν. Φίλιστος δευτέρῳ Σικελικῶν.

Καινίνη, πόλις Σαβίνων, ἡ ὑπὸ Ῥωμύλου ἁλοῦσα. τὸ ἐθνικὸν Καινινῆται.

Καινοί, ἔθνος Θράκιον. Ἀπολλόδωρος ἐν χρονικῶν τετάρτῳ.

Καινύς, νῆσος πλησίον Πελωριάδος, τῆς κατὰ Σι-

---

2. *Καβαληνός* RV. 4. *Καδμεία, πόλις Θηβῶν* libri, *Καδμεία, πόλις.* [*καὶ*] *Θηβῶν* B. *ἐξ ἧς* R. 4. 5. *Ἀθηναῖοι* ΠV. 5. *Καδμείονες* libri. *Καδμεῖαι* M, *Καδμεῖοι* RV, *Καδμίοι* A. 5. 6. *τεῖχος Καδμεῖον* Salmasius. 7. *ιβ'*] p. 576. ubi legitur: *καὶ Κοτυάειον καὶ Μιδάειον καὶ Δορύλαιον πόλεις καὶ Κάδοι. Δορύλαιον* libri. 8. *Καδοηνός* H. 10. *ἐνδεκάτῃ*] p. 507. 12. *φρυγμὸς* Salmasius, *φριγμὸς* A, *φυγμὸς* PpRV. *ἀδραμεύς* RV. 13. *Κάθαια* R, *Κάθαινα* AV. 15. *Καθαιαῖος* PR, *Καθαιναῖος* AV. alii *Καθαῖος*. v. Wesseling. ad Diod. Sic. 17, 91. 16. *Καικῖνον* R, *Καίκινον* A, *Καίκιον* V. castellum fuisse videtur in ditione Locrorum, a Caenino fluvio (Thuc. 1, 130. Paus. 6, 6, 4) denominatum. fallitur Cluverus Ital. ant. 4, 15. 17. *Καινίνη* AR, *Καινίτη* PpΠV. 18. *Καινινῆται* Dindorfius, *Καινινῖται* Salmasius, *Καινῖται* libri. 21. *Καινύς*] Hoc tmema libri post *Καιρή* habent. *νῆσος*] *νήσιον* (ος) R. insulam dixit de promontorio.

κελίαν ἄκρας, πρὸς δύσιν νεύουσα. ἔστι καὶ πόλις Ἰταλίας Καινύσιον.

Καιρή, *πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Καιριτανός. εἴρηται ἐν τῷ περὶ Ἀγύλλης.*

Καισάρεια, *μητρόπολις τῆς Καππαδοκίας, ἡ πρὶν* Εὐσέβεια *καὶ* Μάζακα, *ὡς Στράβων. ἔστι καὶ Παλαιστίνης. καὶ τρίτη πρὸς τῇ Πανεάδι. τὸ ἐθνικὸν Καισαρεύς. εἰσὶ δὲ καὶ ἄλλαι τούτῳ τῷ ὀνόματι προσαγορευόμεναι.*

Καλαβρία, *χώρα πλησίον τῆς Ἰταλίας. ὁ οἰκήτωρ Καλαβρός, καὶ Καλαβρά θηλυκὸν καὶ Καλαβρίς.*

Καλάθη, *πόλις οὐ πόρρω τῶν Ἡρακλείων στηλῶν. Ἑκαταῖος Εὐρώπῃ. Ἔφορος δὲ* Καλάθουσαν *αὐτήν φησιν. ἔστι καὶ τοῦ Πόντου* Καλάθουσα. *ὁ πολίτης τῆς Καλάθης Καλαθῖνος ὡς Ἀγαθῖνος, τῆς δὲ Καλαθούσης Καλαθούσιος ὡς Νύσιος.*

Καλάμαι, *πόλις Πελοποννήσου. Πανσανίας τετάρτῳ.*

Καλαμένθη, *ἥ τις καὶ* Καλαμίνθη, *πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει. κρεῖττον οὖν ὡς Ἡρόδοτος διὰ τοῦ ῑ πόλις Φοινίκων.*

Κάλαρνα, *πόλις Μακεδονίας, ὡς Λούκιος ὁ Ταρραῖος. τὸ ἐθνικὸν Καλαρναῖος.*

Καλάσιρις, *μοῖρα Αἰγύπτου. Ἡρόδοτος δευτέρῳ. οἱ καὶ Καλασίριοι καὶ Καλασιρίαι.*

Καλατίαι, *γένος Ἰνδικόν. Ἑκαταῖος Ἀσίᾳ.*

Καλαύρεια, *νησίδιον πρὸς τῇ Κρήτῃ, [κύκλον ἔχουσα]*

---

2. *Καινύσιον*] Infra *Κανύσιον*. 3. *Καιρητανός* X. forsan *Καιρετανός*, ut supra s. v. *Ἄγυλλα*. 6. *Μάζακα* Salmasius, *Μάζα* libri. *Στράβων*] 12 p. 537. 9. *τῆς* add. R. 10. *θηλυκῶς* R. 15. *Νῦσιος* R, *Οἰνούσιος* H. 16. *τετάρτῳ*] c. 31, 3. 17. *Καλαμένθη* AV, *Καλαμίνθη* R. 18. *Ἡρόδοτος*] Herodotus nihil de Calamenthe. suspicor *Ἡρωδιανὸς*, qui in Orthographia haec videtur scripsisse: *Καλαμίνθη διὰ τοῦ ῑ πόλις Φοινίκων*. 20. *Λούκιλλος* X. *Ταραῖος* libri. 22. *Καλασίριες* et *Αἰγυπτίων*? *δευτέρῳ*] c. 164. 23. *Καλασιρίαι*] Num a *Καλασιρίας*? an femininum posuit *Καλασίριαι*? *τῇ Κρήτῃ*] *Τροιζῆνι*? 25. *κύκλον ἔχουσα* add. BH e Strab. 8 p. 369.

ὅσον τριάκοντα σταδίων, ἀπὸ Καλαύρου τοῦ Ποσειδῶνος. ἐκαλεῖτο καὶ Εἰρήνη. ὁ πολίτης Καλαυρείτης.

Κάλβιος, κρήνη Λυκίας, ἣν καὶ Καλαινόν φασι. τινὲς δὲ αὐτὴν καὶ διὰ τοῦ μ̄ φασί.

Καλὴ ἀκτή, πόλις Σικελῶν. Εὔδοξος τετάρτῳ γῆς περιόδου. ἔστι δὲ [ὡς] Μεγάλη κώμη. ἐκ τῶν δύο δὲ ἡ παραγωγή, Μεγαλοκωμήτης Καλακτίτης ἢ Καλοακτίτης διὰ τοῦ ῑ. ἐπεὶ καὶ παρὰ τὸ Ἀκτή Ἀκτίτης [καὶ Ἀττικός· Ἀκτή γὰρ ἡ Ἀττική]. ἢ Καλοακταῖος καὶ Καλοακταία θηλυκόν, ἢ Καλοάκτιος ὡς Πανάκτιος καὶ ἐπάκτιος.

Κάληρος. οὕτως ἐκαλεῖτο ἡ Ἀλωπεκόννησος ἀπὸ Καλήρου βασιλέως, Ἀλωπεκόννησος δὲ ὅτι ἐκεῖ εἶδον σκύμνους φέρουσαν καὶ κατατιθεῖσαν ἀλώπεκα. τινὲς δ' ὅτι δεκάληρος ἐκαλεῖτο ἡ πόλις.

Καλησία, πόλις Αὐσονική. Διονύσιος πεντακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Καλησιανός, ὡς αὐτός.

Καλλάτηβος, πόλις Λυδίας. Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν Καλλατήβιος.

Κάλλατις, πολίχνιον ἐν τῇ παραλίᾳ τοῦ Πόντου, Στράβων ἑβδόμῃ. ὡς κάλαθος εὑρέθη ἐοικὼς τοῖς θεσμοφοριακοῖς.

---

4. *καὶ* om. R. 5. *Σικελῶν* H, *Κελτῶν* R, *Καλτῶν* Pp, *Κρητῶν* AV. *τετάρτῳ*] *δ'* RV. rectius videtur *ς'*. in quarto enim libro Eudoxus de Thrace et Macedonia egerat, ut liquet e citationibus schol. Apoll. Rh. 1, 922 et Stephani in *Ἄβδηρα* multisque aliis locis. sexto autem libro praeter Peloponnesum de Italia et adiacentibus insulis dixerat. 6. *ὡς* add. B. 7. *Καλακτίτης* BH, *καὶ ἀκτίτης* libri. 8. *Ἀκτίτης* M, *Ἀκτικός* libri. *καὶ Ἀττικός* cum sequentibus *Ἀκτή* (*Ἀκτή* PpV, *Ἀκτική* A) *γὰρ ἡ Ἀττική*, quae om. R, seclusit M. 10. *Πανάκτιος*] Consilio scriptoris forsan accommodatius fuerit *παράκτιος*. 11. *Κάληρος* PpRV, *Κάλαρος* A. *Ἀλωπεκόνησος* V, *Ἀλωπεκώνησος* R, *Ἀλωπεκία νῆσος* A. 12. *Ἀλωπεκόνησος* AV, *Ἀλωπεκώνησος* R. 13. *κατατιθοῦσαν* R. *δεκάληρος* R, *κάληρος* AV, *Κάλαρος* X. 17. *Καλάτιβος* AV, *Καλάτιβα* R, correctum ex Herodoto 7, 31. *Λυδίης* Pp, *Λιβύης* ARV. 18. *Καλατίβιος* libri. 19. *Κάλατις* et hic et in sequentibus libri. 20. *ἑβδόμῃ*] p. 318. *ὡς* H, *ἧς* ARV, *ἐν ᾗ* Salmasius, om. X. *ἐοικὼς* Pinedo, *ἐοικυῖα* libri.

ὁ πολίτης Καλλατιανός, ὡς Τραλλιανός Σαρδιανός· ἀφ' οὗ Ἴστρος Καλλατιανὸς περὶ τραγῳδίας γράψας καλὸν βιβλίον. ἔοικε δ' εἶναι ἀπὸ τοῦ Καλλατία ὡς Ὀλβιανός, εἰ μὴ ἀπὸ τῆς ἰωνικῆς γενικῆς γέγονε τῆς Καλλάτιος.

Καλλίαι, πόλις μία τῆς ἐν Ἀρκαδίᾳ τριπόλεως. ὁ πολίτης Καλλιεύς, ὡς Παυσανίας. ἔστι καὶ χωρίον πλησίον Τάραντος.

Καλλίαρος, πόλις Λοκρῶν, ἀπὸ Καλλιάρου τοῦ Ὀδοιδόκου καὶ Λαονόμης, ὡς Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας, Στράβων δ' ἐν ἐνάτῃ παρὰ τὸ εὐήροτον αὐτὴν εἶναί φησι. *Καλλίαρα* οὐδετέρως. τὸ ἐθνικὸν Καλλιαρεῖς ὡς Μεγαρεῖς.

Καλλιόπη, πόλις Παρθυαίων. Πολύβιος δεκάτῳ. τὸ ἐθνικὸν Καλλιοπεύς, ὡς Παρθενόπη Παρθενοπεύς.

Καλλίπολις, πολίχνιον Λαμψάκου ἐν τῇ περαίᾳ τῆς Χερρονήσου ἐπ' ἀκτῆς κειμένη, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Βιθυνίας. δευτέρα κατὰ τὸν Ἀνάπλουν. τρίτη πόλις Σικελίας. τετάρτη πόλις Καρίας. οἱ πολῖται πασῶν Καλλιπολῖται.

Κάλπη, πόλις Βιθυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν. ἔστι καὶ *λιμὴν Κάλπης*. τὸ ἐθνικὸν Καλπεύς ὡς Σινωπεύς.

---

2. *βυβλίον* R. 5. *Καλλιαί?* ita est apud Pausan. 8, 27, 7. *Ἀρκαδίᾳ* BH, *Αἰτωλίᾳ* libri. 6. *Παυσανίας* H, *πανίας* R, *σπανίας* AV, *Σπανιεύς* Pp, quae Salmasii coniectura esse videtur. Pausaniae citatio, qui Callienses 10, 18, 7 et 22, 3 memorat, non ad Arcadicam gentem spectat, sed ad Callii, Aetolicae urbis, gentile. apertum est quae de utraque urbe dixerat Stephanus, epitomatores inscite miscuisse. nisi post *τριπόλεως* excidit *ἔστι καὶ Αἰτωλίας πόλις Κάλλιον*. 7. *Τάραντος* PᵃRV, *Ταλάντου* A, *Ταράντου* Π, *Ταυλαντίου* Pinedo, *Σαλάντου* H. 9. *Λαοδόμης* R. 10. *ἐνάτῃ*] p. 426. ubi nihil de ista originatione legitur. *παρὰ* R, *περὶ* AΠV. in sequentibus malim *αὐτὴν εἶναι. φασὶ* [*καὶ*] *Καλλίαρα οὐδετέρως*. cf. Eustath. ad Hom. p. 277, 30. 16. *δευτέρα* cum sequentibus coniunctum X, *β'* RV, *δευτέρῳ* A, ut praecedentibus iunctum sit. *τὸν Ἀνάπλουν*] *τὴν Αἰτωλίαν* Gavelius. sed v. ad p. 222, 13. 16. *τρίπολις* et mox *τετράπολις* pro *τρίτη πόλις* et *τετάρτη πόλις* ante X. 17. *Καρίας*] *Συρίας* Gavelius. 18. *Κάλπη* an *Κάλπαι* incertum R, *Κάλπαι* AV. v. in *Καρπηία*. 19. *Κάλπης* R, *Κάλπη* AV. praeterea propter gentile malim *Κάλπης λιμήν*, in quo *Κάλπης* rectum casum esse et masculine dici

καὶ Καλπῖνος ἔστιν ὡς Πεύκη Πευκῖνος. τοῦ δὲ λιμένος ὡς Καλπολιμενίτης. .... καὶ τὴν πόλιν Κάρπειαν .... τινὲς τούτους Καρπητανοὺς ὡς Καλπειανούς φασι.

Καλύβη, πόλις Θρᾴκης, ἄποικος Μακεδόνων. τὸ ἐθνικὸν Καλυβῖται ἢ Καλυβεῖς, ὡς τῆς Ἀλύβης Ἀλυβεῖς.

Κάλυδνα, νῆσος. καὶ πόλις Θήβης, ἀπὸ Καλύδνου παιδὸς Οὐρανοῦ. λέγεται καὶ Καλυδνός. ὁ πολίτης Καλυδναῖος, καὶ Καλυδνίς τὸ θηλυκόν, καὶ Καλυδνεὺς ὁ Ἀπόλλων καὶ Καλύδνιος, ὡς Ἀνδροτίων ἕκτῃ Ἀτθίδος.

Καλυδών, Αἰτωλίας πόλις, ἀπὸ Καλυδῶνος τοῦ Ἐνδυμίωνος ἢ τοῦ Αἰτωλοῦ. τὸ ἐθνικὸν Καλυδώνιος καὶ Καλυδωνία.

Κάλυμνα, νῆσος, ἣν ὁ Σκήψιος πληθυντικῶς Καλύμνας φησί. τὸ ἐθνικὸν Καλύμνιος, ὡς Στράβων δεκάτῳ τὸ Καλύμνιον μέλι ἐκεῖ εἶναί φησι. λέγεται καὶ Καλυμνία. τὸ ἐθνικὸν Καλυμνιάτης.

Κάλυνδα, πόλις Καρίας, ὡς Καρύανδα. τὸ ἐθνικὸν Καλυνδεύς. Ἡρόδοτος ὀγδόῃ.

Κάλυτις, πόλις Συρίας. Ἡρόδοτος δευτέρᾳ. ὁ οἰκήτωρ Καλυτίτης, καὶ τὸ θηλυκὸν Καλυτίς, διὰ τὸ προειλῆφθαι τὸν χαρακτῆρα.

---

docet Plinius NH. 6, 1. cui portus ille Calpas dicitur. nec repugnat Xenoph. Anab. 6, 2, 13. de quo falsa refert Thesaurus L. G. Parisinus. cognominem cum portu fluvium praeter Strabonem memorat Apollon. Rh. 1, 659. 1. *Καλπηνός* H. *ἔστιν* add. R. *Πευκηνός* H. *ὡς* add. RV. an *ἔστι?* 2. *Κάρπειαν* M, *Κάλρπειαν* V, *Κάλπειαν* AR, *Καρπηΐαν* B, qui verba *καὶ τὴν πόλιν Καρπηΐαν* post *φασι* transposuit; malui lacunas indicare. 3. *Καρπητανοὺς* Salmasius, *Καρπιτανοὺς* libri. *καὶ* pro *ὡς?* *Καλπειανούς* B, *Καλεπιανούς* AR, *Καλεπιανός* V. 6. *νῆσος*] Eadem quae infra *Κάλυμνα* dicitur. *πόλις Θήβης*] Thebas *Καλύδνου τύρσιν* a Lycophr. 1209 dici annotavit B. hinc verisimile est, nisi omisit aliquid epitomator, scribendum esse *Θήβη*. 8. *Ἀπολλώνιος* libri. corr. X. 12. 13. *φησι Καλύμνας* R. 13. 14. *τὸ ἐθνικὸν — φησι* add. PpRV. *δεκάτῳ*] p. 489. 16. *Κάλυνδα* X, *Κάλυδνα* libri. *Καρύανδα* Pp, *Κάρυνδα* ARV. 17. *ὀγδόῃ*] c. 87. 18. *δευτέρᾳ*] c. 159. ubi *Κάδυτις* legitur. 19. *Καλυτίτης* BH, *Καλύτης* libri. *Καλυτίς* M, *Κάλυτις* libri, *Καλυτῖτις*

Καμάρα, πόλις Κρήτης. καὶ ὁ πολίτης [Καμαρίτης], ὡς Ξενίων ἐν Κρητικοῖς φησιν. ἥτις Λατὼ ἐλέγετο.

Καμαρηνοί, νῆσοι Ἀραβίων. Ἑκαταῖος ἐν περιηγήσει. οἱ οἰκοῦντες ὁμοίως τῷ πρωτοτύπῳ Καμαρηνοί.

Καμαρία, πόλις Ἰταλική. „Ἀλβανῶν ἀπόκτισις" Διονύσιος [δευτέρῳ] Ῥωμαϊκῆς ἀρχαιολογίας. οἱ οἰκήτορες Καμαρῖνοι.

Καμάρινα, πόλις Σικελίας. καὶ λίμνη, ἀφ' ἧς ἡ παροιμία „μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων". ὁ πολίτης Καμαριναῖος.

Καμβυσηνὴ καὶ *Ξερξήνη*, ἀπὸ Καμβύσου καὶ Ξέρξου, Περσικαὶ χῶραι. τὸ ἐθνικὸν τὸ αὐτό.

Καμικός, πόλις Σικελίας, ἐν ᾗ Κώκαλος ἦρχεν ὁ Δαιδάλου. Χάραξ δὲ Ἴνυκον ταύτην φησίν. ὁ πολίτης Καμίκιος, καὶ θηλυκῶς.

Κάμιρος, πόλις ἐν Ῥόδῳ, ἀπὸ τοῦ παιδὸς Κερκάφου τοῦ Ἡλιάδου καὶ Κυδίππης. ἀπὸ Κερκάφου δὲ αἱ Ῥόδιαι γυναῖκες Κερκαφίδες. ἦσαν δὲ τρεῖς, ὡς Ὅμηρός φησι „Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμιρον". ὁ πολίτης Καμιρεύς. Πείσανδρος ὁ διασημότατος ποιητὴς Καμιρεὺς ἦν. λέγεται καὶ Καμιρίτης καὶ Καμιραῖος, καὶ θηλυκῶς.

Καμμανία, μοῖρα Θεσπρωτίας. μετωνομάσθη δὲ *Κεστρινία*. ἐξ ἧς Κάδμος ὁ ποταμός. Κεστρῖνος δὲ κτίσμα

B, cui repugnant sequentia, nisi ea loco suo mota et in finem sectionis de *Καμαρηνοῖς* reicienda dicas. 1. *Καμαρίτης* add. lGronovius, *Καμαραῖος* Salmasius, lacunam habet A. 2. *ὡς* V, *καὶ ὡς* R, om. A. *ἥτις* PRV, *ὅτι* A. 3. *Καμαρινοί* R. an *Καμαρηναί*? 5. *Καμερία* Dionysius. *ἀποίκισις* X, *ἀποίκησις* Dionysii cod. Vat. 6. *δευτέρῳ* (c. 50) om. libri. 11. *Καμβυσήνη καὶ Ξερξήνη* B, *Καμβύσην καταξέρξην ἢ* libri. 13. 14. *ὁ Δαίδαλον* [*ξενίσας*]? 14. *Ἴνικον* R. 15. *θηλυκόν* R. 16. *Κερκάφου* RV, *Κεκάρφου* A. 17. *Ἡλιάδου* BH, *Πηλειάδου* PpRV, *Πολειάδου* A. *Κυνδίππης* libri. 18. *Ὅμηρος*] Il. 2, 656. 19. *Ἴλυσον καὶ* R. 20. *Καμειρεὺς* R. 21. *Καμειρίτης καὶ Καμιρεύς καὶ θηλυκὸν* R. 22. 23. *Κεστρηνία* R. 23. *Κάδμος ὁ ποταμός. Κεστρῖνος δὲ κτίσμα* R, *Κάδμος. ὁ ποταμὸς Κεστρῖνος*

Κεστρίνου τοῦ υἱοῦ Ἑλένου τοῦ Πριαμίδου. οἱ οἰκήτορες Καμμανοί, ὡς τῆς Καμπανίας Καμπανοί.

Κάμπος, κτίσμα Καμπάνου, ἀφ' οὗ ἐκλήθησαν [Καμπανοί.] τὸ θηλυκὸν Καμπανίς καὶ Καμπανή.

Κάναθα, πόλις πρὸς τῇ Βόστρᾳ Ἀραβίας. τὸ ἐθνικὸν Καναθηνός. ἔν τισι δὲ καὶ διὰ τοῦ ῑ γράφεται.

Κάναι, „πολίχνιον [Εὐβοϊκὸν ἢ] Λοκρῶν τῶν ἐκ Κύνου κατὰ τὰ ἄκρα τῆς Λέσβου". ἔστι καὶ ὄρος Κάνη καὶ πόλις καὶ λίμνη. ἔστι καὶ πόλις τῆς Τρῳάδος. Στράβων ιγ'. εἰσὶ

ἔστι κτίσμα AV. pro *Κάδμος* H conicit *Θύαμις*, Schubartus dubitanter *Κάμμος*. *Κεστρῖνος* fortasse e *Κεστρίνη* corruptum. 1. *Πριάμου* V. 3. *Κάμπος*, [*τόπος περὶ Κύμην*], *κτίσμα Καμπανῶν*? cf. Etym. M. p. 488, 39: *Καμπανοί, ὅτι Κάμπον ἔκτισαν πρὸς τὴν Κύμην τόπον οὕτω λεγόμενον.* schol. Dion. Per. 557: *Καμπανοὶ δὲ εἴρηνται ἀπὸ τοῦ Κάμπου, ἐν ᾧ τὴν οἴκησιν ἔχουσιν, ἢ ἀπὸ Κάμπου τινὸς οὕτως ὀνομαζομένου.* idem addit Herodianum *Καμπός* scribendum praecepisse, cui repugnat Arcad. p. 66, 21. *ἀφ' ἧς* RV. *ἐκλήθησαν* Gavelius, *ἐκτίσθησαν* libri. 3. 4. *Καμπανοί* add. B. 6. *ἔν τισι δὲ διὰ τοῦ ῑ γράφεται*] Haec annotatio ad gentile spectare videtur, quod in quibusdam libris *Καναθῖνος* scriptum repperisse videtur. unice vera forma est *Καναθηνός*, quam habes in titulo apud Boeckh. n. 4613. nisi pro ῑ scribendum ō, ut *Κάνοθα* altera forma fuerit, cuius exempla passim extant. 7. 8. *πολίχνιον — Λέσβου* Strab. 13 p. 615. 7. *Εὐβοικῶν* RV, *Εὐβοικὸν* A. seclusi verba *Εὐβοϊκὸν ἢ* ut male huc e sequentibus illata, in quibus scriptorem etiam de Cenaeo, Euboeae promontorio, egisse ex fine articuli intelligitur. oppidi Euboici *Κάναι* nulla uspiam memoria. *Λοκρῶν* PpRV, *Λοκρὸν* A. *τῶν ἐκ Κύνου* Pp, *τῶν ἐκύνου* V, *τῶν ἐκείνου* R, om. A. 8. *ὄρος σκάνη* (σ supra) R. possis igitur *ὄρος Κάνης*, quod habes in Hymn. Hom. Apoll. 35 et apud Herod. 1, 42. 9. *λίμνη*] Canae cum maritimum oppidum sit, vero simile est scribendum esse *λιμήν*. memoria huius nominis obscurata latet Ptolem. 5, 2, 6: *Αἰολίδος Καινὴ ἄκρα.* leg. *Κάνη* vel *Κάναι*. item apud Arcad. p. 110, 26. disyllaba componentem *πλάνη Κνάνη κύριον Σάνη*. leg. *Κάνη* pro *Κνάνη*. *Καναῖος* reddidi nostro s. v. *Σάνη*. denique apud schol. Apollon. Rh. 1, 1165. loco corruptissimo editur: *τὸ Αἰγαῖον πέλαγος οἱ μὲν ἀπὸ τῆς Περκανίας Αἰγὸς ἐπώνυμον γεγονέναι φασίν*, ubi lege *τῆς περὶ Κάνας Αἰγὸς*, quod me fugit Exerc. ad Athen. 1 p. 11. de promontorio *Αἴξ* vel *Αἰγά* appellato vide supra p. 38. *Αἰγαίων* dicitur idem apud

καὶ Κάνναι διὰ δύο νν, πλησίον Καρχηδόνος. τὸ ἐθνικὸν Καναῖος καὶ Καναία. ἔστι καὶ πόλις Κάναι τοῦ Τίγρητος ποταμοῦ. Καναῖος Ζεὺς οὐ μόνον ἀπὸ τοῦ Καναίου, ἀλλὰ καὶ ἀπὸ τῆς Κάνης.

Κάναστρον, ἄκρον Θράκης καὶ Μακεδονίας. τὸ ἐθνικὸν Καναστραῖος. Σοφοκλῆς δὲ ὑπομνηματίζων τὰ ἀργοναυτικὰ „Καναστραῖον" φησίν „ἀκρωτήριον τῆς Παλλήνης". ἀλλ' ἐναντιοῦται τὰ ἐθνικά, εἰ μὴ καὶ τοῦτο ἐκλάβοιμεν παραπλησίως τῷ Λέχαιον καὶ Λεχαῖος, καὶ Λύκειον τὸ γυμνάσιον καὶ Λυκεῖος Ἀπόλλων, καὶ Νύμφαιον καὶ Νυμφαῖος.

Κάνδασα, ὡς Μύλασα Πήγασα, φρούριον Καρίας. Πολύβιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Κανδασεύς καὶ Κανδασίς.

Paulum Sil. S. Soph. 911. cf. p. 373, 1. 9. τῆς Τρῳάδος] Distinxit quae non distinguenda erant; nisi verba ἔστι καὶ πόλις delere praestat. Στράβων ιγ'] Haec in libris leguntur 353, 3 post ποταμοῦ, transposuit B. locus Strabonis est p. 615. 1. $\overline{\nu\nu}$ R, $\overline{\nu}$ AV. πλησίον Καρχηδόνος] Stephanus de Cannis more suo scriptorum locos apposuerat, in quibus de Romanorum clade et Carthaginiensium victoria apud Cannas agebatur. eam rem pervertit epitomator finxitque Cannas Carthagini vicinas. iniuriam faciunt docto grammatico, qui talia scriptoris potius inscitiae quam excerptorum stupori imputant. 2. Καιναῖος Π. 2. 3. ἔστι — ποταμοῦ aut post Καρχηδόνος transponenda aut delenda, cetera autem ita concipienda videntur: τὸ ἐθνικὸν Κηναῖος Ζεύς καὶ Κηναία, οὐ μόνον ἀπὸ τοῦ Κηναίου ἀλλὰ καὶ ἀπὸ τῆς Κάνης. Euboeae promontorio, in quo Iuppiter Cenaeus colebatur, non Κάναιον nomen erat, sed Κήναιον. itaque Καναῖος Ζεύς e dorico poeta assumpsisse videtur. 3. Καναῖος et mox Καναίου Pp, Κιναῖος et Κιναίου ARV, Κηναῖος et Κηναίου H. 6. Σοφοκλῆς] Ad Apoll. Rh. 1, 599: Κάναστρον (leg. Καναστραῖον) ἀκρωτήριον τῆς Παλλήνης. itaque ipsa Sophoclis verba attulit scriptor. frustra Gavelius φησὶ [τὸ] ἀκρωτήριον. 8. τὸ ἐθνικόν Gavelius, credo propter sequens τοῦτο. id vero ad Καναστραῖον referendum est. dicit igitur posse quidem Καναστραῖον pro nomine substantivo accipi, sed hac lege ut Κανάστραιον scribatur. Herodianus vero unice probavit Καναστραῖον. v. Arcad. p. 120, 28. ubi Καστραῖον editur. 9. τὸ Λέχαιον RV. 10. Λύκειος libri. Νυμφαῖον libri. 11. Μύλασα Pp, Μάλασα ARV.

Κάνδαρα, *χωρίον Παφλαγονίας „ὡς ἀπὸ σχοίνων τριῶν Γάγγρων, καὶ Θάριβα κώμη". οἱ οἰκήτορες Κανδαρηνοί. καὶ Ἥρας Κανδαρηνῆς ἱερόν.*

Κάνδυβα, *οὐδετέρως, πόλις Λυκίας. ἀπὸ Κανδύβου παιδὸς Δευκαλίωνος. τὸ ἐθνικὸν Κανδυβεύς.*

Κανθηλία, *πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίᾳ. Ἡρόδοτος.*

Κανθήλη, *πόλις Λιβυφοινίκων. καὶ Ἑκαταῖος οὕτω.*

Κανταβρία, *χώρα. Στράβων τρίτῃ. οἱ οἰκήτορες Κανταβροί, ὡς τῆς Καλαβρίας Καλαβροί.*

Κάντανος, *πόλις Κρήτης, ὡς Ξενίων ἐν περιορίου Κρητικοῦ τόπου. τὸ ἐθνικὸν Καντάνιος.*

---

1. *χωρίον* HRV, *πόλις* A. 1. 2. *σχοίνων τριῶν Γάγγρων* M, *σχοινίων τριῶν Γαγγρῶν* libri. videntur haec omnia, *ὡς ἀπὸ — κώμη*, nescio cuius geographi verba esse, Candara et Thariba trium schoenorum spatio a Gangris distare dicentis. de *ἀπό* sic posito cf. Schaeferus ad Long. p. 329. pessime locum interpolavit Salmasius.
2. *Κανδαρηνοί* et mox *Κανδαρηνῆς* B, *Κανδρηνοί* et *Κανδρηνῆς* libri. 6. *Ἑκαταῖος Ἀσίᾳ*] Haec ad praecedens tmema de Candybis transferenda, reliqua autem coniunctis quae male divulsa sunt ita scribenda esse suspicor: **Κανθηλία**, *πόλις περὶ Καρχηδόνα. [λέγεται καὶ Κανθήλη]. Ἡρωδιανός „Κανθήλη, πόλις Λιβυφοινίκων". καὶ Ἑκαταῖος οὕτω.* Canthelia et Canthele nil nisi diversae eiusdem nominis formae sunt. Herodianus ista dixerat libro duodecimo *τῆς καθόλου*, ut conicere licet ex Arcadio p. 109, 4. Herodotus Cantheliam nusquam memorat. veritatem emendationis probat etiam turbatus literarum ordo. 8. *Λιβυκοφοινίκων* V, *Λιβοφοινίκων* AR. 9. *χώρα*] Excidit *Ἱσπανίας*. *τρίτῃ*] p. 157. 10. *ὡς τῆς Καλαβρίας Καλαβροί* add. RV. 11. *Κάντανος*] Cantanum dicitur in tabula Peutingeriana. v. Hoeck. Cret. vol. 1 p. 388.
12. *τόπου* RV, *τύπου* Pp, *τόπῳ* A. tenebricosa verba nemo dum expedivit. scribendum videtur *ὡς Ξενίων. ἐν [τῷ] περὶ Ὀρίου.* quo significatur Xenionis locum s. v. *Ὄριον* allatum iri. ita passim noster. Orium aliunde quidem non cognitum, at Orios (*τοὺς Ὀρίους*) habes apud Polyb. 4, 53. *Ὄριος* autem ab *Ὄριον* formatur, ut *Βυζάντιος* a *Βυζάντιον*, *Ἀγκύριος* ab *Ἀγκύριον*, *Ἀνακτόριος Ἀκαμάντιος* et multa id genus alia, de quibus identidem admonuit Stephanus, qui quae de Orio scripserat cum aliis multis inde ab *Ὀρεστεία* ingens lacuna absorpsit. *Καιτάνιος* V.

Κανύσιον, μεγίστη τῶν Ἰταλιωτίδων πόλεων. Στράβων ἕκτῃ. τὸ ἐθνικὸν Κανυσῖνος ἢ Κανυσίτης, ὡς Στράβων.

Κάνυτις, πόλις Συρίων μεγάλη, ὡς Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κανυτίτης.

Κάνωπος. οὕτως ἔδει γράφεσθαι [διὰ τοῦ π̄. γράφεται δὲ ὅμως] διὰ τοῦ β̄. Στράβων ἑπτακαιδεκάτῃ „Κάνωβος δ' ἔστι πόλις ἐν εἴκοσι καὶ ἑκατὸν σταδίοις ἀπὸ Ἀλεξανδρείας πεζῇ ἰοῦσιν, ἀπὸ Κανώβου κυβερνήτου Μενελάου, ἀποθανόντος αὐτόθι". καὶ ἱερὸν Ποσειδῶνος Κανώβου. καὶ νῆσος. τὸ ἐθνικὸν Κανωβίτης, καὶ τὸ κτητικὸν Κανωβικός, καὶ Κανωβικὴ διῶρυξ καὶ τὸ Κανωβικὸν στόμα. καὶ Κανωβίς θηλυκόν. ἔστι καὶ Λιβύης τόπος *Κάνωπος*.

Καοῦς, κώμη τῆς ἐν Ἀρκαδίᾳ Τελφουσίας γῆς. ὁ πολίτης Καούσιος· ἐκεῖ γὰρ οὕτως Ἀσκληπιὸς τιμᾶται Καούσιος, ὡς Παυσανίας ὀγδόῳ.

Κάπαι, πόλις Ἑλλησποντία. Ἀνδροτίων γ' Ἀτθίδος. τὸ ἐθνικὸν Καπαῖος ὡς Ναπαῖος.

Καπετώλιον, ἐν Ῥώμῃ λόφος Ταρπαῖος πάλαι λεγόμενος. περὶ δὲ τῆς γραφῆς τοῦ τεμενικοῦ ὁ Εὐδαίμων διὰ τοῦ ῑ φησίν „Εἰρηναῖος προπαροξύνει διὰ τοῦ ῑ γράφων". Ἡρωδιανὸς δὲ Καπετωλίειον ἐν ἓξ συλλαβαῖς, καὶ ἐν συναιρέσει

---

1. *πόλεων* add. RV. 2. *ἕκτῃ*] p. 283. *Κανυσῖνος* H, *Κανύσιος* libri. *ὡς Στράβων*] Haec delenda videntur. 3. *Κάνυτις*] Eadem quae supra *Κάλυτις*. 5. *οὕτως* add. RV. 5. 6. *διὰ τοῦ π̄. γράφεται δὲ ὅμως* add. B ex Eustathio ad Dion. 11. 6. *ἑπτακαιδεκάτῃ* (p. 801) BH, *ἑκκαιδεκάτῃ* A, *ις'* RV. 6. 7. *Κάνωβος δ' ἔστι* M, *Κανώβοσα ἔστι* libri, qui hinc novum tmema ordiuntur. 8. *πεζῇ* Strabo, *καὶ πεζῇ* libri. *ἰοῦσαν* RV. 9. *Πλούτωνος* pro *Ποσειδῶνος* Iablonski Panth. Aeg. vol. 3 p. 153. et dubitanter Buttmannus Mus. Antiqu. Stud. vol. 2 p. 495. *Κανώβου*] *Κάνωβον* ΠRV, *Κανωβικόν* Buttmannus, *καὶ Κανώβου* H. *καὶ* om. RV. 11. *θηλυκόν* R, *θηλυκῶς* AV. 12. *Κάνωβος* X. haec Libyca, quam dicit, Canopus non diversa est ab Aegyptiaca, 14. *τιμᾶται* RV, *ἐτιμᾶτο* A. 15. *ὀγδόῳ*] c. 25, 1. 18. *Ταρπαῖος* RV, *Ταρφαῖος* A. 21. *Καπετωλίειον* RV, *Καπετωλίειαν* A. *καὶ ἐν συναιρέσει* AV, *καὶ ἀναιρέσει* R, quod ferri potest si addas *τοῦ ῑ*.

Καπετώλειον. τὸ δὲ *Καπετωλεῖα* ἐπὶ τοῦ ἀγῶνος προπερισπᾶται. ὅσα γὰρ ἔχει προϋπάρχοντα εἰς ο̅ς̅ καθαρόν, παραληγόμενα ἢ μόνῳ τῷ ι̅ ἢ προηγουμένου αὐτοῦ τοῦ α̅ ὥστε εἶναι πρὸ τέλους τὴν α̅ι̅ δίφθογγον, προπερισπᾶται, ἢ καὶ ὅσα κτητικά. *Ἀσκληπιεῖον, Ἀσκληπιός* γάρ· *Πτολεμαεῖον, Πτολεμαῖος* γάρ· *Ὀλυμπιεῖα* τὰ *Ἀθήνησιν, Ὀλύμπιος* γάρ. τὸ δὲ τέμενος *Καπετώλιον* καὶ *Καπετώλιος Ζεὺς* διὰ τοῦ ι̅. τὸ ἐθνικὸν *Καπετωλῖνος*.

Καπίννα, Τυρρηνικὴ πόλις. λέγεται καὶ πληθυντικῶς. τὸ ἐθνικὸν *Καπιννάτης* [καὶ *Καπιννήτης*], ὡς *Αἰγινάτης* καὶ *Αἰγινήτης*. τὸ κτητικὸν *Καπιννάτιος*.

Καππαδοκία, χώρα τῇ Κιλικίᾳ πρόσχωρος, ὥς φησι *Μένιππος* „ἀπὸ Σινώπης εἰς Εὔαρχον ποταμόν, ὃς ὁρίζει Παφλαγονίαν καὶ Καππαδοκίαν ..." τὸ ἐθνικὸν *Καππάδοξ* καὶ *Καππάδοκος*. καὶ *Καππαδόκης*· *Ἡρόδοτος* δέ φησιν. ὁ κτιστὴς *Καππάδοκος* εἴρηται ὑπὸ *Μενάνδρου*. λέγεται καὶ *Καππαδόκισσα*, ὡς *Αἰθιόπισσα* καὶ *πανδόκισσα*. διῄρητο δ' οὐχ ὡς νῦν εἰς πρώτην καὶ δευτέραν, ἀλλ' εἰς μείζονα καὶ ἐλάττονα, καὶ μικρὰν καὶ μεγάλην.

---

1. *Καπετώλειον* R, *Καπετωλεῖον* AV. ἐπὶ τοῦ ἀγῶνος] V. Casaubonum ad Sueton. Dom. 4. et Boeckh. C. I. vol. 2 p. 466. 2. ἔχει om. V. προϋπάρχοντα εἰς ο̅ς̅ καθαρόν R, προϋπάρχοντα εἰς ο̅ς̅ λήγει καθαρόν V, προϋπάρχον ** εἰς ο̅ς̅ λήγει καθαρόν A, προϋπάρχον τὸ ι̅ καὶ εἰς ο̅ς̅ λήγει καθαρόν H. 3. παραληγομένη R. αὐτοῦ (scil. τοῦ ι̅) om. Lobeck. Phryn. p. 370. 4. τὴν α̅ι̅ δίφθογγον om. R. 4. 5. ἢ ὅσα καὶ κτητικά V, ἢ καὶ ὅσα τεμενικά Gavelius. 5. γάρ om. V. *Πολεμαεῖον* et mox *Πολεμαῖος* RV. 6. *Ὀλυμπίεια* X, *Ὀλυμπίειος* libri. *Ὀλύμπειος* R. 9. *Καπίννη* R. *Τυρρηνικὴ* RV, *Τυραννικὴ* A. 10. *Καπινάτης* RV. καὶ *Καπιννήτης* add. B. καὶ pro ὡς RV. *Αἰγινάτης* RV, *Αἰγινιάτης* A. 11. *Καπινναῖος*? an *Καπιννατικός*? 12. *Κιλικίᾳ* R. πρόσχωρος R et Salmasius, πρόσβορος AV, πρόσβορρος X. 13. *Εὐφράτην* B. cf. Anall. Alex. p. 120. 14. indicavi lacunam praeeunte B. 15. *Ἡρόδοτος*] 1, 72. 16. *Ἀλεξάνδρου*? 16. 17. λέγεται καὶ *Καππαδόκισσα*] Ante haec excidisse videtur τὸ θηλυκὸν *Καππαδοκίς*. 17. διῄρητο Schubartus, διῄρηται Gavelius, διείρηται X, εἴρηται libri. 18. εἰς π̅ καὶ β̅ R. 19. ἢ μικρὰν H, καὶ μικρὴν R.

Καπρίη, νῆσος Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. λέγονται καὶ *Καπριαί*. τὸ ἐθνικὸν Καπριάτης. ἐντεῦθεν ἦν Βλαῖσος σπουδογελοίων ποιητὴς Καπριάτης.

Καπύα, πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κάπυος τοῦ Τρωικοῦ. τὸ ἐθνικὸν Καπυανός ὡς Ἀσιανός.

Κάραλλις ἢ *Καράλλεια*, Ἰσαυρικὴ πόλις. τὸ ἐθνικὸν Καραλλεώτης. ἔστι καὶ *Κάραλις* δι' ἑνὸς λ Λιβυκὴ πόλις, καὶ ἐθνικὸν αὐτοῦ Καραλιτανός.

Καραμβύκαι, ἔθνος Ὑπερβορέων, ἀπὸ ποταμοῦ Καραμβύκα, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης.

Κάρανα, πόλις Γαλατίας, ὑπὸ Ῥωμαίων συνοικισθεῖσα. τὸ ἐθνικὸν Καρανίτης καὶ Καρανῖτις τὸ θηλυκόν.

Καρβανίς .... γέγονε καὶ ἀπὸ γενικῆς εὐθεῖα ὁ Κάρβανος. ἔστι καὶ *Κάρβανα* πόλις Λυκίας, καὶ τὸ ἐθνικὸν Καρβανεύς.

Καρδαμύλη, [πόλις Μεσσηνίας.] Ὅμηρος „Καρδαμύλην Ἐνόπην τε". Ἡρόδοτος δὲ Λακωνικὴν αὐτήν φησιν. ἔοικε δ' ἑτέρα εἶναι πλησίον Χίου. τὸ ἐθνικὸν Καρδαμυλίτης ὡς Σινωπίτης. παρὰ δὲ τῶν ἐγχωρίων Σκαρδαμυλίτης λέγεται. ἔστι δὲ καὶ *Καρδαμυλησσός* κώμη.

---

1. *Καπριήνη νῆσος* ante B. 2. *Καπριαί* R, *Καπρίαι* A, *καὶ κριαί* V. 2-4. *τὸ ἐθνικὸν Καπριάτης. Κάπυα, πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. λέγονται καὶ Καπριαί. τὸ ἐθνικὸν Καπριάτης. ἐνθεῦτεν ἦν Βλαῖσος σπογελοίων ποιητὴς Καπριάτης. Κάπυα, πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ* R. 3. *σπογελοίων* R, non *σπουδαιογελοίων*, ut dicit Passovius. 5. *τοῦ Τρωός* Salmasius.
6. *ἢ* Salmasius, *ἡ* libri. 7. *Κάραλις* H, *Καραλία* AV, *Καραλλία* R. *Λιβυκὴ*] i. e. sub ditione Carthaginiensium in Sardinia.
8. *Καραλλιτανός* R, *Καραλιανός* AV. scripsi igitur *Καραλιτανός*, ut est apud Ptolem. 3, 3, 4. ubi quidem *Καραλλιτανός* scriptum et urbis nomen *Κάραλλις*. 9. *ἀπὸ τὸ ποταμοῦ* R. 11. *Γαλατείας* R. 13. indicavi lacunam. *εὐθείας* R, *εὐθείας* V, *τῆς εὐθείας* Salmasius. *Κάρβανος* RV, *Κάρβαρος* A, *Κάρβαν* Lobeck. Paral. p. 190. edita lectio significat a genitivo nominis *Κάρβαν* nasci nominativum *Κάρβανος*. 14. *ἔστι* om. V. *Καρπανεύς* R.
15. *πόλις Μεσσηνίας* add. ex Eustath. ad Hom. p. 743, 17. *Ὅμηρος*] Il. 9, 150. *Καραδαμύλην* R. 16. *Ἡρόδοτος*] 8, 73.
18. *Σκαρδαμυλίτης*] *Σκαπτησυλίτης* RV, quod vide ne pro *Σινωπίτης* reponendum sit. 19. *δὲ* om. R.

Καρδησσός, πόλις Σκυθίας. Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Καρδήσσιος καὶ Καρδησσεύς.

Καρδία, πόλις τῆς ἐν Θρᾴκῃ Χερρονήσου. Ἑρμοχάρους δὲ τοῦ κτιστοῦ θύοντος κόρακα τὴν καρδίαν ἁρπάσαντα καὶ ἀναπτάντα εἰς τόνδε τὸν χῶρον μεθεῖναι, καὶ διὰ τοῦτο οὕτως ἐκλήθη. ἢ ὅτι τῇ Σκυθῶν γλώττῃ οὕτως κεκλῆσθαι. ὁ πολίτης Καρδιανός ὡς Ἀσιανός.

Καρδοῦχοι, ἔθνος Μηδίας, ὡς Ξενοφῶν ἐν ἀναβάσεως τρίτῃ „ἐς Καρδούχους ἄγει". τούτους δέ φησιν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι καὶ βασιλέως οὐκ ἀκούειν. καὶ Σοφαίνετος ἐν Κύρου ἀναβάσει φησὶ περὶ αὐτῶν.

Καρδυτός, ὡς Βηρυτός, πόλις Σύρων μεγάλη, ὡς Ἑκαταῖος ἐν περιηγήσει Ἀσίας. τὸ ἐθνικὸν Καρδύτιος ὡς Βηρύτιος.

Καρήνη, πόλις Μυσίας. Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν Καρηναῖος, ὡς Κρατερὸς γ' περὶ ψηφισμάτων „Γρυνεῖς Πιταναῖοι Καρηναῖοι".

Κάρθαια, μία τῆς ἐν Κέῳ τετραπόλεως, ἀπὸ Καρθίου τελευτήσαντος ἐκεῖ. οἱ οἰκοῦντες Καρθαεῖς. Πολύβιος ις'. ἔστι καὶ Ἰβηρίας *Καρταία*, περὶ ἧς Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων.

Καρία, ἡ χώρα. τὸ ἐθνικὸν Κάρ, ὁμωνύμως τῷ οἰκιστῇ. τὸ θηλυκὸν κατὰ τέχνην [Καῖρα, καὶ ἐν διαλύσει] Κάιρα. ἡ

---

1. *Καρδησσός* et mox *Καρδήσσιος καὶ Καρδησσεύς* RV, *Καρδησός* et *Καρδήσιος καὶ Καρδησεύς* A. 3. *Ἑρμοχαροῦς* RV. 5. *μεθεῖναι* PpRV, *ἀφεῖναι* A. 5. 6. *οὕτω κεκλῆσθαι* Gavelius. 6. *ἐκλήθη* Gavelius. 8. *Μηδείας* RV. 9. *τρίτῃ*] c. 5, 15. ubi *εἰς* et *ἄγοι*. *φησιν* add. ΠRV, *ἔφασαν* e Xenophonte X. 10. *βασιλέας* R, *βασιλέα* V. 12. *ὁ* pro *ὡς* R. 12. 13. *Ἑκάτων* RV. 13. *Καρύτιος* R. 14. *ἑβδόμῃ*] c. 42. ubi minus recte *Καρίνη* editur. cf. supra p. 163, 8. 15. *Καρτερὸς* libri. *περὶ ψηφισμάτων* RV, *παρὰ ψηφίσματι* A. 15. 16. *Γρυνεῖς Πιταναῖοι* Salmasius, *Γρυνεῖ σπιταναῖοι* libri. 17. *Κέῳ* H, *Κῷ* libri. *Καρθαίου*? 18. *Καρθαιεῖς* B. 19. *Καρθαία* X. recte libri *Καρταία* i. e. Carteia. 22. *θηλυκὸν* PΠV, *ἐθνικὸν* AR. *Καῖρα καὶ ἐν διαλύσει* add. H ex Eustathio ad Hom. p. 367, 19. adde Etym. M. p. 483, 6. *Κάιρα* PR, *Κείρα* Π, *Κάειρα* A.

χρῆσις δὲ τὴν ει δίφθογγον ἔχει. Ἀπολλώνιος δὲ διὰ τοῦ ῑ φησὶ μακροῦ, ὡς ἐν τῷ ε΄ περὶ παθῶν καὶ ἐν τῷ περὶ γενῶν. ἡ δὲ ἔκτασις ἀναγκαία διὰ τὴν παραλήγουσαν. τὰ γὰρ εἰς ᾱ βραχὺ λήγοντα παρασχηματιζόμενα ἐκτείνει τὴν παραλήγουσαν φύσει ἢ θέσει. Ἡρωδιανὸς δὲ ἐν μὲν τῇ ὀρθογραφίᾳ ἀμφιβολεῖ, ἐν δὲ τῇ καθόλου χρήσει ἑπόμενος διὰ διφθόγγου φησίν, ὑπομνηματίζων δὲ τὸ περὶ γενῶν Ἀπολλωνίου διὰ τοῦ ῑ μακροῦ. „ἔστι γὰρ ὅτε μετὰ τὴν διαίρεσιν ἔκτασις γίγνεται, δίομαι ὄιγον ὄιδα παρ' Αἰολεῦσιν, ἀντὶ τοῦ οἶδα. ἡ χρῆσις δὲ διὰ διφθόγγου κατὰ συνεκδρομὴν τοῦ σώτειρα ὀλέτειρα". λέγεται καὶ Κάριος· οὕτως γὰρ ὁ Ζεὺς παρὰ Μυλασεῦσι τιμᾶται. τὸ θηλυκὸν Καρία. ἐκαλεῖτο δὲ καὶ ἡ Μεγάρων ἀκρόπολις **Καρία** ἀπὸ Καρὸς τοῦ Φορωνέως, καὶ ὁ οἰκήτωρ Κάριος. ἔστι καὶ Καρίνη. ἔστι καὶ Καριάτης. ἔστι καὶ Καριᾶτις, καὶ Καρὶς ἀπὸ τῆς Καρὸς γενικῆς. Καρὶς δὲ ἐλέγετο ἡ Κῶς, ὡς Ἑλλάνικος. ἔστι καὶ Φρυγίας πόλις **Καρὶς** καὶ **Καρίδες**. τὸ ἐθνικὸν Καριδεὺς ὡς Ἀρκαδεύς, τὸ ἀπὸ τῆς τέχνης Καρίτης. τῶν Καρῶν τὸ κτητικὸν Καρικός. Ἡρόδοτος ἐν πρώτῃ „τὸ Καρικὸν ἔθνος δοκιμώτατον".

Καρικόν, τόπος ἰδιάζων ἐν Μέμφιδι, ἔνθα Κᾶρες οἰκήσαντες, ἐπιγαμίας πρὸς Μεμφίτας ποιησάμενοι, Καρομεμφῖται ἐκλήθησαν.

Καρικὸν τεῖχος, πόλις Λιβύης ἐν ἀριστερᾷ τῶν Ἡρακλείων στηλῶν, ὡς Ἔφορος πέμπτῃ. τὸ ἐθνικὸν Καρικοτειχίτης.

---

1. δὲ κα τὴν R. δὲ add. *ΠR*. 2. ὡς add. R. ε΄ om. V. 3. διὰ τὴν παραλληλίαν R. 5. 6. ἀμφιβολεῖ V, ἀμφίβο αὐτό φησιν R, ἀμφίβολον αὐτό φησιν A. 6. 7. ἐν δὲ τῇ — φησίν om. R. 9. ὄϊγον RV, ὄϊον A, quod merito suspectat Ahrens. Dial. p. 106. ὄιγον autem Aeoles fortasse dixerunt pro οἶγον ab οἴγω. an legendum ὄιτον i. e. οἶτον? 12. *Μεγάρων* BH, *Μεγάλων* V, *μεγάλη* AR, *μετὰ Π.* cf. Eustath. ad Hom. p. 367, 21. 13. *Φωρονέως* R. 16. *Καρίς* BH, *ἀκαρίς* AR, *ἀκρίς* V. 19. *πρώτῃ*] c. 171. ubi *λογιμώτατον* editur. 21. 22. *Καρικομεμφῖται* Millerus, ut libri habent p. 268, 10. ubi *Καρομεμφῖται* B. 23. 24. *Ἡρακλέων* R.

Καρκινῖτις, πόλις Σκυθική. Ἑκαταῖος Εὐρώπῃ. οἱ κατοικοῦντες Καρκινῖται.

Καρμανία, χώρα τῆς Ἰνδικῆς. Στράβων πεντεκαιδεκάτῃ. τὸ ἐθνικὸν Καρμάνιοι καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ Καρμανοί καὶ Καρμανίς. ἔστι καὶ *Κάρμανα* νῆσος ἢ ἀπὸ τῶν Καρμανῶν.

Κάρμηλος, ὄρος δυσχείμερον. τὸ ἐθνικὸν Καρμήλιος, ὡς Μῆλος Μήλιος. καὶ κύριον ἐντεῦθεν. τὸ ἐθνικὸν παραπλήσιον.

Κάρμινα, νῆσος Ἰνδική. τὸ ἐθνικὸν ὤφειλε Καρμιναῖος, εὕρηνται δὲ Καρμῖνοι.

Κάρνανα, πόλις Μιναίων ἔθνους πλησίον Ἐρυθρᾶς θαλάσσης. οἱ πολῖται Καρνανᾶται. Οὐράνιος δὲ *Καρνανίαν* καὶ Καρνανίτας φησί.

Κάρνη, πόλις Φοινίκης, ἀπὸ Κάρνου τοῦ Φοίνικος, ὡς Ἴστρος φησίν. ὁ πολίτης Καρνίτης. Λυκόφρων „ὄλοιντο ναῦται πρῶτα Καρνῖται κύνες". ἔστι δὲ ἄλλη Αἰολίδος, ἧς τὸ ἐθνικὸν Καρναῖος, τὸ κτητικὸν Κάρνιος τριγενές. Ἀρτεμίδωρος δ' ἐν τῷ δεκάτῳ βιβλίῳ φησίν „ἔστι Κάρνος καὶ συνεχῶς Πάλτος, εἶτα Γάβαλα πόλις". καὶ ἀναλογεῖ τὸ Καρνίτης.

Καρνία, πόλις Ἰωνίας. Νικόλαος τετάρτῳ.

Κάρνος, νῆσος Ἀκαρνανίας. Ἀρτεμίδωρος β' γεωγραφουμένων. τὸ ἐθνικὸν Κάρνιος.

---

1. *Καρκινῖτις Π*, *Καρκινῆτις* RV, *Καρκινίτης* A. 3. *πεντεκαιδεκάτῃ*] p. 724. 5. *ἢ* B. videtur aliquid excidisse. an fuit *ἢ ἄπο[ικος] τῶν*? 6. *Καρμάνων* AV, *Καρμασῶν* R. 7. *δυσχείμερον* [*τῆς Φοινίκης*]? 8. *καὶ ἱερὸν ἐνταῦθα* B. 8. 9. *ἐντεῦθεν, τῷ ἐθνικῷ παραπλήσιον* Gavelius. *παραπλησίως* R. 10. *Καρμινά* R. *νῆσον Ἰνδικόν* V. an igitur *νησίον Ἰνδικόν*? 12. *ἔθνους* BH, ..*ους* V, *ἔθνος* A, om. R. 13. *θαλάττης* RV. *Οὐράνιος* H, *Σούνιος* libri. 14. *Καρνανίτας* R, *Καρνανίτης* AV. 16. *Λυκόφρων*] vs. 1291. *ὄλοιντο* Lycophro, *ὄλοντο* libri. 19. *βιβλίῳ* R. 20. *Πάντος* V. *τὸ Καρνῖτις* RV, *τῷ Καρνίτης* A. vide s. v. *Αὐλαί*. 21. *τετάρτῳ*] *δ'* RV, *α' Π*. 23. *Κάρνιος* B, *Καρνειός* libri.

Καρόπολις, πόλις Καρίας. Ἀλέξανδρος Καρικῶν πρώτῳ. τὸ ἐθνικὸν Καροπολίτης.

Καρὸς κῆποι, χωρίον Θρᾴκης. Θεόπομπος ν'. τὸ ἐθνικὸν Καροκηπίτης, ὡς αὐτός.

Καρουεντός, πόλις Λατίνων. Διονύσιος β' Ῥωμαϊκῆς ἀρχαιολογίας. ἔν τισι δὲ γράφεται *Καρυεντὸς* καὶ τὸ ἐθνικὸν Καρυεντανός.

Κάρπαθος, νῆσος πλησίον τῆς Κῶ. Ὅμηρος [„Κράπαθόν τε Κάσον τε καὶ Κῶν". Διονύσιος δὲ Κρήτης,] „Κάρπαθος αὖτ' ἐπὶ τῇσι ποτὶ ζόφον, [ἐγγύθι δ' αὐτῆς Κρήτη τιμήεσσα".] ὁ οἰκήτωρ Καρπάθιος καὶ Καρπαθία, καὶ Καρπάθιον.

Καρπασία, πόλις Κύπρου, ἣν Πυγμαλίων ἔκτισεν, ὡς Ἑλλάνικος ἐν τοῖς Κυπριακοῖς. Διονύσιος δὲ διὰ διφθόγγου *Κραπάσειαν* αὐτήν φησιν ἐν τρίτῳ Βασσαρικῶν „ἠδ' ὁπόσοι Κινύρειον ἰδ' αἰπεινὴν Κραπάσειαν". ἔστι καὶ νῆσος *Καρπασία* κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Ξεναγόρας δὲ *Κάρπαθον* αὐτήν φησι. Δημήτριος δ' ὁ Σαλαμίνιος *Καρβασίαν* φησίν, ὅτι πρὸς τὸν καλούμενον κάρβαν ἄνεμον κεῖσθαι δοκεῖ. ὁ πολίτης Καρπασεώτης ὡς Μαρεώτης. καὶ τὸ κτητικὸν Καρπασεωτικὸς καὶ Καρπασεωτικὴ ἄκρα. Θεόπομπος ἐν δεκάτῳ Καρπασεῖς αὐτούς φησιν, ἴσως ἀπὸ τοῦ Κάρπασος, ὡς Ἀντίοχος Ἀντιοχεύς, ἀφ' οὗ Καρπάσεια.

Καρπηία. εἴρηται ἐν τῷ Κάλπῃ, ὅτι τινὲς *Κάρπειαν* τὴν πόλιν φασὶ καὶ Καρπητανοὺς τὸ ἐθνικόν.

---

3. $\overline{\mu}$ pro $\overline{\nu}$ V. 5. *Καρούεντος* (*Καρίεντος* Π) et mox *Καρύεντος* libri. β' corruptum. 6. *ἀρχῆς* R. 8. Ὅμηρος] Il. 2, 676. 8.9. *Κράπαθόν — Κρήτης* om. libri. 9. Διονύσιος] Per. 500. 9.10. *Κάρπαθός τ' αὖ ἐπὶ τῇσι* (*τοῖσι* R) libri, *Κάρπαθος αὖθ' ἑτέρωθι* Dionysius. 10.11. *ἐγγύθι — τιμήεσσα* om. libri. 11. *Καρπαθία*] *Καρπαθιών* R. 11.12. *Καρπάθιον* BH, *Κάρπαθον* libri. 15. *Καρπάσειαν* libri. 16. *Κινύριον ἠδ' αἰπεινὴν Καρπάσειαν* libri, corr. B. 17. *ἄκραν τὴν* BH, *ἀγράντιν* A, *Ἀκραγάντιν* ΠV, *Ἀκραγαντίνων* R. 17.18. *Κάρπασον* H. 19. *καρβὰν* ARV, *καρβάσιον* P. 23. *Καρπάσεια*] *Καρπασεύς* B. 24. *Κάλπη* M, *Κάπη* AR, *Κάπης* Π, *κα...* V, *Κάλπαι* X. 25. *Καρπιτανοὺς* RV.

Καρπήσιοι, ἔθνος Ἰβηρικὸν τῶν ἐκτὸς Ἴβηρος ποταμοῦ.

Κάρραι, πόλις Μεσοποταμίας, ἀπὸ Καρρᾶ ποταμοῦ Συρίας. τὸ ἐθνικὸν Καρρηνός ἢ καὶ Καρραῖος. ἔστι καὶ πόλις πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Καρύα, χωρίον τῆς Λακωνικῆς. Θεόπομπος νέ. ὁ οἰκήτωρ Καρυάτης καὶ θηλυκὸν Καρυᾶτις καὶ Καρυαῖος καὶ Καρυεύς. καὶ Καρυᾶτις μέλισσα ἀντὶ τοῦ Λακωνική. Καρύα γὰρ αὐτόθι τόπος.

Καρύανδα, πόλις καὶ λιμὴν ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ. Ἑκαταῖος Καρύανδαν αὐτήν φησι. τὸ ἐθνικὸν Καρυανδεύς ὡς Ἀλαβανδεύς. ἐντεῦθεν ἦν καὶ Σκύλαξ ὁ παλαιὸς λογογράφος.

Κάρυστος, πόλις ὑπὸ τῇ Ὄχῃ ὄρει τῆς Εὐβοίας. ἀπὸ Καρύστου τοῦ Χείρωνος. Θεοδωρίδας Χειρωνίαν αὐτήν φησι. κεῖται δ' ἡ πόλις πρὸς τῷ Μυρτῴῳ πελάγει ὑπὸ τῷ ὄρει Ὄχῃ. ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς [ἐκεῖ ὀχείας, ἤτοι] τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας, ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ· οἱ γὰρ Ἀχαιοὶ τὴν τροφὴν ὀχήν φασι. λέγεται καὶ ἀρσενικῶς ὁ Ὄχης. ἐν ταύτῃ τῇ πόλει γίνεται „λίθος ἡ ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι, ῥυπωθέντα δὲ εἰς φλόγα βάλλεσθαι καὶ ἀποκαθαίρεσθαι τὸν πίνον τῇ πλύσει παραπλησίως".

---

25. ἐθνικόν om. RV. 1. ἐκτὸς R, ἐκ τοῖς PpV, ἐντὸς A. ποταμῶν R. 2. Καρρᾶ R, Καρρὰ A, Κάρρα V. 3. καὶ ante Καρραῖος add. *H*. 5. Κάροια RV contra literarum ordinem, nec ullum huius formae certum exemplum exstat, ut nec appellativi καροία. μέ R. 6. Καρυάτης καὶ θηλυκὸν Καρυᾶτις *H*, Καρυάτης καὶ Καρυᾶτις A, Καροιάτης καὶ Καροιᾶτις R, Καροιάτης καὶ θηλυκὸν Καροιάτις V. 7. Καριεύς R. Καρυᾶτις M, Καροιᾶτις libri. de μέλισσα cf. Anall. Alex. p. 361. Καρύα M, Κάροια libri. 9. λιμὴν BH, λίμνη libri. 11. καὶ add. RV. 13. ὄρει BH, πόλει A, πόλις V, πρὸς R. 16. Ὄχει R. ἐκεῖ ὀχείας ἤτοι ex Eustath. ad Hom. p. 280, 44 add. B. 17. τὸ om. V. 18. λοχευόμενα R. ἢ διὰ τὴν τροφὴν post τόπῳ Eustathii ductu add. B. 19. ὄχην libri. ἀρσενικῶς X, ἄρσων libri. 20-22. λίθος — παραπλησίως Strabo 10 p. 446. 20. τὰ ὕφη Strabo, τύφη libri.

ἐκαλεῖτο δὲ καὶ *Αἰγαία* ἀπὸ Αἰγαίωνος τοῦ δυναστεύοντος, ἀφ' οὗ καὶ τὸ πέλαγος Αἰγαῖον. ἔστι καὶ *Κάρυστος* τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῃ. τῆς προτέρας τὸ ἐθνικὸν Καρύστιος „ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων". καὶ θηλυκὸν Καρυστία.

Καρχηδών, μητρόπολις Λιβύης, διασημοτάτη πόλις. Χαλκηδὼν δὲ τῆς Βιθυνίας διὰ τοῦ λ̄κ̄. ἀπὸ Καρχηδόνος Φοίνικος. ἐκαλεῖτο δὲ *καινὴ πόλις* καὶ *Καδμεία* καὶ *Οἴνουσα* καὶ *Κακκάβη*. τούτῳ δὲ κατὰ τὴν οἰκείαν αὐτῶν λέξιν ἵππου κεφαλὴ δηλοῦται. ἔστι δὲ καὶ ἄλλη *Καρχηδὼν* πόλις Ἰβηρίας, ἐκαλεῖτο δὲ καὶ αὐτὴ *καινὴ πόλις*. ἔστι δὲ καὶ Ἀρμενίας *Καρχηδών*, ὡς Εὐτρόπιός φησιν. ὁ πολίτης „Καρχηδόνιος σοφὸς Μάγων" καὶ „Κλειτόμαχος, ὁ Διογνήτου, ὃς ἐκαλεῖτο Ἀσδρούβας, φιλόσοφος ἀκαδημαϊκός, διάδοχος Καρνεάδου τῆς Κυρηναίου σχολῆς, ὃς κή ἐτῶν ἐλθὼν Ἀθήναζε ἄμοιρος ἦν τῶν πρώτων στοιχείων καὶ ταῦτα μανθάνων ἠκροάσατο Καρνεάδου".

Κάσιον, ὄρος καὶ πόλις Αἰγύπτου πρὸς τῷ Πηλουσίῳ. ἐκλήθη δὲ ἀπὸ τῆς Κυκλάδος νήσου ἢ ἀπὸ Κάσου τοῦ Κλεόχου, ἀφ' οὗ καὶ Κασίου Διὸς ἱερόν. ὁ πολίτης Κασιώτης ὡς Πηλουσιώτης, καὶ θηλυκὸν Κασιῶτις, καὶ τὸ κτητικὸν Κασιωτικός, ἀφ' οὗ ἐν τῇ συνηθείᾳ τὰ Κασιωτικὰ ἱμάτια.

---

1. *δὲ* add. RV. *Αἰγαίωνος* Eust. ad Hom. p. 281, 3. *Αἴγωνος* libri. 2. *Κάρυστος*] *ἐν τῇ Λακωνικῇ* e Strab. add. B. 4. *δεκάτῃ*] p. 446. 5. *Καρύστιος* BH, *Καρυστίας* libri. *ᾧ* Strabo, *ᾗ* libri. 8. *λ̄ καὶ κ̄* *Π*. 9. *Οἴνουσα* R, *Οἴνουσσα* AV, om. Stephanum compilans Eustath. ad Dion. 195. 10. *τούτῳ* X, *τοῦτο* libri. 13. *Καρχηδόνιος*. [*Καρχηδόνιος ἦν*] *σοφὸς* B et Menagius ad Diog. Laert. 4, 67, quo non opus est, ut alio loco docui. 14. *Μάγων* Wesseling. ad Hierocl. p. 691, *μέγας* (α supra) R, *μέγας* AV. sufficit fortasse *Μάγας*, quod nomen idem esse videtur ac *Μάγων*. *Διογνήτου* [*Καρχηδόνιος*,] *ὃς*? 15. *τοῦ* pro *τῆς* V. an *τῆς Καρνεάδου τοῦ Κυρηναίου*? 16. *ἐτῶν* RV, *ἔτει* A, om. *Π*. 17. *ἀκροάσασθαι* ante B. 19. 20. *Ἀκάστου τοῦ Κλεούχου* R, *Κάστου τοῦ Κλεόχου* *Π*, *Κάστου τοῦ Κλεούχου* V, *Κάσου τοῦ Κλεομάχου* A. cf. s. v. *Κάσος*. Cleochi nomen in fabulis non sine exemplo. v. schol. Apoll. Rh. 1, 187.

Κασμένη, πόλις Σικελίας. Ἡρόδοτος ζ. ὁ πολίτης Κασμεναῖος καὶ Κασμεναία.

Κάσος, μία τῶν Κυκλάδων. „οἳ δ' ἄρα Νίσυρόν τ' εἶχον Κράπαθόν τε Κάσον τε". ἐκαλεῖτο δ' Ἄμφη καὶ Ἀστράβη. κέκληται δὲ ἀπὸ τοῦ Κάσου τοῦ Κλεόχου πατρός. ἀπῴκισται δὲ τῆς νήσου καὶ τὸ ἐν Συρίᾳ ὄρος Κάσιον. ἔστι καὶ ἑτέρα Περσίδος καὶ πόλις. καὶ τὸ ἐθνικὸν Κάσιος.

Κασπάπυρος, πόλις Γανδαρική. Σκυθῶν δὲ ἀκτή. Ἑκαταῖος Ἀσίᾳ.

Κάσπειρος, πόλις Πάρθων προσεχὴς τῇ Ἰνδικῇ. Ἡρόδοτος γ'. τὸ ἐθνικὸν Κάσπειροι, ὡς Διονύσιος ἐν γ' Βασσαρικῶν „ἐν δέ τε Κάσπειροι ποσσικλυτοί, ἐν δ' Ἀρíηνοί". καὶ πάλιν

Κοσσαῖος γενεὴν Κασπειρόθεν, οἵ ῥά τε πάντων
Ἰνδῶν ὅσσοι ἔασιν ἀφάρτερα γούνατ' ἔχουσιν·
ὅσσον γάρ τ' ἐν ὄρεσσιν ἀριστεύουσι λέοντες,
ἢ ὁπόσον δελφῖνες ἔσω ἁλὸς ἠχηέσσης,
αἰετὸς εἰν ὄρνισι μεταπρέπει ἀγρομένοισιν,
ἵπποι τε πλακόεντος ἔσω πεδίοιο θέοντες,
τόσσον ἐλαφροτάτοισι περιπροφέρουσι πόδεσσιν
Κάσπειροι μετὰ φῦλα τά τ' ἄφθιτος ἔλλαχεν ἠώς.

---

1. ζ] c. 155. 2. Κασμενία R. 3. οἳ δ' ἄρα] Hom. Il. 2, 676. 4. Κάρπαθόν AV, Κάρπασόν R. Κάσον τε om. V. Ἄφη Π, Ἄχνη B. cf. Plin. NH. 5, 31, 36: Casos, Achne olim. 5. Κλεόχου M, Κλεομάχου R, Κλεομάχου AV. cf. s. v. Κάσιον. 7. καὶ ante πόλις aut abundat, aut post πόλις aliquid excidit, aut in codice fuit Περσίδος [κη] πόλις, ut coniecit I. Horkelius. 10. 11. Ἡρόδοτος γ'] c. 93. si vera est Reizii coniectura Κάσπειροι librorum lectioni Κάσπιοι substituentis. B Herodoti citationem ad praecedens tmema reiecit cll. Herod. 3, 102. ubi Κασπάτυρος memoratur. 13. ποσσικλυτοί Gavelius, ποσὶ κλειτοί libri. 14. Κατασπειρόθεν R. 15. ἔασσιν R. 17. ὁπόσον Bernhardy, ὁπόσα libri. 18. ὄρνεσι V. μεταπρέπει] Cf. Anall. Alex. p. 202. 20. ἐλαφροτάτοισι περιπροφέρουσι R, ἐλαφροτάτοισι προφέρουσι V, ἐλαφρότατοι προφέρουσι A, ἐλαφρότατοι πάντων προφέρουσι X. 21. ἔλαχεν libri.

ἔδει οὖν ὡς Στάγειρος Σταγειρίτης, οὕτως Κάσπειρος Κασπειρίτης. ἀλλ' οἱ βάρβαροι Ἑλληνικὴν ἀναλογίαν οὐ φυλάττουσι.

Κασπία θάλασσα. οἱ ἐξ αὐτῆς Κάσπιοι καὶ Κάσπιον ὄρος καὶ Κάσπιοι ἄνδρες καὶ Κασπία γῆ καὶ Κάσπιον. λέγεται καὶ Ὑρκανία ἡ Κασπία. τινὲς δὲ ταύτας διακρίνουσι. „φασὶ δὲ τὴν ἔξω θάλατταν οἱ πολλοὶ τῶν βαρβάρων ὠκεανόν, οἱ δὲ τὴν Ἀσίαν οἰκοῦντες μεγάλην θάλατταν, οἱ δ' Ἕλληνες Ἀτλαντικὸν πέλαγος ...." γίνεται δὲ Κασπιανός ἐκ τοῦ Κασπία ὡς Καρδιανός.

Κασάνδρεια, πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ἥ ποτε **Ποτίδαια** λεγομένη, ἀπὸ Κασάνδρου τοῦ Ἀντιπάτρου. ὁ πολίτης Κασανδρεύς. Ποσείδιππος δὲ κωμῳδίας ποιητὴς υἱὸς ἦν Κυνίσκου Κασανδρέως.

Κασσανῖται, ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς „ἐντεῦθεν ἐκδέχεται τὸ τῶν Κασσανιτῶν ἔθνος".

Κασσάνωρος, πόλις Αἰγυπτία, ἧς μέμνηται Ἔφορος κς'. τὸ ἐθνικὸν Κασσανωρίτης.

Κασσίτερα, νῆσος ἐν τῷ ὠκεανῷ, τῇ Ἰνδικῇ προσεχής, ὡς Διονύσιος ἐν Βασσαρικοῖς. ἐξ ἧς ὁ κασσίτερος.

Κασσώπη, πόλις ἐν Μολοσσοῖς, ἐπώνυμος τῇ Κασσωπίᾳ χώρᾳ. τὸ ἐθνικὸν Κασσωπαῖος καὶ Κασσώπιος καὶ Κασσωπία. ἀπὸ τοῦ Κασσώπιος Κασσωπιάς ὡς Ἑλικωνιάς.

6-8. *φασὶ δὲ — πέλαγος*] Favorini haec verba sunt. vide in v. *Ὠκεανός*. 6. et 7. *θάλατταν* RV, *θάλασσαν* A. 8. lacunam indicavit B. 10. *Κασάνδρεια*] Aut haec loco suo mota sunt, aut *Κασσάνδρεια* scripsit. 14. 15. *θαλάττης* R. 16. *τὸ* add. *Π.* *Κασανιτῶν* R. 17. *Κασσάνορος* ante B. 19. *Κασσίτιρα* ante W. 20. *Βασσαρικῶν* RV. videtur igitur libri numerus excidisse. 21. *Μολοσσοῖς* Palmerius, *Μολοσσῷ* libri. 21. 22. *Κασσωπίᾳ*] Cf. Plutarchus Quaest. gr. p. 297 b: *εἰς Κασσιοπαίαν τὸν βοῦν ἐξ Αἴνου.* et mox: *Αἰνιᾶνες ὑπὸ Λαπιθῶν ἐξαναστάντες τὸ πρῶτον ᾤκησαν περὶ τὴν Αἰθικίαν εἶτα περὶ τὴν Μολοσσίδα καὶ Κασσιοπαίαν.* eadem hujus nominis scriptura est apud Ptolem. 3, 14. ubi *Κασσιόπη* et *Κασσιωπαῖοι*, ut apud Plin. NH. 4, 1 et 19 Cassiope et Cassiopaei, et 27, 55 Cassiopicus.

Ἡρόδωρος δὲ Κασσωποὺς αὐτούς φησιν, ἴσως κακῶς. πάντες δὲ διὰ δύο σ̄σ̄, Ἡρωδιανὸς δὲ μόνος δι᾽ ἑνὸς σ̄.

Καστάβαλα, Κιλικίας [καὶ Φοινίκης] πόλις. Στράβων ιβʹ. ὁ πολίτης Κασταβαλεύς. [ἐνταῦθα Ἀρτέμιδος ἱερόν,] ἣ καὶ *Περασία* ἐκαλεῖτο.

Κασταλία, πόλις Κιλικίας. Θεαγένης ἐν Καρικοῖς. τὸ ἐθνικὸν Κασταλιώτης. ὁ τύπος τοῖς Κίλιξι συνήθης.

Κασταλών, μεγίστη πόλις Ὠρητανίας, ὡς Ἀρτεμίδωρος τρίτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν Κασταλωνίτης ὡς Ἀσκαλωνίτης Ταρρακωνίτης.

Κασταναία, [πόλις Θετταλίας.] Εὔδοξος δὲ διὰ τοῦ ϑ̄ φησί. [Λυκόφρων] „καὶ Κασταναίαν ἀκτέριστον ἐν πέτραις". τὸ ἐθνικὸν Κασταναῖος. ἔστι καὶ *Καστανία* διὰ τοῦ ῑ πόλις πλησίον Τάραντος. τὸ ἐθνικὸν Κασταινάτης.

Κάσταξ, Κάστακος, ὡς Νάρυξ Νάρυκος, πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Κασταχαῖος ὡς Ναρυκαῖος. ὁ Ἀππιανός φησι.

Κάστνιον, ὄρος ἐν Ἀσπένδῳ τῆς Παμφυλίας. τὸ ἐθνικὸν Κάστνιος καὶ Κάστνιον, ἐξ οὗ καὶ Καστνιήτης. ἔδει δὲ Καστνιώτης ὡς Πηλιώτης.

Καστωλοῦ πεδίον, Δωριέων, ὡς Ξενοφῶν. ἐκλήθη δὲ ὅτι Καστωλοὺς τοὺς Δωριεῖς οἱ Λυδοί φασιν. ἦν δὲ πόλις ἐν Λυδίᾳ Καστωλός. τὸ ἐθνικὸν Καστώλιος ὡς Σπαρτώλιος. καὶ τὸ κτητικὸν Καστωλικός.

Κασώριον, τὸ πορνεῖον. Ἀριστοφάνης „ἐν κασωρίοισι

---

1. *Κασσωποὺς*] V. ad *Χαονία*. *ἴσῳ κακῷ* RV. 2. σ̄σ̄ RV, om. A. σ̄ add. RV. 3. *καὶ Φοινίκης* seclusit H. 4. *ιβʹ*] p. 535. *ἐνταῦθα Ἀρτέμιδος ἱερόν* add. H. 8. *Κασταλών* R, *Καστάλων* A, om. acc. V. *Ὠρητανίας* Hieronymus Syrita, *Ὠριτανίας* Pp, *ῥιτανίας* ARV. 9. *τρίτῳ*] *δευτέρῳ* s. v. *Ὠρισία*. 10. *Ταρρακωνίτης* om. R. 11. *Κασταναία* R. *πόλις Θετταλίας* om. libri. 12. *Λυκόφρων* (vs. 907) add. X. *Κασθαναίαν* R. 14. *Τάραντος πλησίον* RV. 16. *Ἀππιανός*] Iber. 32. 17. *Κάστνιον*] Hoc tmema in libris cum praecedenti coniunctum separaverunt HB. *Κάστιν Π*, *Κάστινον* PV. 20. *Ξενοφῶν*] Anab. 1, 1. 21. *Καστώλους* et mox *Κάστωλος* libri. 24. *Κασώριον* cum uno σ̄ et hic et in sequentibus R, cum duobus AV. *Ἀριστοφάνης*] Equ. 1285.

λείχων". ὁ οἰκήτωρ κασωρίτης, καὶ θηλυκῶς κασωρῖτις καὶ κασωρίς.

Κατάβαθμος, τόπος ἐν Λιβύῃ μεταξὺ τοῦ Ἄμμωνος καὶ τοῦ Παραιτονίου. ὁ οἰκήτωρ Καταβαθμίτης, ὡς Φελλὸς Φελλίτης.

Κατακεκαυμένη, χώρα τῆς Ἐφεσίας. Στράβων τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Κατακεκαυμενίτης „ἄδενδρος ἅπασα πλὴν τῆς ἀμπέλου τῆς τὸν Κατακεκαυμενίτην φερούσης οἶνον. εἰκάζουσι δέ τινες ἐκ κεραυνοβολιῶν καὶ πρηστήρων συμβῆναι". ἔστι καὶ νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.

Κατάνη, πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ „μετὰ δὲ Κατάνη πόλις, ὑπὲρ δὲ ὄρος Αἴτνη". ἀπὸ δὲ τῆς Κατάνης Χαρώνδας, ὁ διάσημος τῶν Ἀθήνησι νομοθετῶν. κέκληται δὲ οὕτως, ἐπειδὴ κατέβη πρὸς τὸν Ἀμενανὸν ποταμὸν ἡ Θεοκλέους τοῦ Χαλκιδέως ναῦς, ἣν Δωριεῖς χωρὶς τοῦ ῡ νᾶν φασιν, ἢ ὅτι τῆς Αἴτνης κατατεθείσης τὰ ἄνω κάτω γέγονεν. ἔστι καὶ ἄλλη κατέναντι τῆς Λέσβου πληθυντικῶς λεγομένη. τὸ ἐθνικὸν Καταναῖος καὶ θηλυκῶς καὶ οὐδετέρως.

Κατάνειρα, οὐδετέρως, πόλις ... ὡς Θεόπομπος λέ Φιλιππικῶν. ὁ οἰκητὴς Κατανειρεὺς ὡς Μεγαρεύς.

Καταονία, μοῖρα ἐσχάτη τοῦ Ταύρου. Στράβων δὲ

---

2. κασωρίς R, κασσωρία AV. 3. Λικύῃ V, Λιβύᾳ R, Λυκίᾳ A. 4. Παραιτωνίου ante B. 6. τῆς Ἐφεσίας] Fallitur et hic et infra s. v. Καΰστριον. 6. 7. τρισκαιδεκάτῳ] p. 628. 7-9. ἄδενδρος — συμβῆναι e Strabonis l. l. excerpta. 8. πλὴν ἀμπέλου RV. 9. κεραυνοβολίας V. καὶ om. libri. 13. τῶν Ἀθήνησι RV, τῶν ἐν Ἀθήνῃσι A. de re v. Bentleii Phal. ed. Lips. p. 360. Wessel. praef. Petit. LA. p. 3. et Göttling. Verhandl. der Sächs. Ges. d. Wiss. 4 p. 146. 14. Ἀμενανὸν Cluverus, Ἀμελιανὸν libri. 16. ἄνω R, ἄνα ΠV, ἄνω καὶ A. 17. κατέναντι τῆς Λέσβου] Nullas hic Catanas memorari memini; vereor ne Canas, de quibus suo loco dictum est, in mente habuerit. 19. Κατάνειρα] Hoc nomen si vitio caret, tmema hoc ante Κατάνη transponendum. lacunam indicavit M. 20. οἰκιστὴς R. malim οἰκήτωρ. 21. Στράβων] 12 p. 533.

Καππαδοκίας ταύτην φησίν. οἱ οἰκοῦντες Κατάονες, ὡς της Λυκαονίας Λυκάονες.

Καταννοί, ἔθνος πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. Ἑκαταῖος Ἀσίᾳ.

Κάτρη, πόλις Κρήτης, τὸν Ἰωνικὸν ἔχουσα τρόπον, ὡς Ἡρωδιανὸς περὶ τῆς Ὀλύκρης γράφων. τὸ ἐθνικὸν Κατραῖος ὡς Ἀσκραῖος.

Κατταβανία, κατοικία τῆς εὐδαίμονος Ἀραβίας. Στράβων ἑκκαιδεκάτῃ „φέρει δὲ [τὸν] λιβανωτὸν ἡ Κατταβανία, σμύρναν δὲ ἡ Χατραμωτῖτις". τὸ ἐθνικὸν Κατταβανεύς.

Κάττουζα, πόλις Θρᾴκης, ἐν ᾗ κατῴκουν οἱ Πυγμαῖοι. οἱ οἰκήτορες Κάττουζοι. ὅθεν δὲ τὰς γεράνους ὁρμᾶν, τὸ χωρίον Ῥακώλην προσαγορεύεσθαι. ὑπὸ δὲ Καρῶν Τουσσύλοι ἐκαλοῦντο.

Καύδιον, ὡς Ῥήγιον, πόλις Ἰταλίας. Διονύσιος ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Καυδῖνος, ὡς αὐτός φησι, καὶ Καυδίνα θηλυκόν.

Κανίνδανα, Ἰσαυρίας κώμη. Καπίτων Ἰσαυρικῶν ἕκτῳ. ὁ κωμήτης Κανινδανεώτης.

Καύκασος, τὸ ὄρος, ὃ καὶ Παροπάνισον καλοῦσι, τῶν κατὰ τὴν Ἀσίαν ὀρῶν μέγιστον. τὸ ἐθνικὸν Καυκάσιος καὶ

1. *Καππαδοκίας* H, *Καππαδοκίαν* libri. 3. *Καταννοί*] Aut corruptum hoc nomen est aut hoc tmema ante *Καταονία* transponendum. 5. *Κάστρη* V, *Κατάτρη* R. *Κατρεύς* Pausanias 8, 53, 2. *Κρήτης* add. PpRV. *τὸν* B ex Pp, quam Salmasii coniecturam esse dicit H, *οὐκ* ARV. 6. *Ὀλύκρης*] Cf. s. v. *Ὀλύκραι*. 8. *Καταβανία* et hic et in sequ. R. 9. *ἑκκαιδεκάτῃ*] p. 768. *τὸν* om. Strabo. 10. *Χατραμωνίτης* libri, quod e Strabone correctum. 11. *Κάττουσα* Pp. 11. 12. *πόλις — Κάττουζοι* add. PpRV. 13. *Ῥωκώλην* R. *προσαγορεύεται* V. *Θρᾳκῶν* Gavelius. 15. *Κλαύδιον* et *Κλαυδῖνος* R, *Κλαύδιον* et *Κλαυδῖνος* AV. 17. *Καυδίνα* R, *Κλαυδίνα* AV. malim *Καυδῖναι* aut *Καυδίνη*. 18. *Κανίνδανα* BH, *Καμίνδανα* V, *Κανίνδαυα* AR, *Κανινδάνεια* Gavelius. *σαυρικῶν* ante X. 19. *Κανινδανεώτης* A, *Κινδανεώτης* RV. 20. 21. *ὃ καὶ — Ἀσίαν* add. R. 20. *Παραπαμισὸν* AV, *Παραπονησὸν* R, *Παροπάμισον* W. vide infra ad *Παροπάνισσος*.

Καυκασία θηλυκῶς ἐπὶ τῆς χώρας, ἀφ' οὗ τὸ Καυκασιανός ὡς Κασπιανός. καὶ οὐδετέρως Καυκάσιον. λέγεται καὶ διὰ τοῦ ῑ Καύκασις, ἐξ οὗ τὸ Καυκασίτης, ὡς τὸ Ὀασίτης τῆς Ὀάσιος.

Καυκώνεια, χώρα τῶν Καυκώνων. γέγονε δὲ ἀπὸ τῆς Καύκωνος γενικῆς, ὡς Μάρων Μάρωνος Μαρώνεια, Χαίρωνος Χαιρώνεια, Βύζαντος Βυζάντεια. τὸ ἐθνικὸν Καυκωνείτης ὡς Ζελείτης. ἐκλήθη δὲ ἀπὸ βασιλέως Καύκωνος ἢ ἀπὸ ποταμοῦ. ὤφειλε δὲ Καυκώνιος ἀπὸ τῆς Καύκωνος γενικῆς, ὡς Ἀντρώνιος. λέγεται καὶ Καυκωνίς καὶ Καυκωνιάς καὶ Καυκωνίτης.

Καυλικοί, ἔθνος κατὰ τὸν Ἰόνιον κόλπον. Ἑκαταῖος Εὐρώπῃ. κέκληται δ' ἀπὸ ὄρους, ὃ Ἀπολλώνιος μετὰ τοῦ ᾱ Καυλιακόν φησι.

Καυλωνία, πόλις Ἰταλίας, ἣν Αὐλωνίαν Ἑκαταῖος καλεῖ, διὰ τὸ μέσην αὐλῶνος εἶναι. ἀπὸ γὰρ τῆς Αὐλῶνος ὕστερον μετωνομάσθη Καυλωνία, ὡς ἀπὸ Μετάβου ἥρωος τὸ Μεταπόντιον καὶ Ἐπίδαυρος Ἐπίταυρος καὶ αἱ Κλαζομεναί Πλαζομεναί. ἔστι καὶ ἄλλη Σικελίας. ἔστι καὶ ἄλλη Λοκρῶν. ὁ πολίτης Καυλωνιάτης ὡς Ἀπολλωνιάτης, καὶ θηλυκὸν Καυλωνιᾶτις, καὶ Καυλώνιος.

---

2. *Κασιανός* R, *Κασσιανός* AV. 3. *Καύκασις*] Ita Herod. 3, 97. fortasse etiam epigr. apud Welcker. Syll. p. 216: *Καυκάσιός τ' ἐντὸς ἔχουσιν ὅροι*, nisi id *Καυκάσιοι* scribendum. *ὡς τὸ Ὀασίτης* om. V. *Ὀασίτης* M, *Οὐασίτης* AR, *Ὑασίτης* B. 4. *Ὀάσιος* RV, *Οὐάσιος* A, *Ὑάσιος* B. 6. *Μάρων* om. R. 7. *Βύζαντος Βυζάντεια* B, *Βυζάντιος Βυζαντία* libri. 8. 9. *ἢ ἀπὸ ποταμοῦ* V, *ἢ ποταμοῦ* A, *ἢ τόπου* R. 9. *Καυκώνεїος* R. 10. *Ἀνδρώνιος* R. 13. *ὃ* add. RV. *Ἀπολλώνιος*] Argon. 4, 324. *τοῦ* om. V. 14. *Καυλιακόν* B, *Καυλιακῶν* libri. 16. *διὰ τοῦ μέσην* V. *τῆς* om. V. *τοῦ Αὐλῶνος* B, *τῆς Αὐλωνίας* Gavelius. fort: *ἀπὸ γὰρ τοῦ αὐλῶνος* [*Αὐλωνία,*] *ὕστερον*. 18. *Ἐπίταυρος Ἐπίδαυρος* Gavelius. 18. 19. *αἱ Κλαζομεναί Πλαζομεναί* ΠRV, *αἱ Πλαζομεναί* Pp, *αἱ Κλαζομεναί* A, *Πλαζομεναί αἱ Κλαζομεναί* Gavelius. consimile exemplum permutatarum literarum *Π* et *Κ* habemus in *Πύδνα* et *Κύδνα*. cf. Bergk. de Menol. Graec. p. 30.

Καῦνος, πόλις Καρίας, ἀπὸ Καύνου, οὗ ἡ ἀδελφὴ Βυβλὶς ἐρασθεῖσα φεύγοντος ἐκείνου [ἀπήγξατο]. ὅθεν ἡ παροιμία ὁ Καύνιος ἔρως. ἔστι δὲ νοσώδης, ὅθεν καὶ Στρατόνικος ὁ κιθαριστὴς ἰδὼν ἐπιμελῶς χλωροὺς τοὺς Καυνίους ἔφη „οἵηπερ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν". ἔστι καὶ ἄλλη πόλις ἐν Κρήτῃ. τὸ ἐθνικὸν Καύνιος καὶ Καυνία καὶ Καυναῖος.

Καΰστριον πεδίον τῆς Ἐφεσίας, ἀπὸ Καΰστρου ποταμοῦ, ὃς διὰ τὸ ἔχειν τὴν Κατακεκαυμένην χώραν πλησίον ἐκλήθη. τὸ ἐθνικὸν Καϋστριανός καὶ Καϋστριανή τὸ θηλυκόν. λέγονται καὶ Καΰστριοι.

Καφηρεύς, ἐπίνειον Εὐβοίας, ὅς τις *Καθηρεύς* ἐκαλεῖτο, ὅτι τοὺς πλέοντας ἐκεῖ καθήρουν οἱ Εὐβοεῖς. τὸ ἐθνικὸν ὁμοφώνως. καὶ τὸ θηλυκὸν Καφηρίς, καὶ κτητικὸν Καφήριος.

Καφύαι, πόλις Ἀρκαδίας, ἀπὸ Κάπυος τοῦ πατρὸς Ἀγχίσου ἢ ἀπὸ Κηφέως. ὁ πολίτης Καφυεύς καὶ Καφυάτης ὡς Καρυάτης.

Κάψα, πόλις Χαλκιδικῆς χώρας κατὰ Παλλήνην, ὁμοροῦσα τῷ Θερμαίῳ κόλπῳ. ὁ πολίτης Καψαῖος.

---

1. 2. *ἡ ἀδελφὴ Βυβλὶς* Eustath. ad Dion. 533, *Βίβλις ἦν ἀδελφὴ* A, *βίβλισον ἡ ἀδελφὴ* ΠRV. 2. *ἀπήγξατο* add. Eustathius. 2. 3. *ὅθεν ἡ παροιμία* om. R. 4. *κιθαρῳδὸς* RV. 5. *οἵηπερ*] Hom. Il. 6, 146. *τοιήδε* RV. 6. *Καυναία* R. 9. *Κατακεκαυμένην* B, *Κεκαυμένη* libri. apud Theognostum Cram. AO. 2 p. 113, 2: *Ἑλένη, κιυμένη, Φθιμένη, Κτιμένη*, non *κεκαυμένη* scribendum, ut nuper quidam voluit, sed *Κλυμένη*. ceterum cf. Guhlii Ephes. p. 15, 32 et quae supra monui s. v. *Κατακεκαυμένη*.
10. *Καϋστριανός καὶ Καϋστριανή* B, *Καϋστρῖνος καὶ Καϋστρίνη* libri. 13. *καθήρουν* B, *καθῆρον* libri, quod rectius fortasse *ἐκάθαιρον* vel *ἐκάθηραν* scripseris. cf. schol. Eurip. Tr. 89: *Νεάνθης ὁ Κυζικηνὸς* (in libro de Mysteriis opinor) *Καθηρέα αὐτόν φησι πρότερον κεκλῆσθαι. εἶναι γὰρ ἐκεῖ βωμὸν Διός, ἐφ' ὃν Εὐβοεῖς καθαιρόμενοι ἔθυον.* 14. *Καφήρειος?* 15. *Καφυῖα* ante B. 18. *Παλλήνην* B, *Πελλήνην* libri. 19. *Καμψαῖος* R. id si scripsit, apparet etiam alteram formam *Κάμψα*, quam habes apud Herod. 7, 123, in lemmate memoratam fuisse.

Κεβρανῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας. Οὐράνιος Ἀραβικῶν τρίτῳ.

Κεβρηνία, χώρα τῆς Τρῳάδος, ἀπὸ Κεβριόνου τοῦ Πριάμου. Δίδυμος δὲ Κεβρῆνα τὴν πόλιν φησίν. Ἡρωδιανὸς δὲ ἀπὸ Κεβρῆνος ποταμοῦ. ὁ οἰκήτωρ Κεβρηνός καὶ Κεβρηνεύς καὶ Κεβρήνιος.

Κεγχρεαί, πόλις Τρῳάδος, ἐν ᾗ διέτριψεν Ὅμηρος μανθάνων τὰ κατὰ τοὺς Τρῶας. δευτέρα πόλις καὶ ἐπίνειον Κορίνθου. τρίτη Ἰταλίας. τὸ ἐθνικὸν Κεγχρεάτης ὡς Κορσεάτης. λέγεται καὶ Κέγχρειος ὁ Ποσειδῶν ἀπὸ τοῦ υἱοῦ ἥρωος Κεγχρίου.

Κεδρεαί, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κεδρεάτης καὶ Κεδραῖος τρισυλλάβως. καὶ Κεδρεατικός.

Κεδρωσσοί, ἔθνος πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν Κεδρωσσεῖς.

Κειριάδαι, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Κειριάδης. τὰ τοπικὰ ἐκ Κειριαδῶν εἰς Κειριαδῶν ἐν Κειριαδῶν.

Κεκροπία χώρα καὶ Κεκροπὶς φυλή, ἀπὸ Κέκροπος. λέγεται καὶ Κεκρόπιος καὶ Κεκροπία καὶ Κεκροπίτης τὸ ἐθνικὸν καὶ θηλυκὸν Κεκροπῖτις, καὶ τὸ ἐκ τόπου ἐπίρρημα Κεκροπίαθεν. ἔστι καὶ Κεκροπὶς χώρα Θρᾴκης. ἔστι καὶ δῆμος Θεσσαλονίκης. οἱ δημόται Κεκρόπιοι.

---

1. *Κεβρανῖται* H, *Κερδανῖται* libri. 3. *Κεβρηνία* H, *Κερβηνία* libri. 4. *Κέβρηνα* B, *Κέβρινα* libri. *Ἡρωδιανὸς*] In primo, opinor, *τῆς καθόλου*. v. Arcad. p. 9, 9. ubi *Κερβήν* editur. 5. *Κεβρῆνος* B, *Κεβρῖνος* AR, *Κευρῖνος* V. *Κεβρηνός* B, *Κεβρῆνος* libri. 5. 6. *Κεβρηνιεύς* Strabo 13 p. 597. 9. 10. *Κερσεάτης* ante B. 10. *Κέγχριος* R. 11. *Κεγχρίου* R, *Κεγχρείου* AV. cf. Pausan. 2, 2, 3. 12. *Κεδραῖαι* R. *Ἀσίας* ΠR. 14. *Κέδρωσσοι* libri. rectius fortasse *Κεδρωσοί*. supra p. 200, 18 unice probavit *Γεδρώσιος*. sed cf. Wesseling. ad Diod. Sic. vol. 2 p. 223. 15. *Κεδρωσσίς* RV. itaque malim: *τὸ θηλυκὸν Κεδρωσσίς* vel *Κεδρωσίς*. 16. *Κειριάδαι* Meursius, *Κειριάδα* libri. 21. *Κεκροπίτης* R. 22. 23. *ἔστι δὲ δῆμος* W.

Κεκρυφάλεια, ἄκρα τις, περὶ ἣν ἐνίκησαν Αἰγινήτας Ἀθηναῖοι. τινὲς δὲ νῆσον αὐτήν φασι Πελοποννήσου. τὸ ἐθνικὸν Κεκρυφαλεύς.

Κελαδώνη, πόλις Λοκρίδος, ὡς Διονύσιος Γιγαντιάδος πρώτῳ. τὸ ἐθνικὸν Κελαδωναῖος.

Κέλαιθοι, ἔθνος Θεσπρωτικὸν προσεχὲς τῇ Θετταλίᾳ. Ῥιανὸς δ'. λέγονται καὶ *Κελαιθεῖς*.

Κελαίθρα, πόλις Βοιωτίας Ἄρνης πλησίον, ἀπὸ Κελαίθρου.

[*Κηφηνία* ...]

[*Κίκονες*, ἔθνος Θρᾳκικόν, οὐ μακρὰν οἰκῆσαν τῶν Μαρωνειτῶν, ὡς δηλοῖ ... „Εὐάνθης δ' οἴκησεν ἐν Κικονίῃ ἵνα Μαρώνεια καλέεται".]

[*Κιναιδοκολπῖται*, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας ...]

Κόρακος πέτρα, τόπος ἐν Ἰθάκῃ. Ὅμηρος. ὁ ταύτην οἰκῶν Κορακοπετραῖος.

---

1. ἄκρεια R. 1. 2. Αἰγινήτας Ἀθηναῖοι H, Αἰγινῆται Ἀθηναίους libri. cf. Müller. Aegin. p. 175. 2. νῆσον om. R. 7. Κελαιθεῖς V, Κελεθεῖς AR. 10. Κηφηνία ... add. M. cf. s. v. Χαλδαῖοι· Πέρσης ἀφ' οὗ οἱ Κηφῆνες καὶ Χαλδαῖοι πρότερον [Πέρσαι] ἐκλήθησαν, ὡς εἴρηται ἐν τῷ περὶ Κηφηνίας. 11-13. Κίκονες — καλέεται add. M ex Eust. ad Hom. p. 359, 13: Κίκονες Θρᾳκικὸν ἔθνος .. οὐ μακρὰν δὲ ἦσαν οὗτοι Μαρωνειτῶν, ὡς δηλοῖ κατὰ τὸν ἐθνικόλογον ὁ γράψας οὕτως „Εὐάνθης δ' ᾤκησεν (οἴκησεν) ἐν Κικονίᾳ (Κικονίῃ) ἵνα Μαρώνεια καλέεται". quod Hellanici testimonium videtur. pergit Eustathius ita: βαρύνεται δὲ τὸ Κίκων κατὰ δύο κανόνας, οὓς ἐκτίθενται οἱ παλαιοί, οἳ καὶ δύο φασὶ γενέσθαι Ὀρφέας Κίκονας, ὧν ὁ εἷς τοῦ Οἰάγρου παλαιὸς καὶ πολλῷ προγενέστερος τοῦ ὑστέρου καὶ ὥς αὐτοί φασιν ἕνδεκα γενεαῖς. quae non dubium est quin et ipsa ex Stephano petita sint pariter atque ea quae idem de Orpheo scripsit ad Il. p. 299, 7: ὧν καὶ ὁ Κίκων Ὀρφεύς, ὃς τὰ πρῶτα μὲν ἀγυρτεύων διέζη, εἶτα καὶ μειζόνων ἀξιῶν ἑαυτὸν καὶ ὄχλον καὶ δύναμιν περιποιούμενος διεφθάρη ἐξ ἐπισυστάσεως, ἀνὴρ γόης ἀπὸ μουσικῆς τε καὶ μαντικῆς καὶ τῶν περὶ τὰς τελετὰς ὀργιασμῶν. quae Eustathius Stephano, Stephanus autem Straboni debet, cuius vide excerpta libri septimi a Kramero edita p. 78. 14. Κιναιδοκολπῖται — Ἀραβίας add. M. vide s. v. Ζαδράμη. 15. Ὅμηρος (Od. 13, 408) non om. R, ut narrat Passovius, sed obscuris ducti-

Κορακόννησος .... Ἀλέξανδρος τρίτῳ Λιβυκῶν. τὸ ἐθνικὸν Κορακοννησίτης.

Κόραξ, ὄρος μεταξὺ Καλλιπόλεως καὶ Ναυπάκτου. Πολύβιος εἰκοστῷ. τὸ ἐθνικὸν Κοράκιος, ὡς Ἄτραξ Ἀτράκιος.

Κοραξοί, ἔθνος Κόλχων πλησίον Κώλων. Ἑκαταῖος Ἀσίᾳ. Κοραξικὸν τεῖχος καὶ Κοραξικὴ χώρα.

Κορδυτός, πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κορδύτιος.

Κορησσός, πόλις τῆς Ἐφεσίας .... διὰ τὸ τὴν Λητὼ τεκοῦσαν καὶ τὴν Ἄρτεμιν κομίζουσαν γενομένην κατὰ τὸν τόπον, οὗ νῦν βωμὸς αὐτῆς, τῆς δὲ πυθομένης τίνος ἐστὶν ὁ τόπος, *κόρη σός* εἰπεῖν. τὸ ἐθνικὸν Κορησσίτης. καὶ ἴσως ἀπὸ τοῦ Κόρησσις. λέγεται καὶ Κορησσεύς. καὶ *Κορησσία* πολίχνιον τῆς Κέω καὶ ἐπίνειον.

Κόρινθος, πόλις ἔσω τοῦ ἰσθμοῦ τῆς Πελοποννήσου. Ἑκαταῖος Εὐρώπῃ. ἡ αὐτὴ ἐκαλεῖτο *Ἐφύρα* ἀπὸ Ἐφύρας τῆς Μύρμηκος τῆς Ἐπιμηθέως γυναικός. ἐκαλεῖτο δὲ ἡ Ἀκροκόρινθος Ἐπώπη διὰ τὸ Σίσυφον ἐντεῦθεν ἐπιδεῖν τὴν τῆς Αἰγίνης ὑπὸ Διὸς ἁρπαγήν. εἶτα Ἡλίου πόλις διὰ τὸ ξηρὰν

bus inter lineas scriptum habet. 1. *Κορακόννησος* M, *Κορακόνησος* libri. excidisse videtur *νῆσος Λιβύης*. praeterea hoc tmema aut ante praecedens transponendum aut cum hoc ita coniungendum est: ὁ *ταύτην οἰκῶν Κορακοπετραῖος. ἔστι καὶ Κορακόννησος*. ita saepe noster. *Λυβικῶν* R. 2. *Κορακοννησίτης* R, *Κορακονησίτης* AV. 3. *Καλλιπόλεως*] V. Livium 36, 30. 5. *Κόραξοι* X, quam *τόνωσιν* praefert Lobeck. Paral. p. 404. *Κοραξοί* est etiam apud Aristot. Meteor. 1, 13. *πλησίων* R. 6. *Ἀσίας* RV. 7. *Κορδυτός* B, *Κόρδυλος* libri. 8. *Κορδύτιος* B et ex corr. R, *Κορδύλιος* AV. 9. *Κορησσός* W, *Κόρησος* B, *Κορισσός* libri. *τοῦ* R. 12. *κόρη σός* Salmasius, *κορισός* RV, *κορισσός* A. *Κορισσίτης* libri. 13. *Κόρησις* RV, *Κόρισις* A, *Κορησσίς* B. *Κορησσεύς* R, *Κορισσεύς* AV. *Κορησία* R, *Κορισσία* AV. 15. *τῆς Πελοποννήσου* R, *τῶν Πελοποννήσων* A, *τῶν Πελοποννησίων* V. 16. *Ἐφύρας τῆς* B, *Ἐφύρου τοῦ* libri. 17. *τῆς*] *τοῦ* PpRV. *ἐκαλεῖτο — Ἐφύρα*] Haec fortasse olim legebantur in *Ἀκροκόρινθος*. *ἡ* add. RV. 18. *Ἐπώπη* R et Eustathius ad Hom. p. 290, 25, *Ἐσώπη* AΠV. cf. p. 275, 3. 19. *Ἡλίου πόλις* RV, *Ἡλιούπολις* A. *ξηρὰ* R.

εἶναι, εἶτα Πάγος, εἶτα Ἐφύρα. οἱ πολῖται Κορίνθιοι, καὶ θηλυκῶς Κορινθιάς. καὶ σύνθετον κορινθιουργής ὡς ἀττικουργής. Ἀπολλώνιος ὁ Ῥόδιος Κανώπῳ „κορινθιουργές ἐστι κιόνων σχῆμα". καὶ Κορινθιακὸς κόλπος τὸ κτητικόν. καὶ κορινθιάζομαι τὸ ἑταιρεῖν, ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν, ἢ τὸ μαστροπεύειν. Ἀριστοφάνης ἐν Κωκάλῳ.

Κόριλλα, πόλις Λατίνων. Διονύσιος τετάρτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Κοριλλανοί.

Κορίολλα, πόλις Ἰταλίας. Διονύσιος ς̅ τῆς ἐπιτομῆς. τὸ ἐθνικὸν Κοριολλανός κατὰ πρόσθεσιν τῆς ν̅ο̅ς̅, ὡς Μύρλεια Μυρλεανός καθ' ὕφεσιν τοῦ ῑ.

Κόριον, τόπος ἐν Κρήτῃ ἀπὸ κόρης τινός. ὁ πολίτης Κορήσιος. καὶ λίμνη Κορησία. καὶ Ἀθηνᾶς ἱερὸν Κορησίας. ταῦτα δὲ ἀπὸ τοῦ κόρη γέγονεν. ἀπὸ δὲ τοῦ Κόριον τὸ ἀνάλογον Κοριεύς.

Κορκυρίς, πόλις Αἰγύπτου, ὡς ἁλμυρίς ἀργυρίς. ἡ δὲ Ψένυρις Αἰγυπτία κώμη βαρύνεται. ὁ πολίτης Κορκυρίτης.

Κόρνικλος, πόλις Λατίνων. Διονύσιος τρίτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Κορνικολανός.

Κοροκονδάμη, πλησίον Σινώπης. Ἀρτεμίδωρος ἐνδε-

---

2. θηλυκὸν R. 2. 3. κορινθιουργής ὡς ἀττικουργής BH, κορινθιουργεύς ὡς ἀττικιουργεύς libri. 3. $\text{Καν}\overset{\text{πω}}{\text{ῶ}}$ β V, Κανωπ ιβ' R, Κανωπῷ δευτέρῳ A. correxi Chol. poet. p. 169. κορινθιουργεύς libri. 6. μαστρωπεύειν et mox κοχάλῳ ante W. 7. τετάρτῳ] c. 45. 9. Κοριαόλλα libri, corr. X. ς' R, καὶ AV. 10. Κορι... κατὰ R. ν̅ο̅ς̅ V, ν̅ο̅ AR. 10. 11. Μύρλεια BH, Μύρλεα libri. 13. καὶ ante λίμνη om. RV. 16. ἁλμυρός V. fallitur B et de ἁλμυρίς et de ἀργυρίς, in quorum utroque ille loci nomen latere putabat. cf. Arc. 34, 14. 17. Ψενύρις A, Ψενυρίς RV, Ψέντρις B, provocans ad Stephanum s. v. Ψέντρις, Αἰγυπτία κώμη. ubi Ψένυρις corrigendum, docente ordine literarum; adde quod nostro loco proparoxytonon requiritur. cf. Arcadius p. 34, 17: τὰ εἰς ρ̅ι̅ς̅ Αἰγύπτια προπαροξύνεται, Βούσιρις Ὄσιρις Ψένυρις. Αἰγύπτιος libri. Κορκιρήτης R. 18. τρίτῳ] c. 50, ubi Κορνίκολος legitur, quod item Stephano reddiderim. nisi utrumque coniungendum. 19. Κορνικολανός RV, Κορνικλανός A. 20. Κορικονδάμη in Κοροκονδάμη ab alia manu correctum R, Κορικονδάμη AV. πλησίον Σι-

κάτω γεωγραφουμένων. τὸ ἐθνικὸν Κοροκονδαμίτης, καὶ λίμνη Κοροκονδαμῖτις.

Κορομάνη, πόλις πρὸς τὸν Περσικὸν κόλπον. Μαρκιανὸς ἐν περίπλῳ αὐτοῦ. τὸ ἐθνικὸν Κορομανηνός διὰ τὸν τύπον τῶν Περσῶν· Παραιτακηνοί γὰρ τῆς Παραιτάκης.

Κόροντα, πόλις Ἀκαρνανίας. Θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικὸν Κοροντεύς, ὡς Σαμόσατα Σαμοσατεύς.

Κορόπη, πόλις Θεσσαλίας. ὁ πολίτης Κοροπαῖος. Νίκανδρος ἐν Θηριακοῖς „ἢ ἐν Ἀπόλλων μαντείας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν". οἱ δὲ ὑπομνηματίσαντες αὐτὸν Θέων καὶ Πλούταρχος καὶ Δημήτριος ὁ Φαληρεύς φασι „Νίκανδρος Ὀροπαῖος καὶ Κοροπαῖος Ἀπόλλων. ἀγνοεῖ δ' ὅτι Ἀμφιαράου ἱερόν, [οὐκ] Ἀπόλλωνός ἐστι. λέγεται δὲ κατ'

νώπης] Stephanus, opinor, scripserat *κατὰ Σινώπην*, Sinopae ex adverso sita, quod more suo perperam intellexit epitomator. praeterea ante *πλησίον* excidisse videtur *νῆσος*. 1. *Κοροκονδαμίτης* V, *Κορικονδαμίτης* AR. 2. *Κοροκονδαμῖτις* R, *Κορικονδαμίτις* A, *Κοροκονδαμῖτης* V. 3. *περὶ?* 4. *αὐτοῦ* H, *αὐτῆς* libri. *Κορομανηνός* Salmasius, *Κορομανιός* V, *Κορωμανιός* R, *Κοροκομανιός* A, *Κοροκομανιείς* Π, *Κορομάνιος* [*καὶ Κορομανηνός*] H. 5. *τῆς Παραιτάκης* X, *τοὺς Παραιτακεῖς* R, *τοὺς Παραιτάκης* AV. 6. *Κόροντα*] Hanc sectionem libri post *Κορόπη* habent. *δευτέρᾳ*] c. 102. 7. *Κοροντεύς* B, *Κοροκεύς* libri. 8. *Κορόπη* et *Κοροπαῖος* X, *Κορώπη* et *Κορωπαῖος* libri. 9. *Θηριακοῖς*] vs. 613. *ἢ ἐν* Nicander, *αἰὲν* libri, in quo *αἷς ἐν* latere videtur, sc. *μυρίκαις*. praecedit enim apud Nicandrum: *καὶ μυρίκης λάζοιο νέον πανακαρπέα θάμνον μάντιν ἐνὶ ζωοῖσι γεράσμιον, ᾗ ἐν Ἀπόλλων* etc. ubi pro *ἐνὶ ζωοῖσι* scribendum videtur *ἐν αἰζηοῖσι* i. e. *ἐν ἀνθρώποις*, ut saepe apud Nicandrum. *μαντοσύνας* Nicander. *Κοροπαῖος* R, *Κορωπαῖος* AV. 10. *ὑπομνήσαντες* ΠRV. 11. *ὁ Φαληρεύς*] Scribendum videtur *ὁ Χλωρός*. de Demetrio Chloro, Nicandri interprete, v. schol. Ther. 377, 585, aliisque locis. favet coniecturae R, in quo scriptum *ὁ Φαληρεύς*. sequentia miris modis perturbata sunt. 11. 12. *Νικάνδρῳ Ὀροπαῖος ὁ Κοροπαῖος* Salmasius, quod non magis sufficit, quam quod B edidit *Νίκανδρος Ὠρωπαῖος καὶ Ὠρωπαῖος Ἀπόλλων*, quamquam de Oropo aliquid dictum fuisse e sequentibus intelligitur; an fuit *Ὀροπαῖος ἀντὶ τοῦ Ὠρωπαῖος?* 12. *δ' ὅτι* Salmasius, *δὲ τὸ* libri. 13. *οὐκ* add. Salmasius.

ἔλλειψιν τοῦ κ̄ Ὀροπαῖος [Κορόπη]. Κορόπη δὲ Θεσσαλίας πόλις. βέλτιον δ' ὑπονοεῖν ὅτι ἡμάρτηται. καὶ γράφεται Ὀροπαῖος. Ὀρόπη γὰρ πόλις Εὐβοίας, ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν".

Κορονιών, πόλις Αἰκανῶν ἐν Ἰταλίᾳ. Διονύσιος ι' Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Κορονιώνιος ὡς Ἀντρώνιος.

Κορπίλοι, Θρᾳκῶν τινές. Στράβων ζ. ἡ χώρα Κορπιλική „ἡ γὰρ Αἶνος κεῖται κατὰ τὴν πρότερον Ἀψυνθίδα, νῦν δὲ Κορπιλικὴν λεγομένην".

Κορσεαί, νῆσος τῆς Ἰωνίας ἀντικρὺ Σάμου. Ἑκαταῖος Εὐρώπῃ. Ἡρωδιανὸς Κορσία διὰ τοῦ ῑ. καὶ τὸ ἐθνικὸν Κορσεάτης.

Κορσίς, νῆσος ἐν τῷ Τυρρηνικῷ πελάγει, ἀπὸ Κόρσης δούλης βουκόλου. λέγεται καὶ Κορσική. τὸ ἐθνικὸν Κορσοί.

Κορύδαλλα, πόλις Ῥοδίων. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κορυδαλλεῖς.

---

1. *τοῦ κ̄ Ὀροπαῖος* H, *τοῦ ῑ Κοροπαῖος* libri. *Κορόπη (Κορώπη* R) om. BH. *Κορόπη*] Prorsus obsolevit Coropae memoria, nisi quod *Κοροπαῖος*, Apollinei mensis nomen, in titulo Acarnanico viri docti sibi repperisse visi sunt. v. Boeckh. C. I. vol. 2 p. 3.
3. *Εὐβοίας*] Schol. Nicandri l. l: *Κοροπαῖος· τινὲς Θεσσαλικός. Κορόπη γὰρ πόλις Θεσσαλίας. γράφεται καὶ Ὀρόπειος. Ὀρόπεια γὰρ πόλις Βοιωτίας* (i. e. *Εὐβοίας*), *ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν*. dicere videtur eam Euboeae urbem, quam reliqui *Ὀροβίας* vocant, Apollinis oraculo claram. v. Strab. 10 p. 445. de quo admonuit B. 5. *Κορβιών* Dionysius. *ι'* (c. 24) add. RV.
6. *ἀρχῆς* RV. 7. *Κορπίλοι* H, *Κορπηδοί* RV, *Κολπηδοί* A. *Κορπίλοι* dicuntur Straboni 7 p. 87 Kr. Corpilli Plinio NH. 4, 18. *Κορπιαλική* i. e. *Κορπιλλική* Ptolem. 3, 11, 9. *τινές*] *ἔθνος* H. *Στράβων* H, *Ἀράβων* libri. v. Strab. ed. Kram. vol. 2 p. 91.
7. 8. *Κολπιλική* AV, *Κολ^{πλ}* R. 8. *προτέραν* AR, *πρωτέραν* V. *Ἀψυνθίδα* X, *Ἀψυνηθίδα* RV, *Ἀψυνοθίδα* A. 9. *Κορπιλικὴν λεγομένην* Salmasius, *Κορπιλικὴν λεγομένη* A, *Κολπικῶν λεγομένων* R, *Κελπιλικιῶν λεγομένων* V, *Κολπηδικῶν λεγομένων* Pp. 10. *Κόρσεαι* AV, *Κόροσσαι* R. 15. *Ῥοδίων*] Non in Rhodo sita erat, sed, ut vicina Rhodiopolis (Plin. NH. 5, 25.), in Lyciae vel Cariae parte ea quae Rhodiorum ditioni subiecta erat. cf. Spratt and Forbes

Κορυδαλλός, δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Κορυδαλλεύς. τὰ τοπικὰ Κορυδαλλόθεν Κορυδαλλόνδε Κορυδαλλοῖ.

Κορύλειον, κώμη περίσημος ἐν Παφλαγονίᾳ, ἀπὸ Κορύλου βασιλεύσαντος. ὁ οἰκήτωρ Κορυλειεύς.

Κορυφαῖον, ὄρος ἐπὶ τῷ Ἐπιδαυρίῳ, ἐν ᾧ τιμᾶται Ἄρτεμις Κορυφαία. Παυσανίας δευτέρῳ. τὸ ἐθνικὸν Κορυφαῖος.

Κορυφάσιον, χωρίον Λακωνικὸν πλησίον Πύλου. Θουκυδίδης τετάρτῃ. τρεῖς δέ εἰσιν αἱ Πύλοι ἐν παροιμίᾳ „ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μὲν ἔστι καὶ ἄλλος". τὸ ἐθνικὸν Κορυφασιεύς καὶ Κορυφάσιος.

Κορώνεια, πόλις Βοιωτίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κορώνου τοῦ Θερσάνδρου. ἐν ταύτῃ οὐ φαίνεται ἀσπάλαξ, πάσης τῆς Βοιωτίας ἐχούσης τὸ ζῷον, κἂν τις ἔξωθεν ἐνέγκῃ εἰς τὴν Κορωνέων χώραν, οὐ δύναται ζῆν. δευτέρα πόλις Πελοποννήσου [μεταξὺ] Σικυῶνος καὶ Κορίνθου. τρίτη τῆς Φθιώτιδος. ἔστι δὲ καὶ φρούριον τῆς Ἀμβρακίας. τετάρτη πόλις Κύπρου. ἔστι καὶ χερρόνησος πρὸς τὴν Ἀττικήν. πέμπτη πόλις Σαλαμινίων *Κορώνη*. ὁ πολίτης Κορώνιος καὶ Κορωνεύς. οἱ δέ φασι παρὰ τὴν Κορώνειαν Κορωνιεύς, παρὰ δὲ τὴν Κορώνην Κορωναεύς.

Trav. in Lyc. vol. 2 p. 279. 16. *Κορυδαλλεῖς* RV, *Κορυδαλεῖς* A. 4. *Κορύλλειον* RV. 4.5. *Κορύλου* RV, *Κορύλλου* A. 5. *Κορυλειεύς* B, *Κορυλιεύς* AR, *Κοριλιεύς* V. 6. *Κορύφαιον?* *ἐπὶ τῇ Ἐπιδαυρίᾳ* H. fort: *ἐστὶ τῶν Ἐπιδαυρίων.* 7. *δευτέρῳ*] c. 28, 2. 9. *τετάρτῃ* (c. 3 et 118.) BH, *πέμπτῃ* A, *β'* R. *ἐν παροιμίᾳ*] Eustath. ad Hom. p. 296, 27: *Πύλοι δὲ τρεῖς κατὰ τὸν τὰ ἐθνικὰ γράψαντα, Μεσσηνίας Τριφυλίας Ἀρκαδίας.* hinc apparet Stephanum scripsisse: *τρεῖς δέ εἰσιν αἱ Πύλοι, [Μεσσηνίας Τριφυλίας Ἀρκαδίας. καὶ] ἐν παροιμίᾳ „ἔστι Πύλος* etc. 13. 14. *Θερσάνδρου — πάσης τῆς* om. V. 15. *Κορωνέων* B, *Κορωναίων* R, *Κορωνείων* Π, *Κορωνείαν* A. 16. *μεταξὺ* add. X. 19. *Σαλαμινίων* H, *λιμίνων* R, *λιμένων* AV, *καὶ λιμὴν* Salmasius. *Κορώνη* Salmasius, *Καρήνη* A, *Καρήνων* V, *Καρήνην* R. *Κορώνιος* B, *Κορωναῖος* AR, om. cum sequ. *καὶ* V. 20. *Κορώνειαν* BH, *Κορωνίαν* libri. *Κορωνειεύς* BH. praestat fortasse *Κορωνεύς.* 21. *Κορωνὴν* libri. *Κορωναιεύς* B, malim *Κορωναῖος* sive [*Κορωναῖος καὶ*] *Κορωναιεύς.*

Κορώνη, πόλις Μεσσήνης, ὡς Ἀπολλόδωρος ἑβδόμῳ τοῦ καταλόγου. ὁ πολίτης Κορωνεύς καὶ Κορωναιεύς καὶ Κορωναῖος. ἔστι καὶ *Κορώνη* μοῖρα τῆς Σαλαμῖνος τῆς ἐν Κύπρῳ. καὶ τρίτη .... ταύτης ὁ οἰκήτωρ Κορωνίτης. ἔστι καὶ πόλις Βιθυνίας.

Κοσίανα, φρούριον Παλαιστίνης. Χάραξ δεκάτῳ. ἐν τῇ παραλίᾳ τῆς Συρίας. τὸ ἐθνικὸν Κοσιανεύς, ὡς Τύανα Τυανεύς.

Κόσσα, πόλις Οἰνώτρων ἐν τῷ μεσογείῳ. Ἑκαταῖος Εὐρώπῃ. οἱ πολῖται Κοσσανοί.

Κοσσαία, μέρος Περσίδος. Στράβων ιϛʹ. οἱ οἰκοῦντες Κοσσαῖοι. ἔστι καὶ Θρᾴκης πολίχνιον.

Κοσσός, ὄρος Βιθυνίας, ὡς Δημοσθένης Βιθυνιακῶν δεκάτῳ. οἱ οἰκοῦντες Κοσσαῖοι.

Κόσσυρος, νῆσος κατὰ Σελινοῦντα Σικελίας ποταμόν, καὶ πόλις ὁμώνυμος. καὶ Λιβύης νῆσος *Κόσσυρα*. τὸ ἐθνικὸν τῆς πρώτης Κοσσύριος, καὶ κτητικὸν Κοσσυριακός ἢ Κοσσυρῖνος, τῆς δὲ δευτέρας Κοσσυραῖος.

Κοσύτη, πόλις Ὀμβρική. Κτησίας τρίτη περιηγήσεως.

---

1. Μεσσήνης V, Μεσήνης AR. 2. Κορωνεύς B, Κορωναεύς libri. 4. καὶ τρίτη] ὁ καὶ δʹ R, καὶ δη H. in quo si recte habet τετάρτη, tertiae urbis memoriam excidisse necesse est. post τρίτη lacunam indicavit B. recte, nisi in sequentibus scribendum: ἔστι δὲ πόλις Βιθυνίας. ὁ οἰκήτωρ Κορωνίτης RV, οἱ οἰκήτορες Κορωνῖται A. situm huius sive tertiae sive quartae Coronae reticuit etiam s. v. Χερρόνησος, ubi memorat peninsulam πρὸς τὴν Κορωνιτῶν πόλιν. 6. 7. Χάραξ — Κοσιανεύς om. V. 10. ὁ πολίτης Κοσσανοί R, οἱ πολῖται Κοσσαροί V. 11. Κοσσαία B, Κοσσέα libri. ιϛʹ (p. 744) BH, ιεʹ libri. 14. Κόσσιοι B. 15. Κόσσυρος RV, Κόσυρος A. in sequentibus libri unum σ̄. v. Hasium ad Stephan. Th. L. Gr. s. v. Κόσσυρος. [τῆς] Σικελίας ποταμόν BH, Σικελίας ποταμός RV, καὶ Σίκελίας ποταμός A. 19. Κοσύτη (Κοσίτη R) ex Κοτύλη corruptum statuunt Cluverus et H, quae parum probabilis coniectura est, siquidem veram nominis scripturam Κοσύη esse ex comparatione cum Μοτύη conicias. Ὀβρική H. περιηγήσεων R.

τὸ ἐθνικὸν Κοσυταῖος ὡς Μοτυαῖος τῆς Μοτύης [Σικελίας πόλις].

Κοτιάειον, πόλις τῆς ἐπικτήτου Φρυγίας. Στράβων ιβ'. τινὲς δέ φασι Κοσιάειον ὀφείλει. δοκεῖ δὲ ἀπὸ τοῦ Κόσα Κόσαιον, ὡς τοῦ Μίδα Μίδαιον, καὶ προσθέσει τοῦ ῑ Κοσιαῖον, καὶ τροπῇ Κοτιαῖον. τὸ ἐθνικὸν Κοτιαεύς. ἔνθα ἦν Ἀλέξανδρος ὁ Ἀσκληπιάδου γραμματικὸς πολυμαθέστατος χρηματίζων, ὃς περὶ παντοδαπῆς ὕλης κδ' ἔγραψε βίβλους.

Κότραδις, πόλις Ἰσαυρίας. Καπίτων Ἰσαυρικῶν πρώτῳ. τὸ ἐθνικὸν Κοτραδεώτης ἀπὸ τῆς γενικῆς τῆς Κοτράδεως.

Κοτύλαιον, ὄρος Εὐβοίας, ἀνακείμενον Ἀρτέμιδι, ὥς φησιν Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β'.

Κοτύρτα, χωρίον Λακωνικόν. Θουκυδίδης. τὸ ἐθνικὸν Κοτυρταῖος.

Κοτύωρα, κώμη πρὸς τῷ Πόντῳ, ὡς Ἀρριανός. τὸ ἐθνικὸν Κοτυωρῖται, ὡς Ἄβδηρα Ἀβδηρῖται.

Κουρής, ὁ Ἀκαρνάν „Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοί" Ὅμηρος. καὶ Κουρεὺς παράγωγον. καὶ θηλυκὸν Κουρῆτις. καὶ Κούρειος καὶ Κουρεία. καὶ Κούρισσα θηλυκῶς.

---

1. *Κοσιταῖος* R. 1-3. *τῆς Μοτύης* (*Μιτύης* RV) *Σικελίας. πόλις Κοτυαείου. πόλις τῆς ἐπικτήτου* libri; separavit et correxit X. 1. 2. *Σικελίας πόλις* seclusi. *Σικελίας πόλεως* I. Horkelius. 3. *Κοτιάειον* B, *Κοτυάειον* X, *Κοτυαΐου* R, *Κοτυαείου* AV. 4. *ιβ'*] p. 576. 5. *Κοσάειον* et mox *Μιδάειον*? *τὸ Μίδαιον* ΠR. 6. *Κοσιάειον* et mox *Κοτιάειον*? quae dubitari non potest quin unice vera huius nominis forma sit, comparanda illa cum *Δορυλάειον*. *τροπῇ* [*τοῦ σ̄ εἰς τ̄*] *Κοτιαῖον* B, inutili interpolatione. *Κοτύαιον* R. *Κοτυαεύς* R. *ἔνθεν*? 7. *ὁ Ἀσκληπιάδου*] V. Anall. Alex. p. 16. 8. *κδ'* RV, *τεσσαράκοντα δύο* A. *βίβλους* M, *βίους* PRV, *λόγους* A. 9. *Κότραδις* M, *Κοτράδης* libri. 10. *Κοστραδιώτης* V. *Κοτράδεως* R, *Κοτραδέως* A, *Κοστραδέως* V. 12. *Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β'* Dübnerus ex Harpocrat. s. v. *Κοτύλαιον*, *Ἀντίμαχος ἐν Ἀρτέμιδος β'* libri. de Archemacho v. Bernhardy ad Dion. p. 987. 13. *Κότυρτα* ΠRV, *Κόρτυτα* A. *Θουκυδίδης*] 4, 56. 14. *Κοτυρταῖος* ΠRV, *Κορτυταῖος* A. 17. *Κουρής* R, *Κούρης* AV. *Ἀκαρνάν* LDindorfius, *Ἀκαρνανίας* libri, [*ἐξ*] *Ἀκαρνανίας* B. 18. *Ὅμηρος*] Il. 9, 529. 18. 19. *Κουρῆτις* B, *Κουρῖτις*

Κούριοι, ἔθνος Σαβίνων πολεμῆσαν Ῥωμαίοις. Χάραξ ιβʹ. οἱ φυλέται Κουρῖται. καὶ οἱ Ῥωμαῖοι Κούριτες πρὸς ἐκείνου ἐκλήθησαν.

Κούριον, πόλις Κύπρου, ἀπὸ Κουρέως τοῦ Κινύρου παιδός. Ἡρόδοτος πέμπτῃ. τὸ ἐθνικὸν Κουριεύς. καὶ Ἀριστοκλῆς Κουριεὺς ἦν. τὸ θηλυκὸν Κουριάς, καὶ ἡ χώρα. ἔστι καὶ πόλις Αἰτωλίας.

Κουρόπολις, πόλις Καρίας. Ἀπολλώνιος Καρικῶν πρώτῳ. τὸ ἐθνικὸν Κουροπολῖται.

Κοχλίουσα, νῆσος πρὸς τῇ Λυκίᾳ. Ἀλέξανδρος δευτέρῳ περὶ Λυκίας, διὰ τὸ κοχλοὺς ἐν αὐτῇ εὑρίσκεσθαι. τὸ ἐθνικὸν Κοχλιούσιος.

Κραβασία, πόλις Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κραβάσιος καὶ Κραβασιεὺς καὶ Κραβασιάτης, καὶ Κραβασιανός διὰ τὴν χώραν.

Κράγος, ὄρος Λυκίας. Ἀλέξανδρος δευτέρῳ Λυκιακῶν. ἀπὸ Κράγου τοῦ Τρεμίλητος υἱοῦ, μητρὸς δὲ Πραξιδίκης νύμφης. ἐνταῦθα δ' εἶναι καὶ τὰ ἐπονομαζόμενα θεῶν ἀγρίων ἄντρα. ἀπαθανατισθῆναι γάρ φασι τοὺς περὶ τὸν Κράγον. τὸ ἐθνικὸν Κράγιος. ἔστι καὶ ὄρος *Ἀντίκραγος* ἕτερον.

Κράδη, πόλις Καρίας. Ἑκαταῖος Ἀσίας περιηγήσει. τὸ ἐθνικὸν Κραδήτης ὡς Σιδήτης.

Κράμβουσα, νῆσος περὶ Σελεύκειαν τῆς Ἰσαυρίας. Στράβων ιδʹ. τὸ ἐθνικὸν Κραμβούσιος ἢ Κραμβουσαῖος.

Κράμβουτις, πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει Λιβύης. ὁ πολίτης Κραμβουτίτης ὡς Ναυκρατίτης. Ἡρω-

---

RV, *Κουρίτις* A. ceterum verba *καὶ θηλυκὸν Κουρῆτις* ante *καὶ Κουρεύς* transponenda videntur. 2. *Κουρῆται* R. *Κούρητες* RV. *πρὸς*] *ἀπὸ*? 3. *ἐκείνων* Cluverus. 4. *Κουριέως* RV. 5. *πέμπτῃ*] c. 113. 6. *καὶ*] *ὡς*? 11. *κοχλοὺς* vel *κοχλίας* M, *κοχλιοὺς* libri. 17. *Τρεμίλου* B. 18. *θεῶν Κραγίων* Schubartus. sed v. Exercit. phil. Athen. I p. 53. 19. *τὴν* pro *τὸν* V. 22. *Κραδίτης* libri. *Σιδήτης* RV, *Σιδίτης* A. 24. *ιδʹ*] p. 670. *Κραμβούσιος ἢ Κραμβουσαῖος* RV, *Κραμβούσης ἢ* omisso *Κραμβουσαῖος* A.

διανὸς διὰ τοῦ ō γράφει Κράμβοτις προπαροξυτόνως, ὡς Ἄβοτις.

Κραναή, νῆσος Λακωνική. Ὅμηρος „νήσῳ δ' ἐν Κραναῇ ἐμίγην". ἥτις πρόκειται τοῦ Γυθείου. οὕτως ἐκαλεῖτο καὶ ἡ Ἀττικὴ ἀπὸ Κραναοῦ. ἐξειλήφασι γάρ τινες οὕτω τὸ Ὁμηρικὸν τὸ Κραναῇ ἀντὶ τοῦ Ἀτθίδι. Ἑλένη καλεῖται νῦν. ἐμοὶ δοκεῖ Ἀλέξανδρος δηλοῦν οὐ τὸν διὰ τῶν νήσων πλοῦν πεποιημένον, τὸν εἴσω ἄγοντα, ἀλλὰ τὸν ἔξω. ὑπονοῶν γὰρ διωχθήσεσθαι τὴν Κρήτην εὐώνυμον λαμβάνει καὶ τὴν Ἀσίαν παραλεγόμενος εἰς Φοινίκην ἔρχεται. τὸ ἐθνικόν, εἰ μὲν τῆς Λακωνικῆς, Κραναάτης ὡς Καρυάτης, εἰ δὲ τῆς Ἀττικῆς, Κραναῖος ὡς Ἀθηναῖος.

Κράνεια, χωρίον Ἀμβρακιωτῶν. Θεόπομπος πεντηκοστῷ πρώτῳ. τὸ ἐθνικὸν Κρανειάτης ὡς Μαλειάτης, ὥς φησι Σοφοκλῆς Λαρισαίοις.

Κρανίδες, συνοικία πρὸς τῷ Πόντῳ. Παρθένιος ἐν Ἀνθίππῃ. τὸ ἐθνικὸν Κρανῖται.

Κράνιοι, πόλις ἐν Κεφαλληνίᾳ τῇ νήσῳ. τετράπολις δὲ ἡ νῆσος ἀπὸ τῶν Κεφάλου παίδων Πρόνου Σάμου Πηλέως Κρανίου. τὸ ἐθνικὸν Κρανιεῖς.

Κραννών, πόλις τῆς Θεσσαλίας τῆς Πελασγιώτιδος ἐν

---

1. *τοῦ ō* X, *τοῦ ῡ* libri. *Κρώμβυτις* et mox *Ἄβυτις* V. 3. *Κρανάη* B. *Ὅμηρος*] Il. 3, 445. *Κρανάῃ* B. 4. *ἐμίγην* RV, *ἐμίγη* A. *πρόσκειται* V. *Γηθείου* A, *Γυθίου* RV. 6. *Ἑλε..* R. 7. *οὐ τὸν* H, *οὐ τῶν* libri. 7. 8. *πεποιημένον* H, *πεποιημένων* libri. 8. *τὸν εἴσω ἄγοντα* M, *τὸν εἰσάγοντα* H, *τοῦ εἰσάγοντος* V, *τῶν εἰσάγοντος* R, *τῶν εἰσαγόντων* A. *ἀλλὰ τὸν* H, *ἀλλὰ τῶν* libri. 9. *διαχθήσεσθαι* Π. 10-14. *τὸ ἐθνικόν — πρώτῳ* om. R. 14. *Κρανειάτης ὡς Μαλειάτης* Gavelius, *Κρανεώτης ὡς Μαρεώτης* B, *Κρανειάτης ὡς Μαρειάτης* libri. 15. *Λαρισαῖος* libri, *Λαρισσαίοις* BH. 17. *Ἀνθίππῃ* RV, *Ἀνθίπῃ* A. 18. *Κράνιοι* B, *Κράνιον* libri. *Κεφαληνίᾳ* ante W. 19. *Πρόνου Σάμου* M, *πρωνουσσαμασυ* R, *πρυνουσσαμασυ* V, *προνούσσαμασυ* A, *Προνήσου Σάμου* X, *Πρωνήσου Σάμου* H. cf. Schneidewin. ad Heracl. polit. p. 101 sq. 19. 20. *Παλέως* B. 20. *Κρανιεῖς* BH, *Κραναεῖς* libri. 21. *Κραννών* R, *Κράνων* AV.

τοῖς Τέμπεσιν, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄλλη πόλις Ἀθαμανίας, ἀπὸ Κράννωνος τοῦ Πελασγοῦ. ἐν ταύτῃ δύο κόρακας εἶναί φασι μόνους, ὡς Καλλίμαχος ἐν τοῖς Θαυμασίοις καὶ Θεόπομπος. ὅταν δ' ἄλλους ἐκνοσσεύσωσιν, ἴσους αὐτοὺς καταλιπόντες ἀπέρχονται. ὁ πολίτης Κραννώνιος. Ἡρόδοτος ἕκτῃ „ἐκ δὲ Θεσσαλίης ἦλθε τῶν Σκοπαδέων Διακτορίδης Κραννώνιος". ἀπέχει δὲ σταδίους ἑκατὸν τῆς Γυρτῶνος ἡ Κραννὼν πόλις, ὥς φησι Στράβων. καὶ Ὅμηρός φησιν Ἐφύρους τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς Γυρτωνίους. ἔστι καὶ θηλυκὸν Κραννωνίς ἀπὸ τῆς γενικῆς.

Κρασέριον, Σικελίας χωρίον. Φίλιστος ὀγδόῳ. τὸ ἐθνικὸν Κρασερῖνος.

Κραστός, πόλις Σικελίας τῶν Σικανῶν. Φίλιστος Σικελικῶν τρισκαιδεκάτῳ. ἐκ ταύτης ἦν Ἐπίχαρμος ὁ κωμικὸς καὶ Λαῒς ἡ ἑταίρα, ὡς Νεάνθης ἐν τῷ περὶ ἐνδόξων ἀνδρῶν. ἔχει δὲ ἡ πόλις εὐπρεπεστάτας γυναῖκας, ὡς Φιλήμων. Ἀπίων δὲ ὅτι μόνος Πολέμων ἔφη τὴν Λαΐδα Κορινθίαν. ὁ πολίτης Κραστῖνος καὶ Κραστίνη τὸ θηλυκόν.

Κρέμη, πόλις Πόντου. Φλέγων ὀγδόῳ χρονικῶν. τὸ ἐθνικὸν Κρεμήσιος ὡς Ἰθακήσιος.

Κρεμμυών, κώμη Κορίνθου. Εὔδοξος ἕκτῳ γῆς περιόδου. ὁ πολίτης Κρεμμυώνιος. „ἐν ᾗ μυθεύουσι τὰ περὶ τὴν

---

2. Ἀθαμανίας X, Ἀθαμνιάς AV, Ἀθαμνίας R. Κράνωνος AR, Κράνων V. 4. ἐκνεοσσεύσωσιν R. 5. Κρανώνιος libri. 6. ἕκτῃ] c. 127. Θεσσαλίης R, Θετταλίης A, Θετταλίας V. 6. 7. Διακτορίδης RV, Διακτορίδης γὰρ A. 7. Κρανώνιος libri. 7. 8. Γόρτωνος RV, Κόρτωνος A, Κορτόνος Π. cf. Strab. 7 p. 330 (77. Kram.). 8. Κραννὼν Pp, Κράννων V, Κράνων AΠR. Ὅμηρος] Il. 13, 301. cf. Strabo l. l: καί φασιν ὅταν εἴπῃ ὁ ποιητὴς τὼ μὲν ἄρ' ἐκ Θρῄκης καὶ ἑξῆς, Ἐφύρους μὲν λέγεσθαι τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς Γυρτωνίους. 9. Κραννωνίους V, Κρανωνίους AR. Γορτοναίους libri, corr. X. 10. ἔστι om. R. Κραννωνίς V, Κρανωνίς AR. 14. τρισκαιδεκάτῳ] ιγ' AV. v. Göller. Philisti fr. p. 128. et Arnoldt. de Athana p. 6. 21. Κρεμμύων A, Κρομμυών V, Κρομμύων R. 22. ἐν ᾗ — 393, 2 ἕνα] Verba Strab. 8 p. 380.

Κρεμμυωνίαν ὗν, ἣν μητέρα τοῦ Καλυδωνίου κάπρου φασὶ καὶ τῶν Θησέως ἄθλων [ἕνα]". Φαβωρῖνος δὲ ὅτι τοῦ Ἐρυμανθίου καὶ τοῦ Καλυδωνίου μήτηρ ἦν. τὸ δὲ κύριον ὄνομα αὐτῆς ἐκαλεῖτο Φαῖα. ἔστι καὶ Κρομμυών πόλις Λιβύης διὰ τοῦ ō. καὶ Ἑκαταῖος. τὸ ἐθνικὸν Κρομμυώνιος καὶ Κρομμυωνία.

Κρεῦσις, πόλις Βοιωτίας, κειμένη καταντικρὺ τῆς Μεγαρίδος, ὡς Ἡρωδιανός. ἡ γενικὴ Κρεύσιος. τὸ ἐθνικὸν Κρευσιεύς.

Κρηνίδες, πόλις Μακεδονίας, ἃς Φίλιππος μετωνόμασε Φιλίππους. τὸ ἐθνικὸν Κρηνῖται.

Κρῆσσα, πόλις Παφλαγονίας, ἣν Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζηίλας δὲ εἶλεν ὁ Νικομήδους υἱός. Δημοσθένης γράφει ... τὸ ἐθνικὸν Κρησσαῖος.

Κρήσιον, πόλις Κύπρου. Θεόπομπος Φιλιππικῶν πεντεκαιδεκάτῳ. τὸ ἐθνικὸν Κρησιεύς ὡς Σουνιεύς.

Κρήστων, πόλις Θρᾴκης. ἔοικε δὲ εἶναι ἡ Κρηστών παρ' Ἡροδότῳ. Λυκόφρων „ὀρχωμοτῆσαι τόν τε Κρηστώνης θεόν". ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ. Ῥιανὸς δὲ Κρηστωνίους αὐτούς φησιν. Ἑκαταῖος δὲ Κρηστῶνας αὐτοὺς ἐν Εὐρώπῃ. καὶ Κρηστωνικόν κτητικόν.

Κρήτη, ἡ μεγίστη νῆσος, ἣν Κρεήτην ἔφη Ἀρχίλοχος κατὰ πλεονασμόν. οἱ μέν φασιν ἀπὸ τοῦ Κουρῆς Κουρήτην

---

1. *ὗν* om. V. 2. *ἕνα* add. e Strabone. *δὲ ὅτι τοῦ* X, *δὲ τοῦ* R, *δὲ καὶ τοῦ* AV. 2. 3. *Ἐρυμανθίου* B, *Ἐρύμανθος* libri. 3. *δὲ* add. *Π*R. 4. *Κρομμυωνίων* R. 6. *κατὰ ἀντικρὺ* RV. 7. *Ἡρωδιανός*] An libro quarto *τῆς καθόλου*? v. Arcad. p. 34, 24. *ἡγεμονικὴ* V. cf. ad *Κρουσίς*. 9. *Μακεδονίας* vel *Πιερίας* BH, *Σικελίας* libri. 12. *Ζηΐλας* BH, *Ζιλίας* RV, *Ζελίας* A. 13. *γράφει. τὸ* A, *γράφει* indicata lacuna V, *γρ.. τὸ* R. pro *γρ* fortasse *γ'* i. e. tertio libro Bithyniacorum. 15. *Κρισιεύς* V. 16. *Κρηστώνη, πόλις*? *ἡ Κρηστώνη* X. 17. *Ἡροδότῳ*] 1, 57. *Λυκόφρων*] vs. 937. 18. *Πεισάνδρῳ*? 21. *Ἀρχίλοχος*] *Ἀρχίας τις* Eustath. ad Dion. 498. 22. *πλεονασμὸν τοῦ ε̄* Eustathius. *Κουρῆς Κουρήτην* R, *Κόρης Κουρήτην* V, *Κόρης Κορήτη* A. cf. Eustathius l. l: *Κρήτη δὲ λέγεται, ὡς οἱ παλαιοί φασιν, ἀπὸ τῶν ἐκεῖ οἰκησάντων Κουρήτων, οἱονεὶ Κουρήτη.*

καὶ Κρήτην κατὰ συγκοπήν, οἱ δὲ ἀπὸ Κρητὸς τοῦ Διὸς καὶ Ἰδαίας νύμφης παιδός, οἱ δ' ἀπὸ Κρήτης μιᾶς τῶν Ἑσπερίδων, οἱ δὲ ἀπό τινος γηγενοῦς Κρητός. ἄμεινον δὲ παρὰ τὸ Κρής Κρητός Κρήτη, ὡς Θρᾴκη καὶ Χιτώνη καὶ εὐφρόνη. λέγεται καὶ ποιητικῶς Κρῆται. λέγεται καὶ Κρής Κρητός καὶ Κρῆσσα· καὶ Κρηταῖος καὶ θηλυκῶς καὶ οὐδετέρως· καὶ Κρητεύς καὶ Κρητῆος καὶ Κρητήιος κτητικόν· καὶ θηλυκὸν Κρητηιάς. καὶ Κρηταιεύς καὶ Κρήσιος ἀπὸ τοῦ Κρής, καὶ Κρησιάς θηλυκὸν καὶ Κρησία καὶ Κρήσιον. καὶ ἀπὸ τῆς Κρητός γενικῆς Κρῆτις, καὶ τροπῇ τοῦ τ̄ εἰς σ̄ Κρησίς. καὶ τὸ κτητικὸν Κρητικός. καλεῖται δὲ ἡ νῆσος καὶ Ἀερία καὶ Χθονία καὶ Ἰδαία.

Κρητινία, τόπος Ῥόδου, ἐν ᾧ ᾤκουν οἱ περὶ Ἀλθαιμένην, ὃς χρησθεὶς ὅτι τὸν πατέρα ἀποκτενεῖ ἔφυγε, καὶ νυκτὶ πλοίῳ συναντᾷ ἐν Ῥόδῳ, καὶ ὡς λῃστὰς νομίσας ἀναιρεῖ τὸν πατέρα. εἰσὶ δὲ ὑπὲρ αὐτοῦ τὰ Ἀταβύρια ὄρη, ἀφ' ὧν Ζεὺς Ἀταβύριος.

Κριθώτη, πόλις Ἑλλησπόντου, ὀγδοήκοντα σταδίους ἀπέχουσα τῆς Καρδίας. τὸ ἐθνικὸν Κριθώσιος ὡς Περκώσιος. ἔστι καὶ ἄκρα Ἀκαρνανίας.

---

1. ἀπὸ Κρητὸς] De hoc Eustathius l. l. affert Arriani verba: Κρής, οὗ Κρήτη ἐπώνυμος, ὁ τὸν Δία κρύψας ἐν ὄρει Δικταίῳ, ὅτε Κρόνος ἐμάστευεν, ἐθέλων ἀφανίσαι αὐτήν. quae Stephano deberi videntur. καὶ om. R. 5. καὶ ποιητικῶς] καὶ ... κτητικὸν R. fort. καὶ πληθυντικόν. cf. Hom. Od. ξ, 199. π, 61. 6. Κρῆσσα M, Κρησ̊η R, Κρήσση AV. 7. Κρητῆος] Κρητηίς? an Κρήτειος? 10. Κρῆτις] Κρήτης R. Κρησίς M, Κρῆσις libri. 11. τὸ om. RV. 13. Κρητινία M, Κρητἠνία R, Κρητηνία AV. Κρητινία item ex codd. pro Κρητηνία scribendum apud Apollod. 3, 2, 3. fuit etiam Ephesiaci agri oppidum Κρητίναιον sive Κρητίναι dictum, non Κρητήναιον, de quo v. Choliamb. poet. p. 123 et ad Scymni Per. p. 62. 13. 14. Ἀλθαιμένην H, Ἀλθημένην libri. 15. ὡς ne deleas. similiter infra s. v. Κροκοδείλων πόλις legitur ἡγεῖσθαι ὥσπερ θεόν. add. Diod. Sic. 15, 49: τὴν χώραν ὥσπερ ἱερὰν τοῦ Ποσειδῶνος νομίζεσθαι. 16. Ἀταβήρια et mox Ἀταβήριος R. 17. Ζεὺς add. RV. 18. Κριθωτή libri. 19. Κρηθώσιος R.

Κρίμισα, πόλις Ἰταλίας πλησίον Κρότωνος καὶ Θουρίου. Λυκόφρων. ἀπὸ Κριμίσης νύμφης. τὸ ἐθνικὸν Κριμισαῖος καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ ποταμός.

Κρῖσα, πόλις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Κρίσου Φώκου υἱοῦ. τὸ ἐθνικὸν Κρισαῖος καὶ Κρισαῖον πεδίον. εἰσὶ καὶ *Κρῖσαι* ἄλλαι. Τρωική. ἔστι καὶ Αἰολίδος Κρῖσα. τινὲς δὲ τὴν αὐτὴν τῇ Κίρρᾳ φασί. λέγεται τὸ θηλυκὸν Κρισηιάς, ὡς ἀπὸ τοῦ Κρισεύς.

Κριώα, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Κριωεύς. τὰ τοπικὰ Κριῶθεν κατὰ συγκοπὴν καὶ Κριῶζε καὶ Κριῶσιν.

Κρόβυζοι, ἔθνος πρὸς νότον ἀνέμου τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπῃ. ἐξ ὧν Κροβυζική ἡ γῆ.

Κροκέαι, πόλις Λακωνική, τῶν ἑκατὸν πόλεων μία. λέγεται οὖν ἑνικῶς. οἱ οἰκοῦντες Κροκεᾶται. λέγεται δὲ τοπικῶς Κροκεῆθεν.

Κροκοδείλων πόλις, πόλις ἐν τῇ Μοίριδος [τῇ] λίμνῃ ἐν Αἰγύπτῳ. Ἡρόδοτος δευτέρᾳ. ἐκλήθη δὲ οὕτως· ὁ Μηνᾶς

---

1. Κρόμισα V. 2. Λυκόφρων] vs. 913. ubi Κρίμισσα. Κριμήσης R. 5. Φώκου υἱοῦ Pp, Φωκίου ARV. Κρισσαῖος V. 6. ἄλλαι. Τρωική-M, ἄλλαι Τρωικαί libri. 7. δὲ τὴν αὐτὴν Coraes ad Heliod. p. 93, δ' αὐτὴν libri. θηλυκὸν M, ἐθνικὸν libri, quod tenens B locum ita refingi voluit: ἐθνικὸν [Κρισήϊος καὶ θηλυκὸν] Κρισηιάς. pro Κρισηιάς libri Κρησηιάς, quod cum in V bis scriptum sit, fortasse legendum Κρισηίς καὶ Κρισηιάς.
9. Κριώα R, Κριῶνα AV, Κριῶα B. apud schol. Arist. Av. 645: Κριός, δῆμος τῆς Ἀντιοχίδος φυλῆς, scribendum Κριώα, quo ducit codd. lectio κυρίως. Ἀντιοχείας RV. φυλῆς om. V. Κριοεύς R. 10. κατὰ συγκοπὴν add. R. 11. Κρόβυζοι] Vide Comment. Soc. litt. Gotting. 11 p. 176. 12. ὧν R, οὗ AV. 13. Κροκέα BH. utramque formam a scriptore memoratam fuisse sequentia docent; pro Κροκέαι autem rectius fuerit Κροκεαί, docente adverbio Κροκεῆθεν. 13. μία sive potius α' add. RV. 14. οὖν] καὶ B. δὲ om. RV. 16. πόλις add. R. Μοίριδος vir doctus in marg. Aldinae qua utor, Μοιρίδι libri. τῇ seclusit M. λίμνῃ] Post hanc vocem μιᾶς add. R, lacunam indicant AV. 17. δευτέρᾳ] c. 148. οὕτως, [ὅτι] ὁ BH. οὕτως hanc ob causam, ut apud schol. Eurip. Med. 2: καλοῦνται δὲ Συμπληγάδες οὕτως. Μηνᾶς BH, Μαν* libri.

βασιλεὺς ὑπὸ τῶν ἰδίων κυνῶν διωκόμενος μεθ' ἵππου φεύγει· καταπεσόντος δὲ τοῦ ἵππου ἐν τῇ Μοίριδος λίμνῃ, ὑπὸ κροκοδείλου ληφθῆναι καὶ ἐξενεχθῆναι εἰς τὸ πέραν, καὶ οὕτως ὀνομασθῆναι καὶ πόλιν κτίσαι καὶ καθιερώσασθαι τοὺς κροκοδείλους. ἀπεῖπέ τε μηδένα ἀποκτείνειν τὸ ζῷον ἡγεῖσθαί τε ὥσπερ θεόν. ὁ πολίτης Κροκοδειλοπολίτης.

Κροκύλειον, νῆσος Ἰθάκης. Θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν Κροκυλεύς. Ἡρακλέων δὲ ὁ Γλαύκου τετραμερῆ φησι τὴν Ἰθάκην, ἧς τὸ μὲν πρῶτον ἐπὶ μεσημβρίαν καὶ θάλατταν ...., καὶ τὸ δεύτερον Νήιον, καὶ τὸ τρίτον Κροκύλειον, τὸ τέταρτον Αἰγίλιπα.

Κρομύουσα, νῆσος Ἰβηρίας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κρομυούσιος.

Κρομμύων πόλις, πόλις πλησίον Ἀσκάλωνος. Φιλήμων ἐν Ἐφήβοις. ὁ πολίτης Κρομμυώνιος.

Κρόσσα, πόλις πρὸς τῷ Πόντῳ. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κροσσαῖος [καὶ] θηλυκῶς καὶ οὐδετέρως.

Κρόταλλα, πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κροταλλαῖος, ὡς Ἄβολλα Ἀβολλαῖος.

Κρότων, πόλις Ἰταλίας εὔσημος παρὰ τὸ Ῥήγιον. βα-

---

1. τῶν om. R. 2. Μοίριδι libri. 3. ἀναληφθῆναι? ἐνεχθῆναι R. πέρας V. 4. ὀνομασθῆναι RV. fortasse: καὶ πόλιν κτίσαι καὶ οὕτως ὀνομάσαι. 5. μηθένα V. ἀποκτένειν V. 6. ὥσπερ R, ὡς AV. 7. Κροκύλειον X, Κροκύλιον libri. τρίτῃ] c. 96. 10. lacunam indicavit Palmerius, Νήριτον supplens. Κροκύλεια Eust. ad Hom. p. 307, 22. 11. Αἰγίλιπα H, Αἰγιρῆα libri, quod vide num ex Αἰγίλιπα τρηχεῖαν corruptum sit, cll. Hom. Il. 2, 633. corruptum Αἰγιρῆα etiam Eustathius l. l. in suo epitomae exemplari repperisse videtur. ceterum in hoc tmemate etiam de Ἀκροκύλεια aliquid scriptum fuisse, indicant quae supra leguntur: Ἀκροκύλεια, κεῖται ἐν τῷ κ̄. 12. Κρομμύουσα et 13. Κρομμυούσιος literarum series requirit. 14. πόλις add. R. 15. Ἐφήβοις R, Ἐφήβῳ AV. 16. Ἀσίᾳ RV, Εὐρώπῃ A. 17. Κροσσαῖος R, Κροσαῖος AV. καὶ add. M. 17-19. θηλυκῶς — Κροταλλαῖος add. RV. 19. Ἄβολλα Ἀβολλαῖος R, Ἄμυλλα Ἀβυλλαῖος V, Ἄφυλλα Ἀφυλλαῖος A. 20. παρὰ RV, περὶ A.

ῥύνεται δὲ ὅτε τὸ ὄρος σημαίνει ὅθεν ὁ Αἴσαρος ῥεῖ ποταμός, τὸ μέντοι ἐπὶ τοῦ φθαρτικοῦ τῶν κυνῶν ὀξύνεται. ἔστι καὶ ἑτέρα πόλις, Τυρρηνίας μητρόπολις. καὶ τρίτη Ἰταλίας. οἱ πολῖται Κροτωνιᾶται καὶ θηλυκῶς Κροτωνιᾶτις, καὶ Κροτώνιος καὶ Κροτωνία καὶ Κροτωνιάτης καὶ Κροτωνιάς.

Κρουσίς, μοῖρα τῆς Μυγδονίας. Στράβων ἑβδόμῃ. ἡ γενικὴ Κρουσίδος. ἀπὸ Κρούσιος τοῦ Μυγδόνος υἱοῦ. τῷ τοπικῷ ἔθει Κρουσιδεύς ὡς Χαλκιδεύς. ἔστι δὲ Κρουσιεύς. καί ἐστι θηλυκὸν ὁμώνυμον Κρουσὶς γῆ.

Κρουστομερία, πόλις Σαβίνων ἀντιστᾶσα Ῥωμύλῳ. Διονύσιος δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Κρουστομερῖνος.

Κρύα, πόλις Λυκίας. Ἀρτεμίδωρος ἐν ἐπιτομῆς πρώτῳ. τὸ ἐθνικὸν Κρυεύς „εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι Κρυέων, Κάρυσις καὶ Ἄλινα".

Κρυασσός, πόλις Καρίας, ἀπὸ Κρυασσοῦ τοῦ Κάρητος. ὁ πολίτης Κρυασσεύς.

Κρωβίαλος, πολίχνιον πρὸς τῇ Ποντικῇ. Ἀπολλώνιος

---

1. ὅτε [τὴν πόλιν ἢ] τὸ ὄρος? Αἴσαρος Cluverus, Ἄξιος libri. 2. φθαρτικοῦ M, φθαρτοῦ libri. καὶ add. R. 3. καὶ τρίτη] Hanc eandem esse cum ea, quam primo loco memoravit, monuit B. 3-5. οἱ πολῖται — καὶ Κροτωνιάτης bis habet R. 4. θηλυκὸν R. 4. 5. καὶ Κροτώνιος om. V. 5. καὶ Κροτωνιάτης om. B. fort. καὶ Κροτωνίς. 6. 7. ἡ γενικὴ R, ἡγεμονικῆς AV, Μυγδονικῆς Salmasius, Ἠδωνικῆς W. idem error in V s. v. Κρεῦσις. 7. Κρούσιος RV, Κρουσέως A. 7. 8. τῷ τοπικῷ in R ita scriptum est, ut primitus τὸ τοπικὸν fuisse videatur; itaque legendum τὸ τοπικὸν ἔθει. 8. ὡς (καὶ R) Χαλκιδεύς om. Π. Κρουσιεύς Bernhardy, Κρουσεύς W, Κρουσᾶ R, Κρουσ.. AΠV, Κρουσαῖος H. Κρουσιεύς ab ionica forma genitivi Κρούσιος. cf. s. v. Ἄβοτις et Κρεῦσις. spectant huc superiora verba ἀπὸ Κρούσιος. 10. Κρουστομερία] Haec sectio in libris ante Κρουσίς est. 11. δευτέρῳ] c. 32. 13. ἐπιτομῇ α' PpΠRV. 15. Ἄλινα RV, Ἀλίνα A. cf. supra ad v. Ἄλινδα. 16. Κρυασσός] Plutarch. virt. mul. p. 246 d: τῶν Καρῶν οἱ Κρύασσαν οἰκοῦντες. leg. Κρυασσόν. Κρυάσου R. 16. 17. Καρός pro Κάρητος? an Κούρητος?

δευτέρῳ „Κρωβίαλον Κρῶμνάν τε καὶ ὑλήεντα Κύτωρον". οἱ οἰκοῦντες Κρωβιαλεῖς.

Κρῶμνα, πόλις Παφλαγονίας, ἡ νῦν *Ἄμαστρις*, ὡς εἴρηται. τινὲς δέ φασι χωρίον Ἀμάστριδος. τὸ ἐθνικὸν Κρωμνίτης καὶ Κρωμναῖος καὶ Κρωμναιεύς. ἔστι καὶ Πελοποννήσου πόλις ἀρσενικῶς καὶ θηλυκῶς καὶ ἑνικῶς καὶ πληθυντικῶς. ἀπὸ Κρώμνου τοῦ Λυκάονος.

Κρωπιά, δῆμος τῆς Λεοντίδος φυλῆς. Φρύνιχος δὲ *Κρωπιάδα* φησίν. Ἀνδροτίων δὲ *Κρῶπάς* φησι τὸν δῆμον. ὁ δημότης Κρωπίδης. τὰ τοπικὰ ἐκ Κρωπιδῶν [εἰς Κρωπιδῶν] ἐν Κρωπιδῶν καὶ Κρωπιᾶθεν Κρωπιάνδε καὶ Κρωπιᾶσιν.

Κρῶς, πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει Ἀσίας. ὁ πολίτης Κρωίτης, καὶ νομὸς Κρωίτης. ἔστι καὶ *Κρῶις* Ἀράβων πόλις.

Κτησιφῶν, πόλις Ἀσσυρίας. Μαρκιανὸς ἐν περίπλῳ. τὸ ἐθνικὸν Κτησιφώντιος.

Κτιμένη, πόλις Θετταλίας, ὑπὸ Πηλέως Φοίνικι δωρηθεῖσα, ἧς τοὺς πολίτας Ὅμηρος Δόλοπάς φησιν, ὡς Σίντιας τῆς Λήμνου, καὶ Τρῶας τῆς Ἰλίου καὶ Ζελείας, καὶ Ἐπειοὺς τῆς Ἤλιδος, καὶ Φαίακας τῆς Σχερίας, καὶ Ἄβαντας τοὺς

---

1. δευτέρῳ (vs. 944) Hartungius, τρίτῳ libri. Κρήτωρον (υ superscr.) R. 5. Κρωμνιεύς Eustath. ad Hom. p. 362, 17. 7. ἀπὸ RV, ἐπὶ A. 8. Κρωπία AV, Κροπία R. Λεονίδος RV. 9. Κρωπιάδα R, Κροπιάδα AV. 10. ἐκ Κροπιδῶν R. εἰς Κρωπιδῶν add. M. ἐν Κρωπιδῶν add. HRV. Κρωπιᾶθεν R, Κρωπίαθεν AV. Κρωπίανδε libri. καὶ add. R. 12. Κρῶς] V. Arcad. p. 126, 25. 13. Κρῶις RV, Κρωίς A. 15. Ἀσσυρία R. 17. Κτιμένη M, Κτημένη libri, qui hoc tmema ante Κτησιφῶν habent. librorum scriptura fraudi fuit impostori qui numum finxit apud Sestin. Lett. num. vol. 8 p. 42 cum epigraphe *ΚΤΗΜΕΝΑΙΩΝ*. cf. Radulphum Rochettum in Journal des Sav. 1836 p. 453. Θεσσαλίας R. 18. Ὅμηρος Δόλοπας] Il. 9, 484. Σίντιας] Od. 8, 294. 19. Ζελείας] Il. 2, 824. 20. Ἤλιδος] Il. 2, 619. Σχερίας R, Χερίας V, Κερκύρας A. respicit Od. 6, 8.

Εὐβοέας. καὶ „Κτιμένην Δολοπηΐδα". τὸ ἐθνικόν, ὡς Κλαζομένιος, Κτιμένιος καὶ Κτιμεναῖος.

Κύαλος, πόλις Λυδίας, κτισθεῖσα ὑπὸ [Κυάλου τοῦ] Διός. τὸ ἐθνικὸν Κυάλιος, ὡς Φάρσαλος Φαρσάλιος.

Κύαρδα, πόλις Καρίας, ἀπὸ Κυάρδου βασιλέως Καρῶν, υἱοῦ Βαργάσου. τὸ ἐθνικὸν Κυαρδεὺς ὡς Λαρανδεύς.

Κυβασσός, πόλις Καρίας, ὡς Καβασσός. τὸ ἐθνικὸν Κυβασσεὺς ὡς Ἁλικαρνασσεύς.

Κυβέλεια, πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. Ἡρωδιανὸς δὲ Κυβέλην φησὶ πόλιν Φοινίκης. ἔστι καὶ Κύβελα Φρυγίας. καὶ Κύβελα ὄρος ἱερόν, ἀφ' οὗ Κυβέλη ἡ Ῥέα λέγεται [καὶ] Κυβεληγενὴς καὶ Κυβελίς. Πείσανδρος δεκάτῳ.

Κύβος [ἢ Κυβώ], πόλις Ἰώνων ἐν Λιβύῃ Φοινίκων. Ἑκαταῖος περιηγήσει αὐτῆς „καὶ λιμὴν που ἄκρη καὶ Κυβώ". ὁ πολίτης Κυβοίτης, ὡς Σαβοίτης τῆς Σαβοῦς, ἢ Κυβίτης, ὡς τῆς Βούτου Βουτίτης.

---

1. *Εὐβοέας*] Il. 2, 536. [*οὕτως*] *καὶ*? *Κτημένην Δολοπιάδα* libri; sunt verba Apoll. Rh. 1, 68. ubi schol: *Κτιμένη πόλις τῆς Θεσσαλίας. Δολοπηΐδα δὲ τὴν Θεσσαλίαν* (leg. *Θεσσαλικὴν*) *εἶπε.* 2. *Κτημένιος* (*Κτισμένιος Π*) *καὶ Κτημεναῖος* libri. *Κτιμένιος* om. V. 3. *ὑπὸ* H, *ἀπὸ* libri. nisi *κληθεῖσα* scribendum. *Κυάλου τοῦ* add. BH. 5. *Κύαρδα* e *Κύδρα* corruptum censet H. 7. *Κύβασσος* et mox *Κάβασσος* ante W. 10. *πόλιν φησὶ Κυβέλην* R. *Κύβελλα* ante H. 11. *Κύβελα ὄρος* Hemsterhusius ad Luc. p. 308, *Κύβελον ὄρος* B, *Κύβελλον* libri. *καὶ* add. Horkel. 12. *Κυβιλίς* V, *Κυβηλίς* R, *Κυβεληίς* GDindorfius. 13. *ἢ Κυβώ* add. H. 14. *αὐτῆς* R, *αὐτοῦ* AV. *που ἄκρη*] Merito offendit Schubartus. suspicor *Ἵππου ἄκρη.* quo nomine cum duo in Libya promontoria memorentur, Hecataeus sine dubio de eo dixit, quod Uticae vicinum, huic versus occidentem situm erat. ita ut statuam efficit nomen *λιμήν*, quo Uticae portum significari veri simillimum est. itaque nescio an Hecataei verba ita redintegranda sint: [*μετὰ δὲ Ἰτύκη, πόλις καὶ*] *λιμήν, Ἵππου ἄκρη.* quemadmodum fere Scylax Per. 110: *μετὰ Καρχηδόνα Ἰτύκη πόλις καὶ λιμήν. παράπλους εἰς Ἵππου ἄκραν* [*ἑπτὰ σταδίων*]. *Ἵππου πόλις καὶ λίμνη ἐπ' αὐτῇ.* quo loco *Ἵππου πόλις* dicitur quae alias fere *Ἱππών* atque etiam *Ἵππου ἄκρα* nominatur. ac fortasse ipsum illud *Ἱππών* Scylaci reddendum est. 15. *Κυβοίτης* M, *Κυβίτης* libri. *Σαβοίτης* RV, *Σαβίτης* A. *τῆς* om. V. *Κυβίτης*

Κυδαθήναιον, δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Κυδαθηναιεύς. ἐντεῦθεν ἦν Νικοχάρης ὁ κωμικός. καὶ „κύων Κυδαθηναιεύς". τὰ τοπικὰ ἐκ Κυδαθηναιέων εἰς Κυδαθηναιέων ἐν Κυδαθηναιέων.

Κυδαντίδαι, δῆμος τῆς Αἰγηίδος φυλῆς, ὡς δὲ Φρύνιχος, Πτολεμαΐδος. ὁ δημότης Κυδαντίδης. τὰ τοπικὰ ἐκ Κυδαντιδῶν ἐς Κυδαντιδῶν ἐν Κυδαντιδῶν.

Κύδνα, πόλις Μακεδονίας. Θεαγένης ἐν Μακεδονικοῖς. ἢ κατὰ παραφθορὰν Πύδνα λέγεται. τὸ ἐθνικὸν Πυδναῖος. ἔστι καὶ *Κύδνος* ποταμὸς Κιλικίας.

Κύδραι, πόλις τῶν Δευριόπων. Στράβων ἑβδόμῃ.

Κύδραρα, πόλις. Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν Κυδραραῖος ὡς Μεγαραῖος. ἔστι δὲ πρὸς τοὺς ὅρους τῶν Φρυγῶν [καὶ τῶν Λυδῶν.]

Κυδρήνη, πόλις Ἀρμενίας, οὐχ ὥς τινες *Κύδρος*. τὸ ἐθνικὸν Κυδρηναῖος.

Κυδωνία, πόλις Κρήτης, ἡ πρότερον *Ἀπολλωνία*, ἀπὸ Κύδωνος τοῦ Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω

RV, *Κυβοίτης* A. 16. *Βούτου* M, *Βούτους* R, *Βουτοῦς* AV. 2. *Κυδαθηναιεύς* V, *Κυδαθηνεύς* AR. ὁ om. RV. 3. *κύων Κυδαθηναιεύς*] Aristoph. Vesp. 890. 4. 5. *Κυδαθηναίων* libri. 7. *ἐς Κυδαντιδῶν* om. RV. 8. *Κύδνα*] Cf. Tafel. Thessalon. p. 216. 10. *Κιλικίας* H, *Βιθυνίας* libri. 11. *Κύδρα* R, *Κυδρίαι* libri Strabonis. *τῶν Δευριόπων* Bernhardy, *τῶν Δω..ωπῶν* RV, *τῶν Δω..* A, *τῶν Δολόπων* W, *τῶν Βυρσῶν* (*Βρυγῶν*) BH. Strabonis locus, quem antestatur scriptor, legitur 7 p. 68 Kr.: *ἐπὶ τῷ Ἐρίγωνι πᾶσαι αἱ τῶν Δευριόπων* (*Δευριοπῶν* cod. B) *πόλεις ᾤκηντο, ὧν τὸ Βρυάνιον καὶ Ἀλαλκομεναὶ καὶ Στύμβαρα· Κυδρίαι δὲ Βρυγῶν* (codd. *Βυρσῶν*), *Αἰγίνιον δὲ Τυμφαίων*. Stephanus sine dubio totum Strabonis locum apposuerat ab epitomatore negligenter inspectum. 12. *Κύδραρα* AR, *Κύδρανα* V, *Κύδρα* Pp. *ἑβδόμῃ*] c. 30. 12. 13. *Κυδραρεύς ὡς Μεγαρεύς?* numi enim Golziani, in quibus *ΜΕΓΑΡΑΙΩΝ*, mihi suspecti sunt. confirmat quodammodo V, in quo *Μεγαρέως* (αι supra) scriptum est pro *Μεγαραῖος*. Gavelius pro *Μεγαραῖος* conicit *Θυμβραραῖος* cll. nostro in *Θύμβραρα*. 13. *τοὺς ὅρους* B, *τὰ ὄρη* libri. 14. *καὶ τῶν Λυδῶν* add. ex Herod. l. l. 18. *Ἀκακάλλιδος* X, *Ἀκάλλιδος* libri. *Μίνω* R, *Μίνωος* AV.

θυγατρός. δευτέρα πόλις Σικελίας. τρίτη Λιβύης. ὁ πολίτης Κυδωνιάτης καὶ Κύδων καὶ Κυδώνιος καὶ Κυδωναῖος, καὶ Κυδωνία θηλυκῶς καὶ Κυδωνίς, καὶ Κυδωνικὸς ἀνήρ.

Κύζικος, πόλις τῆς Προποντίδος κειμένη ἐπὶ χερρονήσῳ. ἐκαλεῖτο δὲ καὶ Ἄρκτων νῆσος. τὸ ἐθνικὸν Κυζικηνός καὶ Κυζικηνίς ἡ ποίησις. Ὅμηρος δὲ τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν, ὡς τοὺς τὴν Ἴσμαρον Κίκονας. λέγεται καὶ κτητικὸν Κυζικηνικός. κέχρηνται δὲ καὶ τῷ Κυζικηνός ἁπλῷ ἀντὶ κτητικοῦ, ὡς τὸ Τυρσηνοὶ [δεσμοὶ] ἀντὶ τοῦ Τυρρηνικοί, οἱ χαλεποί, διὰ τὸ ληστρικοὺς εἶναι τοὺς Τυρρηνούς.

Κύθηρα, νῆσος πόλιν ὁμώνυμον ἔχουσα πρὸς τῇ Κρήτῃ, ἀπὸ Κυθήρου τοῦ Φοίνικος. ἐκαλεῖτο δὲ Πορφύρουσα διὰ τὸ κάλλος τῶν περὶ αὐτὴν πορφυρῶν, ὡς Ἀριστοτέλης. οἱ οἰκήτορες Κυθήριοι, καὶ Κυθηρία καὶ ἡ γυνὴ καὶ ἡ νῆσος. λέγεται Κυθηραία.

Κύθηρος, δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Κυθήριος. τὰ τοπικὰ Κυθηρόθεν Κύθηρόνδε [Κυθηροῖ].

---

1. τρίτη B, τῆς libri. 2. Κυδωναῖος] Hoc ad Κυδώνη referendum. 2. 3. καὶ Κυδωνία M, καὶ Κυδώνιος RV, om. A. 3. θηλυκῶς καὶ RV, καὶ θηλυκῶς A. Κυδωνικὸς ἀνήρ] Theocrit. Id. 7, 12. 6. Κυζικηνίς ἡ ποίησις] Hoc ineptum; accedit quod nusquam Homerus Dolionas memorat. hinc suspiceris: καὶ Κυζικηνίς. ἡ ποίησις δὲ (Apollon. Rh. 2, 767) τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν, ὡς Ὅμηρος (Od. 9, 39) τοὺς τὴν Ἴσμαρον Κίκονας. nisi potius Ὅμηρος ex margine illatum est. 8. 9. τὸ Κυζικηνός ἁπλοῦν RV, quod verum est, si post κέχρηνται δὲ aliquid excidit, aut si εἴρηται scribas pro κέχρηνται. 9. Τρισηνοὶ R. δεσμοὶ add. M. cf. Hesychius: Τυρρηνοὶ δεσμοί· οἱ ληστρικοὶ καὶ χαλεποί. ἀπὸ pro ἀντὶ RV. 10. ληστρικοὺς εἶναι PpRV, ληΐζεσθαι A. 13. Πορφύρουσα R, Πορφύρουσσα AV. 14. τῶν περὶ αὐτὴν M, τὸ περὶ τῶν (ην supra) R, τὸ περὶ τῶν AV, τὸ παρὰ τῶν X. διὰ τὸ καλλίστας φέρειν πορφύρας ex nostro, ut videtur, citat Eustathius ad Dion. 498. at idem ad Hom. p. 304, 36: διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυρῶν.

16. Κιθαιρέα (α supra) R, in quo καὶ Κυθέρεια latere videtur: hoc enim haud dubie voluit, Venerem a Cytheris appellatam fuisse Cythercam.

17. Κύθηρρος R. 18. Κυθηροῖ add. M.

Κύθνος, νῆσος πρὸς τῇ Δρυοπίδι τῶν Κυκλάδων, ἀπὸ Κύθνου κτίσαντος. ἐκαλεῖτο δὲ καὶ *Ὀφίουσα* καὶ *Δρυοπίς*. ὁ νησιώτης Κύθνιος. καὶ Κύθνιος τυρὸς καὶ Κυδίας ὁ ζωγράφος.

Κυκνῖτις .... ἧς ὁ Κύκνος ἐβασίλευσε. Σοφοκλῆς ἐν Πηλεῖ. καὶ ἐν Ποιμέσι „βοὴν κυκνῖτιν".

Κύλλανδος, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κυλλανδεύς.

Κυλλήνη, ὄρος Ἀρκαδίας, σταδίων [Ὀλυμπιακῶν] ἐννέα παρὰ πόδας ὀγδοήκοντα [κατ' Ἀπολλόδωρον]. ἀπὸ Κυλλήνης Ναΐδος νύμφης. „ἐν τούτῳ δέ φασι τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δὲ μηδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τὴν δὲ ἡμέραν εἴ τις ἐπιχειροίη δυσθηράτους εἶναι σφόδρα". ἔστι δὲ καὶ Ἠλείων ἐπίνειον *Κυλλήνη*. τὸ ἐθνικὸν Κυλληνεύς καὶ Κυλλήνιος· καὶ Κύλλιος λέγεται Ἑρμῆς κατὰ συγκοπὴν τοῦ Κυλλήνιος.

Κύμη, πόλις Αἰολίδος πρὸ τῆς Λέσβου, ἀπὸ Κύμης Ἀμαζόνος. ἐκαλεῖτο δὲ *Ἀμαζόνειον*. τὸ ἐθνικὸν Κυμαῖος. ἐντεῦθεν ἦν Ἔφορος ὁ ἱστορικὸς καὶ Ἡσίοδος Κυμαῖοι. ἔστι δὲ καὶ ἑτέρα *Φρικωνῖτις* λεγομένη. αὕτη δὲ καὶ ἡ Λέσβος σκώπτεται εἰς ἀναισθησίαν. ἔστι δὲ καὶ ἑτέρα Ἰταλίας. ταύτης τὸ ἐθνικὸν Κυμεύς. τετάρτη τῆς Ἠλείας. πέμπτη

---

1. ἡ pro νῆσος R. 2. *Ὀφίουσσα* V, *Ὀφιόουσα* R. 3. *Κύθνιος τυρὸς*] V. Com. gr. vol. 3 p. 464. *Κυδίας* Eustathius ad Dion. 525, *Κύθιος* RV, *Κύθνιος* A. 5. indicavi lacunam. excidit, opinor, *χώρα Θετταλίας*. 7. *Κύλλανδος* et mox *Κυλλανδεύς* PpRV, *Κύλανδος* et *Κυλανδεύς* A. 9. *Ὀλυμπιακῶν* et 10. *κατ' Ἀπολλόδωρον* addidi ex Eustath. ad Hom. p. 1951, 16. 11. *ἐν τούτῳ* — 14. *σφόδρα* incerti scriptoris verba sunt. 13. *τὴν σελήνην* RV, *τῇ σελήνῃ* A. *τῆς δὲ ἡμέρας* Eustath. ad Hom. p. 300, 39. 14. *δυσθηράτους εἶναι σφόδρα* R et Eustathius, *σφόδρα δυσθηράτους εἶναι* AV. 15. *Κυλληνεύς καὶ* om. V. 17. *Κύλλη* V. 18. *Ἀμαζόνιον* libri. 19. *Κυμαῖοι* add. R. 20. *δὲ* om. R. *Φοινικωνῖτις* R. Phriconitis Cyme eadem quae Aeolica. *αὐτὴ* R. 21. *κώπτεται* R. de re vide Strabon. 13 p. 622 et Vit. Hom. p. 7 West. 22. *τῆς* add. R.

τῆς Εὐβοίας. ἕκτη Παμφυλίας. [ἔστι καὶ νῆσος πλησίον Σικελίας.]

Κύναιθα, πόλις Ἀρκαδίας, ἀπὸ Κυναίθου ἑνὸς τῶν Λυκάονος παίδων. τὸ ἐθνικὸν Κυναιθεύς. καὶ Κυναιθαιεύς καὶ Κυναιθαεύς ἀπὸ τοῦ τετρασυλλάβου τοῦ Κυναίθαια. ἔστι καὶ Κύναιθα πόλις Ἰθάκης ὑπὸ τῷ Νηρίτῳ ὄρει.

Κυνέτεια, πόλις Ἄργους. Καλλίμαχος δευτέρῳ. οἱ πολῖται Κυνετεῖς καὶ Κυνετειᾶται. οἱ τύποι γὰρ οὐκ ἀήθεις τῶν Ἀργείων.

Κυνή, πόλις Λυδίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Κυνεύς καὶ Κύνιος.

Κυνητικόν, Ἰβηρίας τόπος πλησίον ὠκεανοῦ. Ἡρόδωρος δεκάτῳ τῶν καθ' Ἡρακλέα. οἱ οἰκοῦντες Κύνητες καὶ Κυνήσιοι.

Κύνθος, [ὄρος Δήλου,] παρ' Ἀντιμάχῳ ἐν πρώτῃ Θηβαΐδος. ὁ οἰκήτωρ Κύνθιος καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ Κυνθιώτης καὶ Κυνθιῶτις θηλυκῶς.

Κύννα, πολίχνιον πλησίον Ἡρακλείας, ἀπὸ μιᾶς τῶν Ἀμαζόνων ἢ Κύννου τοῦ ἀδελφοῦ Κοίου. τὸ ἐθνικὸν Κυνναῖος.

Κῦνος, ἐπίνειον Ὀποῦντος, ὡς Φίλων καὶ Παυσανίας. Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν. Ὅμηρος „οἳ Κῦνόν τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε". οἱ οἰκοῦντες Κίνιοι καὶ Κυναῖοι.

Κυνόσαργες, γυμνάσιον ἐν τῇ Ἀττικῇ καὶ δῆμος, ἀπὸ

---

1. *τῆς Εὐβοίας*] Fallitur. Stephanus dixerat haud dubie Italicas Cumas Euboicam (Chalcidicam) esse coloniam. *ἕκτη* R, *καὶ* AV. 1. 2. *ἔστι — πλησίον Σικελίας*] Ineptum scioli additamentum e schol. Pindari Pyth. 1, 34. seclusi. 3. *ὑπὸ* V. 4. *Κυναιθαιεύς*] *Κυναιθεεύς* R. 5. *Κυναίθεια* libri. 6. *Ἰθάκης* et *Νηρίτῳ* BH, *Θρᾴκης* et *Νηρίσῳ* libri. 8. *Κυναιτεῖς* R. *Κυνετειᾶται* R, *Κυνετιάται* AV. 11. *Κύνειος* R. 12. 13. *Ἡρόδοτος* V. vide s. v. *Ἰβηρία* p. 323, 15. 15. *ὄρος Δήλου* add. B. 16. *οὐδετέρως*] Fallitur *ἀρσενικῶς* corrigens Hermannus ad Hom. Hymn. in Apoll. 26. 17. *Κυνθιῶτις θηλυκῶς*] *κυνθιωτισθῆναι* R. 20. *Παυσανίας*] 10, 1, 2. 21. *Ὅμηρος*] Il. 2, 531. 21. 22. *Κῦνόν τ' ἐνέμοντ'* R, *Κύνετόν τ'* A.

Διόμου, ἀφ' οὗ ὁ χῶρος Ἀθήνησι Διόμεια καλεῖται. Δίομος γὰρ Ἡρακλεῖ ὡς θεῷ θύων τὰ ξενώσιων ἱερὰ Ἡρακλεῖ ἥρῳ ἔδειξε, καὶ αὐτῷ κύων λευκὸς ἁρπάσας τὰ μηρία εἰς τοῦτο τὸ χωρίον ἤνεγκεν. ὁ δημότης καὶ τὸ ἐκ τόπου ἐκ Κυνοσάργους, καὶ εἰς τόπον ἐς Κυνόσαργες, καὶ ἐν τόπῳ ἐν Κυνοσάργει.

Κυνὸς κεφαλαί, λόφοι τῆς Θεσσαλίας. Πολύβιος ιη'. ἦν δὲ καὶ χωρίον Θηβῶν, ἀφ' οὗ „Πίνδαρος Δαϊφάντου παῖς, Βοιώτιος ἐκ Κυνὸς κεφαλῶν, μελῶν ποιητής".

Κυνόσουρα, ἄκρα Ἀρκαδίας, ἀπὸ Κυνοσούρου τοῦ Ἑρμοῦ. τὸ ἐθνικὸν Κυνοσουρεὺς καὶ Κυνοσουρὶς θηλυκόν.

Κυνόσσημα, τόπος Λιβύης. Ἑκαταῖος περιηγήσει αὐτῆς. ἔστι καὶ ἄλλο χωρίον. τὸ ἐθνικὸν ἀπὸ τῆς γενικῆς Κυνοσσηματεύς.

Κύνουρα, πόλις Ἄργους, ἀπὸ Κυνούρου παιδὸς Περσέως. Παυσανίας τρίτῳ. τὸ ἐθνικὸν Κυνουρεὺς καὶ Κυνουρὶς θηλυκόν, καὶ Κυνούριος καὶ Κυνουρία καὶ οὐδέτερον, καὶ κτητικὸν Κυνουριακός.

Κυνῶν νῆσος, Λιβύης νῆσος. Ἀλέξανδρος τρίτῳ Λιβυκῶν. ὁ νησιώτης Κυνοννησίτης.

Κυνῶν πόλις, Αἰγυπτία πόλις. ὁ οἰκῶν Κυνοπολίτης. ἐν ᾗ πόλει ὁ Ἄνουβις τιμᾶται.

Κύον, πόλις Καρίας. Ἀπολλώνιος τετάρτῃ Καρικῶν. ἡ πρότερον Κανήβιον. τὸ ἐθνικὸν Κυΐτης.

Κύπαιθα, πόλις Λιβύης. ὁ πολίτης Κυπαιθεύς.

---

1. *Διώμου* et mox *Δίωμος* et *Διώμεια* ante B. *χῶρος* B, *χορὸς* libri. *Ἀθήνησι* add. RV. 2. 3. *θύω* (*θύων* A) *τὰ ξενώσιων ἱερὰ Ἡρακλεῖ ἥρωι ἱερὰ ἔδειξε* APp, *θύοντα ξενώσοντα Ἡρακλεῖ τῷ ἥρω ἱερὰ ἔδειξε* R, *θύων τὰ ξενώσων Ἡρακλεῖ τῷ ἥρωι ἱερὰ ἔδειξεν* V. 3. *αὐτῷ* add. PpRV. 6. *λόφοι* M, *λόφος* libri. illud commendat quo statim utitur locus Polyb. 18, 5: *οἱ γὰρ προειρημένοι λόφοι καλοῦνται μὲν Κυνὸς κεφαλαί.* *ιη'* ΠRV, *ἐννεακαιδεκάτῳ* A. 12. *χωρίον* [*τῆς κατὰ Θρᾴκην χερρονήσου*]? 15. *τρίτῳ*] c. 2, 2. *τὸ ἐθνικὸν Κυνουρεύς* R, *Κυνουρεύς τὸ ἐθνικόν* AV. 17. *Κυνουριακός* R, *Κυνουρικός* AV. 18. *Λιβύης* R, *Λιβυκὴ* AV. 19. *Κυνονησίτης* libri. 21. *Ἄνουβις* R, *Ἄννουβις* AV. 22. *Κύων* R.

Κυπαρισσία, πόλις τῆς Τριφυλίας, ἥ τις *Ἔραννα* ἐκαλεῖτο. τὸ ἐθνικὸν Κυπαρισσεύς καὶ Κυπαρισσία ἡ Ἀθηνᾶ.

Κυπαρισσήεις, πόλις τῆς Μεσσηνίας. Ὅμηρος „καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν ἔναιον". τὸ ἐθνικὸν Κυπαρισσηέντιος.

Κυπάρισσος, πόλις ἐν Παρνασσῷ κατὰ τοὺς Δελφούς, ἡ πρότερον *Ἔραννος*. Ὅμηρος „οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν". ἀπὸ Κυπαρίσσου τοῦ Μινυοῦ. οἱ δὲ ἀπὸ τοῦ πλήθους τῶν αὐτόθι κυπαρίσσων, ἣν *Κυπαρισσοῦντά* τινες καὶ *Ἀπολλωνιάδα* φασί. τὸ ἐθνικὸν Κυπαρισσεύς.

Κύπασις, πόλις περὶ Ἑλλήσποντον. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κυπασίτης.

Κύπη, Σικελίας φρούριον. Φίλιστος Σικελικῶν ἐνάτῳ. τὸ ἐθνικὸν Κυπαῖος.

Κύπρος, νῆσος μεγάλη [καὶ ἐπιφανεστάτη, κειμένη] ἐν τῷ Παμφυλίῳ κόλπῳ, [καθώς φησιν ὁ περιηγητὴς Διονύσιος „Κύπρος δ' εἰς αὐγὰς Παμφυλίου ἔνδοθι κόλπου". ἐκλήθη δὲ] ἀπὸ Κύπρου τῆς θυγατρὸς Κινύρου, [ἢ τῆς Βύβλου καὶ Ἀφροδίτης, ὡς Φιλοστέφανος ἐν τῷ περὶ νήσων καὶ Ἴστρος

---

1. *Κυπαρισσία* B, *Κυπαρισσαία* libri. literarum series requirit potius *Κυπάρισσαι* (Ptolem. 3, 16.). quam scripturam commendat etiam gentile *Κυπαρισσεύς*, nisi id *Κυπαρισσιεύς* scribendum, quae sane usitata huius gentilis forma est, e. c. apud Phlegontem Photii Bibl. p. 83, 42. et in numis apud Eckhel. D. N. vol. 2 p. 276. *Τριφυλλίας* AV, *Τριφυλείας* R, *Μεσσηνίας* Politus ad Eust. vol. 2 p. 630.
2. *Κυπαρισσία* R, *Κυπαρίσσεια* AV. ante *καὶ Κυπαρισσία* excidisse videtur *καὶ Κυπαρίσσιος*. 3. *ποταμὸς* R. *Μεσσηνίας*] *Τριφυλίας* Politus l. l. *Ὅμηρος*] Il. 2, 593. 7. *Ἔραννος* R et Eustathius ad Il. p. 274, 8, *Ἔρανος* AV; praestare opinor *Ἔραννα*, quod nomen Cyparissiae Triphyliacae assignat noster s. v. *Κυπαρισσία*. *οἷον* pro *οἳ* R. 8. *Κυπαρίσου* R. *Μινύου*? at *Μινυός* etiam schol. Hom. Il. 2, 511. 15. *Κύπρος*] In hac sectione quae uncinis inclusa sunt accessere e Constant. Porph. Them. ed. Bonn. p. 39 sq. 16. *Διονύσιος*] vs. 508. 18. *τῆς θυγατρὸς* libri et Constantinus, *υἱοῦ* Eustathius ad Dion. l. l. illud si verum est, de quo non dubitandum videtur, novum exemplum habemus nominis muliebris in *ους* desinentis. *Κυνίρου* R.

ἐν ἀποικίαις Αἰγυπτίων ἱστόρησαν,] ἢ ἀπὸ τοῦ φυομένου ἄνθους κύπρου. Ἀστύνομος δέ φησι ***Κρύπτον*** *κεκλῆσθαι διὰ τὸ κρύπτεσθαι πολλάκις ὑπὸ τῆς θαλάσσης. εἶτα* ***Κύπρος.*** *ἐκαλεῖτο δὲ καὶ* ***Κεραστὶς*** *ἀπὸ τοῦ πολλὰς ἄκρας ἔχειν καὶ* ***Κεραστιὰς*** *καὶ* ***Ἀμαθουσία*** *καὶ* ***Μηιονὶς*** *καὶ* ***Σφήκεια*** *καὶ* ***Ἀκαμαντίς.*** *τὸ ἐθνικὸν Κύπριος καὶ Κυπρία καὶ Κύπριον, καὶ Κυπριακός, καὶ Κυπριεὺς καὶ Κυπρίτης. ἔστι καὶ Λιβυκὴ* ***Κύπρος.*** *τὸ ἐθνικὸν Κυπρίτης.*

Κύραυνις, *νῆσος κατὰ Γύζαντας τοὺς ἐν Λιβύῃ, ὡς Ἡρόδοτος τετάρτῃ. ὁ νησιώτης Κυραυνίτης.*

Κύρβασα, *ὡς Πήδασα Μέδμασα, πόλις Καρίας. ὁ πολίτης Κυρβασεύς.*

Κύρβη, *πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Κυρβαῖος.*

Κύρη, *νῆσος ἐν τῷ Περσικῷ πόντῳ. Ἑκαταῖος ἐν περιηγήσεως δευτέρῳ. ὁ νησιώτης Κυραῖος ὡς Ἀσκραῖος.*

Κυρήνη, *πόλις Λιβύης, ἀπὸ Κυρήνης τῆς Ὑψέως [κατὰ Πίνδαρον] ἢ Κύρης πηγῆς ἐγχωρίου. ἔστι καὶ Ἰβηρίας. καὶ Μασσαλίας ἄλλη. τὸ ἐθνικὸν Κυρηναῖος. ἐντεῦθεν ἦν Ἐρατοσθένης Ἀγακλέους παῖς ὁ ἱστορικός. καὶ Κυρηναῒς ὡς Θηβαΐς. καὶ Κυρηνίτης.*

Κύρης, Κύρητος, *πόλις, ὡς Φάγρης Μένδης Ἀδρύμης. τὸ ἐθνικὸν Κυρήσιος.*

---

1. 2. *ἀπὸ τοῦ — κύπρου*] Genuina Stephani verba servasse videtur Eustathius l. l: *ἀπὸ ἄνθους ἐκεῖ πολλοῦ φυομένου, κύπρου καλουμένου.* 2. *Κρύπτον* PpR, *Κύπτον* AV. 4. *πολλὰς ἄκρας* M, *πολλὰ ἄκραˢ* R, *πολλὰ ἄκρα* AV. 5. *Μήονις* R. nomen hoc suspectum. 9. *Κύραυνις* Herodotus, *Κυραυνίς* A, *Κυρανίς* ΠV, *Καραβίς* cum $\bar{\upsilon}$ supra $\bar{\beta}$ R, *Κύρνη* margo V. *Γύζαντας* m. sec. V, *Γύραντας* AR. *ὡς* add. PpRV. 10. *τετάρτῳ* (c. 195) R. *Καρανίτης* ΠV, *Καραβίτης* cum $\bar{\upsilon}$ supra $\bar{\beta}$ R. 11. *Πήδασα* V, *Πίδασα* R, *Πόδασα* A. *Δέδμασα* V. 15. *κόλπῳ* X. 15. 16. *περιηγήσει β´* RV. 17. 18. *κατὰ Πίνδαρον* (Pyth. 9, 13) add. Eustathius ad Dion. 213. 18. *Κύρῆς* R, *Κυρῆς* A, om. acc. V. *ἐγχωρίου* Eustathius, *ἐγχωρίας* libri. 20. *Ἀγλάου* Bernhardy Eratosth. p. XI. 22. *Κούρης Κούρητος* RV. situm urbis

Κύρις, *μητρόπολις Σαβίνων. τὸ ἐθνικὸν Κυρίτης. τὸ κτητικὸν Κυρίτιος καὶ Κυριτία ἡ Ἥρα.*

Κύρνος, *νῆσος πρόσβορρος Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κύρνιοι καὶ Κυρναῖοι. φασὶ δὲ „τοὺς Κυρναίους πολυχρονιωτάτους εἶναι (οἰκοῦσι δὲ οὗτοι περὶ τὴν Σαρδόνα) διὰ τὸ μέλιτι ἀεὶ χρῆσθαι. πλεῖστον δὲ τοῦτο γίνεται παρ' αὐτοῖς".*

Κύρου πόλις, *ἣ καὶ Κυρέσχατα καλεῖται, πόλις πρὸς τοῖς ἐσχάτοις Περσίδος. ὁ πολίτης καθ' ἡμᾶς Κυροπολίτης, κατὰ δὲ Πέρσας Κυρεσχατηνοί ὡς Ἀραξηνοί καὶ Καμβυσηνοί.*

Κύρρος, *πόλις Συρίας, ἧς ἀκρόπολις Γίνδαρος. ὁ πολίτης Κυρρέστης, ὡς Πολύβιος πέμπτῳ, καὶ Κυρρεστίς ἡ Ἀθηνᾶ. καὶ ἡ χώρα Κυρρεστική. Στράβων ἑκκαιδεκάτῃ. Δημήτριος δὲ ὁ Ἀντιγόνου τὸ Κυρήστης διὰ τοῦ η φησὶ καθύ...*

Κυρταία, *πόλις ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, εἰς ἣν ὑπερώρισεν Ἀρταξέρξης Μεγάβυζον. Κτησίας τρίτῳ Περσικῶν. τὸ*

---

non indicavit, quoniam ne Herodianus quidem, quem noster secutus videtur, indicaverat. 23. *Κυρήσιος* X, *Κυρίσιος* RV, *Κυρήδιος* A. 1. *Κύρις* R, *Κυρίς* AV. 2. *Κυρίτιος καὶ Κυριτία* R, *Κυρήτιος καὶ Κυρητία* A, *Κουρήτιος καὶ Κυρητία* V. 3. *πρόσβορος* R. aut *πρόσχωρος* (vel *πρόσορος*) *Λιγυστίας* scribendum, aut, quae de duabus insulis Stephanus dixerat, in unum conflata sunt: de Cyrno Iapygia aliunde nihil compertum est. 4-7. *τοὺς Κυρναίους — παρ' αὐτοῖς* sunt verba Athenaei 2 p. 47 a: *Λύκος δὲ πολυχρονίους φησὶν εἶναι τοὺς Κυρνίους· οἰκοῦσι δὲ κτλ.* 4. *Κυρνίους* Athenaeus. 5. *παρὰ* V. *τὴν* X, *τὸν* libri. 8. *Κυρέσχατα* R, *Κυρέχατα* AV. 10. *Κυρεχατηνοί* AV, *Κυρεσχατίνη* R. *Ἀραξήνη* V. *καὶ* om. R. *Καμβυσηνοί* R, *Καμβυσσηνοί* A, *Καμβυσηνή* V. 11. *Γίνδαρος* BH, *Σίνδαρος* libri. 12. *Κυρέστης* R. *πέμπτῳ*] c. 50, 7. 57, 4. ubi *Κυρρησταί* editur. de accentu huius nominis et similium supra dictum est. *Κυρρέστις* AV, *Κυρεστίς* R, *Κυρρηστίς* Strabo 16 p. 751. 13. *Κυρεστική* R. *ἑκκαιδεκάτῃ*] p. 751 ubi *Κυρρηστική*, ut 7 p. 405. 409. 14. *Κυρήστης* M, *Κυρήτης* R, *Κυρρέστης* A, *Κυρρήστης* V. *καθυ...* add. R, *καθ'* V. an [*καὶ*] *καθ' ὕ*[*φεσιν τοῦ ἑνὸς ρ̄*]? cf. s. v. *Μοψοπία· καθ' ὕφεσιν τοῦ ω̄.* et s. v. *Γαλάται· ὑφέσει τοῦ ἑνὸς λ̄.* 16. *Μεγάβυζον* RV, *Μεγάβαζον* A. *Κτησίας*] Apud Photium Bibl. p. 41, 39. ubi *Κύρται* editur.

ἐθνικὸν ἐκ τῆς τέχνης Κυρταιανός, ἐκ δὲ τῆς χώρας Κυρταιηνὸς ὡς Σωφηνὸς καὶ Ἀραξηνός.

Κύρτος, πόλις Αἰγύπτου ἐν τῷ μεσογείῳ. ἐκ ταύτης Διονύσιος ἦν διάσημος ἰατρός, ἀπὸ τῆς πατρίδος, οὐκ ἀπὸ τοῦ σώματος Κυρτὸς ὀνομαζόμενος, οὗ μέμνηται Ἑρέννιος Φίλων ἐν τῷ περὶ ἰατρῶν. ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξὺς ὁμόφωνος τῷ πάθει, τοῦ δὲ κυρίου τῆς πόλεως βαρύς, ὡς τὸ κόντος καὶ πόντος.

Κύρτωνες, πόλις Βοιωτίας. Παυσανίας ἐνάτῳ. τὸ δὲ ἀρχαῖον [τῷ] πολίσματι ὄν[ομα] Κυρτώνη. τὸ ἐθνικὸν Κυρτώνιος, τοῦ δὲ πολιχνίου Κύρτωνες.

Κυρτώνιος, πόλις Ἰταλίας. Πολύβιος τρίτῳ. τὸ ἐθνικὸν τῷ τῆς χώρας ἔδει Κυρτωνῖνος ὡς Σατορνῖνος.

Κύτα, πόλις Κολχική, πατρὶς Μηδείας. ἔστι καὶ ἄλλη Σκυθίας. ὁ πολίτης Κυταῖος, ἐξ οὗ καὶ Κυταιεὺς „πύργους εἰσόψεσθε Κυταιέος Αἰήταο". τὸ θηλυκὸν Κυταϊάς. καὶ Κυταία, Λυκόφρων „ὃς εἰς Κυταίαν τὴν Λιβυστίνην μολών".

---

2. *Σωφηνός* B, *Σοφηνός* libri. cf. Lobeck. Path. p. 195, 8. 4.5. *οὐκ ἀπὸ τοῦ σώματος Κυρτός*] Eadem tradit Philone Hermippo et Sorano testibus usus schol. Oribasii ed. Mai. p. 11. de accentu tamen diversa praecipiens: *βαρυτόνως δὲ ὡς ἵππος πύργος, ἐπεὶ ἐκ μεσογείου πόλεως τῆς Αἰγύπτου Κύρτου λεγομένης ὑπῆρχεν.* mihi neque *Κύρτος* neque *Κυρτός* recte formatum gentile esse videtur, Aegyptiaco typo *Κυρτίτης* dici postulante. ceterum *Κυρτός* etiam Alcenoris et Evagorae parasitorum cognomen est ap. Athen. 6 p. 244 d. f. et Poliagri apud Alciphr. 3, 62. 5. *Ἑρέννιος* vel *Ἐρέννιος* PpR, *Ἐρρέννιος* V, *Ἐρρένιος* A. 6. *ἰατρῶν* R, *ἰατρικῶν* AV. *ἐθνικοῦ* Salmasius, *ἑνικοῦ* libri. 8. *κόντος καὶ πόντος* RV, *πόντος καὶ κόντος* A. pro *κόντος*, quod *κοντός* scribendum esse Arcad. p. 79, 13, docet, fortasse *κόστος* scribendum. 9. *ἐνάτῳ*] c. 24, 4. 10. *τῷ* e Pausania additum. *πολίσματι ὄν[ομα]* M, *πολισμάτιον* libri. cf. Pausan. l. l: *Ὑήττου δὲ στάδια ὡς εἴκοσιν ἀπέχουσι Κύρτωνες· ὄνομα δὲ τὸ ἀρχαῖον τῷ πολίσματί φασιν εἶναι Κυρτώνην.* 11. *τοῦ δὲ[νῦν]*? 12. *τρίτῳ*] c. 82. 13. *ὡς Σατορνῖνος* om. V. 14. *Κυταία* (*Κύταια*) X. 15. *πύργους*] Apoll. Rh. 2, 405. 16. *ἐσόψεσθαι* R. *θηλυκὸν* B, *ἐθνικὸν* libri. *Κυταϊάς* B. 16. 17. *καὶ Κυταία — μολών* non videntur Stephani esse. 17. *Λυκόφρων*] vs. 1312. apud quem *Λιγυστικὴν* editur.

[οἱ Λιβυστῖνοι γὰρ ἔθνος παρακείμενον Κόλχοις.] λέγεται καὶ Κυταιίς ἀπὸ τοῦ Κυταῖος. οἱ δὲ ὅτι δύο εἰσὶ Κύτα, ταῦτα καὶ τῆς Εὐρώπης. ἔστι καὶ **Κύταιον** *πόλις Κρήτης.*

Κυτέριον, *πόλις Οἰνώτρων ἐν τῇ μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Κυτεριώτης. δύναται καὶ τῷ τῆς χώρας ἔθει Κυτερῖνος.*

Κύτινα, *πόλις Θεσσαλίας, ὡς Θέων ἐν ὑπομνήματι Λυκόφρονος. ὁ πολίτης Κυτιναῖος. ἔστι καὶ* **Κυτίνιον** *μία τῶν τριῶν τῶν Δωρικῶν. τὸ ἐθνικὸν Κυτινιώτης.*

Κυτώνιον, *πόλις μεταξὺ Μυσίας καὶ Λυδίας. Θεόπομπος Ἑλληνικῶν ὀγδόῳ. τὸ ἐθνικὸν ὅμοιον τῷ ἡγουμένῳ.*

Κύτωρος, *πόλις Παφλαγονίας, ἀπὸ Κυτώρου τοῦ Φρίξου παιδός. τὸ ἐθνικὸν Κυτωριεύς καὶ θηλυκὸν Κυτωριάς. λέγονται καὶ Κυτωρῖται. καὶ Κυτώριος καὶ Κυτωρία θηλυκόν.*

Κύφος, *πόλις Περραιβίας. „Γουνεὺς δ' ἐκ Κύφου ἦγε δύω καὶ εἴκοσι νῆας". ἀπὸ Κύφου τοῦ παιδὸς Περραιβοῦ τοῦ π... δύο δ' εἰσὶ Κύφοι, ἡ μὲν Περραιβίας ἡ δὲ Θετταλίας. καὶ ποταμὸς* **Κύφος**. *ὁ πολίτης Κυφαῖος. Λυκόφρων „ἐν ῇ Κυφαίων δύσμορον στρατηλάτην".*

Κυχρεῖος πάγος, *περὶ Σαλαμῖνα. Σοφοκλῆς Τεύκρῳ.*

---

1. *οἱ Λιβυστῖνοι — Κόλχοις*] Haec ex v. *Λιβυστῖνοι* huc translata sunt. 2. *Κύτα ταῦτα* APpV, *Κῦται ταύτῃ* R, *Κύταιαι, αὕτη* H. 8. *Λυκόφρονος*] vs. 1389. 9. *τεττάρων* H. cf. Wesseling. ad Diod. Sic. vol. 2 p. 465. *τὸ ἐθνικὸν*] *ὁ πολίτης* R. *Κυτινιώτης* e corr. R, *Κυτινιάτης* AV. 10. *Κυτίνιον* R. 11. *τῷ ἡγουμένῳ*] I. e. *τῷ πρωτοτύπῳ*. 12. et 13. *Κύτωρος Κυτώρου Κυτωριεύς Κυτωριάς* X, *Κύδτωρος Κυδτώρου Κυδτωριεύς Κυδτωριάς* libri, ex quo intelligitur Stephanum duplicem nominis formam posuisse hoc modo: *Κύτωρος ἢ Κύδωρος*. cf. Eustath. ad Hom. p. 361, 42: *ἔδοξε δέ τισι καὶ διὰ τοῦ δ̄ γράφειν Κύδωρον*. 13. *Κυτωρεύς* B. 14. *Κυτωριάς* (pro *Κυτωρία*) R, *Κυτ* V. *θηλυκόν* om. RV. 15. *Γουνεὺς*] Il. 2, 748. 15. 16. *ἦγε δυώδεκα νῆας* R, *ηγ* ceteris usque ad *Περραιβοῦ τοῦ* omissis V. 16. 17. *Περραιβωτοῦ π....* RV, *Περραιβοῦ .....* A. an *Περραιβοῦ τοῦ Π[ύρρας]*? 17. *δύο δ' εἰσὶ*] Fallitur. cf. Heinsterh. ad Arist. Plut. p. 116. 18. *Λυκόφρων*] vs. 897. 19. *ἐν ῇ Κυφαίων* Lycophro, *ἐννικυφαίων* R, *ἐν δεκάτῳ Κυφαίῃ* A, *Κυφαι..* V. 20. *πόλις* pro *πάγος* R.

ἀπὸ Κυχρέως τοῦ Σαλαμῖνος καὶ Ποσειδῶνος, ὃς ὄφις ἐπεκλήθη διὰ τὴν τραχύτητα τῶν τρόπων, ὃν λυμαινόμενον τὴν νῆσον ἀπήλασεν Εὐρύλοχος, ἐδέξατο δ' ἐν Ἐλευσῖνι Δημήτηρ καὶ ἀμφίπολον ἐποίησεν. ἀπ' αὐτοῦ δὲ καὶ ἡ Σαλαμὶς Κυχρεία ἐκλήθη, ὡς Στράβων. τὸ ἐθνικὸν Κυχρεοπαγίτης.

Κύψελα, φρούριον τετειχισμένον ἐν Ἀρκαδίᾳ ὑπὸ Μαντινέων. Θουκυδίδης πέμπτῃ. ἔστι καὶ Κύψελα πόλις Θρᾴκης πλησίον τοῦ Ἕβρου ποταμοῦ. τὸ ἐθνικὸν Κυψελῖνος ἢ Κυψεληνός.

Κῶβρυς, πόλις Θρᾴκης. Θεόπομπος Φιλιππικῶν ἐνάτῳ. τὸ ἐθνικὸν Κωβρύτης, ὡς Αἶγυς Αἰγύτης.

Κώθων, νῆσος οὐ πόρρω Κυθήρων. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. τὸ ἐθνικὸν Κωθώνιος ὡς Σιδώνιος.

Κωλιάς, ἄκρα ἤτοι ἀκτὴ Φαληροῖ, ὅπου καὶ Ἀφροδίτη Κωλιάς. ὁ δὲ τόπος καλεῖται· ἐκκείμενος γάρ ἐστι καὶ ὅμοιος ἀνθρώπου κώλῳ. τὰ τοπικὰ Κωλιᾶθεν καὶ Κωλιοῖ ἐν τόπῳ καὶ Κωλιάδε. τὸ ἐθνικὸν Κωλιεύς, ὅθεν καὶ τὸ Κωλιάς. καὶ Κώλιον οὐδέτερον. καὶ Κώλιοι ὡς Σούνιοι.

Κῶλοι, ἔθνος πρὸς τῷ Καυκάσῳ. Ἑκαταῖος Ἀσίᾳ. αἱ δὲ ὑπώρειαι τοῦ Καυκάσου καλοῦνται Κωλικὰ ὄρη. ἡ χώρα Κωλική.

Κώμη. ἐν ταῖς μακραῖς ὁδοῖς μέσα χωρία ἔκτισαν πρὸς τὸ κοιμᾶσθαι νυκτὸς ἐπιγενομένης, ὅθεν καὶ ἐπικέκληται, ὡς

---

2. τραχυτῆτα R. 3. Εὐρύλοχος] Strabo 9 p. 393. a Stephano exscriptus: ὅν φησιν Ἡσίοδος — ἐξελαθῆναι ὑπὸ Εὐρύκλου, ubi recte Εὐρυλόχου corrigunt, quod e Stephano habet Eustathius ad Dionys. 511. 3. δὲ ἐν R, δὲ V. 5. Στράβων] 9 p. 393. ubi libri Κυχρία. Κυχρεωπαγίτης R. 7. πέμπτῃ] c. 33. 8.9. Κυψελῖνος ἢ Κυψεληνός] Horum illud ad Arcadicam, alterum ad Thraciam urbem spectat. 14. Φαληροῖ ἀκτή libri. 15. ὁ δὲ τόπος καλεῖται PRV, ἔστι δὲ καὶ τόπος A. an ὁ δὲ τόπος [ὀρθῶς] καλεῖται? ἐκκείμενος e corr. R, ἐγκείμενος AV. ἐκκείμενος legerat etiam Eustath. ad Dion. 591. γάρ ἐστι add. PRV. 15.16. καὶ ὅμοιος P, ὅμοιος δὲ R, ὁμοίως AV. 16. κώλῳ PRV, κώλου A. 17. Κωλιάνδε? 21. Κωλική] Hesychius: Κωλική· Σικελική. corrige Σινδική vel Σκυθική. 23. τῷ R. ἐπιγενομένης RV, ἐπιγιγνομένης A. ὡς om. V.

Φιλόξενος. ὁ οἰκήτωρ ἐγκώμιος. Ἡσίοδος „εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένοιτο". καὶ κωμαῖος καὶ κωμήτης ἀρσενικῶς καὶ θηλυκῶς διὰ τοῦ ῖ. καὶ ὁ δῆμος κώμη. εἴρηται ἀπὸ τοῦ ἐν αὐταῖς κοιμᾶσθαί τε καὶ αὐλίζεσθαι. λέγεται καὶ κωμήτωρ.

Κωνώπη, πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. τὸ ἐθνικὸν Κωνωπεύς καὶ Κωνωπίτης καὶ Κωνωπαῖος. ἔστι καὶ Κωνώπιον τῆς Μαιώτιδος λίμνης, ὅπου φασὶ τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν· ἐὰν δὲ ὑπολάβωσιν ἀδικεῖσθαι, λυμαίνεσθαι καὶ τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν. τὸ ἐθνικὸν Κωνώπιος καὶ Κωνωπιεύς.

Κῶπαι, πόλις Βοιωτική. Ὅμηρος „Κώπας Εὔτρησίν τε". ἀπὸ Κωπέως τοῦ Πλαταιέως τοῦ Ὀγχηστοῦ τοῦ Ποσειδῶνος. ὁ πολίτης Κωπαΐτης, ὡς Ἐπαφρόδιτος. ἔστι δὲ ἀπὸ τοῦ Κωπαῖος, ὡς Ἀθηναῖος Ἀθηναΐτης, λέγεται δὲ καὶ Κωπαία λίμνη. καὶ Κωπαιεύς. καὶ ἡ λίμνη Κωπαΐς, ἣ ἐλέγετο Λευκωνίς.

Κώρυκος, πόλις Κιλικίας. Παρθένιος προπεμπτικῷ. παρ' ᾗ τὸ Κωρύκιον ἄντρον νυμφῶν, ἀξιάγαστον θαῦμα, ᾧ ὁμώνυμον ἐν Παρνασσῷ. τὸ ἐθνικὸν Κωρύκιος. ἐκεῖ δὲ τὴν πόλιν Κωρύκειάν φησι. λέγεται καὶ Κωρυκιώτης, καὶ ἴσως παρὰ τὸ Κωρύκιον ἢ ἀπὸ τοῦ Κωρυκία. ἔστι καὶ Κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον ὑψηλὸν πλησίον Τέω τῆς Ἰωνίας

---

1. Ἡσίοδος] Opp. 344. 2. καὶ κωμαῖος καὶ om. V. κωμήτης R, κωμίτης AV. 3. θηλυκῶς διὰ τοῦ ῖ] I. e. κωμῆτις. frustra διὰ τοῦ ῆ B. 4. κοιμᾶσθαί τε καὶ αὐλίζεσθαι om. R. 6. Ἀκαρκαννίας R. πέμπτῳ (ιέ R)] c. 6, 6. 8. τῆς Μαιώτιδος] I. e. πλησίον τῆς Μ. ὅπου φασὶ] Ex Antigoni Hist. mirab. 33. 10. δὲ add. PpRV. 11. καὶ om. R. 12. Ὅμηρος] Il. 2, 502. 12. 13. Εὔτρής τε RV. 13. Πλαταιέως M, Ἀπαταιέως PpRV, Ἀπαταλέως A. Ὀγχιστοῦ R, Ὀρχηστοῦ V. 15. δὲ om. V. 19. Κωρύκιον RV, Κωρύκειον A. ἀξιάγαστον θαῦμα] Haec post Παρνασσῷ transponenda videntur. de Corycii antri in Parnasso miraculis v. Philoxenum apud Antigon. Hist. mir. 141 et Pausan. 10, 32, 7. 20. ἐκεῖ] In hoc scriptoris nomen latere videtur, nisi malis ἔνιοι et deinde φασι. 21. φησι RV, φασι A.

καὶ Ἐρυθρῶν, ὡς Ἑκαταῖος Ἀσίᾳ. καὶ λιμὴν ὁμώνυμος καὶ νησίον ὁμώνυμον, οὗ κατὰ τὸν παράπλουν λῃστήριόν τι μέγα τῶν Κωρυκαίων ὠτακουστούντων ἐν τοῖς αὐτόθι λιμέσι [τὰ κατὰ] τοὺς φόρτους καὶ τοὺς πλοῦς τῶν ἐμπόρων καὶ οὕτως αὐτοῖς ἐπιβουλευόντων, ὅθεν ἡ παροιμία ἐπὶ τῶν περιεργαζομένων τὰ ἀπόρρητα „τοῦ δ' ἄρ' ὁ Κωρυκαῖος ἠκροάζετο". ἔστι καὶ ἀκρωτήριον Κρήτης Κωρυκία. καὶ λιμὴν Αἰθιοπίας.

Κῶς, τὸ ὄρυγμα τὸ ἐν Κορίνθῳ, οὗ καθείργνυον τοὺς φῶρας καὶ τοὺς δραπέτας. λέγεται καὶ κῶος, κῶες δὲ οἱ ἐν αὐτῷ ἀνατραφέντες. κώους γὰρ τὰ κοιλώματα τῆς γῆς καὶ πάντα τὰ σπήλαια ἔλεγον.

Κῶς, πόλις καὶ νῆσος. καὶ Ὅμηρος „καὶ Κῶν Εὐρυπύλοιο [πόλιν]". ἡ Μεροπὶς ἐκαλεῖτο ἀπὸ γηγενοῦς Μέροπος. Κῶς δὲ ἀπὸ Κῶ τῆς Μέροπος θυγατρός. ἐκαλεῖτο δὲ καὶ Καρίς. λέγεται καὶ Κώως διὰ δύο ω̄, καὶ Κόως, ἀφ' οὗ τὸ παρ'

---

1. *Ἐρυθρῶν* Eustathius ad Dion. 855, *Ἐρυθρο͂ν* R, *Ἐρυθρόν* AV. 2. *λῃστήριον* R, *λῃϊστήριον* AV. 3. 4. *τὰ κατὰ* add. Eustathius. 6. *ἀπόρητα* R. *τοῦ δ' ἄρα ὁ* libri. *ἠκροάζετο* R, *ἠκροάσατο* AV. cf. Strabo 14 p. 644. et ad Menandri Reliqu. p. 56. 7. *ἔστι* add. R. *Κωρυκία* RV, *Κωρυκίη* A. 9. *κῶα* pro *κῶες δὲ* R, *Κω* utrimque indicata lacuna V. cum Aldina scriptura consentit Eustathius ad Hom. p. 318 ult. et 1478, 49. cf. Lobeck. Paral. p. 88. 9. 10. *ἐν αὐτῷ* ex loco altero Eustathii B, *ἐν ταύτῃ* libri, quod in primo loco habet etiam Eustathius. 12. *Εὐρύπυλον* (*Εὐρίπυλον* R) omisso *πόλιν* libri. 13. *Μεροπίς* B, *Μέροπος* libri. 14. *Καρίς* Bochartus, *Καρία* libri. cf. Eustathium ad Hom. p. 367, 22: *καὶ Καρὶς δέ φασιν, ὅθεν καὶ ἡ Κῶς Καρία* (*Καρὶς*) *ἐλέγετο κατὰ τὸν ἐπιλέκτην τῶν ἐθνικῶν.* adde supra s. v. *Καρία.* 15. *Κώως διὰ δύο ω̄* BH, *Κώοος διὰ δύο οο̄* V, *Κώοος διὰ δύο ο̄* A, *Κωόος διὰ τῶν δύο οο̄* R. valde tamen suspecta haec forma, quamquam ita scriptum repperit iam Eustath. ad Hom. p. 318, 36: *καὶ ὅτι δισυλλάβως Κώως λέγεται διὰ δύο μεγάλα* (leg. *μεγάλων*) *ω̄, καὶ Κόως διὰ μικροῦ ο̄ καὶ μεγάλου ω̄.* quod apud Golzium in sex numis legi *ΚΩΩΣ* annotavit H, non credam equidem nisi ipsos numos videro. insolens item forma *Κῶος* pro *Κῶς* apud Epiphanium Ancyr. p. 117 b. ceterum ex usu grammaticorum scribendum erit *διὰ δύο ωω̄*, ut paulo post et s. v. *Τορώνη* e codd. reduximus *δύο οο̄*. adde *δύο αᾱ* s. v. *Λάμπη* et apud schol. Il. ν', 315.

Ὁμήρῳ τοπικὸν „καί μιν ἔπειτα Κόωνδ' εὐναιομένην ἀπένεικας". λέγεται καὶ Κόος διὰ δύο ο̅ο̅. ἔοικεν οὖν τὸ πρωτότυπον Κῶς. οὕτως γὰρ καὶ ὁ κτιστής. τῆς Κέω τὸ ἐθνικὸν Κέιος, καὶ ἐκτάσει Κήιος, ὡς τῆς Τέω Τέιος καὶ Τήιος, καὶ Κεῖος διὰ διφθόγγου. τῆς δὲ Κῶ μονοσυλλάβου Κῷος καὶ Κώιος, ὡς Μινῷος. οὕτως δὲ ἐχρημάτιζον Ἱπποκράτης καὶ Ἐρασίστρατος ἰατροί. ἦν δὲ Ἱπποκράτης τῶν καλουμένων Νεβριδῶν· Νέβρος γὰρ ἐγένετο ὁ διασημότατος τῶν Ἀσκληπιαδῶν, ᾧ καὶ ἡ Πυθία ἐμαρτύρησεν· οὗ Γνωσίδικος, Γνωσιδίκου δὲ Ἱπποκράτης καὶ Αἴνειος καὶ Ποδαλείριος, Ἱπποκράτους Ἡρακλείδης, οὗ Ἱπποκράτης ὁ ἐπιφανέστατος, ὁ καὶ θαυμασίας συντάξεις καταλελοιπώς. ἔστι καὶ ἐν Αἰγύπτῳ πόλις Κῶς.

Κωστάντεια, ἡ νῦν ἐν Κύπρῳ Σαλαμίς. γίνεται δὲ ἀπὸ τῆς Κώσταντος γενικῆς, ὡς Μαρώνεια ἀπὸ τῆς Μάρωνος, καὶ Καύκωνος Καυκώνεια. ἔστι καὶ Βρεττίας ἄλλη, ὡς

δύο ε̅ε̅ apud nostrum s. v. *Μανθυρέα*. δύο λ̅λ̅ apud Eustath. ad Dion. 815. δύο μ̅μ̅ s. v. *Ἄμανον*. δύο ν̅ν̅ s. v. *Γόννοι* et *Τορώνη* atque apud Eust. ad Hom. p. 274, 8 schol. Nic. Ther. 650 et Pind. Ol. 3, 46. porro δύο κ̅κ̅ s. v. *Δερβίκκαι*. δύο π̅π̅ s. v. *Λάμπη*. δύο τ̅τ̅ s. v. *Μακεδονία Τρίτεια* et *Μυρρινοῦς*. δύο ρ̅ρ̅ s. v. *Δάραι* et *Φάρσαλος*. δύο σ̅σ̅ apud Strab. 9 p. 426 et nostrum s. v. *Κασσώπη*. quorum locorum prope nullus est quin alteram literam contra librorum fidem editores aboleverint. 15. *καὶ Κόως*] *καὶ Κῶος* R.

1. *Ὁμήρῳ*] Il. 14, 255. *μὴν* A, *μὲν* RV. *Κῶον δ'* R. 2. *Κόος*] Vide ad p. 36, 10. δύο ο̅ο̅ RV, δύο ο̅ A. 3. *Κῶς* M, *Κόως* GDindorfius, *Κέως* libri. *κτίστης. τῆς Κέω τὸ ἐθνικὸν* Schweigh. ad Polyb. 16, 41, 7, *κτίστης τῆς Κέω. τὸ ἐθνικὸν* libri. post *κτιστής* videntur excidisse nonnulla, quibus caveret scriptor, nequis, quod multis veterum accidit, insulas *Κῶς* et *Κέως* confunderet. 6. *Μινῷος* [*καὶ Μινώιος*]? *οὕτως*] i. e. *Κεῖος* et *Κῷος*, quorum alterum ad Hippocratem, *Κεῖος* autem ad Erasistratum spectat. 9. *Γνωσίδημος Γνωσιδήμου* R. 10. *δὲ* add. RV. 11. *Ἡρακλείδας* RV. 13. *Κωστάντεια* X, *Κωνστάντεια* libri. *Κωστάντιος* pro *Κωνστάντιος* legitur in titulo apud Boeckh. no. 2745. *νῦν* om. X. scribendum potius *Κωστάντεια νῦν ἡ*. *δὲ* add. R. 14. *Κώσταντος* X, *Κώνσταντος* libri. *τῆς* R, *τοῦ* AV. 15. *Καύκωνος*] *Καύκων* RV. *ἔστι δὲ καὶ* Pp. *Βρεττίας* PpV,

Διονύσιος ἐννεακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Κωσταντειάτης. εὕρηται καὶ διὰ τοῦ ν.

Κωσταντινούπολις, δύο μέρη λόγου, καὶ ἐξ αὐτῶν ἓν Κωσταντινοπολίτης, ὡς εἴρηται ἐν τῷ περὶ Βυζαντίου.

Λᾶ, πόλις Λακωνική. Λυκόφρων „καὶ Λᾶν περήσεις". ταύτην ἑλόντες οἱ Διόσκουροι Λαπέρσαι ἐκλήθησαν. λέγεται καὶ ἀρσενικῶς. ταύτην διαλύσας Ὅμηρός φησιν „οἵ τε Λάαν εἶχον, ἠδ' Οἴτυλον ἀμφενέμοντο". κεῖται δὲ ἐπὶ πέτρας ὑψηλῆς, διὸ Λᾶ καλεῖται. οἱ οἰκοῦντες Λᾶοι.

Λάβαι, [πόλις,] ὡς Σάβαι, Χαττηνίας πόλις. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Λαβαῖος ὡς Σαβαῖος. τῆς αὐτῆς χώρας ἀμφότεραι. ἡ γὰρ Χαττηνία τῶν Γερραίων ἐστὶ χώρα.

Λάβαρα, πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ περὶ Καρίας. τὸ ἐθνικὸν Λαβαρεύς ὡς Παταρεύς.

Κρεττίας R, *Βρεττανίας* A. Constantia, quantum sciam, in Britannia fuit nulla, et si fuit, ad Christiana serioris aevi tempora spectat, nec commemorari potuit a Dionysio. itaque haec ad Consentiam, Bruttiani agri urbem notissimam, spectare, Stephanum autem post sectionem de insula Co haec intulisse suspicor: *Κωσεντία, πόλις τῆς Βρεττίας, ὡς Διονύσιος ἐννεακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας.* haec igitur epitomatoris oscitantia cum sequente de Costantia tmemate commiscuit et suo more cum reliquis conglutinavit. *Κωσεντία* pro *Κωνσεντία* Straboni 6 p. 407 e codd. reddidit Kramerus. 2. *Κωνσταντιάτης* libri. *διὰ τοῦ ν̄* R, *διὰ τοῦ ῑ* AV. 3. *Κωνσταντινούπολις* R, *Κωσταντίνου πόλις* X, *Κωνστατίνου πόλις* AV. *δύο μέρη λόγου*] Cf. s. v. *Ἀμφάξιον.* *καὶ*] *ὡς* R. 4. *Κωνσταντινουπολίτης* libri, contra praeceptum nostri s. v. *Βυζάντιον.* post hoc tmema plura videntur intercidisse. 5. *Λά* libri. *Λυκόφρων*] vs. 95. 7. Eustathius ad Hom. p. 295, 34: *θηλυκῶς τε καὶ ἀρσενικῶς ἤγουν καὶ ἡ Λᾶ καὶ ὁ Λᾶς.* *διαλύσας* om. V. *Ὅμηρος*] Il. 2, 585. *οἳ δὲ Λᾶαν* R. 8. *οἱ δ'* libri. *Εἴτειλον* V. *ἀμφενέμοντο* add. R. *κεῖται δὲ* om. V, *δὲ* etiam R. 9. *οἰκοῦντες* R, *κατοικοῦντες* AV. *Λαοί* libri; rectius haud dubie *Λᾶοι*, quamvis dubitet Eustath. ad Hom. p. 295, 39. 10. *πόλις* seclusit M. *Σάβαι* X, *Σάβας* AV, *Σάβασι* R. *Χαττηνίας*] *..νίας* R, *..τηνίας* V. 11. *ὡς ..αῖος* R, *ὡς βαῖος* V. 12. *ἀμφότεραι* Bekkerus, *ἀμφότεροι* R, *ἀμφότερα* AV. *Χαττηνία* X, *Γαττία* libri. *Χαττηνία* [*τρίτη*] *τῶν* B propter nostrum s. v. *Χαττηνία.*

Λάβδαλον, ἄκρον τῶν Ἐπιπολῶν, Συρακουσῶν πλησίον. Θουκυδίδης ἕκτῃ.

Λαβίνιον, πόλις Ἰταλίας, Αἰνείου κτίσμα. Ἰόβας ἐν πρώτῳ. ἀπὸ τῆς τοῦ βασιλέως θυγατρὸς Λαβινίας. τὸ ἐθνικὸν Λαβινιάτης. λέγονται καὶ Λαυινιᾶται.

Λάβρανδα, κώμη Καρίας. Στράβων ιδʹ. τὸ ἐθνικὸν Λαβρανδηνός καὶ Λαβράνδιος καὶ Λαβρανδεύς.

Λαγαρία, φρούριον Σικελίας πλησίον Θουρίων, τοῦ Ἐπειοῦ καὶ Φωκέων κτίσμα, ὡς Στράβων. ὁ πολίτης Λαγαριτανός, ὅθεν καὶ Λαγαριτανὸς οἶνος.

Λάγινα, πολίχνιον Καρίας. Ἀπολλώνιος Καρικῶν ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Λαγιναῖος καὶ Λαγινίτης καὶ θηλυκῶς Λαγινῖτις. ἔστι καὶ *Λαγίνεια* Βιθυνίας.

Λάγουσα, νῆσος περὶ Κρήτην. Στράβων δεκάτῃ. τὸ ἐθνικὸν Λαγουσαῖος ἢ Λαγούσιος.

Λάδεστα ἢ *Λάδεστον*, μία τῶν Λιβυρνίδων νήσων. Θεόπομπος κά Φιλιππικῶν. τὸ ἐθνικὸν Λαδεστανός, ὡς τῆς Αὐγούστας Αὐγουστανός.

---

1. Ἐπιπολλῶν R, Ἐπιπολαίων A, Ἐπιπολέων V. Συρακουσῶν H, Συρακουσίων libri. 2. ἕκτῃ] c. 97. 5. Λαυινιᾶται R, Λαβινιάται AV, Λαβινᾶται H. 6. ιδʹ] p. 659. τὸ τοπικὸν R. 8. Ἰταλίας B. vide infra ad v. Σινόεσσα. 9. Ἐπειοῦ] Qui eam urbem a matre sic nominasse videtur. v. schol. Vict. ad Il. ψ, 665: στρατεύσας (Πανοπεύς) σὺν Ἀμφιτρύωνι κατὰ Τηλεβοίων (Τηλεβοῶν) ἐκ τῶν κοινῶν λαφύρων κεκλοφὼς Ἐλαγάρειαν ἴσχει υἱὸν Ἐπειόν. ubi legendum Λαγαρίαν. urbis huius nomen restituo Aristoteli Hist. mir. 116: περὶ δὲ τῆς Ἰταλίας τὴν καλουμένην Καλαβρίαν ἐγγὺς τὰ τοῦ Ἐπειοῦ λέγουσιν ὄργανα ἀνακεῖσθαι. quo loco cum codices pro Καλαβρίαν habeant Γαργαρίαν, apertum est scribendum esse Λαγαρίαν vel Λαγγαρίαν. Στράβων] 6 p. 263. 11. Λάγινα R, Λαγινία A, Λαγνία V. Ἀπολλώνιος M, Ἀπόλλωνος RV, Ἀπολλόδωρος A. Apollonium intelligo Aphrodisiensem, cuius Carica passim commemorat noster. 12. θηλυκῶς V, θηλυκὸν R, om. A. 13. Λαγινία R. 14. Λάγουσσα V. δεκάτῃ] p. 484. 15. Λαγουσσαῖος V. 16. ἢ δέστον V. Λιβιρνίδων R. 18. Αὔγουστα Gavelius.

Λαδεψοί καὶ *Τρανιψοί*, ἔθνη Θυνῶν. Θεόπομπος ὀγδόῳ Ἑλληνικῶν.

Λάδη, νῆσος Αἰολίδος. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Λαδαῖος.

Λαδισακίτης κόλπος, ἐν τῇ Περσικῇ θαλάσσῃ. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

Λάεια, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Λαΐτης, ὡς Παυσανίας φησὶ πέμπτῳ.

Λαέρτης, Κιλικίας χωρίον. Στράβων ιδʹ. Ἀλέξανδρος δὲ „καὶ ὄρος καὶ πόλις" φησί. τὸ ἐθνικὸν Λαερτῖνος. ἄμεινον δὲ Λαέρτιος.

Λαζοί, Σκυθῶν ἔθνος. ἔστι καὶ χωρίον *παλαιὰ Λαζική*, ὡς Ἀρριανός.

Λαιαῖοι, ἔθνος Παιονικόν. Θουκυδίδης δευτέρᾳ.

Λαιστρυγόνες, πρῶτοι μετὰ Κυκλώπων ᾤκησαν Σικελίαν. Θουκυδίδης ἕκτῃ. λέγεται καὶ Λαιστρυγονίς, καὶ Λαιστρυγόνιος [καὶ] οὐδετέρως καὶ θηλυκῶς.

Λακεδαίμων, πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ,

---

1. *Λάδεψοι* et *Τράνιψοι* R. *Θυνῶν* RV, *Βιθυνῶν* A. 3. *Αἰωλίας* R, quod ex *Ἰωνίας* corruptum videtur. cf. Herod. 6, 7: *ἡ δὲ Λάδη ἐστὶ νῆσος μικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη.* Thucyd. 8, 17: *ὡς αὐτοὺς οὐκ ἐδέχοντο οἱ Μιλήσιοι, ἐν Λάδῃ τῇ ἐπικειμένῃ νήσῳ ἐφώρμουν.* 4. *Λαδαῖος*] In numo apud Spanhemium est *ΛΑΔΕΩΝ*, monente B. 7. 8. *Λαΐτης*] Neque *Λαΐτης* recte formatur a *Λάεια*, praesertim in urbe Carica, quarum gentilia fere in *ευς* exeunt, neque Pausanias Laiam urbem vel Laitas memorat, at memorat (5, 24, 6) Elaitas, Elaeae Aeolicae incolas. 8. *φησὶ* add. RV. 9. *ιδʹ*] p. 669. 10. *πόλις* RV, *πόλιν* A. *Λαερτηνός*? alterum enim *Λαερτῖνος* harum regionum characteri vix respondet. omisit autem quae vel maxime commemoranda erat formam in *ευς*, *Λαερτιεύς*, qua ipse infra usus est s. v. *Χολλίδαι*. 12. *ἔθνος. ἔστι καὶ* lacuna indicata om. RV. *παλαιὰ* BH, ..*λαιὰ* libri. praeterea *ἐν Πόντῳ* ante *παλαιὰ* add. BH. 12. 13. *Λαζηκοί* R. 13. *Ἀρριανός*] Peripl. PE. p. 19. 14. *Λαιαῖοι* M, *Λαῖνοι* R, *Λάινοι* A, *αι* V. *ἔθνος* om. V. *Παιονική* V, *Παιωνικόν* R. *δευτέρᾳ*] c. 96. 15. *ᾤκισαν* R. 16. *ἕκτῃ*] c. 2. 17. *Λαιστρυγόνιοι* RV. *καὶ* om. libri. 18. *ἐνδοξωτάτη* R, *ἐνδοξωτάτη* V.

ἡ *Σπάρτη* πρότερον, ἀπὸ Σπαρτοῦ τοῦ Ἀμύκλαντος τοῦ Λέλεγος τοῦ Σπαρτοῦ, ἢ διὰ τὸ τοὺς πρώτους συνοικίσαντας τὴν πόλιν Λέλεγας. διεσπαρμένους γὰρ εἰς ταὐτὸν συνελθεῖν καὶ μίαν οἴκησιν ποιήσασθαι. Λακεδαίμονα δὲ οἱ μὲν ἀπὸ Λακεδαίμονος, ἢ ὅτι μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον συνθεμένων κλήρῳ διανείμασθαι τὴν χώραν καὶ τὸν λαχόντα πρῶτον ταύτην λαβεῖν, καὶ Λαχεδαίμονα κληθῆναι [ἢ Λαβεδαίμονα, διότι ἀγαθῷ δαίμονι ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχών, καὶ τροπῇ τοῦ β̄ ἢ τοῦ χ̄ εἰς κ̄ Λακεδαίμονα.] ἔστι καὶ ἑτέρα *Λακεδαίμων* Κύπρου μεσόγειος. ὁ πολίτης Λακεδαιμόνιος. καὶ κτητικὸν Λακεδαιμονικός. λέγεται καὶ κατὰ συγκοπὴν Λάκων, ὡς Ἀπολλόδωρός φησιν, ὡς τοῦ Κυδωνιᾶται τὸ Κύδωνες. ἔοικε δὲ πρωτότυπον εἶναι καὶ οὐ συγκοπή. τινὲς δὲ τὸ Λάκων ὑποκοριστικόν φασιν, οὗ τὸ θηλυκὸν Λάκαινα καὶ κτητικὸν Λακωνικός, καὶ Λακωνική τὸ θηλυκόν, ὃ καὶ εἶδος ὑποδήματος. ἔστι καὶ ὄρχησις Λακωνική, ὡς ἐν τῷ περὶ Μαντινείας εἰρήσεται. εἰσὶ καὶ μάστιγες Λακωνικαί. ἔστι καὶ εἶδος κλειδὸς Λακωνικῆς. καὶ οὐδέτερον τὸ Λακωνικὸν σιδήριον· στομωμάτων γὰρ τὸ μὲν Χαλυβδικόν, τὸ δὲ Σινωπικόν, τὸ δὲ Λύδιον, τὸ δὲ Λακω-

---

1. Σπάρτου RV. 2. τὸ delendum videtur. συνοικήσαντας R. 3. γὰρ add. RV. 5. Ἡρακλειδῶν B, Ἡρακλείων libri. 6. συνθέμενοι B. 7. πρῶτον R, πρώτην AV. καὶ ante Λαχεδαίμονα delendum videtur. 7-9. ἢ Λαβεδαίμονα — εἰς κ̄ Λακεδαίμονα] Haec addita sunt ductu et indicio Eustathii ad Hom. p. 293, 25: ἡ μὲν Λακεδαίμων ἀπὸ Λακεδαίμονος ὠνόμασται, οὗ υἱὸς Ἀμύκλας, ἢ διότι συνθέμενοι κλήρῳ διανείμασθαι τὴν χώραν Ἡρακλεῖδαι ἐποίησαν οὕτω, καὶ ὁ λαχὼν πρῶτος λαβὼν ταύτην ἐκάλεσεν ἀπὸ τοῦ πράγματος. ὅθεν Λαβεδαίμων, διότι ἀγαθῷ δαίμονι, τουτέστι τύχῃ, ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχών, καὶ τροπῇ τοῦ β̄ ἢ τοῦ χ̄ εἰς κ̄ Λακεδαίμων. alios auctores sequitur Etym. M. p. 555 et incertus Crameri AO. vol. 1 p. 261: τὸ δὲ Λακεδαίμων λαχεδαίμων τις οὖσα. ἐν αὐτῇ γὰρ πρῶτον ἔλαχον οἱ θεοὶ καὶ ἐκληρώσαντο τὰς πόλεις. 14. ὑποκοριστικόν R, ὑποκοριστικῶς A, ὑποκορυστικῶς V. 16. ὃ καὶ add. R. 19. σίδηρον RV. στομάτων (μω superscr.) R. de sequentibus cf. Schneiderum Hist. rei metall. p. 26 sqq.

νικόν. καὶ ὅτι Σινωπικὸν καὶ Χαλυβδικὸν εἰς τὰ τεκτονικά, τὸ δὲ Λακωνικὸν εἰς ῥίνας καὶ σιδηροτρύπανα καὶ χαρακτῆρας καὶ εἰς τὰ λιθουργικά, τὸ δὲ Λύδιον καὶ αὐτὸ εἰς ῥίνας καὶ μαχαίρας καὶ ξυρία καὶ ξυστῆρας, ὥς φησι Δαΐμαχος ἐν πολιορκητικοῖς ὑπομνήμασι λέγων. καὶ λακωνίζω καὶ λακωνιστής. λέγεται καὶ λακεδαιμονιάζω, ὡς Ἀριστοφάνης Βαβυλωνίοις. λέγεται καὶ Λακεδαίμονάδε ἐπίρρημα.

Λακέρεια, πόλις Μαγνησίας. Ἑλλάνικος Δευκαλιωνείας πρώτῳ. ἔστι καὶ τῆς Ἰταλίας ἄλλη. τὸ ἐθνικὸν Λακεριεύς καὶ Λακερειεύς, καὶ Λακέρεια τὸ θηλυκὸν ὁμοφώνως τῷ πρωτοτύπῳ.

Λακιάδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς. ὁ δημότης Λακιάδης ἀναγράφεται. ὁ δῆμος Λακιά, ὁ δημότης Λακιεύς. καὶ τὰ τοπικὰ ἐκ τῆς γενικῆς τῶν πληθυντικῶν μετὰ τῶν προθέσεων.

Λακίνιον, ὄρος Κρότωνος. Λυκόφρων „καὶ Λακινίους μυχούς". τὸ ἐθνικὸν Λακίνιος, καὶ τὸ κύριον τοῦ ἥρωος, ἀφ' οὗ τὸ ὄρος. τὸ θηλυκὸν Λακινιάς, καὶ ἡ χώρα Λακινία ὡς Κυδωνία, καὶ τὸ ἐθνικὸν Λακινιάτης.

Λάκμων, ἄκρα τοῦ Πίνδου ὄρους, ἐξ ἧς ὁ Ἴναχος καὶ Αἴας ῥεῖ ποταμός, ὡς Ἑκαταῖος ἐν πρώτῳ. ἔστι δὲ παρώνυμον ὡς ἀπὸ τοῦ Λάκμος. τὸ ἐθνικὸν Λακμώνιος.

---

2. σιδηροτρύπαντα RV. 5. λέγων R, λέ$^{\gamma}$ V, λέ A. ipsa scriptoris verba videntur excidisse. 7. Λακεδαιμονάδα ante X. 8. Δευκαλιωνίας R. 9. Ἰταλίας] Luceriam dici vidit H. fortasse tamen recte Θετταλίας corrigit B. ἄλλη] καὶ supra ἄλλη ab alia manu habet R. fortasse igitur ἔστι καὶ Ἰταλίας. καὶ ἄλλη [Ἀργολίδος, ἡ καὶ Ἑρμιόνη.] v. in Ἑρμιών. 9. 10. Λακεριεύς καὶ add. R. Λακεριεύς ad Λακέρεια revocari non potest; itaque aut Λακερεύς scribendum est, aut fuit etiam altera forma Λακερία vel Λακέριον. 13. ἀναγράφεται ὁ δῆμος coniungit X. forsan [εἰ δὲ] ὁ δῆμος Λακιά. Λακιά, ὁ δημότης R, Λακία καὶ ὁ δημότης AV. 14. καὶ τὰ R, τὰ AV. 16. Λυκόφρων] vs. 856. ubi Λακινίου editur. 18. Λακωνιάς V. Λακωνία V. 19. Λακωνιάτης RV. 21. ὡς om. R. 22. τοῦ Λάκμος R, τοῦ Λάκμωνος AV. τὸ τοπικὸν V.

Λαλίσανδα, πόλις Ἰσαυρική, ὡς Καπίτων Ἰσαυρικῶν πρώτῳ. τὸ ἐθνικὸν Λαλισανδεύς. οἱ νῦν δὲ *Δαλίσανδα* ταύτην φασὶ καὶ Δαλισανδεώτας.

Λάμια, πόλις Θεσσαλίας τῶν Μηλιέων, ὡς Πολύβιος. οἱ μὲν ἀπὸ Λάμου τοῦ Ἡρακλέους φασίν, οἱ δὲ ἀπὸ Λαμίας γυναικός, ἣ ἐβασίλευσε Τραχινίων. ἐν ᾗ καὶ Λαμιακὸς πόλεμος. ἔστι καὶ ἄλλη Κιλικίας. τὸ ἐθνικὸν Λαμιεῖς καὶ Λαμιῶται.

Λαμητῖνοι, πόλις [Ἰταλίας], ἀπὸ Λαμήτου ποταμοῦ πρὸς Κρότωνι. Ἑκαταῖος Εὐρώπῃ „ἐν δὲ Λάμητος ποταμός, ἐν δὲ Λαμητῖνοι". ὁ πολίτης Λαμητῖνος.

Λάμος, ποταμὸς Κιλικίας, καὶ ἡ παρ' αὐτὸν χώρα Λαμουσία, ὡς Ἀλέξανδρος ὁ πολυΐστωρ ἐν πρώτῳ Λυκιακῶν. τὸ ἐθνικὸν Λαμούσιος.

Λάμπεια, ὄρος Ἀρκαδίας. Παρθένιος Ἀνθίππῃ. τὸ ἐθνικὸν δύναται καὶ Λαμπειάτης καὶ δίχα τοῦ ῑ.

Λαμπέτεια, πόλις Βρεττίας. Πολύβιος τρισκαιδεκάτῳ. τὸ ἐθνικὸν Λαμπετειάτης ἢ καὶ Λαμπετειανός τῷ ἐπιχωρίῳ

---

1. *Λαλίσανδα* ex *Δαλίσανδα* corruptum. 2. *Δαλισάνδειαν* postulat gentile *Δαλισανδεώτης*. 4. *ὡς* add. RV. *Πολύβιος*] 9, 29. ubi *Λαμία* editur. 5. *Λάμου* B, *Λαμίου* libri. 5. 6. *Λαμίας γυναικός*] Haec eadem est, quam Neptuni filiam dicunt Pausan. 10, 12, 1 et Plutarchus Pyth. orac. p. 398 c: *λέγεται τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην ὑπὸ τῶν Μουσῶν τραφεῖσαν. ἔνιοι δέ φασιν εἰς Μαλεῶνα ἀφικέσθαι Λαμίας οὖσαν θυγατέρα τῆς Ποσειδῶνος.* ubi leg. *ἐκ Μαλιέων*. 7. 8. *Λαμιεῖς καὶ Λαμιῶται*] Horum primum ad Thessalicam, alterum ad Ciliciae urbem spectat, quibus maxime usitata sunt gentilia in $\overline{ωτης}$. vide ad *Ἰταλία* p. 341. 9. *Λαμιτίνη* R. *Ἰταλίας* add. M. *Λαμίτου* R, *Λαβήτου* V. cf. Tzetza ad Lycophr. 1085: *ὁ Λάμητος, ὥς φησι Φιλογένης (Φίλων?), Ἰταλίας ποταμός.* 10. *Κρότωνι* B, *Κρότωνα* X, *Κρότων* libri. *ἐν* RV, *ἐκ* A. *Λάμιτος ποταμός* R, *Λάμητος ποταμοῦ* AV. 11. *ἐν δὲ* ante *Λαμητῖνοι* add. R. 12. *ποταμὸς*] *πόλις* R. 15. *Λάμπεια* RV, *Λάμεια* A. 16. *Λαμπειάτης* V, *Λαμπιάτης* R, *Λαμειάτης* Pp, *Λαμεάτης* A. *καὶ* ante *δίχα* add. PpRV. 17. *Βρεττία* RV. 18. *Λαμπετίτης* V, *Λαμπέτιος* R. *καὶ* add. R.

τύπῳ. Λαμπετῖνος γὰρ οὐ δύναται εἶναι διὰ τὴν παράληξιν τῆς διφθόγγου.

Λαμπέτειον σῆμα ἐν Λέσβῳ, ἀπὸ Λαμπέτου τοῦ Ἴρου.

Λάμπη, πόλις Κρήτης, Ἀγαμέμνονος κτίσμα, ἀπὸ Λάμπου τοῦ Ταρραίου. τὸ ἐθνικὸν Λαμπαῖος. Κλαύδιος δὲ Ἰούλιος Λαμπέας αὐτούς φησιν. ἔστι καὶ δευτέρα τῆς Ἀκαρνανίας. καὶ τρίτη τῆς Ἀργολίδος, ὡς Φίλων. Ξενίων δὲ ἐν Κρητικοῖς διὰ δύο π̅π̅ γράφει τὴν πόλιν τὴν Κρητικήν. καὶ διὰ δύο α̅α̅ καὶ διὰ τοῦ η̅.

Λαμπώνεια, πόλις Τρῳάδος. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Λαμπωνεύς. Ἑλλάνικος δὲ Λαμπώνιον αὐτήν φησι καὶ τὸ ἐθνικὸν Λαμπωνιεύς.

Λάμυρα, πόλις Λυκίας καὶ ποταμὸς Λάμυρος, ἀπὸ θαλάσσης ὑπὲρ μετεώρου λόφου. ὁ πολίτης Λαμυρεύς.

Λάμψακος, πόλις κατὰ τὴν Προποντίδα, ἀπὸ Λαμψάκης ἐπιχωρίας τινὸς κόρης. ἔστι δὲ Φωκαέων κτίσμα, πάλαι Πιτύουσα λεγομένη, ὡς Δηίοχος ὁ Κυζικηνός. Ἐπαφρόδιτος δὲ Πιτύειαν ὑφ᾽ Ὁμήρου ταύτην κληθῆναι διὰ τὸ πιτύων ἔχειν πλῆθος, Λαομεδόντειαν καλουμένην. ἔστι δ᾽ εὔοινος. ὅθεν Θεμιστοκλεῖ παρὰ τοῦ τῶν Περσῶν ἐδόθη βασιλέως εἰς οἶνον. Δημοσθένης δὲ διὰ τὸ εὔοινον καὶ Πριάπου κτίσμα ταύτην φησί, τοῦ υἱοῦ Ἀφροδίτης καὶ Διονύσου. τὸ ἐθνικὸν Λαμψακηνός.

Λάμψος, μοῖρα τῆς Κλαζομενίων χώρας, ἀπὸ Λάμψου

---

1. εἶναι om. R. 3. Λαμπέτιον V. τοῦ om. V. 7. ἔστι om. R. 9. Κρητικοῖς Salmasius, Κρήτῃ libri. δύο π̅ X. vide supra p. 402. 10. α̅α̅ BH, λ̅λ̅ libri. διὰ τοῦ η̅] διὰ δύο η̅η̅ R. 11. 12. τὸ θηλυκὸν RV. 12. Λαμπωνειεύς B. καὶ om. R. 14. Λίμυρα Strabo 14 p. 666. Λάμυρος RV, Λάμυρα A. 17. δὲ X, καὶ libri. 18. Πιτύουσσα V. Δηίοχος W, Δηίχορος A, Δηιόχορος RV, Δηίλοχος Meursius. 19. Ὁμήρου] Il. 2, 829. 20. Λαομεδοντίαν libri. ἔστι καὶ εὔοινος V. 21. περὶ V. τῶν om. R. 22. οἶνον BH, εὔοινον RV, εὔνοιαν A. 23. φησὶ ταύτην R. 25. Κλαζομενίων R, Κλαζομενῶν AV.

παιδὸς Κοδρίδου, ὡς Ἔφορος τρίτῳ. τὸ ἐθνικὸν Λάμψιος, ὡς Θάψιος Σάμιος Κίψιος.

Λαοδαμάντεια, νῆσος ἐν Λιβύῃ. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. ἐκαλεῖτο δὲ Λαομεδόντεια, ἴσως ἀπὸ Λαομέδοντος τοῦ Τρωός. τὸ ἐθνικὸν ἀμφότερον Λαομεδοντίτης καὶ Λαοδαμαντίτης.

Λαοδίκεια, πόλις τῆς Συρίας, ἡ πρότερον Λευκὴ ἀκτὴ λεγομένη καὶ πρὸ τούτου Ῥάμιθα. κεραυνωθείς γάρ τις ἐν αὐτῇ ποιμὴν ἔλεγε „ῥαμάνθας“, τουτέστιν ἀφ' ὕψους ὁ θεός· ῥάμαν γὰρ τὸ ὕψος, ἄθας δὲ ὁ θεός. οὕτως Φίλων. λέγεται δὲ ἀπὸ Λαοδίκης τῆς μητρὸς Σελεύκου τοῦ Νικάτορος. ἔστι δ' εὐοινοτάτη καὶ πάσης εὐκαρπίας ἀνάμεστος. ἔστι δὲ καὶ ἑτέρα Λυδίας, Ἀντιόχου κτίσμα τοῦ παιδὸς τῆς Στρατονίκης· τῇ γὰρ γυναικὶ αὐτοῦ ὄνομα Λαοδίκη. Διὸς μήνυμα δι' Ἑρμοῦ, ὄναρ διὰ χρησμοῦ Ἀπόλλωνος

Ἀντιόχῳ βασιλῆι τάδε χρᾷ Φοῖβος Ἀπόλλων,
κτιζέμεναι πτολίεθρον ἀγακλεές, ὡς ἐκέλευσεν
Ζεὺς ὑψιβρεμέτης, πέμψας ἐριούνιον Ἑρμῆν.

ἔστι δὲ καὶ ἄλλη Λυκαονίας. καὶ Μηδίας ἑτέρα.

Λᾶος, πόλις Λευκανίας. Ἀπολλόδωρος ἐν τῷ περὶ γῆς δευτέρῳ. ἀπὸ Λάου ποταμοῦ. τὸ ἐθνικὸν Λαΐνος ὡς Ῥηγῖνος.

---

1. *Κοδρίδου* M, *Καδίδρου* AV, *Κυδρίδου* R. quod reposui verum esse ostendunt quae veteres de Codridarum in Ionia coloniis memoriae prodiderunt; praeterea vero excidisse videtur nomen illius Codridae, qui Lampsi pater fuit. 2. *Θάψιος* BH, *Σάψιος* libri. *Ψάμιος* R. *Ἴψιος*? an *καὶ Ἴψιος*? 4. *καὶ* pro *δὲ*? 5. *τὸ ἐθνικὸν ἀμφότερον* (*ἀμφοτέρων*?) R, *τὰ ἐθνικὰ ἀμφότερα* AV. 7. *Λαοδίκεια πόλις* om. V. *τῆς* om. R. 8. *Ῥάμιθαι* V, *Ῥάμαθα* Bochartus. *γάρ του τις* R, an *γάρ πού τις*? 8. 9. *ἐν αὐτῇ* add. R. qui *ποιμὴν* omittit. 9. *ῥαμανάθας* Salmasius. 10. *ῥάμαν* om. V, *ῥάμ* Bochartus. *ἄνθας* Bochartus. 11. *Νικάνορος* H. 12. *δὲ* om. R. 16. *Ἀντιόχῳ*] Oraculum hoc ut pleraque quae Stephanus affert e Phlegontis Tralliani Chronicis petiisse videtur. cf. Photii Bibl. p. 84, 40. *βασιλῆι* X, *βασιλεῖ* libri. 17. *στιζέμεναι* RV. 19. *δὲ* om. V. *Μηδείας* R. 20. *Λᾶος* et mox *Λάου* B, *Λαός* et *Λαοῦ* libri.

Λαούντιον, μητρόπολις τῶν Λατίνων. Διονύσιος πέμπτῃ Ῥωμαϊκῆς ἱστορίας. τὸ ἐθνικὸν Λαουντῖνος.

Λαπέρσα, θηλυκῶς, ὄρος Λακωνικῆς, οὗ μέμνηται Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ. ἀπὸ τῶν Λαπερσῶν Διοσκούρων. τὸ ἐθνικὸν Λαπερσαῖος.

Λάπηθος, πόλις Κύπρου, ὕφορμον ἔχουσα καὶ νεώρια. Ἀλέξανδρος Ἐφέσιος „Βήλου δ' αὖ Κίτιόν τε καὶ ἱμερόεσσα Λάπηθος". τὸ ἐθνικὸν Λαπήθιος καὶ Λαπηθεύς.

Λαπίθη, πόλις Θεσσαλίας, ὡς Ἐπαφρόδιτος ἐν τοῖς Ὁμηρικοῖς, ἀπὸ Λαπίθου τοῦ Περίφαντος. οἱ οἰκήτορες Λαπίθαι, οὐκ ἀπὸ τῆς πόλεως, ἀλλ' ἀπὸ τοῦ ἔθνους, ὡς Πισίδαι καὶ Ἴωνες καὶ Θετταλοί. Λαπίθαι γὰρ ἔθνος Θεσσαλίας. ἔστι καὶ *Λαπίθαιον* ὄνομα ὄρους τῆς Λακωνικῆς.

Λάρανδα, πόλις Λυκαονίας. ὁ πολίτης Λαρανδεύς. Χάραξ τρίτῳ χρονικῶν. τὸ θηλυκὸν Λαρανδίς.

Λάρινα, πόλις Δαυνίων. τὸ ἐθνικὸν Λαριναῖος, ὡς Τέρινα Τεριναῖος.

Λάρισαι πόλεις ι'. Θεσσαλίας, ἡ πρὸς τῷ Πηνειῷ, ἣν Ἀκρίσιος ἔκτισε. δευτέρα ἡ Κρεμαστή, ὑπό τινων δὲ Πελασγία. τρίτη ἐν τῇ Ὄσσῃ χωρίον. τετάρτη τῆς Τρῳάδος, ἣν φησιν Ὅμηρος „τῶν οἳ Λάρισαν ἐριβώλακα". πέμπτη Αἰο-

---

1. πέμπτῃ] c. 12. ubi est *Λαουίνιον*, quod Stephano quoque reddi voluit Salmasius. 3. *Λαπέρσαι* V. 4. Ἰλιακῶν et *Λαοπερσῶν* libri, correxit B. 6. *Λάπιθος* R. ὕφορμον R, ἔφορμον AV. 7. Βήλου] cf. Anall. Alex. p. 375. 8. *Λαπίθιος* R. 9. Θετταλίας R. 13. *Λαπίθαιον* Meursius, *Λαπίθαι* libri. 16. Δαυνίων H, *Λαυινίων* RV, *Λαβινίων* A. 18. *Λάρισαι* πόλεις ι' (vel ια') M, *Λαρισσα* πο γ̄ R, *Λάρισσα* πόλις γ̄ V, *Λάρισσα* πόλις τρίτη A, *Λάρισσα*. πόλις πρώτη BH. praeterea et hic et in sequentibus scripsi *Λάρισα*, libris partim unum partim duo sigma exhibentibus. nomen hoc *Λάρισα*, ιων, exemplo, quoad scio, unico formavit Socrates Hist. eccl. 3, 25. 18. 19. ἣν Ἀκρίσιος lacuna indicata om. RV. 19. ἔκρισε RV. 19. 20. Πελασγῶν V. 20. τρίτη ἐν om. RV. 21. Ὅμηρος] Il. 2, 841. οἳ om. RV. *Λάρισσαν* om. V.

λίθος περὶ Κύμην τὴν Φρικωνίδα. ἕκτη Συρίας, ἣν Σύροι Σίζαρα καλοῦσιν. ἑβδόμη Λυδίας. ὀγδόη Θεσσαλίας πρὸς τῇ Μακεδονίᾳ. ἐνάτη Κρήτης. δεκάτη Ἀττικῆς ἐστι Λάρισα. καὶ ἡ ἀκρόπολις τοῦ Ἄργους Λάρισα. καὶ ὁ πολίτης Λαρισαῖος καὶ Λαρισεὺς Ζεύς. Στράβων δὲ κώμην φησὶν Ἐφέσου, ἐν ᾗ Ἀπόλλων Λαρισηνός.

* * * *

Λῆμνος, νῆσος πρὸς τῇ Θρᾴκῃ, δύο πόλεις ἔχουσα, Ἡφαιστίαν καὶ Μύριναν, ὡς Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ τῆς μεγάλης λεγομένης θεοῦ, ἣν Λῆμνόν φασι· ταύτῃ δὲ καὶ παρθένους θύεσθαι. ᾠκίσθη δὲ πρῶτον ὑπὸ Θρᾳκῶν, οἳ Σίντιες ἐκαλοῦντο, ὡς Στράβων. οἱ δ' αὐτοὶ οὗτοι καὶ Σαπαῖοι. ὁ οἰκήτωρ Λήμνιος καὶ Λημνικός κτητικόν.

Λήναιος, ἀγὼν Διονύσου ἐν ἀγροῖς, ἀπὸ τῆς ληνοῦ. Ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν. καὶ Ληναϊκός καὶ Ληναιεύς. ἔστι δὲ καὶ δῆμος.

Λῆνος, χώρα τῆς Πισατῶν. ὁ πολίτης Ληναῖος. Φλέγων μή ὀλυμπιάδι.

Λητή, πόλις Μακεδονίας, ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ, ὡς Θεαγένης Μακεδονικοῖς. τὸ ἐθνικὸν Λήταῖος· οὕτως γὰρ ἱστορεῖται Νέαρχος Λητaῖος, τῶν Ἀλεξάνδρῳ τῷ μεγάλῳ συστρατευσαμένων ὁ διασημότατος.

---

1. παρὰ R. τὴν Φρικωνίδα Casaubonus, τὴν Φρι..νίδα RV, τὴν ...νίδα A. 3. 4. Ἀττικῆς. ἔστι Λάρισσα καὶ ἡ R, Ἀττικῶν ἐστι Λάρισα. καὶ ἡ V. 4. καὶ ὁ A, ὁ R. 5. Λαρισεὺς V, Λαρισσεὺς A, Λαρισσαῖος R. Στράβων] 9 p. 440. 13 p. 620. 6. Λαρισηνός RV, Λαρισσηνός A. 7. lacunae indicatae haec causa est, quod inter sectiones de Larisa et Lemno multa urbium populorumque nomina intercidisse apertum est. 8. Λήμνοι R. 10. λεγομένη? φησι X. 11. θύεσθαι PpRV, ἔθυον A. 12. Στράβων] 7 p. 331. 14. Λήναια? 16. δὲ om. R. δῆμος] Error fluxit ex Aristoph. Ach. 504: οὑπὶ Ληναίῳ τ' ἀγών. 17. Λῆνος] Arcad. 63, 18: φῆνος ὁ τόπος. an Λῆνος? χώρα τις H, χώρα τῶν B, fort. χωρίον τῶν. Πισάων ante B. 19. Λήτη R. 21. Νίκαρχος ante B. Λητaῖος] Nearchus, Alexandri in expeditionibus comes, Cretensem patria fuisse aliunde constat. v.

Λητοῦς, πόλις Αἰγύπτου. ἔστι δὲ μοῖρα Μέμφιδος, καθ' ἣν αἱ πυραμίδες. Λητοῦς ἱερόν. Ἀλέξανδρος ἐν τρίτῳ περὶ Αἰγύπτου. τὸ ἐθνικὸν Λητοπολίτης· οὕτως γὰρ Πολύστρατος καὶ Ἀπολλώνιος ὁ ἀρχιερεὺς λεγόμενος ἀναγράφει.

Λητωεύς, δῆμος ἐν Ἀλεξανδρείᾳ, ὡς Τρύφων ἐν τῷ περὶ παρωνύμων, ὅτι παρὰ τὸ Λητῷος κτητικὸν σχηματίζεται.

Ληψίμανδος, πολίχνιον Καρίας. τὸ ἐθνικὸν Κρατερὸς ἐνάτῳ περὶ ψηφισμάτων Ληψιμανδεύς.

Λίβανα, πόλις Συρίας ταῖς Ἄτραις γειτνιάζουσα. Ἀρ-

Vales. ad Harpocr. p. 18 et Gronov. ad Arrian. p. 332. itaque Letaeus dici non potuit; nec placet, quod B coniecit, Stephanum vitioso Theagenis codice usum esse, in quo Ληταῖος scriptum fuerit pro Κρηταῖος. aliam difficultatis huius expediendae viam monstrat R, in quo non Ληταῖος scriptum est, sed Λῆταῖος (α supra η). itaque si Lato, Cretae urbem non ignobilem, Nearchi patriam fuisse sumere licet, haud improbabile videri potest, accidisse hoc loco, quod saepe in Stephani libris accidisse vidimus, ut propter ὁμοιοτέλευτον quae de duabus urbibus dicta erant in unum conflata sint. sic igitur Stephani verba redintegranda esse suspicor: Λητή, πόλις Μακεδονίας, ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ, ὡς Θεαγένης Μακεδονικοῖς. τὸ ἐθνικὸν Ληταῖος. [ἔστι καὶ Λατώ πόλις Κρήτης. τὸ ἐθνικὸν Λατῷος.] οὕτως γὰρ ἀναγράφεται Νέαρχος Λατῷος. nam hoc quoque haud raro fecit noster, ut complurium urbium memoriam uno tmemate coniungeret, praesertim si utriusque nominis idem primitivum esset. Λατῷος autem gentile posui utpote etymologicae rationi magis consentaneum, quamquam rectius fortasse Λάτιος fuerit, cuius plurima exempla suppeditat titulus Cretensis apud Boeckhium vol. 2. no. 2554. in quo ipsa urbs, ut apud nostrum s. v. Καμάρα, Λατώ appellatur, ut docent quae vs. 4, 51, 53, 70 leguntur ΕΝ ΛΑΤΩΙ et ΕΣ ΛΑΤΩΝ, i. e. ἐν Λατοῖ et ἐς Λατοῦν. 21. τῶν ἐν Ἀλεξάνδρῳ R.
1. Λητοῦς πόλις RV, Λητοῦς πόλις, πόλις A. v. ad Μενέλαος.
2. ἐν add. R. 4. ἀρχιερεὺς H, ἀρχιφέως A, ἀρχοιφέως RV.
4. 5. ἀναγράφει M, ἀναγράφεται libri. Apollonius enim non Letopolitanus fuit, sed Aphrodisiensis. 7. παρὰ τὸ om. V. Λητῶ[ος] R, Λητώ AV. 8. Ληψίμανδος V, Ληψήμανδος A, Ληψίμανδρος R. 9. Ληψιμανδεύς (Ληψίμανδος V) post ψηφισμάτων (σοφισμάτων V) ponunt RV, Ληψημανδεύς post ἐθνικὸν A. 10. Λίβανα R, Λιβαναί AV.

ριανὸς Παρθικῶν ἐνάτῳ. ἔστι καὶ *Λίβανος* ὄρος τῆς Συρίας. τὸ ἐθνικὸν Λιβανίτης.

Λιβύη, χώρα πολυώνυμος, ὡς πολυίστωρ „γῆ Ὀλυμπία Ὠκεανία Ἐσχατιά Κορυφή Ἑσπερία Ὀρτυγία Ἀμμωνίς Αἰθιοπία Κυρήνη Ὀφιοῦσσα Λιβύη Κηφηνία Ἀερία". τὸ ἐθνικὸν [Λίβυς] Λίβυσσα.

Λιβυρνοί, ἔθνος προσεχὲς τῷ ἐνδοτέρῳ μέρει τοῦ Ἀδριατικοῦ κόλπου. Ἑκαταῖος Εὐρώπῃ. τὸ θηλυκὸν Λιβυρνίς. καὶ Λιβυρναῖοι. ὠνομάσθησαν δὲ ἀπό τινος Λιβυρνοῦ ἀττικοῦ. εὕρηται τὰ Λιβυρνικὰ σκάφη. καὶ Λιβυρνικὴ μανδύη εἶδος ἐσθῆτος.

Λίβυς, κύριον, κλίνεται Λίβυος, ἀφ' οὗ Λιβύη. τὸ ἐθνικὸν Λίβυς Λίβυσσα Λίβυ, Λιβυκός Λιβυκή, καὶ Λιβύστιον, ὡς ἀπὸ τοῦ Λίβυστος τοῦ ἀπὸ τοῦ Λίβυος ὄντος κατὰ πλεονασμόν. καὶ Λιβυστῖνον καὶ Λιβυστῖνος καὶ Λιβυστίνη, καὶ Λιβυστιάς καὶ Λιβυστίς, καὶ Λιβυσσαία ἀπὸ τοῦ Λίβυσσα. καὶ κτητικὸν „Λιβυστικὰς πλάκας" Λυκόφρων, ὅ τινες διὰ τοῦ γ γράφουσι κακῶς.

---

1. aut ἐνάτῳ (θ' RV) hoc loco aut ἑπτακαιδεκάτῳ (ιζ' RV) s. v. Ἄτραι corruptum. 4. Ὀρτυγία om. V. 5. Ὀφίουσσα R, Ἀφίουσσα V, Ὀφίουσα A. Κωφηνίας V. fortasse igitur Κηφηνιάς. 5. 6. τὸ ἐθνικὸν [Λίβυς καὶ θηλυκὸν] Λίβυσσα Salmasius; sufficit Λίβυς addere. 7. 8. Ἀδραικοῦ R, Ἀδρικοῦ V i. e. Ἀδριακοῦ. 8. θηλυκὸν RV, ἐθνικὸν A. 9. 10. an ἀπό τινος Λιβυρνοῦ λῃστοῦ, [ὃς] εὗρε καὶ τὰ Λιβυρνικά? ἀπό τινος Λιβυρνοῦ, ἀφ' οὗ εὕρηται τὰ Λιβυρνικὰ B, qui aut ὑφ' οὗ debebat aut εἴρηται. 10. Λιβυρνικὴ μανδύη] Haec Aeschyli sunt apud Polluc. 7, 60: Λιβυρνικῆς μίμημα μανδύης χιτών. 12. 13. τὸ ἐθνικὸν — Λιβυκή a m. s. in marg. habet R. 15. ἀπὸ τῆς Λίβυος R. 16. Λιβυστῖνον M, Λιγυστιν" R, Λιβυστικόν AV. Λιγυστῖνος καὶ Λιγυστίνη RV. 18. κτητικὸν [Λιβυστικός]. Λιβυστικὰς πλάκας BH, quam inutilem interpolationem esse non monerem nisi eodem modo ab iisdem identidem peccatum esset. cf. s. v. Αἰσών· τὸ δὲ Αἰσονίδης ἀπὸ τοῦ Αἴσονά τ' ἠδὲ Φέρητα, i. e. Αἰσονίδης antepenultima brevi dici a primitivo Αἴσων, ονος, cuius formae exemplum praebere Homerica verba Αἴσονά τ' ἠδὲ Φέρητα. similiter in Ἀκτή· ἔστι καὶ Ἄκτιος Αἰγεύς. in Ἄκτιον· λέγεται καὶ Ἀκταῖος Ἀπόλλων. in Με-

Λίβυσσα, φρούριον Βιθυνίας ἐπιθαλάσσιον, ὡς πολυΐστωρ Ἀλέξανδρος. τὸ ἐθνικὸν Λιβυσσαῖος.

Λιβυστῖνοι, ἔθνος παρακείμενον Κόλχοις, ὡς Διόφαντος ἐν πολιτικοῖς. οὗ θηλυκὸν Λιβυστίνη.

Λίγγος, φρούριον Κασσανδρέων. Ἀπολλόδωρος ἐν χρονικῶν τρίτῳ, ὃς καὶ τὸ ἐθνικὸν Λιγγαῖος. ἔστι δὲ καὶ Λίγγιος καὶ Λίγγιος κόλπος.

Λίγξ, ποταμὸς Μαυριτανίας καὶ πόλις. τινὲς δὲ *Λίξον* γράφουσι καὶ Λίξους τοὺς πολίτας.

Λίγυρες, ἔθνος προσεχὲς τοῖς Τυρρηνοῖς. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. ἀπὸ Λιγύρου ποταμοῦ.

Λιγυστίνη, πόλις Λιγύων τῆς δυτικῆς Ἰβηρίας ἐγγὺς καὶ τῆς Ταρτησσοῦ πλησίον. οἱ οἰκοῦντες Λίγυες καλοῦνται.

Λίηβρις, πόλις Φοινίκων, ὡς Ἡρωδιανός. τὸ ἐθνικὸν Λιηβρίτης ὡς Συβαρίτης. Ἑκαταῖος περιηγήσει Αἰγύπτου.

Λιθήσιος, ὁ Ἀπόλλων ἐν τῷ Μαλέᾳ λίθῳ προσιδρυμένος ἐκεῖ. Ῥιανὸς Ἠλιακῶν τρίτῳ. ὡς γὰρ ἀπὸ τοῦ Μάραθος Μαραθήσιος, οὕτω καὶ τοῦτο.

τηλις· τὸ ἐθνικὸν Μετηλίτης νομός. in Μῆλος· ὁ πολίτης Διαγόρας ὁ Μήλιος. in Μένδη· τὸ ἐθνικὸν Μενδαῖος οἶνος. in Μυρίανδρος· τὸ κτητικὸν Μυριανδρικὸς κόλπος. in Σαῦρα· τὸ ἐθνικὸν Σαυρανῶν δ' οἱ κορυφαιότατοι. in Σμύρνα· τὸ κτητικὸν Σμυρναϊκὸς κόλπος. in Σολύγεια· τὸ κτητικὸν Σολύγειος κόλπος. in Ἠλακαταῖον· τὸ ἐθνικὸν Ἠλακαταῖος Ζεύς. in Θαυμακία· οἱ ἔνοικοι Θαυμακοί καὶ Θαυμακίης ἱερὸν Ἀρτέμιδος. mitto alia. 18. *Λυκόφρων*] vs. 648. ὅ τινες διὰ M, οἵτινες διὰ RV, οἵ τινες δὲ διὰ A. quod reposui verum esse ex eo intelligitur, quod in Lycophronis loco duo libri Parr. habent *Λιβυστικάς* (γ superscr.). 5. *Κασανδρέων* R. 6. δὲ add. RV. 7. λίγγος κόλποις V. 8. *Λίξον*] Strabo 16 p. 825: πολίχνιον, ὅπερ Τίγγα καλοῦσιν οἱ βάρβαροι, Λίγγα δὲ Ἀρτεμίδωρος προσηγόρευκεν, Ἐρατοσθένης δὲ Λίξον. 9. *Λιξίους* B. sed vide p. 11, 11. 10. *Λίγυρες* PpR, *Λίγυρος* AV. Τυρηνοῖς R. 12. *Λιγύρων* R. 13. *Ταρτησσοῦ* PV, *Ταρτησοῦ* R, *Ταρσοῦ* A. 14. Ἡρωδιανός] Libro quarto τῆς καθόλου. v. Arcad. p. 34, 18. 15. ὡς Συβαρίτης add. RV. 16. *Μαλέᾳ* X. sed v. Anall. Alex. p. 185. 17. *Ἰλιακῶν* libri.

Λίλαια, πόλις Φωκίδος. Λυκόφρων „πάτραν Λίλαιαν κἀνεμωρείας πέδον". ὁ πολίτης Λιλαιεύς.

Λιλύβαιον, ἡ πρὸς δύσιν ἄκρα τῆς Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ πόλις. καὶ τὸ ἐθνικὸν Λιλυβαῖος καὶ Λιλυβαιίτης καὶ Λιλυβηίς.

Λιμενῶτις, χερρόνησος Κελτική.

Λιμήν, ὁ ὕφορμος τόπος. καὶ λιμενίτης ὁ ἐν αὐτῷ ἱδρυμένος.

Λιμναία, κώμη τοῦ Ἄργους. τὸ ἐθνικὸν Λιμναῖος. Θουκυδίδης δὲ διὰ τοῦ ν̄ τὴν δευτέραν συλλαβήν.

Λίμναι, πόλις ἐν Ἑλλησπόντῳ περὶ Σηστόν. Ἑκαταῖος Εὐρώπῃ. καὶ ἕτερος τόπος τῆς Ἀττικῆς *Λίμναι* καλούμενος, ἔνθα ὁ Διόνυσος ἐτιμᾶτο. Καλλίμαχος „Λιμναίῳ δὲ χοροστάδας ἦγον ἑορτάς".

Λίμυρα, πόλις Λυκίας, ἀπὸ Λιμύρου ποταμοῦ. ὁ πολίτης Λιμυρεύς.

Λινδόνιον, πόλις τῆς Βρεττανίας. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν Λινδονῖνος.

Λίνδος, πόλις ἐν Ῥόδῳ, [κτίσμα Λίνδου,] τοῦ Κερκάφου, τοῦ Ἡλίου καὶ Κυδίππης, τῆς Ὀχίμου θυγατρός. τὸ ἐθνικὸν Λίνδιος. [ἔστι καὶ Σικελίας πόλις *Λίνδος*.]

---

1. Λυκόφρων] vs. 1073. 2. κἀνεμωρίας R. 5. Λιλυβαιίτης H, Λιλυβαΐτης libri. 6. Λιμενῶτις usque ad 16. Λιμυρεύς om. V. 7. ὕφορμος RV, ἔφορμος A. 9. τῆς Ἀγραίας Palmerius, τῶν Ἀγραίων B. 10. Θουκυδίδης] 2, 80. ubi Λιμναία. ν̄ incerto ductu R, η̄ B, ει̅ W, αι̅ Dindorfius, ut aliam formam posuerit Stephanus, non Λιμναία, quae ne literarum quidem ordini satis convenit. β′ συλλαβήν R, δισυλλαβίαν A. 11. ἐν Ἑλλησπόντῳ R, Ἑλλησπόντου AV. 12-14. καὶ ἕτερος — ἑορτάς add. cod. Vat. apud H. 13. Καλλίμαχος λιμναίῳ δὲ ex schol. Arist. Ran. 216 repositum est, καὶ οἱ λιμναῖοι codex. 19. κτίσμα Λίνδου add. B, ἀπὸ Λίνδου H. 20. Ἡλίου RV, Ἡλείου A. Ὀχίμου BH, Ὀρχίμου libri. 21. ἔστι — Λίνδος addidi ex Eustathio a B indicato ad Iliad. p. 315, 12: ὁ δὲ τὰ ἐθνικὰ συλλέξας καὶ Σικελικὴν πόλιν Λίνδον ἱστορεῖ.

Λίνον, χωρίον τῆς Ἑλλησποντίας. Στράβων τρισκαιδεκάτῃ „μεταξὺ δὲ κεῖται τοῦ Παρίου καὶ τοῦ Πριάπου κατὰ Λίνον". οἱ οἰκοῦντες Λινούσιοι.

Λίξα, πόλις Λιβύης, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λιβυκῶν, ἀπὸ Λίξου ποταμοῦ. τὸ ἐθνικὸν Λίξιοι Λιξίτης. καὶ Λιξᾶται παρά τισιν.

Λίπαξος, πόλις Θρᾴκης. Ἑκαταῖος. τὸ ἐθνικὸν Λιπάξιος.

Λιπάρα, νῆσος μεγίστη τῶν ἑπτὰ τῶν Αἰόλου, ἣ *Μελιγουνὶς* ἐκαλεῖτο, πλησίον Σικελίας, ἀπὸ Λιπάρου τοῦ Αὔσονος υἱοῦ. λέγεται καὶ πληθυντικῶς. τὸ ἐθνικὸν Λιπαραῖος.

Λιρνύτεια, πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Λιρνυτειεύς.

Λίσσος, πόλις Ἰλλυρίας, καὶ *Ἀκρόλισσος*. τὸ ἐθνικὸν Λίσσιος καὶ Λισσεύς.

Λιταί, πόλις Λακωνικῆς. τὸ ἐθνικὸν Λιταῖαι. Ἀπολλόδωρος ἑβδόμῳ. οἱ πολῖται Λιταιεῖς.

Λίχανδος, πόλις Σικελίας. Φίλιστος Σικελικῶν τρίτῳ. τὸ ἐθνικὸν Λιχανδῖνος.

Λογγώνη, Σικελίας πόλις. ὁ πολίτης Λογγωναῖος. Φίλιστος δεκάτῳ.

Λόκοζος, πόλις Φρυγίας, ἣν ᾤκουν Θρᾷκες Λοκόζιοι.

---

1. *Λῖνον* R. Ἑλλησποντίης V. 1. 2. τρισκαιδεκάτῃ] p. 588. 2. τοῦ Παρίου καὶ om. V. 2. 3. κατὰ Λίνον M, καὶ τὸ Λῖνον RV, καὶ sine τὸ Λῖνον A. Strabonis verba haec sunt: μεταξὺ δὲ κεῖται (Πιτύεια) Πριάπου καὶ Παρίου κατὰ Λῖνον χωρίον ἐπὶ θαλάττῃ. 5. ἐθνικὸν om. R. 7. πόλις bis R. 11. Λιρνύτεια] Infra Λυρνατία. 13. Λύσσος R. Ἀκρόλισσος BH, ἄκρον Λίσσον AV, ἄκρον Λύγγον R. 14. Λύσιος RV. 15. Λιταί PpV, Λιταῖαι AR; fortasse Λίταια, ut Λίπαια, Ἥραια etc. Λακωνικῆς RV, Λακωνική A. τὸ ἐθνικὸν Λιταῖαι add. R. quae verba, in quibus θηλυκὸν scribendum videtur, fortasse post Λιταιεῖς ponenda. 16. Λιταιεῖς Pp, Λιταεῖς ARV. 17. Λίχανδος R, Λίχινδος A, om. V. Σικελίας RV, Σικελική A. 18. Λιχανδῖνος R, Λιχινδῖνος A, ...δῖνος V. 19. Λογγοναῖος R. 21. Λόκοζος] Infra Λυκόζεια, et Λυκόζειοι pro Λοκόζιοι.

κατεκλύσθη δέ, ὡς Ξάνθος ὁ Λυδός, ὃς καὶ διὰ τοῦ ξ γράφει ἐν τόποις Λοκοξίτας τούτους καλῶν.

Λοκροὶ Ἐπιζεφύριοι, πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπῃ. οἱ πολῖται Λοκροί ὁμωνύμως. τὸ ἐθνικὸν Λόκριος ὡς Κύπριος.

Λοπαδοῦσσα, νῆσος κατὰ Θάψον τῆς Λιβύης, ὡς Ἀρτεμίδωρος ἑβδόμῳ γεωγραφουμένων. τὸ ἐθνικὸν Λοπαδουσσαῖος.

Λούγδουνος, πόλις Κελτογαλατίας. Πτολεμαῖος ἐν περίπλῳ. [τὸ ἐθνικὸν Λουγδουνήσιος] καὶ Λουγδουνησία ἐπαρχία.

Λουκερία, πόλις Ἰταλίας. Πολύβιος τρίτῳ. παρὰ δὲ Διονυσίῳ διὰ τοῦ ε γράφεται. οἱ οἰκοῦντες Λουκερῖνοι.

Λουσιά. τῶν Ὑακίνθου θυγατέρων ἡ Λουσία ἦν, ἀφ' ἧς ὁ δῆμος τῆς Οἰνηΐδος φυλῆς. [ὁ δημότης] Λουσιεύς.

Λουσιτανία, ὅμορος τῆς Βαιτίκης. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν Λουσιτανοί.

Λουσοί, πόλις Ἀρκαδίας, ὅπου Μελάμπους ἔλουσε τὰς

---

2. ἐν τόποις] ἐν τοῖς πατρίοις H. 4. κτητικόν? 6. Λοπάδουσσα A, Λοπάδουσα R, Λοπαίδουσσα V. 7. 8. Λοπαδουσαῖος R. 9. Λούγδουνος vel Λούγδουνον M, Λούγδονος RV, Λούγδουνα A. Πτολεμαῖος] Geogr. 2, 7, 22. 10. τὸ ἐθνικὸν Λουγδουνήσιος add. B. Λουγδουνησία B, Λουγδονισία R, Λουγδονισσία V, Λουγδουνισσία A. 11. Λουκερία V, Λουκαρία AR. τρίτῳ] c. 88, 5. 12. Διονυσίῳ R, Διονύσῳ AV. διὰ τοῦ α? 13. Λουσιά] Λουσία libri. ἡ Λουσία add. PR, quorum R super ἡ habet α i. e. μία. 14. ὁ δῆμος τῆς Οἰνηΐδος φυλῆς. [ὁ δημότης] Λουσιεύς M, ὁ δημότης (δημότης R) Οἰνηΐδος φυλῆς Λουσιεύς libri. 15. ὅμορος τῆς Βαιτίκης M, μέρος τῆς Βαιτίκῆς (sic) R, μέρος τῆς Βαιτικῆς AV, μέρος τῆς Ἰβηρίας H. de accentu nominis Βαιτίκη cf. supra p. 156. 15. 16. ἐν περίπλῳ] p. 674 ed. Mill.: ἡ Λουσιτανία περιορίζεται — ἀπὸ μεσημβρίας τῇ προειρημένῃ Βαιτικῇ. 17. Λουσοί B, Λουσσοί AV, Λουσσός R. frequentior pluralis Λουσσοί Λουσοί Λοῦσσοι Λοῦσοι; singularem habes apud Arcad. p. 75, 16. quocum pugnat schol. Callim. Dian. 235 Herodianum τὰ Λοῦσσα probasse dicens, cuius formae nullum exemplum superest.

Προίτου θυγατέρας καὶ ἔπαυσε τῆς μανίας. ὁ πολίτης Λούσιος καὶ Λουσεὺς καὶ Λουσιάτης.

Λύγκος, πόλις Ἠπείρου. Στράβων ἑβδόμῃ. ἐκλήθη ἀπὸ Λυγκέως. τὸ ἐθνικὸν Λυγκησταί. τὸ θηλυκὸν Λυγκηστίς. λέγεται καὶ Λύγκιος ὡς Λύττιος. λέγεται καὶ Λυγκεύς.

Λύγξ, πόλις Λιβύης πρὸς τοῖς Γαδείροις μετὰ τὸν Ἄτλαντα. καὶ νῆσος Ἄτλαντος καὶ πόλις Λύγξ, ὡς Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Λυγξίτης καὶ Λύγγιος.

Λυδία, ἡ χώρα. Ξάνθος ἐν Λυδιακῶν πρώτῳ. τὸ ἐθνικὸν Λυδός καὶ Λυδαί.

Λύζεια, πόλις Ἀκαρνανίας. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Λυζέως τινός. τὸ ἐθνικὸν Λυζεύς καὶ Λύζεια.

Λύκαια, πόλις Ἀρκαδίας. Θεόπομπος πεντηκοστῷ ἕκτῳ. παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ̄. ὁ οἰκήτωρ Λυκαῖος. [καὶ Λύκειον τὸ γυμνάσιον καὶ Λύκειος ὁ Ἀπόλλων.]

Λυκαονία, χώρα Λυκίας τε καὶ Ἰσαυρίας. τὸ ἐθνικὸν Λυκαόνιος, καὶ Λυκάων ὁμοφώνως τῷ οἰκιστῇ, καὶ .... Λυκάν ὡς μεγιστάν.

---

2. Λουσεύς] Λουσιεύς, quo bis Xenophon usus est, Dindorfius. Λουσεύς habet Pausan. 8, 18, 8. quae forma ut Λούσιος lemmati respondet, Λουσιεύς autem et Λουσιάτης ad Λουσία revocanda sunt. 3. ἑβδόμῃ] p. 326. ubi libri habent Λυγκηστόν, quod Λύγκον scribendum esse monuit Casaubonus. 4. 5. Λυγκέως — λέγεται καὶ om. V. 4. Λυγγέως R. Λυγκισταί et Λυγκιστίς libri. v. Duker. ad Thuc. 2, 99. et Wessel. ad Diod. Sic. 17, 32. praeterea rectius scripseris Λυγκῆσται, de quo aliis locis diximus. 7. Λύγξ ὡς BH, Λυγξώ libri. cf. Strab. 17 p. 829: Ἀρτεμίδωρος δ' Ἐρατοσθένει μὲν ἀντιλέγει, διότι Λίξον τινά φησι πόλιν περὶ τὰ ἄκρα τῆς Μαυρουσίας τὰ ἑσπέρια ἀντὶ Λιγγός. 8. Λυγγίτης? 10. Λυδαί M, Λύδαι V, Λυ^δ R, Λυδαῖος A. 11. Λύζεια B, Λύξεια libri. ἀπὸ om. V. 12. Λυζέως B, Λύξεος A, om. RV. forsan Λύζου. vide nostrum s. v. Ἀλύζεια. Λυζεύς B, Λυξεύς libri. Λύζεια M, Λύξα libri, Λυζαῖος B. 14. Μενελάῳ om. RV. 14. 15. Λυκαῖος RV, Λύκαιος A. 15. καὶ Λύκειον — Ἀπόλλων infra repetuntur neque hic apta sunt. τὸ lacuna trium syllabarum indicata om. R, qui mox cum V Λύκαιος. 17. 18. inter καὶ et Λυκάν lacunam indicat R. fortasse κατὰ συγκοπὴν excidit. de

Λύκαστος, πόλις Κρήτης. Ὅμηρος „Λύκτον Μίλητόν τε καὶ ἀργινόεντα Λύκαστον". ἀπὸ Λυκάστου αὐτόχθονος [ἢ παιδὸς τοῦ Μίνωος.] ὁ πολίτης Λυκάστιος. [ἔστι καὶ Ποντικὴ *Λύκαστος*. τὴν Κρητικὴν Λύκαστον ὀξύνουσιν οἱ ἐγχώριοι. οὐκ ἐπικρατεῖ δὲ ἡ ἐθνικὴ παράδοσις.]

Λυκαψός, κώμη πλησίον Λυδίας. Εὐφορίων Διονύσῳ. τὸ ἐθνικὸν Λυκάψιος, ὡς Αἰδήψιος Γαλήψιος.

Λυκεῖον, τὸ γυμνάσιον. καὶ Λύκειος ὁ Ἀπόλλων. λέγεται καὶ Λυκήιον.

Λυκία, ἡ χώρα, ἀπὸ Λύκου τοῦ Πανδίονος. ἔστι καὶ *Λυκία* ἡ πρὸς Κιλικίαν, ἧς ἦρχε Σαρπηδών. οἱ οἰκήτορες Λύκιοι ὡς Φρύγιοι.

Λυκόα, πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῃ. τὸ ἐθνικὸν Λυκοάτης, καὶ θηλυκῶς διὰ τοῦ ῑ.

Λυκόζεια, πόλις Θρᾴκης. τὸ ἐθνικὸν Λυκόζειοι, ὡς Πείσανδρος τεσσαρεσκαιδεκάτῃ.

Λυκόρμας, ποταμὸς [Αἰτωλίας], ὃν τινες *Εὔηνον* φασί. τὸ ἐθνικὸν Λυκορμαῖος.

Λυκοσθένη, πόλις Λυδίας. Ξάνθος πρώτῃ Λυδιακῶν. ἣν καὶ *Λυκοσθένειαν* Νικόλαός φησιν. ὁ πολίτης Λυκοσθε-

---

Λυκάν cf. Theognostum Crameri p. 26, 25 et supra ad p. 295, 9. Λυκᾶν et μεγιστᾶν V. 1. Ὅμηρος] Il. 2, 647. 3. ἢ παιδὸς τοῦ Μίνωος et 3-5. ἔστι καὶ — παράδοσις addita ex Eustathio ad Hom. l. l.: Λύκαστος δὲ ἀπὸ Λυκάστου φασὶν αὐτόχθονος ἢ παιδὸς Μίνωος. ἔστι δὲ καὶ Ποντικὴ Λύκαστος κατὰ τὸν γραφέα τῶν ἐθνικῶν, ὅς λέγει καὶ ὅτι τὴν Κρητικὴν Λύκαστον ὀξύνουσιν οἱ ἐγχώριοι. οὐκ ἐπικρατεῖ δέ, φησίν, ἡ ἐθνικὴ παράδοσις, τουτέστι παρὰ τοῖς πολλοῖς οὐκ ὀξύνεται. 6. Λύκαψος libri. 7. Αἰδήψιος B, Δαψήγιος AV, Δαψήγὺος R, 8. Λύκειον et Λυκεῖος? cf. p. 363, 10. 13. ὀγδόῃ] c. 36, 7. 14. Λυκοᾶτις R. 15. Λυκόζεια] Supra Λόκοζος, ubi Phrygiae urbs fuisse dicitur, cui non repugnare videtur quod h. l. legitur πόλις Θρᾴκης. nimirum Lycozii, Thracum gens, in Phrygiam invaserant ibique Lycozeam urbem condiderant. fortasse tamen Θρᾳκῶν scribendum. 17. Αἰτωλίας om. libri. Εὔηνον R, Ἐϋκνόν A, Εὖκον V.

νεύς ὡς Βερενικεύς. παρὰ δὲ Λυδοῖς Λυκοσθενείτης ὡς Δικαιαρχείτης.

Λυκόσουρα, πόλις Ἀρκαδίας ἐπὶ τῷ Λυκαίῳ ὄρει. ὁ πολίτης Λυκοσουρεύς.

Λύκτος, πόλις Κρήτης, ἀπὸ Λύκτου τοῦ Λυκάονος. ἔνιοι Λύττον αὐτὴν φασὶν διὰ τὸ κεῖσθαι ἐν μετεώρῳ τόπῳ. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν λύττον φασί. τὸ ἐθνικὸν Λύκτιος, καὶ θηλυκὸν Λυκτηΐς.

Λύκων πόλεις δύο, ἡ μὲν ἐν τῷ Λυκοπολίτῃ νομῷ τῆς Αἰγύπτου, ἡ δὲ ἑτέρα τοῦ Σεβεννύτου νομοῦ παραθαλάσσιος. τὸ ἐθνικὸν Λυκοπολῖται.

Λυκώνη, πόλις Θρᾴκης. Εὐφορίων Ἱππομέδοντι. τὸ ἐθνικὸν Λυκωναῖος, ὡς Σκιώνη Σκιωναῖος. δύναται καὶ Λυκωνεύς ὡς Σινωπεύς.

Λυκώρεια, κώμη ἐν Δελφοῖς. Καλλίμαχος τρίτῳ. ἀπὸ Λυκωρέως τοῦ βασιλέως. ὁ πολίτης Λυκωρεύς καὶ Λυκώριος καὶ Λυκωρείτης. ἔστι καὶ Λυκώρειος Ζεὺς καὶ Λυκώρειον διὰ διφθόγγου.

Λύλη, πόλις Ἀρκαδίας. Ἀλέξανδρος δευτέρῳ περὶ Λυκωρείας. τὸ ἐθνικὸν Λυλαῖος.

---

1. ἄλλοις pro Λυδοῖς? 1. 2. Λυκοσθενείτης ὡς Δικαιαρχείτης RV, Λυκοσθενίτης ὡς Δικαιαρχίτης A. 6. αὐτὴν φασὶν R, αὐτόν φασιν V, φασὶν αὐτὴν A. 8. Λυκτηΐς quasi a Λυκτεύς formatum est. 9. πόλις RV. 10. Σεβεννύτου RV, Συβεννύτου A. 12. Θρᾴκης πόλις V, Θρᾴκης ὄρος R. Εὐφρονίων V. Ἱππομέδωντι R. 13. Σκιώνη Σκιωναῖος R, Κιώνη Κιωναῖος AV. 16. Λυκώριος BH, Λύκωρος libri. praestat fortasse Λυκωρίς. 17. Λυκώρειος BH, Λυκωραῖος libri. Λυκώριον R. 19. Λύκη R. 19. 20. δευτέρῳ περὶ Λυκωρείας] Alexandrum duobis libris de Lycorea egisse parum credibile est, neque apparet quid talis citatio ad Lylam Arcadiae urbem faciat. itaque Ἀλεξανδρίδης scribendum et verba haec, loco suo mota, ad praecedentem sectionem pertinere suspicor, ut Alexander secundo libro περὶ τοῦ ἐν Δελφοῖς χρηστηρίου (vide s. v. Παρνασσός) de Lycorea dixisse putetur. nisi Λυκωρείας ex Λυκίας corruptum totumque hoc, Ἀλέξανδρος — Λυκίας, temere repetitum dicas ex iis quae infra s. v. Λυρνατία leguntur. cui coniecturae ex eo aliquid ponderis accedit, quod illa verba hoc altero loco om. V.

Λύρκειον, ὄρος Ἄργους. Καλλίμαχος Ἑκάλῃ. τὸ τοπικὸν „Λυρκήιον ὕδωρ”, καὶ Λυρκήιος τὸ ἀρσενικόν, καὶ Λύρκειος ὡς Ῥοίτειος.

Λυρνατία, χερρόνησος καὶ χωρίον Λυκίας. Ἀλέξανδρος ἐν δευτέρῳ περὶ Λυκίας. τὸ ἐθνικὸν Λυρνατιεύς, ὡς Οἰχαλία Οἰχαλιεύς. Ἀρκάδιος δὲ διὰ τῆς ε̅ι̅ διφθόγγου.

Λυρνησσός, πόλις Τρωική, μία τῶν ἕνδεκα τῶν ἐν τῇ Τρῳάδι. τὸ ἐθνικὸν Λυρνήσσιος. Αἰσχύλος δὲ Πέρσαις ὡς ἀπὸ τοῦ Λύρνα ἢ Λύρνη Λυρναῖος.

Λυσιμάχεια, πόλις τῆς Θρᾴκης χερρονήσου, ἡ πρότερον *Καρδία*. ὁ πολίτης Λυσιμαχεύς. ἔστι καὶ πόλις Αἰτωλίας.

Λυταί, χωρίον Θεσσαλίας, διὰ τὸ λῦσαι τὰ Τέμπη Ποσειδῶνα καὶ σκεδάσαι τὸ ἀπὸ τοῦ κατακλυσμοῦ ὕδωρ.

Λυχνιδός, πόλις Ἰλλυρίας ἀρσενικῶς λεγομένη καὶ λίμνη θηλυκῶς. Ἡρωδιανὸς *Λυχνιτὸν* αὐτόν φησι. τὸ ἐθνικὸν Λυχνίδιος καὶ Λυχνιδία λίμνη. καὶ Λυχνίτης. ἔστι δὲ καὶ Ἀρμενίας *Λυχνῖτις* χώρα.

Λωμεντός, πόλις Ἰταλίας, ὀξυτόνως, καὶ ὅσα εἰς τ̅ο̅ς̅ τῇ ε̅ν̅ συλλαβῇ παραλήγει. ἣν καὶ *Λωρεντόν* φασι μετὰ τοῦ ρ̅.

---

2. Λυρκεῖον ὕδωρ καὶ Λυρκήιος R, Λύρκειον ὕδωρ καὶ Λυρκήιον AV. verba Λυρκήιον ὕδωρ, quae de Inacho intelligenda, sunt fortasse Callimachi. καὶ ante Λύρκειος add. R. 4. Λυκείας R. 5. ἐν add. R. Οἰχαλία per errorem om. B. 6. Οἰχαλεύς RV. διὰ τῆς ε̅ι̅] Huius formae (Λυρνάτεια) gentile formatur Λυρνατεύς, quo utitur Aristot. Vent. nom. p. 973: ἐν οἷς καὶ Λυρναντεῖς (leg. Λυρνατεῖς) οἱ κατὰ Φασήλιδα. 8. Λυρνήσιος R. Πέρσαις] vs. 324. 10. τῆς om. V. ἐν Θρᾴκῃ X, forsan Θρᾳκικῆς. χερρονήσου om. R. 11. ἔστι om. R. 13. Ποσειδῶνος σκεδάσαι RV. 14. Λυχνίδος libri. 15. Ἡρωδιανὸς] Libro octavo τῆς καθόλου. v. Arcad. p. 82, 11. ubi Λαχνιτός editur, quod Λυχνιτός scribendum esse monuit LDindorfius. 16. Λυχνιδία B, Λυχνία libri. Λυχνίτης RV, Λυχνίτις A. 17. Λυχνῖτις χώρα RV, Λυχνίτις χωρίον A. 18. Λωμεντός] Recte a Cluvero Ital. ant. 2, 9 animadversum est, Λωμεντός Stephanum appellasse urbem quam ipse infra recte Νωμεντός nominat. at non Stephani, sed, cuius statim canonem affert, Herodiani errorem hunc esse docet Arcad. p. 83, 6: ὀξύνεται δὲ τὰ πρὸ τέλους ε̅ν̅ ἔχοντα, Λωμεντός,

Λώρυμα, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ λιμὴν Ῥόδου, ὃς *Λώρυμα* λέγεται. τὸ ἐθνικὸν Λωρυμαῖος.

Λῶς, νῆσος περὶ Θετταλίαν, ὡς Κῶς. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. Λῷος ὁ νησιώτης.

Λωτοφόρος χώρα, καὶ Λωτοφαγῖτις γυνή.

Μάγαρσος, μέγιστος ὄχθος ἐν Κιλικίᾳ πρὸς τῇ Μαλλῷ. τὸ τοπικὸν Μαγάρσιος, καὶ Μαγαρσία Ἀθηνᾶ ἐκεῖ ἵδρυται, ὡς Λυρνησσός Λυρνήσσιος.

Μαγδωλός, πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει. τὸ ἐθνικὸν Μαγδωλίτης διὰ τὸν Αἰγύπτιον τύπον, Κανωβίτης Διολκίτης Πενταοχοινίτης.

Μαγία, πόλις Ἰλλυρίας. τὸ ἐθνικὸν δύναται καὶ Μαγιάτης καὶ Μαγιανός. εἰσὶ καὶ *Μάγοι* ἔθνος περὶ Μηδίαν.

Μαγιστρική, χώρα τῶν Ταυρίσκων πρὸς τὰ Ἄλπεια ὄρη. οἱ οἰκήτορες Μαγίστρικες, οἳ τοῖς Γερμανοῖς ὁμοροῦσιν.

Μάγνα, νῆσος Λιβυκή. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. ἣ κατὰ τὴν τῶν Λιβύων φωνὴν *Σαμαθώ*, ὅ ἐστι μεγάλη. τὸ ἐθνικὸν Μαγνίτης διὰ τὸν Λιβυκὸν τύπον καὶ τὸν Αἰγύπτιον.

Μαγνησία, πόλις παρὰ τῷ Μαιάνδρῳ καὶ χώρα, ἀπὸ

Λαυρεντός, Σικελικαὶ (i. e. *Ἰταλικαὶ*) *πόλεις*. ex quo simul intelligitur, quae continuo addit noster, *ἣν καὶ Λωρεντόν φασι*, non Stephano imputanda esse, sed epitomatoris oscitantiae. *ὅσαι* libri. 1. 2. *λιμὴν Ῥόδου*] Rectius dixisset *Ῥοδίων*, scil. in Cariae parte ea quae Rhodiorum ditioni subiecta erat. male igitur distinguit. monuit post alios Wessel. ad Diod. Sic. 14, 83. 2. *Λωρυμαλέος* pro *Λώρυμά λέγεται* R. *Λωρυμεύς?* 3. *Λῶς*] V. Lobeck. Par. p. 88. 5. *Λωτοφάγος* R. apertum est haec e pluribus contracta esse, nec dubium est quin Stephanus utrumque memorarit. *γῆ* pro *γυνή* B, quod cum in cod. R ita scriptum sit *γυνή*, ex *νῆσος* corruptum videtur; cf. Plin. NH. 5, 7. 7. *Μεγάρσιος καὶ Μεγαρσία* V. 8. *Λυρνήσιος* R. 11. *Διολκίτης* B, *Διολιβίτης* AV, *Διαλιώτης* R. gentile *Διολκίτης* in Thesauro L. G. cum multis aliis omissum memorat Stephanus s. v. *Ἄβδηρα* et *Ὠρεός*. 13. *Μηδείαν* R. 14. *Μαγϊστρική* R. *Ταυρίσκων πρὸς* R, *Ταυρίσκων τῶν πρὸς* AV. 15. *Μαγϊστρῖες* R. 17. *τὴν* add. R. *φωνὴ* R. 19. *παρὰ*] *πρὸς* R.

Μάγνητος. ὁ πολίτης Μάγνης ὁμωνύμως τῷ οἰκιστῇ. τὸ θηλυκὸν Μάγνησσα παρὰ Καλλιμάχῳ καὶ Μαγνησίς παρὰ Παρθενίῳ καὶ Μαγνῆτις παρὰ Σοφοκλεῖ.

Μαδιηνοὶ καὶ Μαδιανῖται, ἔθνος Ἀραβίας. εἴπομεν δὲ ὅτι οἱ Ἄραβες τοῖς δυσὶ τύποις χρῶνται.

Μαδυτός, πόλις Ἑλλησποντία. Ἑκαταῖος Εὐρώπῃ καὶ ἄλλοι. τὸ ἐθνικὸν Μαδύτιος, ὡς Βηρύτιος Σήστιος, καὶ ἀπὸ τοῦ Μάδυτα Μαδυτεύς.

Μάζακα, πόλις Καππαδοκίας, ἡ νῦν Καισάρεια. τὸ ἐθνικὸν Μαζακηνός. λέγεται καὶ Μαζακεύς, ὡς Τύανα Τυανεύς. λέγεται καὶ ἀπὸ Μαζάκων.

Μαζάρη, φρούριον Σελινουντίων. τὸ ἐθνικὸν Μαζαραῖος, ὡς Ἐνναῖος Ἱμεραῖος.

Μάζυες, οἱ Λιβύης νομάδες. Ἑκαταῖος περιηγήσει. εἰσὶ δὲ καὶ ἕτεροι Μάξυες καὶ ἕτεροι Μάχλυες.

Μάζαινα, πόλις Παλαιστίνης, ἀπὸ Μαζαίνου. οἱ πολῖται Μαζαινηνοί.

Μαῖα, πόλις Ἑλλησποντία. τὸ ἐθνικὸν Μαιάτης κατὰ πρόσθεσιν τοῦ της.

Μαιανδρούπολις, Μαγνησίας πόλις, ὡς Φλέγων ἐν Ὀλυμπιάσι. τὸ ἐθνικὸν Μαιανδροπολίτης. εἰ δέ ἐστι Μαίανδρος ἡ πόλις, τὸ ἐθνικὸν Μαιάνδριος.

---

2. *θηλυκὸν* Salmasius, *ἐθνικὸν* libri. *Μάγνησα* R. *παρὰ Καλλιμάχῳ Παρθενίῳ* R. 4. *Μαδιηνοί* Bochartus, *Μανδρηνοί* libri. *Μαδιανῖται* V, *Μανδιανῖται* AR. 6. *Μαδυτός*] V. ad Scymn. p. 42. 12. *Μαζάρη*] Ionica forma indicare videtur, haec ex Hecataeo petita esse. 14. 15. *εἰσὶ δὲ*] Non Stephani sed Hecataei haec esse credo, qui dixisse videtur: „[*εἶτα Μάξυες νομάδες.*] *εἰσὶ δὲ καὶ ἕτεροι Μάζυες. εἰσὶ δὲ καὶ ἕτεροι Μάχλυες*". 15. *Μάχλυες* BH, *Μάχμυες* libri. cf. Wesseling. ad Herod. 4, 178. 16. *Μάζαινα*] Literarum series *Μάζυνα* postulat; sed videntur haec loco suo mota esse et ante *Μάζακα* transponenda. *πόλις* om. V. 20. *Μαιάνδρου πόλις* V. 21. *Ὀλυμπιάσι* X, *Ὀλύμπῳ* libri. *Μαιανδρουπολίτης* V.

Μαιδοί, ἔθνος Θρᾴκης πλησίον Μακεδονίας. „ἐκ τούτων μεταβάντες τινὲς εἰς ... Μακεδονίας Μαιδοβίθυνοι ἐκλήθησαν". τὸ ἐθνικὸν Μαιδικός καὶ Μαιδική.

Μάκη, Κελτικὴ πόλις. εὕρηται καὶ *Μαινάκη* Κελτικὴ πόλις. τὸ ἐθνικὸν Μακηνός.

Μαίναλος, πόλις Ἀρκαδίας, ἀπὸ Μαινάλου τοῦ Λυκάονος. τὸ ἐθνικὸν Μαινάλιος καὶ θηλυκὸν Μαιναλία καὶ Μαιναλίτης ὡς Ἴναχος Ἰναχίτης, καὶ Μαιναλεύς ὡς Σουνιεύς. παρὰ τὸ ὄρος τὸ *Μαίναλον*. ἔστι καὶ *Μαιναλία* πόλις Γαλατίας.

Μαινόβωρα, πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Μαινοβωραῖος.

Μαιονία, ἡ Λυδία, ἀπὸ Μαίονος ποταμοῦ τοῦ περὶ τὴν Ἀχαιίδα γῆν ῥέοντος. τὸ ἐθνικὸν Μαιόνιος καὶ Μαιονία θηλυκόν, καὶ Μαίων ὁμωνύμως τῷ οἰκιστῇ, ἀφ' οὗ ἡ χώρα.

Μαιῶται, ἔθνος Σκυθικὸν μέγιστον καὶ πολυάνθρωπον. καὶ τὸ θηλυκόν, ὡς Μαιῶτις λίμνη, ἥν φασι κληθῆναι ἀπὸ

---

1. *πλησίον* indicata lacuna om. R, sine lacuna V. 1-3. *ἐκ τούτων — ἐκλήθησαν*] Haec incerti scriptoris verba sunt. cf. Strabo 7 p. 295. 2. *εἰς* om. RV, quorum R quattuor syllabarum lacunam indicat. *Μακεδονίας* RV, *Μακεδόνας* A. 4. *Μάκη*] Hanc sectionem eo quo nunc legitur loco habent RV, post articulum de Maeotis infert A. neutro loco *Μάκη* literarum ordini aptum est; itaque scribendum videtur: *Μαινάκη, Κελτικὴ πόλις. εὕρηται καὶ Μάκη*. Macam urbem nullus memorat, videturque id nomen scriptor ex vitioso codice recepisse, in quo *Μάκη* pro *Μαινάκη* scriptum erat. Celticam autem Maenacam dici propter originem ad Massilienses referendam monuit H. 5. *Μακηνός* RV, *Μαινακηνός* A. gentilium in *ηνος* exeuntium nulla sunt exempla in nominibus Hispanicis; nam *Μαστιηνοί* ionica forma est pro *Μαστιανοί*, qua Hecataeus usus est. malim igitur *Μαινακῖνος*. 11. *Μαινόβωρα* Vossio ex *Μαινάκη* et *Ἔβωρα* (imo *Ἔβορα*) corruptum videtur, quas Hecataeus in recensu urbium Mastianorum coniunctim memoraverit. 13. 14. *ἀπὸ Μαίονος — Ἀχαιίδα* om. V. 14. *Ἀχαΐδα* X. *Ἀσιάδα* tentabat B, etiam apud Hesychium, *Μαίωνα* (leg. *Μαίονα*) *φασὶν εἶναι ποταμὸν τῆς Ἀχαΐας*, corrigens *Ἀσίας*. 17. *καὶ τὸ θηλυκόν* om. V. *θηλυκὸν [Μαιῶτις], ὡς Μαιῶτις λίμνη* Vossius.

[τοῦ μαῖαν εἶναι] τοῦ Εὐξείνου πόντου. ἔστι καὶ μαιώτης ἰχθῦς τις. λέγεται καὶ κτητικὸν Μαιωτικός.

Μάκαι, ἔθνος μεταξὺ Καρμανίας καὶ Ἀραβίας.

Μάκαλλα, πόλις Ἰταλίας. κέκληται ἀπὸ τοῦ μαλακισθῆναι ἐν αὐτῇ Φιλοκτήτην. τὸ ἐθνικὸν Μακαλλαῖος ὡς Γογγυλαῖος.

Μακαρέαι, πόλις Ἀρκαδίας, ἀπὸ Μακαρέως τοῦ Λυκάονος. τὸ ἐθνικὸν Μακαρεύς καὶ Μακαρεάτης. καὶ Μακαρία. [κατὰ δὲ Ῥωμαίους Βέατα.] τὸ ἐθνικὸν Μακαριεύς.

Μακεδνόν, χωρίον ἐν Πίνδῳ, ὡς Ἡρόδοτος ἐν πρώτῃ. τὸ ἐθνικὸν ὁμοίως.

Μακεδονία ἡ χώρα, ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τῆς Δευκαλίωνος, [ὥς φησιν Ἡσίοδος ὁ ποιητής

ἡ δ' ὑποκυσαμένη Διῒ γείνατο τερπικεραύνῳ
υἷε δύω, Μάγνητα Μακηδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον.

ἄλλοι δ' ἀπὸ Μακεδόνος τοῦ Αἰόλου, ὡς Ἑλλάνικος ἱερειῶν πρώτῃ τῶν ἐν Ἄργει „καὶ Μακεδόνος [τοῦ] Αἰόλου οὕτω νῦν Μακεδόνες καλοῦνται, μόνοι μετὰ Μυσῶν τότε οἰκοῦντες". λέγεται δὲ καὶ Μακεδονίας μοῖρα Μακετία, ὡς Μαρσύας ἐν

---

1. τοῦ μαῖαν εἶναι add. Vossius. μαιῶτις libri, corr. B. 2. λέγεται om. R. 3. Καρματίας RV. Ἀρραβίας R. 4. Μάκαλλα PpRV, Μάκελλα A. vid. Wesseling. ad Anton. p. 490. 5. Φιλοκτήτην RV, Φιλόκτητον A. Μακελλαῖος ante BH. 6. Γογγυλαῖος RV, Γογγιλαῖος A, Ἀγυλλαῖος B, Λογγυλαῖος H, Στρογγυλαῖος Gronovius. ex his maxime placet Ἀγυλλαῖος. 7. Μακάρεια? 8. Μακαρεεύς Salmasius. at vide s. v. Μανθυρέα et Lobeck. Paral. p. 27. Μακαρεάτης R. καὶ ante Μακαρία om. R. fortasse igitur a Μακαρία novus articulus incipit. 9. κατὰ δὲ Ῥωμαίους Βέατα (Βεάτα R) seclusit M. 10. χωρίον] Male intellexit verba Herodoti. v. Salmasium Hellen. p. 277. πρώτῃ] c. 56. 12. Μακεδονία om. R. Μακεδόνος Salmasius, Μακεδονίας libri. 13. — 428, 5. ὥς φησιν — Μακετίας add. ex Constant. Porphyr. de Them. 2. p. 48. Bonn. 15. δ' cod. Par. 17. ἱερειῶν Bekkerus, ἱερίων libri. 18. καὶ] ἐκ? τοῦ om. libri. οὕτω Morellus, οὗ vulgo. 20. Μακετία Dindorfius, Μάκετα vulgo.

πρώτῳ Μακεδονικῶν „καὶ τὴν Ὀρεστείαν δὲ Μακετίαν λέγουσιν ἀπὸ τοῦ Μακεδόνος". ἀλλὰ καὶ τὴν ὅλην Μακεδονίαν Μακετίαν οἶδεν ὀνομαζομένην Κλείδημος ἐν πρώτῳ Ἀτθίδος „καὶ ἐξῳκίσθησαν ὑπὲρ τὸν Αἰγιαλὸν ἄνω τῆς καλουμένης Μακετίας".] τὸ ἐθνικὸν Μακεδὼν ὁμοφώνως τῷ κτιστῇ, κοινὸν τῷ γένει, καὶ Μακεδονὶς θηλυκῶς, καὶ Μακεδὼν ἀντὶ τοῦ Μακεδονικός. λέγεται καὶ Μακεδόνιος καὶ Μακεδονικὴ ἡ χώρα. λέγεται καὶ Μακέτης ἀρσενικῶς καὶ Μακέτις γυνὴ καὶ Μάκεσσα ἐπιθετικῶς, ὡς Ἡρακλείδης, καὶ Μάκεττα διὰ δύο ττ καὶ δι' ἑνὸς τ.

Μάκιστος, πόλις τῆς Τριφυλίας, ἣν ᾤκησαν Καύκωνες, ἀπὸ Μακίστου τοῦ ἀδελφοῦ Φρίξου, ἀφ' οὗ καὶ ἡ Φρίξα πόλις, ἐπ' ὄρους ὑψηλοῦ κειμένη πρὸς ἔω τῆς Λεπρεατικῆς. ὁ πολίτης Μακιστεύς. τὸ ἐθνικὸν Μακίστιος καὶ Μακιστία. εὕρηται καὶ Μακέστιος διὰ τοῦ ε ψιλοῦ.

Μακκάραι, χώρα ὑπὲρ Φάρσαλον. Θεόπομπος πέμπτῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Μακκαραῖος.

Μάκρα, νῆσος Λυκίας, ὡς Ἀλέξανδρος ἐν περίπλῳ αὐτῆς. τὸ ἐθνικὸν Μακρονησίτης καὶ Μακραῖος καὶ Μακρήσιος.

Μάκρις, ἡ Εὔβοια. οἱ οἰκοῦντες Μάκρωνες. ὁ οἰκήτωρ Μακριεὺς καὶ Μακρηίς.

---

1. Ὀρεστίαν Müllerus Dor. 1 p. 34, Ἠρεστείαν vulgo. Μάκεταν ante Diudorfium. 3. πρώτῳ Bekkerus, πρώτοις libri. 5. 6. κοινὸν .... δονίς R, κοινὸν τῷ γὰρ Μακεδόνιος V, qui cetera inde a θηλυκῶς usque ad καὶ Μακεδονικὴ ἡ χώρα omittit. 7. 8. Μακεδονία ἡ χώρα R. 8. καὶ Μακετὶς B, ἢ Μακέτις AR, ἢ Μακετ.. V. γυνὴ om. RV. 9. Ἡρακλείδης] Forsan is de quo dixi Anall. Alex. p. 381. et cuius memoriam recte, opinor, restitui supra p. 265, 16. 10. ἑνὸς τ RV, ἑνός A. 11. Τρυφαλίας R. ᾤκισαν R. 12. Μακέστου R. 13. Λεπριτικῆς ante B. 14. τὸ κτητικὸν? 16. Μάκαραι et mox Μακαραῖος R. 18. Μάκρα R, Μάκαρα AV. 19. Μακρονησίτης R, Μακαρονησίτης AV. Μακραῖος R, Μακαραῖος AV. praeterea τὸ ἐθνικὸν ante Μακραῖος repetit R. Μακρήσιος R, Μακαρήσιος AV. 21. Μακριηίς?

Μακροκέφαλοι, πρὸς τοῖς Κόλχοις. „οἱ γὰρ Ἡμίκυνες καὶ Μακροκέφαλοι καὶ Πυγμαῖοι ...".

Μάκρυες, ἔθνος Λιβύης. Ῥιανὸς δὲ *Μάκριας* διὰ τοῦ ῐ τούτους φησί.

Μάκρωνες, οἱ νῦν *Σάννοι*. Στράβων δωδεκάτῃ. καὶ Ἑκαταῖος Ἀσίᾳ καὶ Ἀπολλώνιος δευτέρῳ.

Μακτώριον, πόλις Σικελίας. Φίλιστος πρώτῳ. ἣν ἔκτισε Μόνων. τὸ ἐθνικὸν Μακτωρῖνος.

Μακύνεια, πόλις Αἰτωλίας. Στράβων δεκάτῃ. τὸ ἐθνικὸν Μακυνεύς τῷ κοινῷ τύπῳ.

Μαλάκη, πόλις Ἰβηρίας. Μαρκιανὸς ἐν β' τῶν ἐπιτομῶν Ἀρτεμιδώρου. τὸ ἐθνικὸν Μαλακιτανός.

Μαλάνιος, πόλις μία μεσογείας τῶν Οἰνώτρων τῶν ὑπὸ Ἑκαταίου καταλεχθεισῶν ἐν Εὐρώπῃ. τὸ ἐθνικὸν Μαλάνιος καὶ Μαλανιεύς.

Μαλέα, ἄκρα πρὸς τῇ Πελοποννήσῳ, καὶ *Μάλεια* διὰ διφθόγγου. καὶ Μαλείτης ὡς Ἀσινήτης, καὶ Μαλεᾶτις. καὶ ἀπὸ τοῦ Μάλεια Μαλειαῖος Ζεύς, καὶ θηλυκὸν Μαλειαία ἄκρα.

Μαλιεύς, πόλις ἐπώνυμος τῶν Μαλιέων, ἀπὸ Μάλου τοῦ Ἀμφικτύονος υἱοῦ ἢ Ἀμύρου τοῦ Βοιωτοῦ. ὁ πολίτης Μαλιεύς. ἔστι καὶ Μαλιακὸς κόλπος. λέγεται καὶ Μαλεάτης. Ἀνδροτίων πέμπτῳ.

---

1. *Μακρυκέφαλοι* R. *οἱ γὰρ* RV, *ὡς γὰρ* A. 3. *Μάκρυας* pro *Μάκριας* R. 5. *Σάνοι* R. *δωδεκάτῃ* (p. 548) BH, *ια'* RV, *ἐνδεκάτῃ* A. 8. *Μόνων* R, *μόνην* AV. 9. *Μακύνεια* RV, *Μακρύνεια* A. *δεκάτῃ*] p. 451. 460. 10. *Μακυνεύς* RV, *Μακρυνεύς* A. 12. *Μαλακητανός*? 13. *Μαλάνιον*? *μία* add. PpRV. 14. 15. *Μελάνιος καὶ Μελανιεύς* ante BH. 16. *τῇ* add. RV. 17. *Μαλείτης καὶ Ἀσινήτης* R, *Μαλιείτης ὡς Ἀσιήτης* AV, *Μαλεήτης ὡς Ἀσιήτης* H, *Μαλεάτης ὡς Ἀσιάτης* B. apertum est horum omnium nihil verum esse; scripsisse videtur *Μαλειήτης ὡς Αἰγινήτης*, quae quam ob causam composuerit, intelligitur ex iis quae leguntur s. v. *Αἴγιναι* p. 42, 15. tum ante *καὶ Μαλεᾶτις* addenda videntur verba *λέγεται καὶ Μαλεάτης*, quae importuno loco leguntur s. v. *Μαλιεύς*. 18. *Μαλιαῖος* et *Μαλιαία* R. 21. *λέγεται καὶ Μαλεάτης*] Vide ad l. 17.

Μαλλάδα, πόλις Περσική. Μαρκιανὸς ἐν περίπλῳ τοῦ Περσικοῦ κόλπου. τὸ ἐθνικὸν Μαλλαδηνός.

Μαλλός, πόλις Κιλικίας. Καλλίμαχος Αἰτίων πρώτῳ. ἀπὸ Μάλλου κτίσαντος αὐτήν. ὁ πολίτης Μαλλώτης καὶ θηλυκὸν Μαλλῶτις.

Μαλόεις Ἀπόλλων ἐν Λέσβῳ, καὶ ὁ τόπος τοῦ ἱεροῦ *Μαλόεις*. ἀπὸ τοῦ Μήλου τῆς Μαντοῦς, ὡς Ἑλλάνικος ἐν Λεσβικῶν πρώτῳ.

Μαλοί, ἔθνος Ἰνδικόν, τῶν ἀνθεστηκότων τῷ Διονύσῳ μετὰ Δηριάδου, ὡς Διονύσιος Βασσαρικῶν γʹ.

Μαλσάνη, πόλις τῆς εὐδαίμονος Ἀραβίας. τὸ ἐθνικὸν Μαλσανίτης· ἐπιχώριος γὰρ ὁ τύπος.

Μαμάρκινα, πόλις Αὐσονική. τὸ ἐθνικὸν Μαμαρκιναῖος, ὡς Τεριναῖος καὶ τῶν ὁμοίων.

Μαμέρτιον, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Μαμερτῖνος, ὡς Μεταποντῖνος καὶ Ῥηγῖνος.

Μανδαραί, μέρος τῆς Μακεδονικῆς Κύρρου. οἱ οἰκήτορες Μανδαραῖοι.

Μανδρόπολις, Φρυγίας πόλις. τὸ ἐθνικὸν Μανδροπολίτης.

Μανδύριον, πόλις Ἰαπυγίας. ὁ πολίτης Μανδυρῖνος, ὡς Λεοντῖνος.

Μανήσιον, πόλις Φρυγίας. Ἀλέξανδρος. ἀπὸ Μανοῦ σφόδρα εὐπόρου κτιστοῦ.

---

1. *Μάλλαδα?* 3. *αἰτιῶν* libri. 6. *Μαλόεις* M, *Μαλλόεις* AV, neque aliter R, quem *Μαλχόεις* habere falso dicit Passovius. *Μαλόεις* et usus postulat et originatio nominis et vero etiam literarum series. 7. *Μαλλόεις* R. 9. *Μαλλοί* PpV, non R, qui *Μαλοί* habet ut A. si recte scriptum est *Μαλλοί*, articulus hic ante *Μαλλός* transponendus est. 10. *γʹ* V, *αʹ* AR. 13. *Μαμακρίνα* Pp. nomen hoc ex *Μάρκινα* corruptum esse censet Cluverus Ital. ant. 4, 6. 14. *τῶν ὁμοίων* RV, *τὰ ὅμοια* A. an *τῶν ὁμοίων ὅμοια?* ita enim noster loqui solet. 17. *Κύρου* RV. 18. *Μανδαραῖοι* Salmasius, *Μανδάραι* libri. 23. *Μάνου* B, *Μανῆς* libri, *Μάνεω* vel *Μάνητος* Salmasius.

Μανθυρέα, κώμη Ἀρκαδίας. τὸ ἐθνικὸν Μανθυρεύς διὰ τὸ ἐπάλληλον τῶν δύο εε.

Μαννάκαρτα, πόλις Ἀραβίας. ὁ οἰκήτωρ Μαννακαρτηνός ὡς Μηδαβηνός.

Μάννεως, χώρα μέση τῶν ποταμῶν, ἐν ᾗ οἰκοῦσιν Ἄραβες Μαννεῶται, ὡς Οὐράνιός φησι.

Μάνταλος, πόλις Φρυγίας, ὡς ὁ πολυίστωρ Ἀλέξανδρος, ἀπὸ Μανταλοῦ κτιστοῦ αὐτῆς. τὸ ἐθνικὸν Μανταληνός.

Μαντίνεια, πόλις Ἀρκαδίας. Ὅμηρος „οἵ Τέγεάν τ' εἶχον καὶ Μαντινέην ἐνέμοντο". τὸ ἐθνικὸν Μαντινεύς καὶ Μαντινίς. τὸ κτητικὸν Μαντινικός [καὶ Μαντινικὴ ὄρχησις].

[*Μαντύη* καὶ] *Μάντυα*, πόλις Ῥωμαίων. τὸ ἐθνικὸν Μαντυανός. Πολύβιος ἑκκαιδεκάτῳ. γράφεται καὶ *Μάντουα* τῷ τῶν Ῥωμαίων ἔθει. ἐξ αὐτῆς ἦν Βεργίλιος ὁ ποιητὴς Μαντούτης χρηματίζων. ἔστι δὲ κατὰ συγκοπήν, ὡς τὸ Ζελείτης.

Μαραθήσιον, πόλις Καρίας. τὸ ἐθνικὸν Μαραθήσιοι ὡς Βυζάντιοι. ἔστι δὲ πόλις Ἐφεσίων.

Μάραθος, πόλις Ἀκαρνανίας. ὁ πολίτης Μαραθηνός. τὸ ἐθνικὸν Μαραθούσιος, ὡς Κάδος Καδούσιος.

---

3. *Μανάκαρτα* et *Μανακαρτηνός* R. 5. *Μάνεως* R. 7. *Μανδαλός* et mox *Μανδαλοῦ* R, sed idem *Μανταληνός*. 9. *Ὅμηρος*] Il. 2, 607. ubi est *Τεγέην εἶχον* et *ἐρατεινήν* pro *ἐνέμοντο*. 10. 11. *τὸ ἐθνικὸν — Μαντινικός* om. R. 11. *καὶ Μαντινικὴ ὄρχησις* add. M. v. in *Λακεδαίμων* p. 407, 16 et Exercitt. in Athen. 2 p. 2. 12. *Μαντύη καὶ* addidit M ex Eustathio ad Hom. p. 302, 8: *ἔστι καὶ Μάντυα πόλις Ἰταλίας, ὡς δηλοῖ ὁ γράψας „Μαντύη καὶ Μάντυα, πόλις Ῥωμαίων, ὅθεν Βιργίλιος ὁ ποιητής"*. 13. *Πολύβιος ἑκκαιδεκάτῳ* om. R. 14. *Βεργίλιος* Pp, *Βεργίλλιος* RV, *Βιργίλιος* A. 15. *Μαντουάτης* Pp, fortasse Salmasii coniectura. *δὲ* RV, *καὶ* A. 18. *Ἀραδίας* lGronovius cll. Polyb. 5, 68. favet gentile *Μαραθηνός*, ab Acarnaniae populis alienum. alterum ethnicon *Μαραθούσιος* ad aliam Marathum spectat. supplendum videtur: *ἔστι καὶ Φωκίδος πόλις* cll. Strab. 9 p. 423. suspectum item *Κάδος Καδούσιος*. memoratur quidem suo loco *Κάδοι πόλις Μυσίας*, sed eius gentile fuit *Καδηνός*. fortasse fuit *Ἄλος Ἀλούσιος*, de quo cf. p. 78, 6. denique etiam gentile *Μαραθήσιος* commemoratum fuisse intelligitur ex iis quae p. 416, 16 leguntur, ubi a *λίθος*

Μαράθουσα, νῆσος πρὸς Κλαζομεναῖς. ὁ πολίτης Μαραθούσιος.

Μαραθών, δῆμος τῆς Λεοντίδος φυλῆς. καὶ Μαραθώνιος καὶ Μαραθωνία καὶ Μαραθώνιον. τοπικὸν Μαραθωνόθεν, καὶ κτητικὸν Μαραθωνιακός.

Μαραθωνία, πόλις Θράκης οὐκ ἄπωθεν Ἀβδήρων. τὸ ἐθνικὸν Μαραθωνιάτης.

Μαράφιοι, ἔθνος ἐν Περσίδι, ἀπὸ Μαραφίου βασιλέως.

Μαράχη, πόλις Ἰνδική. τὸ ἐθνικὸν Μαράχιος τῷ κοινῷ τύπῳ.

Μάργαια, πόλις Ἠλείας, ὡς Ἥραια, καὶ τὸ ἐθνικὸν Μαργαιεὺς ὡς Ἡραιεύς.

Μάργανα, πόλις τῆς Ἰνδικῆς. Μαρκιανὸς ἐν περίπλῳ. ἔστι καὶ *Μαργάναι* πληθυντικῶς. τὸ ἐθνικὸν Μαργανεῖς.

Μάρδοι, ἔθνος Ὑρκανῶν. Ἀπολλόδωρος περὶ γῆς δευτέρῳ. λῃσταὶ δ' οὗτοι καὶ τοξόται.

Μαρδόνες, Ἠπειρωτικὸν ἔθνος. Εὔπολις Πόλεσι „καὶ Χαόνων καὶ Παιόνων καὶ Μαρδόνων".

Μάρεια, πόλις καὶ λίμνη τῇ Ἀλεξανδρείᾳ παρακειμένη, ἣ καὶ *Μαρεῶτις* λέγεται. ἀφ' ἧς καὶ Μαρεώτης οἶνος.

Μᾶρες, ἔθνος προσεχὲς τοῖς Μοσσυνοίκοις. Ἑκαταῖος Ἀσίᾳ.

---

formatur λιθήσιος additurque: ὡς γὰρ ἀπὸ τοῦ *Μάραθος Μαραθήσιος*, οὕτω καὶ τοῦτο. 1. *Μαράθουσσα* libri. 4. 5. *Μαραθωνώθεν* R. 5. *Μαραθωνικός* V. 6. ἄπωθεν R, ἄποθεν AV. *Αὐδήρων* A, *Ἀβδηρόθεν*, RV. 8. *Μαράφιοι — βασιλέως* add. PpRV. hanc quoque sectionem olim multo fuisse pleniorem intelligitur ex iis quae s. v. *Μάσπιοι* leguntur. *Μαράφιοι* B, *Μαράφιον* Pp, *Μαράθιον* R, *Μεράφιον* V. *Μαραθίου* R. 11. *Μάργαια* M, *Μαργαῖα* R, *Μαργαῖαι* AV. eadem *Μάργανα* dicitur Diodoro, *Μαργύλαι* et *Μαργάνα* Straboni. cf. Wesseling. ad Diod. vol. 2 p. 63. *Ἥραια* M, *Ἡραία* V, *Ἡρέαια* R, *Ἡραῖα* A, *Ἡραῖαι* W. 13. τῆς om. R. 14. πληθυντικῶς] πόλεις R. 19. καὶ om. RV. προσκειμένη R. 21. *Μάρες* libri. *Μᾶρες* scriptum est apud Herod. 7, 79.

Μαρίαβα, μητρόπολις Σαβαίων πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ. Στράβων ἑκκαιδεκάτῃ.

Μαριαμμία, πόλις Φοινίκων. οἱ πολῖται Μαριαμμῖται, ὡς Παυσανίας ἐν κτίσει αὐτῆς.

Μαριανδυνία, χώρα [τοῦ Πόντου]. Εὔπολις Χρυσῷ γένει „ὁρῶ. θεῶ νῦν τήνδε Μαριανδυνίαν". ἀπὸ Μαριανδυνοῦ τινος Αἰολέως. τὸ ἐθνικὸν Μαριάνδυνος βαρυτόνως [κατὰ τοὺς Αἰολεῖς], καὶ Μαριανδυνίς, καὶ Μαριανδύνη θηλυκὸν τοῦ Μαριάνδυνος. κτητικὸν [καὶ] Μαριανδυνικός.

Μάριον, πόλις Κύπρου, ἡ μετονομασθεῖσα Ἀρσινόη, ἀπὸ Μαριέως. ὁ πολίτης Μαριεύς. ὅθεν καὶ τὸ κύριον „ὁ Κινύρου Μαριεύς".

Μάρκαιον, ὄρος τῆς Τρῳάδος πρὸς τῇ Γέργιθι. οἱ οἰκήτορες Μαρκαιίσσιοι.

---

1. *Σαβαίων* Pp, *Σαβίνων* ARV. 2. *ἑκκαιδεκάτῃ* (p. 768) BH, *ιε'* RV, *πεντεκαιδεκάτῃ* A. 3. *Μαριαμία* V, *Μαριαμνῖα* R. *Μαριάμη* haec urbs vocatur Ptolemaeo Geogr. 5, 15. *Φοινίκων* AR, *Φοινίκης* PpV. *Μαριαμῖται* A, *Μαριαμνῖται* R, *Μαριαμμίται* V. 4. *ἐν κτίσει αὐτῆς* M, *ἐν κτη αὐτῆς* R, *ἐν ϛ'* V, *ἐν τῷ ἕκτῳ* H, *ἕκτῳ* A. quod optimi codicis indicium secutus edidi, alio loco pluribus adstruam. 5. *χώρα* om. R. *τοῦ Πόντου* om. libri. 6. *θεῶ* Fritzschius, *θέω* libri, *θέων* B. *τήνδε* Fritzschius, *τὴν* libri. 7. *Αἰολέως* indicata lacuna om. V. 8. *κατὰ τοὺς Αἰολεῖς* add. B ex Eustathio ad Dion. 787: *τὸ ἐθνικὸν Μαριάνδυνος μὲν λέγεται προπαροξυτόνως κατὰ τοὺς Αἰολεῖς, ὥς φησιν ὁ γράψας τὰ ἐθνικά, ἡ δὲ κοινὴ χρῆσις ὀξύνει αὐτό, κατὰ τὸν τύπον τῶν εἰς νος ἐθνικῶν.* in quibus etiam postrema ex Stephano derivata suspiceris, qui more suo secutus erat Herodianum; v. Arcad. p. 66, 3. *Μαριανδυνίς*] *Μαριαν* (δή superscr.) R. sequentia vulgo ita distincta leguntur: *καὶ Μαριανδύνη θηλυκόν* (*θηλυκῶς* R). *τοῦ Μαριάνδυνος κτητικὸν καὶ Μαριανδυνικός.* 9. *καὶ* om. R. *Μαριανδυνικός* B, *Μαριανδύν* RV, *Μαριάνδυν* A. praestare videtur *Μαριανδυνός*, cuius possessivi exempla habet Aesch. Pers. 933 et poeta incertus cuius versus tractavi Com. graec. ed. min. vol. 1 p. XXIII. 10. *μετωνομασθεῖσα* R. 12. *Κινύρου* Salmasius, *Κινούρου* libri. 13. *τῆς* om. R. *Γέργηθι* libri. 14. *Μαρκαιίσσιοι* (οι superscr.) R, *Μαρκαιίσσσιοι* AV, *Μαρκαῖοι ὡς Κάσιοι* B, quod sane probari non potest. fortasse „*Μαρκαῖοι [Μερμ]ήσσιοι*", ut

Μάρμακες, ἔθνος Αἰθιοπικόν. Ἑκαταῖος Ἀσίᾳ.

Μαρμάριον, πόλις Εὐβοίας. ὁ πολίτης Μαρμάριος ὡς Βυζάντιος.

Μάρμη, πόλις Φοινίκης. τὸ ἐθνικὸν Μαρμαῖος ὡς Βαρκαῖος.

Μάρπησσα, ὄρος Πάρου, ἀφ' οὗ οἱ λίθοι ἐξαίρονται. ὁ οἰκήτωρ Μαρπήσσιος.

Μάρσιππος, πόλις Φοινίκης. τὸ ἐθνικὸν Μαρσίππιος.

Μαρσοί, ἔθνος Ἰταλικόν. τὸ κτητικὸν Μαρσικός.

Μαρσύα, πόλις Φοινίκης, ὡς Ἀλέξανδρος καὶ Φίλων, ἀπὸ Μάρσου. τὸ ἐθνικὸν Μαρσηνὸς τῷ τῆς Ἀσίας τύπῳ.

Μαρώνεια, πόλις Κικονίας κατὰ τὴν ἐν Θράκῃ χερρόνησον. [Ἑκαταῖος Εὐρώπῃ] „ἐν δὲ λίμνη Ἰσμαρίς, ἐν δὲ Μαρώνεια πόλις". τὸ ἐθνικὸν Μαρωνείτης καὶ θηλυκῶς διὰ τοῦ ι, καὶ Μαρωνίς ἀπὸ τῆς Μάρωνος γενικῆς. καὶ Μαρωναῖος, ὡς ἀπὸ τοῦ Μαρώνη.

Μασαισυλία, χώρα Λιβύης προσεχὴς τῇ τῶν Μαυ-

---

sint nescio cuius scriptoris verba, sed lacera et mutilata. Mermessus Marcaeo monti contigua fuit. possis item *Μαρκαῖοι Ἄσσιοι*, minus tamen probabiliter. ceterum fallitur haud dubie H, Marcaeum montem et *Μακριάδας σκοπιάς* Apollonii Rh. 1, 1112 non esse diversa statuens. 4. *Μάρκη* et *Μαρκαῖος* R. 7. *Μαρσήπιος* R. 8. *Μάρσηππος* R. 9. *Μαρσοί* R, *Μάρσοι* A. *ἐθνικὸν* X. *Μαρσικός* H, *Μαρσική* V, *Μαρσηκοί* R, *Μαρσικοί* A. 10. *Μαρσία* R. 11. *Μαρσύου* B. *Μάρσης* Persicum nomen est ap. Synesium epist. 110. cf. Aristot. Vent. nom. p. 973, 19: *ἐν δὲ Τριπολιτικῷ κόλπῳ (ὁ ἀπηλιώτης καλεῖται) Μαρσεύς, ἀπὸ Μάρσου κώμης.* *Μαρσηνός* R, *Μαρσυηνός* AV. quod restitui, ei consimile est *Βιζηνός* a *Βιζύη*, *Μασηνός* a *Μάσιον* et alia eius generis plura. *τῆς Συρίας* H. 12. *τὴν Θράκην* RV. fort. *τὴν Θρᾳκικήν*. 13. *Ἑκαταῖος Εὐρώπῃ* om. libri, *Ἑλλάνικος* add. BH. Hecataei nomen supplendum fuisse docent quae ex hoc scriptore afferuntur s. v. *Ἰξιάς* „*ἐν δὲ Ἰξιὰς πόλις, ἐν δὲ Μενεκίνη πόλις*". in *Χανδάνη* „*ἐν δὲ Χανδάνη πόλις, μετὰ δὲ Πευκαῖοι*". in *Χάλαιον* „*ἐν δὲ Χάλαιον πόλις, ἐν δὲ Οἰάνθη πόλις*". in *Χαλάστρα* „*ἐν δ' αὐτῷ Θέρμη πόλις, ἐν δὲ Χαλάστρη*". *Ἰσμαρίς* B, *μάρις* libri. 14. *θηλυκὸν* R.

ρουσίων. τὸ ἐθνικὸν Μασαισύλιοι καὶ Μασαισυλεῖς καὶ Μασαισυλῖται.

Μασανώραδα, πόλις Καρίας, ἀπὸ Μασανωράδου τοῦ Κινδαψοῦ παιδός. τὸ ἐθνικὸν Μασανωραδεύς.

Μάσης, πόλις Ἀργείων. Παυσανίας δευτέρῳ „ὁδός ἐστιν ἐπὶ Μάσητα". Ὅμηρος „οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε κοῦροι Ἀχαιῶν". λέγεται ἡ πόλις καὶ ἡ *Μάσητος*. οἱ πολῖται Μασήτιοι. ἔστι καὶ λίμνη καὶ κώμη *Μασῆτις* καὶ νῆσος.

Μάσιον, ὄρος ὑπὲρ τῆς Νισίβιος. Στράβων ἑνδεκάτῃ. οἱ οἰκοῦντες Μασηνοί, ἢ ὡς Πάριον Παριανός.

Μάσκωτος, πόλις Λιβύης. Ἑκαταῖος περιηγήσεως [β′]. ἔστι δὲ πλησίον τῶν Ἑσπερίδων. τὸ ἐθνικὸν Μασκωτίτης, Λιβυκῷ καὶ Αἰγυπτίῳ τύπῳ.

Μάσπιοι, ἔθνος Περσικόν, ὡς εἴρηται ἐν τῷ περὶ Μαραφίων Ἀρτεατῶν καὶ Πασαργαδῶν.

Μασσαγέται, ἔθνος Σκυθῶν, ἔνθα Κῦρος ἐτελεύτησε. τὸ θηλυκὸν λέγεται Μασσαγῆτις καὶ ἴσως διὰ τὸ μέτρον.

Μασσαλία, πόλις τῆς Λιγυστικῆς κατὰ τὴν Κελτικήν, ἄποικος Φωκαέων. Ἑκαταῖος Εὐρώπῃ. Τίμαιος δέ φησιν ὅτι προσπλέων ὁ κυβερνήτης καὶ ἰδὼν ἁλιέα ἐκέλευσε μάσσαι τὸ

---

1. *Μασαισυλίς* pro *Μασαισυλεῖς* R, an *Μασαισυλιεῖς*? 4. *Μασανωρανδεύς* R. 5. *δευτέρῳ*] c. 36, 2. *ὁδόν* V. 6. *Μάσητα* Pausanias, *Μάσῃ* A, *Μάσῃ* RV. *Ὅμηρος*] Il. 2, 562. 7. *λέγεται ἡ πόλις καὶ ἡ* V, *λέγεται καὶ ἡ πόλις καὶ ἡ* R, *λέγεται καὶ ἡ πόλις* A. cf. Eustathius ad Hom. p. 288, 11: *λέγεται δέ φασι καὶ τρισυλλάβως ἡ Μάσητος. ἔστι δὲ κώμη Μάσητος. καὶ λίμνη φασὶ καὶ νῆσος.* 8. *Μασῆτις*] *Μάσητος* Eustathius. 9. *τῆς* X, *τοῦ* libri. 9. 10. *ἑνδεκάτῃ* (p. 527) *οἱ οἰκοῦντες* om. R. 10. *Μασῆνοί* R, *Μασινοί* V, *Μασιηνοί* A. *ἢ* [*Μασιανός*] *ὡς* Salmasius, quo non opus. *Πάριον*] *Πάρια* RV. 11. *περιηγήσεως* RV, *περιηγήσει* A. · *β′* add. M. 13. *Λιβυκῆς καὶ Αἰγυπτίας* V. *τύπῳ* om. RV. 14. 15. *Μαραφίων Ἀρτεάτων* B, *Μαραφί...ρεατῶν* R, *Μαραφῖ...ρετάων* A, *Μαραφ..ρεάτων* V. 17. *θηλυκὸν* RV, *ἐθνικὸν* A. [*Μασσαγέτις*] *καὶ Μασσαγῆτις*, ἴσως Schubartus. *Μασσαγῆτις* R, *Μασαγῆτις* AV. 18. *Λιγυστικῆς* Holtmannus, *Λιβυστικῆς* libri. 20. *ἐκέλευσε* Eust. ad Dion. 75, *κελεῦσαι* libri. 20. *μάσσαι* hic et 436, 1 Eustathius, *μᾶσαι* libri.

ἀπόγειον σχοινίον· μάσσαι γὰρ τὸ δῆσαί φασιν Αἰολεῖς· ἀπὸ γοῦν τοῦ ἁλιέως καὶ τοῦ μάσσαι ὠνόμασται. τὸ ἐθνικὸν Μασσαλιώτης καὶ Μασσαλιεὺς καὶ Μασσαλία καὶ Μασσαλιῶτις γυνή.

Μάσσακα, πόλις Ἰνδῶν. Ἀρριανὸς ἐν Ἰνδικοῖς. τὸ ἐθνικὸν Μασσακηνός, ὡς Μάζακα Μαζακηνός.

Μασσία, χώρα παρακειμένη τοῖς Ταρτησσίοις. τὸ ἐθνικὸν Μασσιανός. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ.

Μάσταυρα, πόλις Λυδίας, ἀπὸ Μᾶς. Μᾶ δὲ τῇ Ῥέᾳ εἵπετο, ᾗ παρέδωκε Ζεὺς Διόνυσον τρέφειν. καὶ ἡ Μᾶ παρὰ τῆς Ἥρας ἐρωτηθεῖσα τίνος εἴη τὸ βρέφος, Ἄρεος ἔφη. καὶ παρὰ Καρσὶν ὁ Διόνυσος Μάσαρις ἔνθεν ἐκλήθη. ἐκαλεῖτο δὲ καὶ ἡ Ῥέα Μᾶ καὶ ταῦρος αὐτῇ ἐθύετο παρὰ Λυδοῖς, ἀφ' ἧς ἡ πόλις. ποταμὸς δὲ [διὰ] μέσης τῆς πόλεως ῥεῖ Χρυσαόρας λεγόμενος. τὸ ἐθνικὸν Μασταυρεὺς ὡς Πηγασεύς. εἴρηται καὶ Μασταυρίτης.

Μαστιανοί, ἔθνος πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἑκαταῖος Εὐρώπῃ. εἴρηται δὲ ἀπὸ Μαστίας πόλεως.

Μαστραμέλη, πόλις καὶ λίμνη τῆς Κελτικῆς. Ἀρτεμίδωρος ἐν τῇ ἐπιτομῇ τῶν ἕνδεκα.

Μασύλιοι, Λιβυκὸν ἔθνος. Ἀπολλόδωρος β'. Πολύβιος ἐν τῷ ἑβδόμῳ Μασυλεῖς αὐτούς φησι.

---

1. *ἀπόγαιον* Eustathius. *μᾶσαι* libri. *ἐκδῆσαί* idem. 2. *γοῦν* R, *οὖν* AV. *μάσσαι* V, *μᾶσαι* AR, *μάσσειν* Eustathius. 2. 3. *Μασσαλιώτης καὶ Μασσαλιεύς* RV, *Μασαλιώτης καὶ Μασαλιεύς* A. 3. *Μασσαλία*] Hoc suspectum ac fortasse e *Μασσαλιήτης* corruptum. 4. *ἐν* om. R. *Ἰνδικοῖς*] c. 1. 5. *Μάζα* R. 6. *Μασσία*] Haec eadem quae aliis est *Μαστία*. cf. Heynii Opusc. Acad. 3 p. 61. *παρακειμένη* M, *ἀποκειμένη* libri. *Ταρτησίοις* V. 8. *Μᾶ*] Vide Lobeck. Aglaoph. p. 582. et Coraes ad Strab. ed. Gall. 4 p. 5. videntur autem haec omnia non tam e Xanthi Lydiacis petita esse, ut existimabat Creuzerus Symb. vol. 4 p. 64, quam ex Alexandri de Lydia et Caria commentariis. 11. *Μάρσαρις* RV. 13. *διὰ* add. X. *τῆς μέσης* libri. 14. *Χρυσορρόας* Reinesius. *Πηδασεύς* V. 16. *Ἡρακλείοις* V. *στήλαις* om. V. 18. *Μαστραμέλη* RV, *Μαστραμέλλη* A. 20. *Μασύλιοι* LDindorfius, libri *Μασσύλοι*. *β'* add. RV. 21. *τῷ* add. RV. *Μασσουλεῖς* V, *Μασουλεῖς* Eustath. ad Dion. 187.

Μασχάνη, πόλις πρὸς τῶν Σκηνιτῶν Ἀράβων. Κουάδρατος ὀγδόῳ Παρθικῶν. τὸ ἐθνικὸν Μασχανεύς.

Μάταυρος, πόλις Σικελίας, Λοκρῶν κτίσμα. τὸ ἐθνικὸν Ματαυρῖνος. Στησίχορος Εὐφήμου παῖς Ματαυρῖνος γένος, ὁ τῶν μελῶν ποιητής.

Ματιανή, μοῖρα τῆς Μηδίας. Στράβων ἑνδεκάτῃ „τοῦτο δὲ γίνεται καὶ τῆς Μηδίας ἐν τῇ Ματιανῇ".

Ματυκέται, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ.

Μαυριτανίαι δύο, ἡ μὲν Τιγγιτανὴ ἡ δὲ Καισαρησία, ὡς Μαρκιανὸς ἐν τῷ περίπλῳ.

Μαυρούσιοι καὶ Μαῦροι, ἔθνος μέγα Λιβύης, ὡς Κουάδρατος ἐν πρώτῳ Παρθικῶν. τὸ θηλυκὸν Μαυρουσίς.

Μαυσός, κώμη Κορίνθου. Θεόπομπος τριακοστῷ δευτέρῳ. τὸ ἐθνικὸν Μαυσεῖς.

Μαύσωλοι, οἱ Κᾶρες, ἀπὸ Μαυσώλου. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν „Δαίδαλα Μαυσώλων".

Μαχαιροῦς, φρούριον τῆς Ἰουδαίας, ὡς Ἰώσηπος. τὸ ἐθνικὸν ὤφειλεν ὡς Ἱεριχούντιος. αὐτὸς δὲ Μαχαιρίτας αὐτούς φησι.

Μεγάλη πόλις, πόλις Ἀρκαδίας, ἣν συνῴκισαν ἄνδρες

---

1. πρὸς fortasse delendum. 2. παρθενικῶν RV. 3. Σικελίας] Vide ad Σινύεσσα. 4. Εὐφήμου X, Εὐφήμῳ libri. Ματαυρίνων R, Μασταυρίνων V. 5. μελῶν ὢν V. 6. ἑνδεκάτῃ (p. 509) R, δυοκαιδεκάτῃ A, ιβ' V. 9. Καισαρησία vel Καισαρηνσία M, Καισαρισία R, Καισαριδία A, Καισαρεία X, om. V. Καισαρηνσία est apud Ptolem. 4, 2, 1. 8, 13, 1. 10. Μαρκιανὸς BH, Μάρκος R, Μάρης AP. τῷ add. R. 12. θηλυκὸν M, ἐθνικὸν libri, ἐθνικὸν [Μαυρούσιος. τὸ θηλυκὸν] BH. 13. Θεόπομπος] Vide s. v. Ἄσαι. 15. Μαύσωλοι R, Μαυσωλοί A. cf. Herodianus apud nostrum s. v. Αἰτωλία. eidem legi subiectum est Ἴωλος, de quo supra p. 343, et Καμάνδωλος apud Hipponactem in Chol. poes. p. 116. Μαυσωλοῦ libri. 16. Μαυσώλων RV, Μαυσωλῶν A. 17. Ἰώσηπος] B. I. 7, 25. 18. ὤφειλεν [Μαχαιρούντιος] ὡς B. Ἱεριχούντιος RV, Ἱερουχούντιος A. 19. φησι] Iosephus B. I. 2, 36. 20. βιβλίον λά ante Μεγάλη πόλις R. πόλις add. B. συνῴκησαν R.

Ἀρκάδες μετὰ τὰ Λευκτρικά. ἐκαλεῖτο δὲ κατὰ τὸ ἥμισυ μέρος Ὀρεστία, ἀπὸ τῆς τοῦ Ὀρέστου παρουσίας. οἱ δὲ πολῖται Ὀρέστιοι καὶ Μεγαλοπολῖται. ἀφ' ἧς Κερκιδᾶς ἄριστος νομοθέτης καὶ μελιάμβων ποιητής, καὶ Αἰνησίας περιπατητικὸς ὁ Θεοφράστου μαθητής, καὶ Ἀκεστόδωρος περὶ πόλεων συγγεγραφώς, καὶ Πολύβιος τεσσαράκοντα βιβλία συγγράψας. οὗτοι Μεγαλοπολῖται. τὸ κτητικὸν Μεγαλοπολιτικός. β' ἔστι καὶ ἄλλη πόλις Καρίας, ἡ νῦν Ἀφροδισιάς, ἡ πρότερον Λελέγων πόλις. καὶ διὰ τὸ μέγεθος ἐκλήθη Μεγαλόπολις. ὠνομάσθη δὲ καὶ Νινόη ἀπὸ Νίνου. ὁ πολίτης Νινοήτης. ἔστι καὶ Ἰβηρίας Μεγάλη πόλις, ὡς Φίλων. ἔστι καὶ Μεγάλη νῆσος ἡ νῦν Λυκίας.

Μέγαρα, πόλις περὶ τὸν Ἰσθμόν, μέση Πελοποννήσου καὶ Ἀττικῆς καὶ Βοιωτίας, ἧς ἐπίνειον ἡ Νίσαια. ἐκλήθη δὲ ἀπὸ Μεγαρέως τοῦ Ἀπόλλωνος ἢ τοῦ Αἰγέως τοῦ Πανδίονος τοῦ Ἐρεχθέως τοῦ Ἡφαίστου, ἢ διὰ τὸ τραχὺ τῆς

2. *τοῦ* add. RV. 2. 3. *οἱ δὲ πολῖται*] *τὸ ἐθνικὸν* R. 3. *Κερκίδας* libri. vide Anall. Alex. p. 388. 4. *μελιάμβιων* M, *μηλιάμβων* R, *μιλιάμβων* AV, *μιμιάμβων* X. vide Anall. Alex. p. 390. *Αἰνησίας* an *Αἰνεσίας* incertum R, om. V. 5. *Ἀκεσόδωρος* ante B. 6. *Πολύδωρος* pro *Πολύβιος* R. *συγγράψας* RV, *γράψας* A. 7. *β'* RV, *δευτέρα* A. 7. 8. *ἔστι καὶ ἄλλη* add. RV. 9. *καὶ διὰ — Μεγαλόπολις* add. RV. pro *Μεγαλόπολις* infra s. v. *Νινόη* fortasse rectius codd. *Μεγάλη πόλις*. 10. *δὲ* add. R. 12. *ἐγγὺς* pro *ἡ νῦν*? *Λυκιάς* R. dicere videtur Lyciae insulam eam, quam *Μεγίστην* appellat Ptolem. 5, 3, 9 et noster s. v. *Μεγίστη*. nisi *Λυδίας* scribendum, ut *Μεγάλην* insulam dicat Smyrnae vicinam; v. Plin. NH. 5, 31. post *Λυκίας* excidisse videtur: *ἔστι καὶ Μεγάλη κώμη ... τὸ ἐθνικὸν Μεγαλοκωμήτης*. vid. s. v. *Διοσκούρων κώμη* et *Καλὴ ἀκτή*. 13. *Μεγάρα* R. cuius formae nulla in graecis, rara in latinis scriptoribus exempla sunt. v. Plin. NH. 7, 12. Front. Strat. 4, 1, 8. *παρὰ* R. 14. *μνισαια* V. 15. *Ἀπόλλωνος*] *Ποσειδῶνος* Heynius ad Apollod. p. 346. Megareum Megarorum conditorem plurimi scriptores perhibent; hinc Megara urbem *Μεγαρῆος δόμους* appellat Nicander Fr. 33 e schol. ad Ther. 214: *τείχεά τε προλιπόντες ὑπὲρ Παμβωνίδας ὄχθας ἑσσύμενοι Μεγαρῆος ἐνεννάσσαντο δόμοισιν*. ita enim corrigo editum *Μεγαρῆες*. cf. Soph. Antig. 1140: *δόμοι Ἀμφίονος*. 15. 16. *τοῦ Κέκροπος* post *Πανδίονος* add. Heynius.

χώρας. ὁ πολίτης Μεγαρεύς. ἀφ' ὧν Θέογνις ὁ τὰς παραινέσεις γράψας. ἦν δὲ σχολὴ φιλοσόφων Μεγαρικῶν λεγομένη, διαδεξαμένων Εὐκλείδην Μεγαρέα Σωκρατικόν, ὡς Στράβων ἐνάτῃ. τὸ θηλυκὸν ἐπὶ τῆς χώρας Μεγαρίς καὶ Μεγαρηίς. καὶ κτητικὸν Μεγαρικός. οὕτω δὲ καὶ τοὺς Μεγαρικοὺς κεράμους διὰ τοῦ ε̄ χρὴ λέγειν, οὐ διὰ τοῦ ᾱ, ὡς οἱ ἔμποροι τὴν ἄρχουσαν παραφθείροντες. τὰ τοπικὰ Μεγαρόθεν ἐκ τόπου, καὶ ἐν τόπῳ Μεγαροῖ ὡς Πυθοῖ. ἔστι καὶ Μέγαρα ἐν Θετταλίᾳ. τρίτη ἐν Πόντῳ. τετάρτη ἐν Ἰλλυρίδι. πέμπτη ἐν Μολοσσίδι. ἕκτη ἐν Σικελίᾳ, ἡ πρότερον Ὕβλη, ἀπὸ Ὕβλωνος βασιλέως. καὶ Ὑβλαῖοι οἱ πολῖται.

Μεγαρικόν, πολίχνιον, ὃ συγκαταλέγεται ταῖς Βιθυνῶν πόλεσιν. Ἀρριανὸς πέμπτῳ „Ἀστακός τε καὶ Ἡραία καὶ τὸ Μεγαρικόν". ἐθνικὸν Μεγαρικός.

Μέγασα, ὡς Γέρασα, πόλις Λιβύης. Ἑκαταῖος περιηγήσει Ἀσίας „ἐξ αὐτῆς Σιτοφάγοι καὶ Ἀροτῆρες ....

Μεγίστη, πόλις καὶ νῆσος τῆς Λυκίας, ὡς ὁ πολυίστωρ, ἀπὸ Μεγιστέως τινός. τὸ ἐθνικὸν Μεγιστεύς.

Μεδεών, Βοιωτικὴ πόλις. καὶ Φωκικὴ ἑτέρα. Στράβων ἐνάτῃ. ἐκλήθη δὲ ἀπὸ Μεδεῶνος τοῦ Πυλάδου καὶ Ἠλέκτρας. τὸ ἐθνικὸν Μεδεώνιος. ἔστι καὶ τῆς Ἠπείρου πόλις. καὶ κώμη ...

Μεδιολάνιον, πόλις Ἀκυτανίας. οἱ οἰκοῦντες Μεδιολάνιοι.

---

1. *ὧν* RV, *ἧς* A. 3. *διαδεξαμένων* e Strabone B, *διαδεξαμένην* libri. 4. *ἐνάτῃ*] p. 393. *Μεγαρηίς*] Apud Ovid. Fast. 4, 471. liquerat Ortygien Megareaque Pantagienque, scribendum videtur Megareida. 5. 6. *Μεγαρικοὺς κεράμους*] V. Hemsterh. ad Plut. p. 254. 8. *καὶ* add. RV. *ἔστι καὶ*] *ἔστι τὰ* RV. 9. *τρίτη* X, *τῇ* libri. *ἐν Πόντῳ*] Haec eadem esse videtur cum Megarico, in sequentibus memorato. 13. *Ἀριανὸς* R. *Ἡραία* R, *Ἡράα* AV. 14. *ἐθνικὸν* H, *ἔθνος* libri. *Μεγαρικός* add. RV. 15. *Μάγασα* R. 16. *ἐξαῦτις?* post *Ἀροτῆρες* excidisse videtur: *εἶτα Μέγασα πόλις". τὸ ἐθνικὸν Μεγασίτης.* 17. *ὁ* add. RV. 19. *Φοινικικὴ* R. 20. *ἐνάτῃ*] p. 410. 423. *δὲ* om. V. 23. *Μεδιολάνιον* R, *Μεδιόλανον* AV.

Μεδίων, πόλις πρὸς τῇ Αἰτωλίᾳ. Πολύβιος ὀκτωκαιδεκάτῳ. τὸ ἐθνικὸν Μεδιώνιος.

Μέδμασα, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Μεδμασεύς τῷ τύπῳ τῆς χώρας, ὡς Πηγασεύς.

Μέδμη, πόλις Ἰταλίας καὶ κρήνη ὁμώνυμος. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Μέδμης κόρης τινός. ὁ πολίτης Μεδμαῖος. ὅθεν ἦν Φίλιππος ἀξιόλογος ἀνὴρ ὁ περὶ ἀνέμων γεγραφώς. ἔστι καὶ ἑτέρα πόλις τῆς Λιγυστικῆς. ἐθνικὸν Μεδμαῖος.

Μεδυλλία, πόλις, Ἀλβανῶν κτίσις, Ῥωμαίων ἀποικία. Διονύσιος γ' Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Μεδυλλῖνος.

Μεθουριάδες, νῆσοι μεταξὺ Αἰγίνης καὶ Ἀττικῆς πλησίον Τροιζῆνος. Ἀνδροτίων πέμπτῳ Ἀτθίδος. τὸ ἐθνικὸν Μεθουριεύς.

Μεθύδριον, πόλις Ἀρκαδίας. ὁ πολίτης Μεθυδριεύς. καὶ ἑτέρα πόλις Θεσσαλίας, ὡς Φίλων.

Μεθώνη, πόλις Θρᾴκης. Μαγνησίας, [ἣν] Ὅμηρος διὰ τοῦ η̄ „οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο". ὁ πολίτης Μεθωναῖος. ἔστι καὶ Μακεδονίας. ἐκλήθη ἀπὸ τοῦ

---

1. *Μεδιών?* 2. *Μεδιώνιος* V, *Μεδιώνιος* ex *Μεδεώνιος* corr. R, *Μεδώνιος* A. 3. *Μέδμασα* BH, *Μέδμασος* libri. fortasse utrumque posuit; cf. ad *Μύλασα*. 4. *Μεδμασεύς*] *Μαδνασῆς* Catal. tribut. no. 2. 4. 7. 35. 44. 45. 50. 72. 6. *ἀπὸ δμῆς* R, *ἀπόδμης* V. 8. *τῆς Λιγυστικῆς* om. V. hanc ab aliis memorari non memini. *ἐθνικὸν Μεδμαῖος* add. R, pro quo *Μεδαμαῖος* W. apud Strab. 6 p. 256 et sq. recte pro *Μέδαμα* Kramerus edidit *Μέδμα*. ceterum *Μέδμα* scribatur an *Μέδμη* perinde est. v. Exerc. ad Athen. 2 p. 4. ubi adde *Χρῦσα* pro *Χρύση* e Strab. 13 p. 612 et Quinto Cal. 14, 414. *κολόκυνθα* pro *κολοκύνθη* ex Aristotel. Probl. p. 923, 14. *Μένδα* pro *Μένδη*, de quo vide infra s. v. *Μένδη*. *Θέρμα* attigi p. 311. *Ἄρισβα* p. 119. quae omnia ultima dicuntur correpta nec ad dorismum revocari debent. 9. *Ἀλβανίας* R. 10. *γ'* (c. 1) add. R. 12. *Μεθουριάδες* B, *Μεθουριάδης* libri. *Ἀκτῆς* pro *Ἀττικῆς?* 13. *Ἀνδροτίων* R, ...*οτίων* A, *μοτίων* V. 16. *Θεσσαλίας* om. R. *Φίλων* RV, *Φιλόξενος* A. 17. *Μαγνησίας* M, *Μακεδονίας* RV, om. A. *ἣν* add. M. *Ὅμηρος*] Il. 2, 716.

μέθυ· πολύοινος γάρ ἐστι. καὶ τῆς Λακωνικῆς, ἧς τὸ ἐθνικὸν Μεθωναιεὺς ὡς Κορωναιεύς. δ' ἐν Περσίδι. ε' Εὐβοίας.

Μελάγχλαινοι, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. κέκληνται ἀφ' ὧν φοροῦσιν, ὡς Ἱππημολγοὶ παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν, καὶ Μοσσύνοικοι παρὰ τὰς οἰκήσεις.

Μελαιναί, πόλις Ἀρκαδίας, ἀπὸ Μελαινέως τοῦ Λυκάονος, ὡς Παυσανίας. ὁ πολίτης Μελαινεύς, ὡς τῆς Ἡραίας Ἡραιεύς. Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ „Γόρτυν' Ἡραιάν τε πολυδρύμους τε Μελαινάς". εἰσὶ δὲ καὶ Λυκίας Μελαιναὶ πόλις, ὡς Ἀλέξανδρος Λυκιακοῖς. δύναται τὸ ἐθνικὸν Μελαινίτης ὡς Κελαινίτης.

Μελαινεῖς, δῆμος τῆς Ἀντιοχίδος φυλῆς. Καλλίμαχος δὲ Μελαινάς φησι τὸν δῆμον ἐν Ἑκάλῃ. ὁ δημότης ὁμοίως Μελαινεύς. τὸ θηλυκὸν Μελαινηίς. τὰ τοπικὰ ἐκ Μελαινῶν εἰς Μελαινῶν ἐν Μελαινῶν.

Μελάμπεια, πόλις Λυδίας, ἀπὸ Μελάμπου, ὡς Ξάνθος ἐν Λυδιακοῖς. τὸ ἐθνικὸν Μελαμπεὺς ὡς Σελευκεὺς Ἀλεξανδρεύς.

Μελανδία, χώρα Σιθωνίας. Θεόπομπος τριακοστῷ τρίτῳ Φιλιππικῶν. τὰ ἐθνικὰ Μελάνδιος καὶ Μελανδία.

Μελανίππιον, πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ.

---

2. *Μεθωναιεὺς ὡς Κορωναιεύς* ex nostro disertim Eustathius ad locum Homeri, *Μεθωναιεὺς ὡς Κιρωναιεύς* A, *Μεθωνεὺς ὡς Κιρκωναιεύς* R, *Μεθωνεὺς ὡς Κιρωναιεύς* V. *δ'* RV, *τετάρτῃ* A. imo *ε'*. *ε'* RV, *πέμπτῃ* A. imo *ς'*. 4. *Ἱππημολγοί* RV, *Ἱππομολγοί* A. 5. *Μοσύνοικοι* AR, *Μοσύνικοι* V. 6. *Μελαιναί* R, *Μέλαιναι* AV. 7. *Παυσανίας*] 8, 26, 8. 8. *Ἰλιακῶν* libri. *Γόρτυν'* Gavelius, *Γόρτυναν* libri, v. Anall. Alex. p. 184. *Ἡραίαν* libri. 9. *πολυδρύμους* Salmasius, *πολυδρόμους* libri. *Μελαινάς* V, *Μελαίνας* AR. 10. *πόλεις* R. 12. *τῆς* om. R. 13. *ἐν Ἑκάλῃ* P, *ἐκεκάλῃ* V, *καὶ κεκάλη* R, *κεκλῆσθαι* A. *ὁ δῆμος ὅμος ὁμοίως* R. 14. *θηλυκὸν* V, *ἐθνικὸν* AR. 15. *εἰς Μέλαινον* RV. 17. *Λυδιακοῖς* BH, *Λυκιακοῖς* libri. 19. *Σιθωνίας* Pp, *Σικυωνίας* ARV. *Θεόπομπος ιγ'* R. 20. *Μελανδιᾶ* R, in quo *Μελανδιάτης* vel *Μελανδίτης* latet, quo gentili usus est Xenoph. Anab. 7, 2, 32. 21. *πόλις* LDindorfius, *ποταμὸς* libri, *τόπος* B.

τινὲς δὲ Λυκίας φασί. τὸ ἐθνικὸν Μελανιππεύς καὶ Μελανίππιος.

Μέλητος κόλπος ὁ Σμυρναῖος ἐκαλεῖτο, [ἀπὸ Μελήτου] ποταμοῦ, ὡς Ἑκαταῖος ἐν Αἰολικοῖς.

Μελία, πόλις Καρίας. Ἑκαταῖος γενεαλογιῶν δ'. τὸ ἐθνικὸν Μελιεύς ὡς Ὑριεύς.

Μελίβοια, πόλις Θετταλίας. Στράβων ἐνάτῳ. τὸ ἐθνικὸν Μελιβοεύς, ὡς Θεόπομπος. τὸ θηλυκὸν Μελιβοιάς.

Μελιγουνίς, μία τῶν Αἰόλου νήσων. Καλλίμαχος ἐν τῷ Ἀρτέμιδος ὕμνῳ. τὸ ἐθνικὸν Μελιγουνίτης.

Μέλινα, πόλις Ἄργους, ἀφ' ἧς Ἀφροδίτη Μελιναία τιμᾶται. Λυκόφρων „τὴν Καστνίαν δὲ καὶ Μελιναίαν θεόν".

Μελινοφάγοι, ἔθνος Θρᾴκης. Ξενοφῶν ἐν ἀναβάσεως ἑβδόμῳ καὶ Θεόπομπος ἐν τῷ τεσσαρακοστῷ ἐνάτῳ.

Μέλισσα, πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ. ὁ οἰκήτωρ Μελισσαῖος. ἡ χώρα Μελισσαία. ἔστι καὶ ἐν Κυζίκῳ κώμη Μέλισσα. τὸ ἐθνικὸν Μελισσηνός ὡς Κυζικηνός.

---

1. *Μελανιππιεύς?* 3. *Μελήτου* AV, *Μελίτου* an *Μελίτος* incerto ductu R. non dubium quin verum sit *Μέλητος* sive malis *Μελήτειος*. ὁ Schubartus, ὃς libri. *ἀπὸ Μελήτου* lacuna indicata om. RV, qui cum pro *ποταμοῦ* habeant *ποταμός*, nescio an Aldino supplemento potius hoc substituendum sit: [*ἔστι δὲ Μέλης*] *ποταμός*. *Μέλητος* casu recto vitiosa forma est. 5. *δ'* R, *α'* V, *πρώτῳ* A. illud praetuli, quoniam Hecataeus res ad Cariam spectantes in quarto Genealogiarum libro exposuerat, v. Stephanum s. v. *Μύγισσοι*. 7. *ἐνάτῳ*] p. 436. 8. *τὸ θηλυκὸν* R, *τὸ ἐθνικὸν* V, om. A. *Μελιβοιάς* R, *Μελιβοιεύς* V, om. A. malim *Μελιβοΐς* aut *Μελιβοϊάς*. 9. 10. *ἐν τῷ Ἀρτέμιδος ὕμνῳ* V, *ἐν τῷ εἰς Ἄρτεμιδα ὕμνῳ* P, *ἐν τῷ εἰς Ἀρτέμιδος ὕμνῳ* A, *ἐν τοῖς εἰς Ἄρτεμιδα ὕμνοις* R. locus est vs. 48. 10. *Μελιγουνίτης* R, *Μελιγουνεύς* AV. 11. *Μέλιννα?* 12. *Λυκόφρων*] vs. 403. *Καστνίαν δὲ καὶ* Lycophro, *Καστανίαν* R, *Καστανίαν τε* AV. *τῆς Μελιναίας* R. an *Μελινναίαν?* 13. *ἐν* om. R. 14. *ἑβδόμῳ*] c. 5, 7. 16. *Κυζίκῳ* M, *Κυρικῷ* libri, *Κυριακῷ* X, *Κορίνθῳ* Gronovius, *Κύρου πεδίῳ* H. scribendum erat *Κυζίκῳ*, cui coniecturae nonnihil commendationis ex eo accedit, quod Melissus sive Melisseus, a quo vicus ille denominatus esse videtur, Adrasteae a Cyzicenis sanctissime

Μελίταια, πόλις Θετταλίας. Ἀλέξανδρος Ἀσίᾳ. Θεόπομπος δὲ *Μελίτειαν* αὐτήν φησιν. ὁ πολίτης Μελιταιεύς. Ἔφορος λʹ „οἱ δὲ τύραννοι τῶν Φερῶν καὶ Μελιταιεῖς φίλοι πρότερον ὑπάρχοντες". Μελίτεια Φίλων οὕτω γράφει, τὰ αὐτὰ πράγματα τῇ εἰρημένῃ προσάπτων. τὸ ἐθνικὸν Μελιτεύς.

Μελίτη, νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας, ὅθεν τὰ κυνίδια Μελιταῖά φασιν. ὁ οἰκήτωρ Μελιταῖος. ἔστι καὶ πόλις ἄποικος Καρχηδονίων, καὶ δῆμος Οἰνηίδος φυλῆς. ὁ δημότης Μελιτεύς. τὰ τοπικὰ εἰς Μελίτην ἐκ Μελίτης καὶ ἐν Μελίτῃ.

Μελιτηνή, πόλις Καππαδοκίας. Στράβων ἑνδεκάτῃ „τὸ δ' Ἄμανον ὄρος μέχρι τοῦ Εὐφράτου καὶ τῆς Μελιτηνῆς πρόεισι, καθ' ὃ ἡ Κομμαγηνὴ τῇ Καππαδοκίᾳ παράκειται". οἱ πολῖται Μελιτηνοὶ ὡς Κομμαγηνοί.

Μελίτουσα, πόλις Ἰλλυρίας. Πολύβιος τρισκαιδεκάτῳ.

---

cultae pater fuisse perhibetur a schol. Euripid. Rhes. 332, Apollod. 1, 1, 7 et Charace apud Stephanum s. v. *Ἀδράστεια*. fuit etiam Phrygiae vicus *Μέλισσα*, Alcibiadis monumento sepulcrali nobilitatus, de quo v. Athen. 13 p. 574 e. cll. Plutarcho V. Alcib. ult. ac nescio an is ab eo quem in Cyziceni agri vicinia ponit Stephanus non diversus existimandus sit. denique veritatem emendationis probare videtur, quod gentile *Μελισσηνός* cum *Κυζικηνός* comparat, pro quo item *Κυρικηνός* in libris legitur. de praepositione *ἐν* sic ut indicavi usurpata vide nostrum s. v. *Ἄβυδος Ἀχαΐα Ἀφροδισιάς Δήλιον Κάστνιον* etc. 17. *Κυζικηνός* IGronovius, *Κυρικηνός* libri.

1. *Μελιταία* B, *Μελιτταία* libri. apud Thucyd. 4, 78 vitiose editur *Μελιτία*, quod aut *Μελίταια* aut *Μελίτεια* scribendum. *Θεσσαλίας* R. *Ἀσίᾳ*] *Εὐρώπῃ*? 2. *Μελιταιεύς*] *Μελιταιεύς* et *Μελιταεύς* in eodem titulo apud Vssingum Inscr. gr. p. 2. at urbis nomen ibidem *Μελίτεια* scribitur, pro quo *Μελίταια* exspectabam. 3. *Μελιτταεῖς* AV, *Μελιττεῖς* R. 4. 5. *Μελίτεια — Μελιτεύς* in libris a praecedentibus separata cum his coniunxit B. 6. *Ἰταλίας*. [*ἔστι καὶ ἄλλη πλησίον Σικελίας*,] *ὅθεν* H, cll. Strab. 6 p. 277. quae ratio eo confirmatur quod quae in sequentibus leguntur verba *καὶ πόλις* suppositis punctis delenda esse indicat R. 7. *ἔστι* [*καὶ ἄλλη νῆσος*] *καὶ πόλις* Cluverus. 10. *ἑνδεκάτῃ*] p. 521. 11. *Ἄμανον* Strabo, *Ἄβανον* libri. 12. *τῇ Καππαδοκίᾳ* e Strabone B, *Καππαδοκία* libri. 13. *ὡς*] *καὶ* V. 14. *Μελίτουσα* M, *Μελίτουσσα* libri.

τὸ ἐθνικὸν Μελιτουσαῖος ὡς Σκοτουσαῖος, καὶ Μελιτούσιος ὡς Σκοτούσιος.

Μεμβλίαρος, νῆσος πλησίον Θήρας [ἡ] καὶ Ἀνάφη, ἀπὸ Μεμβλιάρου τοῦ Θήραν οἰκήσαντος Φοίνικος, τῶν μετὰ Κάδμου ἑνός. λέγεται καὶ κατὰ ἀφαίρεσιν Βλίαρος. τὸ ἐθνικὸν Μεμβλιάριος.

Μέμφις, ἡ διασημοτάτη Αἰγύπτου μητρόπολις. κλίνεται καὶ Μέμφιδος καὶ Μέμφιος. ὁ πολίτης Μεμφίτης. καὶ Μεμφιτικὸς κτητικόν.

Μέμνονες, ἔθνος Αἰθιοπικόν, ὃ ἑρμηνεύεται, ὡς ὁ πολυίστωρ φησίν, ἀγρίους τινὰς ἢ μαχίμους καὶ χαλεπούς.

Μεναί, πόλις Σικελίας ἐγγὺς Παλικῶν. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. τὸ ἐθνικὸν Μεναῖος, ὡς Ἁλικύαι Ἁλικυαῖος.

Μένδη, πόλις Θρᾴκης, ἀπὸ Μένδης γυναικός. Ἀπολλόδωρος Μένδιν αὐτήν φησι. τὸ ἐθνικὸν Μενδαῖος οἶνος.

Μένδης, πόλις Αἰγύπτου παρὰ τὴν Λύκων πόλιν. Στράβων ιζʹ „καὶ Λύκων πόλις καὶ Μένδης, ὅπου τὸν Πᾶνα τιμῶσι καὶ τὸν τράγον". ὁ πολίτης Μενδήσιος καὶ Μενδησία θηλυκόν. λέγεται καὶ Μενδίτης.

Μενεδήμιον, πόλις Λυκίας. Καπίτων ἐν Ἰσαυρικῶν τρίτῳ. τὸ ἐθνικὸν Μενεδήμιος ἢ Μενεδημιεύς.

---

1. *Μελιτουσσαῖος* duplicato σ̄ et in hoc et in sequentibus nominibus B. 3. *ἡ καὶ Ἀνάφη* Bochartus, *καὶ Ἀνάφης* AR, *καὶ ἀναφάνης* V. 5. *καὶ* om. RV. 7. 8. *κλίνεται καὶ* RV, *καὶ κλίνεται* A. 10. *ἑρμηνεύουσιν?* 11. *ἀγρούς* RV. 12. *Μεναί* Cluverus, *Μενδαί* A, *Μενδιώ* RV, *Μέναια* H. 13. *Μενδαῖος* libri. 13. 14. *Ἁλικύαι Ἁλικυαῖος* Dindorfius, *Λύκαι Λυκαῖος* AV, *Λυκαῖον Λυκαῖος* R, *Λύκαια Λυκαῖος* H. 16. *Μένδην* R, quorum fortasse neutrum verum est, sed scribendum *Μένδαν*, de quo formarum genere supra dictum est ad *Μέδμα*. atque habet ipsum illud *Μένδα* Polyaen. 2, 31. si tamen *Μένδιν* scripsit Stephanus, probabile est id ex vitioso Apollodori codice receptum esse. 17. *παρὰ* R, *περὶ* AV. 18. *ιζʹ*] p. 802. *καὶ Μένδης* om. R. 21. *Καππίτων* R.

Μενεκίνη, πόλις Οἰνώτρων ἐν μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Μενεκιναῖος καὶ Μενεκινῖνος διὰ τὴν χώραν.

Μενέλαος, πόλις Αἰγύπτου. Στράβων ἑπτακαιδεκάτῃ. καὶ ἡ χώρα Μενελαΐτις. ἔστι καὶ χωρίον Σπάρτης *Μενελάειον*. τὸ ἐθνικὸν Μενελαεύς, ὡς Κοτιάειον Κοτιαεύς. καὶ κτητικὸν Μενελαϊκός. τῆς δ' Αἰγυπτίας Μενελαΐτης.

Μένουθις, Αἰγυπτία κώμη πρὸς τῷ Κανώβῳ. καὶ νῆσος Αἰθιοπίας *Μενουθιάς*. τὸ ἐθνικὸν Μενουθίτης τοῦ Μένουθις διὰ τὸν τῆς χώρας χαρακτῆρα, τοῦ δὲ Μενουθιάς Μενουθιεύς.

Μέντορες, ἔθνος πρὸς τοῖς Λιβυρνοῖς. Ἑκαταῖος Εὐρώπῃ.

Μέντυρνα, πόλις ἐν Ἰταλίᾳ Σαυνιτῶν. Διονύσιος ἑκκαιδεκάτῳ. τὸ ἐθνικὸν Μεντυρναῖος.

Μερμησσός, πόλις Τρωική, ἀφ' ἧς ἡ Ἐρυθραία Σίβυλλα. ἦν γὰρ καὶ ἡ πόλις αὐτοῖς ἐρυθρὰ τῷ χρώματι. τὸ ἐθνικὸν Μερμήσσιος καὶ Μερμησσεύς.

---

1. ἐν ο(σο)ἰμεγείᾳ R. 2. *Μενεκινῖνος* M, *Μενεκῖνος* AR, *Μενεκηνός* V, *Μενεκινηνός* Salmasius. 3. *Μενελάου* R, haud infrequenti in Aegyptiacis urbium nominibus ellipsi, ex quo genere apud nostrum suis locis habentur *Διαδόχου Ἐλληθυίας Λητοῦς* et *Χαιρέου* scil. *πόλις*, item *Ἀμίκου Ἀγαθοῦ δαίμονος* et *Ἀργέου* scil. *νῆσος*, porro *Νικίου* scil. *κώμη*. quibus ex Ammiano Marc. 22, 16, 2. accedat Antinou ex Epiphan. Ancor. p. 109 c. *Ἀντινόου* et ex Ptolem. 4, 5, 28—34. *Καλλίου Κωβίου Σωφάνους Τισάρχου Φίλωνος*. alia vide in Antonini Itinerario. hinc recte in libris legitur p. 18, 15. *Ἀγκυρῶν* et p. 57, 4. *Ἀκανθῶν*. cf. infra ad *Μύλων* et *Μέρωνος* et *Πανός*.- ἑπτακαιδεκάτῃ (p. 803) B, ιδ' RV, τεσσαρεςκαιδεκάτῃ A. 4. *Μενελαΐτης* ante B. ἔστι om. R. καὶ om. V. 4. 5. *Μενελάειον* Salmasius, *Μενελάιον* libri. illud, non *Μενελάιον*, genuinam formam esse et gentile *Μενελαεύς* docet et comparatio cum *Κοτιάειον*. corrigendus item Polyb. 5, 18, 3. 5. *Μελεναεύς* V. *Κοτιάειον Κουτιαεύς* RV. 9. *Μενουθεάς* V. 11. τοῖς] τῆς R. 15. *Μερμη(σ)σός* R, *Μερμησός* V. infra est *Μυρμισσός*. 15. 16. *Σίβυλλα* R, *Σιβύλλα* A. 16. αὐτοῖς R, αὐτῆς V, αὐτὴ A. 17. *Μερμήσιος καὶ Μερμησεύς* RV.

Μερόη, πόλις Αἰθιόπων. Ἡρόδοτος δευτέρᾳ. ἀπὸ Μερόης. ἔστι καὶ νῆσος. ὁ πολίτης Μεροΐτης, ὡς τῆς Ἀρσινόης Ἀρσινοΐτης. ἔστι καὶ **Μερόη** κατὰ ἀνατολὰς τῆς περὶ Δάφνην Ἀντιοχείας. τὸ ἐθνικὸν Μεροαῖος ἢ Μερούσιος, κατὰ τὸ τῆς ἑορτῆς ὄνομα. καὶ τὸ κτητικὸν Μερουσιακός. ἔστι καὶ **Μερόη** πόλις Λυκίας.

Μερούσιον, χωρίον [Σικελίας], ὡς Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. οἱ οἰκήτορες ὁμοίως Μερούσιοι, καὶ Μερόεσσα ἡ Ἄρτεμις. ἀπέχει δὲ ὁ τόπος Συρακουσῶν στάδια ἑβδομήκοντα. τινὲς δὲ ἀπὸ Μερόης τῆς Αἰθιοπίας.

Μέροψ, Τριόπα παῖς, ἀφ' οὗ Μέροπες οἱ Κῷοι καὶ [ἡ] νῆσος **Μεροπίς**.

Μεσανίτης κόλπος. Μαρκιανὸς ἐν περίπλῳ τῆς Περσικῆς θαλάσσης.

Μεσημβρία, πόλις Ποντική. Νικόλαος πέμπτῳ. ἐκλήθη ἀπὸ Μέλσου. βρία γὰρ τὴν πόλιν φασὶ Θρᾷκες. ὡς οὖν Σηλυμβρία ἡ τοῦ Σήλυος πόλις, Πολτυμβρία ἡ Πόλτυος [πόλις], οὕτω Μελσημβρία ἡ Μέλσου πόλις, καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεσημβρία. ὁ πολίτης Μεσημβριανός. ἔστι καὶ Θρᾴκης **Μεσημβρία** πρὸς τῷ τέλει τῆς χερρονήσου, ὡς Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν ὅμοιον.

Μέση τῶν ποταμῶν, χώρα μεταξὺ Εὐφράτου καὶ Τίγριδος. καὶ **Ἀδιαβηνὴ** ἐκαλεῖτο, ὡς ἱστορεῖ Κουάδρατος. τὸ ἐθνικὸν Μεσοποταμίτης.

Μέσμα, πόλις Ἰταλίας. Ἀπολλόδωρος ἐν τρίτῳ χρονικῶν. τὸ ἐθνικὸν Μεσμανός, ὡς τῆς Νῶλα Νωλανός.

---

1. Μερόπη RV. δευτέρᾳ] c. 29. 2. ἔστι om. R. 4. παρὰ V. 6. Λυκίας] Post hoc excidisse videtur: τὸ ἐθνικὸν Μεροεύς, quam formam ponit noster s. v. Φολόη. 7. Σικελίας add. B. 8. λα' R. 9. Συρακοσίων ante Cluverum. 10. ἀπὸ Μερόης RV, ἀπὸ τῆς Μερόης A. 12. ἡ om. libri. 13. Μεσανῖτις R. 16. 17. Λυσημβρία ἡ τοῦ Λύσιος R. 17. Πολυτιβριά R, Πολυτυμβριά V. Πόλτιος R. πόλις add. B. 21. ἑβδόμῃ] c. 108. ex quo de situ falsa tradi apparet. ὅμοιον om. V. 23. Τίγρηδος R. 26. Νῶλα H, Νώλης B, Νώλου libri.

Μεσόλα, πόλις Μεσσήνης, μία τῶν πέντε. Νικόλαος τετάρτῳ. τὸ ἐθνικὸν Μεσολάτης, ὡς τῆς Μεσόας Μεσοάτης.

Μεσοπόντιος, ὁ Ἐρέσιος Ποσειδῶν· οὕτω γὰρ ἐν Ἐρέσῳ τιμᾶται, πόλει τῆς Λέσβου. Καλλίμαχος Αἰτίων α΄.

Μέσσαβα, πόλις Καρῶν. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Μεσσαβεύς, τῷ τύπῳ τῶν Καρικῶν πόλεων.

Μεσσαπέαι, χωρίον Λακωνικῆς. τὸ ἐθνικὸν Μεσσαπεεύς· οὕτω γὰρ ὁ Ζεὺς ἐκεῖ τιμᾶται. Θεόπομπος πεντηκοστῷ ἑβδόμῳ.

Μεσσαπία, χώρα Ἰαπυγίας προσεχὴς Τάραντι. τὸ ἐθνικὸν Μεσσάπιος. Πausανίας δεκάτῳ.

Μεσσάπιον, ὄρος Εὐβοίας ... καὶ Μεσσαπικός. ἀπὸ Μεσσάπου τοῦ μετοικήσαντος εἰς Ἰταλίαν.

Μεσσήνη, καὶ χώρα καὶ πόλις. Στράβων ὀγδόῃ. χώρα δὲ ἡ *Μεσσηνία* καὶ *Μέσση* κατὰ ἀποκοπήν, ἢ *Μέση* καὶ *Μεσήνη*, ὥς τινες. τὸ ἐθνικὸν καὶ ὁ πολίτης Μεσσήνιος καὶ θηλυκὸν Μεσσηνίς. ἔστι καὶ ἄλλη *Μεσσήνη* τῆς Σικελίας. καὶ χώρα Περσίδος *Μεσηνή* δι' ἑνὸς σ̄, ὑπὸ τῶν δύο

---

1. *Μεσσήνης* X, ...*νης* libri. 2. *Μέσσόα Μεσσοάτης* BH. 3. *Μεσοπόντιος*] Ita Eresii Neptunum dixisse videntur, quoniam templum eius in promontorio longo tractu in mare proiecto, *περικύμονι μαστῷ*, conditum fuisse videtur. v. Athen. 3 p. 111 f. cll. Exerc. ad Athen. 1 p. 11. *ὁ Ἐννόσιος Ποσειδῶν* R, *ὁ Ἐνέσιος Ποσειδῶν* V, *Ποσειδῶν ὁ Ἐρέσιος* A. *Ἐγέσῳ* RV, *Ἐνέσῳ* Pp. 4. *πόλις* RV. *αἰτιῶν* libri. 5. *Μέσαβα* R. *Ἑκαταῖος Ἀσίᾳ* om. R. 6. *Μεσαβεύς* R. 7. *Μεσάπαι* R, *Μεσάπη* V. *Λακωνικῆς* RV, *Λακωνικόν* A. 7. 8. *Μεσαπαιεύς* R, *Μεσαπε..* V. rectius fort. *Μεσσαπεύς*, ut libri habent apud Pausan. 3, 20, 3. 10. *Μεσαπία* libri. 11. *δεκάτῳ*] c. 7, 8. 12. *Μεσάπιον* ante BH. *Εὐβοίας*] Vide ad p. 47, 22. post *Εὐβοίας* indicavi lacunam. excidit, opinor, *τὸ ἐθνικὸν Μεσσαπιεύς*. nam *Μεσσαπικός* (*Μεσαπικός* ante B) possessivum est. 13. *Μεσσάπου* B, *Μεσαπίου* libri. 14. *Μεσσήνη*] *ἀρχὴ τοῦ λβ΄ βιβλίου* praefigit R. *ὀγδόῃ*] p. 342. 15. *Μεσηνία καὶ Μέση* ante BH. *ἀποκοπήν* BH, *συγκοπήν* libri. v. Strab. 8 p. 364. *ἢ Μέσση* ante BH. 16. *Μεσήνιος* RV. 17. *Μεσάνη* Pp. 18. *Περσίδος* add. Pp. *Μεσήνη* libri.

ποταμῶν Εὐφράτου καὶ Τίγριδος μεσαζομένη, ὡς Ἀσίνιος Κουάδρατός φησι.

Μεσσόα, τόπος Λακωνικῆς. Στράβων ὀγδόῃ. ἔστι καὶ φυλὴ Λακωνική. τὸ ἐθνικὸν Μεσσοάτης.

Μέσσωγις, ὄρος Λυδίας. τὸ τοπικὸν Μεσσωγίτης. Στράβων τεσσαρεσκαιδεκάτῃ „ὅθεν ἄριστος Μεσσωγίτης οἶνος ὁ Ἀρομεύς".

Μεταγώνιον, πόλις Λιβύης. Ἑκαταῖος Ἀσίᾳ. θηλυκῶς δὲ ταύτην φασί. τὸ ἐθνικὸν Μεταγωνίτης.

Μέταον, πόλις Λέσβου, ἣν Μέτας Τυρρηνὸς ᾤκισεν, ὡς Ἑλλάνικος.

Μέταπα, πόλις Ἀκαρνανίας. Πολύβιος πέμπτῳ. τὸ ἐθνικὸν Μεταπαῖος ἢ Μεταπεὺς διὰ τὰ ἐπιχώρια.

Μεταπόντιον, πόλις Ἰταλίας, ἡ πρότερον Σῖρις, ἀπὸ Μετάβου τοῦ Σισύφου τοῦ Αἰόλου· τὸν γὰρ Μετάποντον οἱ βάρβαροι Μέταβον ἔλεγον. ὁ πολίτης Μεταποντῖνος. ἀφ' οὗ Φίλων ὁ αὐλητὴς καὶ ποιητής. λέγεται καὶ Μεταπόντιος ὡς Βυζάντιος. καὶ Μεταποντίνη.

Μετάχοιον, φρούριον Βοιωτίας μεταξὺ Ὀρχομενοῦ καὶ Κορωνείας. Ἔφορος τριακοστῷ. τὸ ἐθνικὸν ἐκ Μεταχοίου, ὡς τὸ ἐξ Οἴου, [Οἶον δὲ δῆμος τῆς Ἀττικῆς] ὡς λέλεκται· ἢ

---

1. ποταμῶν Εὐφράτου Pp, στομάτων αὐτοῦ ARV. καὶ Τίγριδος add. Pp. 3. ὀγδόῃ (p. 364) B, ς' RV, ἑβδόμῃ A. 4. Μεσοάτης R. 5. Μεσογίτης R. 6. τεσσαρεσκαιδεκάτῃ] p. 648. 6. 7. ὁ οἶνος RV. 7. Ἀρομεύς H, Ἀρωμεύς ARV, Ἀρωματεύς B. 8. Ἀσίᾳ] Λιβύῃ Vossius, inutili coniectura, siquidem alteram geographici operis partem, qua Asiam et Libyam tractavit Hecataeus, Ἀσίας nomine inscripserat. cf. in Ζύβοττις Ζυγαντίς Κανθηλία Σιρώη aliisque locis. 9. φησί? 10. ᾤκισεν R, ᾤκησεν A. 12. πέμπτῳ] c. 7, 8. 13. Μεταπεύς Salmasius, Μετάπιος H, Μετάπατος AV, Μεταπα^τ R. fort. Μεταπάτης. τὰ ἐπιχώρια RV, τὸ ἐπιχώριον A. 19. Μετάχοιον] Huius memoriam restituere conatus sum Dionysio Graec. descr. 96. nunc malim: εἶτα μετ' ὀλίγον. 20. 21. ἐκ Μεταχ ... τὸ ἐξ Οἴου RV, ἐκ Μεταχοίου, ὡς τοῦ Οἴου τὸ ἐξ Οἴου A. sequentia seclusi. Οἶον] Ita etiam infra in Οἶον. at Arcadius p. 37, 13: Οἰὸς — ὀξύνεται.

Μεταχοιάτης· καὶ γὰρ Οἷος πολίχνιον, ἧς τὸ ἐθνικὸν Οἰάτης. Ἀνδροτίων δὲ ἐν τῷ ζ Μετάχοιρον αὐτῶν φησὶ καὶ ἴσως περιφραστικῶς.

Μέτηλις, πόλις Αἰγύπτου πλησίον Ἀλεξανδρείας, ἡ νῦν Βῆχις λέγεται. τὸ ἐθνικὸν Μετηλίτης νομός.

Μήδαβα, πόλις τῶν Ναβαταίων. ὁ πολίτης Μηδαβηνός, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ.

Μηδία, χώρα ταῖς Κασπίαις παρακεκλιμένη πύλαις. Ἑκαταῖος Ἀσίᾳ. ἀπὸ Μήδου υἱοῦ Μηδείας. τὸ ἐθνικὸν Μῆδος ὁμοφώνως τῷ πρωτοτύπῳ, καὶ θηλυκὸν Μηδίς, καὶ Μηδικός, καὶ Μήδειοι λέγονται. ὁ Μηδικὸς ὀπός, ἡ Μηδικὴ βοτάνη. Στράβων „φέρει δὲ σίλφιον ἡ χώρα, ἀφ᾽ ἧς ὁ Μηδικὸς καλούμενος ὀπός, οὐ πολὺ λειπόμενος τοῦ Κυρηναϊκοῦ". καὶ πάλιν „καὶ τὴν βοτάνην τὴν μάλιστα τρέφουσαν τοὺς ἵππους ἣν μηδίκην καλοῦμεν.".

Μήθυμνα, πόλις ἐν Λέσβῳ τῇ νήσῳ, ἀπὸ Μηθύμνης τῆς Μάκαρος θυγατρὸς καὶ γυναικὸς Λεπετύμνου. ὁ πολίτης Μηθυμναῖος. οὕτως γὰρ ἀναγράφεται Ἐχεκρατίδης περιπατητικός, Ἀριστοτέλους συνήθης, καὶ Μυρσίλος συγγραφεὺς

---

ac masculinam formam etiam hic requiro propter sequentia. *τῆς* add. R. 1. *Οἷος πολίχνιον*] Arcadiae oppidum dicit, de quo infra suo loco. 2. *ἐν τῷ ζ* Pp, *τὴν ζ* ARV. *Μετάχοιρον αὐτῶν* R, *Μετάχοιρον αὐτ..* V, *Μετάχοιρον αὐτῆς* A, *Μεταχοίου ναέτης* BH. probabilius fuerit *Μετάχοιον οἰκῶν*, ut s. v. *Ἀκόναι· λέγεται κατὰ περίφρασιν οἰκῶν τὰς Ἀκόνας*, et s. v. *Ἐρύθεια· κατὰ περίφρασιν ὁ κατοικῶν τὴν Ἐρύθειαν.* *φησὶ καὶ ἴσως* septem literarum lacuna indicata om. R. 4. *Μέτηλις* B, *Μέτιλις* libri. *Αἰγύπτου* R, *Αἰγυπτίας* V, *Αἰγυπτία* AP[r]. 6. *Μήβαδα* RV. *ἀβαταίων* ante X. 8. *παρακεκλιμένη* R, *παρακειμένη* AV. 9. *Μηδίας* RV. 10. 11. *καὶ Μηδικός* om. V. 11. *Μήδιοι* libri, *Μήδειοι* BH ex Eustath. ad Dion. 1017: *καὶ Μήδειοι λέγονται προπαροξυτόνως, καθάπερ οἱ παρ᾽ Ὁμήρῳ* (Od. 11, 570) *Κήτειοι*, ex quibus etiam postrema, *προπαροξυτόνως — Κήτειοι*, Stephano reddiderim. *ἡ*] *ὡς* V. fortasse *καί*. 12. *Στράβων*] 11 p. 525. 15. *μηδικήν* AV, *μουίκην* R, in quo accentus rectus est; v. Arcad. p. 107, 10. 17. *Λεπετύμνου* Galeus, *Λεπύδνου* AV, *Λεπύδνης* R. 18. *ἀναγράφεται* PpRV, *ἀναγράφει* A. 19. *Μυρσίλος* R, *Μυρσῖνος* AV.

καὶ Ἀρίων καὶ ἄλλοι πολλοὶ Μηθυμναῖοι. καὶ θηλυκὸν Μηθυμναία χώρα καὶ γυνή.

Μήκιστον, πόλις Τριφυλίας. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ ἄλλη τῆς Ἤλιδος. τὸ ἐθνικὸν Μηκίστιος.

Μηκύβερνα, πόλις Παλλήνης τῆς ἐν Θρᾴκῃ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Μηκυβερναῖος· οὕτως γὰρ ἀναγράφεται Ἡγήσιππος ὁ τὰ Παλληνιακὰ συντεταχώς, καὶ Φιλωνίδης καὶ οἱ ἄλλοι.

Μῆλος, νῆσος μία τῶν Κυκλάδων, ὁμώνυμον ἔχουσα πόλιν. Φοίνικες οὖν οἴκισται πρότερον, ὅθεν καὶ Βυβλίς ἐκλήθη ἀπὸ τῶν Βυβλίων Φοινίκων· ἀλλὰ καὶ Ζεφυρία. ὁ πολίτης „Διαγόρας ὁ Μήλιος καὶ ..... ποιητής", καὶ Σωκράτης κατ' Ἀριστοφάνην. οἱ δ' ἐν Θετταλίᾳ Μηλιεῖς. ἔστι καὶ κώμη τῆς Ἀκαρνανίας, ἧς τὸ ἐθνικὸν Μηλιεύς καὶ διὰ τοῦ ᾱ δωρικῶς. λέγεται καὶ ἀπὸ τοῦ Μήλιος Μηλιεύς καὶ Μηλιακός καὶ Μηλίς ἡ χώρα.

Μήλουσα, νῆσος κατὰ Ἴβηρας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Μηλουσαῖος.

---

3. Μήκιστος H. 6.7. ἀναγράφεται PpRV, ἀναγράφει A. 7. ὁ om. R. 10. Βυβλίς Salmasius, Βύβλος X, Βύαλος libri. 11. βιβλίων RV. ἀλλὰ καὶ ἐφυρία R, ἔλλη ἐφυρία Pp, ελλη .. ἐφυρία V. 11.12. ὁ πολίτης Διαγόρας Μήλιος καὶ ...... ποιητής R, ὁ πολιτικὸς Διαγόρας ὁ Μήλιος ceteris omissis AV, ὁ πολίτης [Μήλιος.] Διαγόρας ὁ Μήλιος B. Μήλιος ut interponatur non necessarium; vide ad p. 415, 18. lacunam, quam R indicat, ita suppleverim: καὶ [φιλόσοφος καὶ ᾀσμάτων] ποιητής, quemadmodum Suidas eodem aut simili scriptore usus: Διαγόρας, Μήλιος, φιλόσοφος καὶ ᾀσμάτων ποιητής. cf. Bergk. Comment. de Com. ant. p. 172 sqq. et Histor. Com. p. 526. 12.13. καὶ Σωκράτης κατ' Ἀριστοφάνην M, καὶ Σωκράτης καὶ Ἀριστοφάνης A, καὶ Ἀριστοφάνην R, καὶ ..... Ἀριστοφάνης V, καὶ Σωκράτης παρ' Ἀριστοφάνει B, καὶ Σωκράτης ὡς Ἀριστοφάνης Salmasius. Aristophanis locus est Nub. 830. 15. λέγεται ἀπὸ R, γίγνεται καὶ ἀπὸ A, γίνεται ἀπὸ V. 16. Μηλίς ἡ χώρα καὶ Μηλιακός V. 17. Μήλουσα R, Μήλουσσα AV. 18. Μηλουσαῖος RV, Μηλουσσαῖος A.

Μῆνιγξ, νῆσος περὶ τὰς Σύρτεις καὶ πόλις. τὸ ἐθνικὸν Μηνίγγιος.

Μητρόπολις, [πόλις] Φρυγίας, ὑπὸ τῆς μητρὸς τῶν θεῶν οἰκισθεῖσα, ὡς Ἀλέξανδρος ἐν τῷ περὶ Φρυγίας. ἔστι καὶ ἄλλη Φρυγίας ὁμώνυμος. τρίτη Λυδίας. τετάρτη Θεσσαλίας. πέμπτη Ἀκαρνανίας. τὸ ἐθνικὸν Μητροπολίτης. ἕκτη Δωριέων. ἑβδόμη τῶν ἐν τῷ Πόντῳ Μοσσυνοίκων. ὀγδόη Σκυθίας. ἐνάτη Εὐβοίας. δεκάτη τῆς ἄνω Θετταλίας.

[Μιάκωρος, πόλις Χαλκιδική. Θεόπομπος κε' Φιλιππικῶν. ὁ πολίτης Μιακώριος.]

Μιδάειον, πόλις Φρυγίας. Ἑλλάνικος ἐν δευτέρῳ Δευκαλιωνείας. καὶ Μιδάιον λέγεται. τὸ ἐθνικὸν Μιδαεῖς. ἔστι καὶ Μιδαϊεύς. καὶ Μιδήιον.

Μίδεια, πόλις ἐν Ἄργει, ἡ νῦν κώμη, ἡ πρότερον Περσέως πόλις, ἀπὸ Μιδείας τῆς Ἀλωέως θυγατρός. λέγεται καὶ χωρὶς τοῦ ῑ Μιδέα. ὁ πολίτης Μιδεάτης καὶ θηλυκὸν Μιδεᾶτις καὶ Μιδεαῖος. ἔστι δὲ καὶ ἑτέρα πόλις Βοιωτίας. Ὅμηρος „οἵ τε πολυστάφυλον Ἄρνην ἔχον οἵ τε Μίδειαν". ἔστι καὶ Λυκίας ἄλλη.

---

1. *σύρτις* R. 2. *Μηνίγκιος* R. 3. *πόλις* add. B. *ἀπὸ* libri. 4. *οἰκισθείσης* RV, *ἐκεῖ τιμηθείσης* B. *ἐν τῇ* RV. 5. *Λυδίας*] Haec est illa quam Ephesiacam dicit Aelianus HA. 16, 30. 7. *τῶν* add. R. *Μοσσυνοίκων* B, *Μοσσυνίκων* R, *Μοσυνικῶν* AV. 8. *δεκάτη τῆς ἄνω Θετταλίας* om. R. 9. *Μιάκωρος*] Infra recte *Μίλκωρος*. seclusit M. 11. *Μιδάειος* R. *Ἑλλάνικος* ex coniectura add. X, e „mss." B. 12. *Μιδάιον* M, *Μίδαι* PpR, *Μιδαί* AV. quae nunc reposita est forma, ei fidem facit tum comparatio cum *Δορυλάιον*, de quo supra p. 236 dictum est, tum ipsum illud quod in fine huius sectionis legitur *Μιδήιον*, quod non possessivum est, sed a poeta pro *Μιδάιον* dici potuit, ut *Μίδης* ionicum esse constat, velut apud Quint. Cal. 9, 186. ubi *ἔνθ' Ἀμίδην* scriptum videtur pro *ἔνθα Μίδην*. *λέγεται* RV, *λέγονται* A. *Μιδαεῖς* M, *Μιδαεῖ* RV, *Μιδαιεύς* A. *ἔστι* add. R. 13. *Μιδαιεύς. καὶ Μιδήιον* RV, *Μιδαιεύς καὶ Μιδήιον* A. 16. *Μιδέα* R, *Μίδεα* A, om. cum seq. *ὁ πολίτης* V. 17. *Μιδεαῖος* Dindorfius, *Μιδιαῖος* libri. 18. *Ὅμηρος* (Iliad. 2, 507) om. R. 19. *Λυκιάς* R.

Μίεζα, πόλις Μακεδονίας, ἣ *Στρυμόνιον* ἐκαλεῖτο, ἀπὸ Μιέζης θυγατρὸς Βέρητος τοῦ Μακεδόνος, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. Βέρης γὰρ τρεῖς ἐγέννησε, Μίεζαν Βέροιαν Ὄλγανον· ἀφ᾽ οὗ ποταμὸς ἐπώνυμος καὶ πόλις Βέροια καὶ τόπος Στρυμόνος. τὸ ἐθνικὸν Μιεζεύς καὶ Μιεζαῖος· οὕτως γὰρ χρηματίζει Νικάνωρ, καθὰ Λούκιος.

Μίλητος, πόλις ἐπιφανὴς ἐν Καρίᾳ τῶν Ἰώνων. Ἑκαταῖος Ἀσίᾳ. Δίδυμος δ᾽ ἐν συμποσιακοῖς φησιν ὅτι πρῶτον *Λελεγηίς* ἐκαλεῖτο ἀπὸ τῶν ἐνοικούντων Λελέγων, εἶτα *Πιτύουσα* ἀπὸ τῶν ἐκεῖ πιτύων καὶ ὅτι ἐκεῖ πρῶτον πίτυς ἔφυ. οἱ γὰρ ..... ἐν τοῖς θεσμοφορίοις πίτυος κλάδον ὑπὸ τὴν στιβάδα ... καὶ ἐπὶ τὰ τῆς Δήμητρος ἱερὰ κλῶνον πίτυος τίθεσθαι .... διὰ τὸ ἀρχαῖον τῆς γενέσεως. μετὰ δὲ ταῦτα ἀπὸ Ἄνακτος τοῦ Γῆς καὶ Οὐρανοῦ ὠνομάσθη *Ἀνακτορία*. ὁ πολίτης Μιλήσιος. οὕτως καὶ Θαλῆς Ἐξαμύου πατρὸς Μιλήσιος ἐχρημάτιζε καὶ Φωκυλίδης καὶ Τιμόθεος κιθαρῳδός, ὃς ἐποίησε νόμων κιθαρῳδικῶν βίβλους ὀκτωκαίδεκα

1. *Στρυμώνιον χαλεῖτο* R. forsan igitur *Στρυμών καλεῖται*, ut Mieza in ea parte Macedoniae sita esse dicatur, quae Strymon vocetur, quemadmodum in sequentibus eadem urbs dicitur *τόπος Στρυμόνος*. a Stephano autem ista scribi non potuerunt, siquidem Strymon medio demum aevo provincia illa dici coepta est. v. Tafelii Epist. crit. p. 34. 3. *Βέροιαν* RV, *Βέρροιαν* A. 4. *Ὄλκιμον* BH. *ἀφ᾽ ὧν?* *ἐπώνυμος* e corr. R, *ὁμώνυμος* AV. cf. Scymn. Per. p. 30 et 62. *Βέροια* RV, *Βερόη* A. 5. *Μιεζαιεύς* R. 6. *καθὰ Λούκιος* X, *καθαλούμιος* RV, *καθαλούσιος* A. 8. *Ἀσίᾳ* om. V. *συμποσιακοῖς* R, *συμποσιακῶν* V, *συμποσιακῷ* A. 9. *Λελεγίς* Eust. ad Dion. 823. *Λελέγων* om. V. 9. 10. *Πιτύουσα* RV, *Πιτύουσσα* A. 11. *οἱ γὰρ* om. RV. tum *ἐν Μιλήτῳ οἰκοῦντες* supplet B, *Ἴωνες* vel *Ἀθηναῖοι* H. quidni *Μιλήσιοι?* *θεσμοφορίοις* Spanhemius, *θεσμοφόροις* libri. 12. post *στιβάδα* lacunam V. *κλῶνον* Spanhemius. 13. *τίθεσθαι* cum lacuna R; *τίθες* V, *ἐτίθεσαν* A. excidit fort. *νομίζουσιν*. *διὰ τὸ ἁγνεύειν τῆς?* 14. *Ἀνάκτορος τοῦ* R, *Ἀνακτοῦ* A, *ἄνα τοῦ* V, *Ἄνακτος τοῦ* Bochartus ductu Eustathii ad Hom. p. 21, 23. cf. Pausan. 1, 35, 6 et 7, 2, 5. 15. *Ἐξαμύου* Dindorfius, *Ἐξαμίου* X, *ἐξαμοίου* PpRV, *ἐξ ἀμοίου* A. 17. *νόμον* (*μόνον* V) *κιθαρῳδικὸν* RV.

εἰς ἐπῶν ὀκτακισχιλίων τὸν ἀριθμόν, καὶ προνόμια ἄλλων χίλια. θνήσκει δ' ἐν Μακεδονίᾳ. ἐπιγέγραπται δ' αὐτῷ τόδε

Πάτρα Μίλητος τίκτει Μούσαισι ποθεινὸν
Τιμόθεον κιθάρας δεξιὸν ἡνίοχον.

[ἔστι καὶ Κρητικὴ πόλις Μίλητος. λέγεται δὲ καὶ τὴν Καλυψοῦς νῆσον Μίλητον κληθῆναί ποτε.]

Μιλητούπολις, πόλις μεταξὺ Κυζίκου καὶ Βιθυνίας περὶ τὸν Ῥύνδακα. ἔστι καὶ ἄλλη ἐν Περσίδι. ὁ πολίτης Μιλητοπολίτης καὶ τὸ θηλυκὸν ἡ Μιλητοπολῖτις. Στράβων δωδεκάτῃ.

Μίλκωρος, Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. ὁ πολίτης Μιλκώριος. Θεόπομπος κε' Φιλιππικῶν.

Μιλύαι, οἱ πρότερον Σόλυμοι, ὡς Τιμαγένης πρώτῳ βασιλέων. καὶ ἡ χώρα Μιλυάς ὡς Μινυάς. λέγονται καὶ Μίλυες. ἀπὸ Μιλύης τῆς γυναικὸς Σολύμου καὶ ἀδελφῆς, ὕστερον δὲ Κράγου γυναικός. τὸ ἐθνικὸν Μιλυεύς καὶ Μιλυίτης.

Μιλωνία, πόλις Σαυνιτῶν ἐπιφανεστάτη. Διονύσιος ιζ'. τὸ ἐθνικὸν Μιλωνιάτης.

Μίμακες, ἔθνος Λιβυκόν. Φίλιστος Σικελικῶν ὀγδόῳ.

Μιμνιδός, πόλις Λυδῶν. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Μιμνίδιος, ὡς τῆς Λυχνιδός Λυχνίδιος.

Μιναῖοι, ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

---

1. εἴς τε ἐπῶν R. ἀριθμιῶν R. 1. 2. ἄλλων μ PrRV, ἄλλων χιλίων Salmasius, αὐλῶν χίλια Meursius, an [εἰς] ἄλλων χιλίων? 2. δὲ αὐτῷ R. epigramma quod subicit cum aliis quibusdam ex Stephano apposuit Eustath. ad Hom. p. 313, 12 et ad Dion. 823. 5. 6. ἔστι καὶ Κρητικὴ — κληθῆναί ποτε ex Eustathio l. l. add. M. 8. παρὰ R. Ῥύνδακα M, Πύνδακα APrV, Πίνδακα R, Ῥύνδακον X. vide ad Ῥύνδακος. 9. Μιλήτου πολῖτις V. 10. δωδεκάτῃ] p. 575. 13. οἱ BH, αἱ libri. 17. Μιλωΐα R. πόλις om. R. 19. Μίμακες M, Μίμαλκες R, Μίμαλκες AV. Μίμακες dicuntur Ptolem. 4, 3, 26. 6, 20. et Anonymo Geogr. Ms. apud H. Φιλίστιος R. 20. Μιμνιδός et mox Μιμνίδιος V, Μιμνηδός et Μιμνήδιος AR. 21. Λυχνιδός] Λυχνίδος libri, ut s. v. Λυχνιδός. 22. Μιναῖοι B, ut est s. v. Κάρνανα. libri Μινναῖοι. παραλίᾳ ἀπὸ Ἐρυθρᾶς RV.

Μινύα, πόλις Θετταλίας. ἡ πρότερον *Ἀλμωνία*, ἀπὸ Μινυοῦ κληθεῖσα, ἀφ' ἧς ἡ Μινύα καὶ Μινύειον καὶ Μινυηίς καὶ Μινυήιος. ἔστι καὶ ἑτέρα Φρυγίας ἐν τοῖς ὁρίοις Λυδίας. τὸ ἐθνικὸν Μινύαι.

Μίνῳα, [πόλις] ἐν Ἀμοργῷ τῇ νήσῳ, μιᾷ τῶν Κυκλάδων. δευτέρα πόλις Σικελίας. τρίτη ἐν Σίφνῳ, μιᾷ τῶν Κυκλάδων. ἔχει δὲ καὶ Μίνῳαν κρήνην. ἐκαλεῖτο καὶ ἡ Γάζα Μίνῳα. ἔστι καὶ Ἀραβίας, ἧς οἱ πολῖται Μινωῖται, ἀπὸ Μίνωος. ἔστι καὶ Κρήτης. ἔστι καὶ ἄλλη νῆσος οὐ πόρρω Μεγάρων. καὶ ἡ Πάρος Μίνῳα. οἱ πολῖται Μινῷαι.

Μίσγητες, ἔθνος Ἰβήρων. Ἑκαταῖος Εὐρώπῃ.

Μισγομεναί, πόλις Θετταλίας. Ἑλλάνικος πρώτῳ Δευκαλιωνείας. τὸ ἐθνικὸν Μισγομένιος ὡς Κλαζομένιος.

Μισητός, πόλις Μακεδονίας. Θεαγένης Μακεδονικοῖς. τὸ ἐθνικὸν Μισήτιος ὡς Βηρύτιος.

Μίσκερα, πόλις Σικανίας. Θεόπομπος τεσσαρακοστῷ δευτέρῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Μισκερεύς ὡς Μεγαρεύς.

Μίσπιλα, πόλις Μήδων. Ξενοφῶν τρίτῳ ἀναβάσεως. τὸ ἐθνικὸν Μισπιλάτης.

---

1. 2. *ἀπὸ Μινυοῦ κληθεῖσα* (*κληθείσης* V), quae libri post *ἡ Μινύα* habent, huc transposuit Müllerus Orchom. p. 249. 2. *ἡ Μινυάς* Müllerus. *Μινύηον* pro *Μινύειον* R, *Μινύειος* B. 3. *Μινυηός* pro *Μινυήιος* R. *ὁρίοις* R, *ῥίοις* AV. *Λυκίας*? Minyae in Lycia memorantur ex antiquis scriptoribus ab Eustath. ad Hom. p. 635, 39. qui quidem non diversi sunt a Milyis. hinc *Λέλεγες καὶ Μινύαι* coniunguntur apud Plutarch. Quaest. gr. p. 202 b. (ubi *Μιλύαι* scribi voluit Palmerius Exerc. p. 216.) fortasse etiam apud Athen. 15 p. 672 b. ubi pro *Νυμφῶν* scrib. *Μινυῶν*. 4. *ἔστι καί* punctis subditis ante *τὸ ἐθνικὸν* add. R. 5. *Μίνωα* A, om. RV. *πόλις* add. B. *ἐν* om. RV. *μόργῳ* R. *μία* libri. 6. *πόλις Σικελίας* indicata lacuna om. R. *μία* libri. 7. *ἔχει δὲ Μίνωαν κρήνην* P^r, *ἔχει δὲ καὶ .... κρήνην* R, *ἔχει δὲ μι.. κρήνην* AV, *ἔχει δὲ Μιν[ώαν καλουμένην] κρήνην* B. *Μίνωα* R, *Μινώα* A. 8. *ἧς* om. R. 9. *ἔστι καὶ Κρήτης* add. *H*RV. 10. *οἱ πολῖται Μινῶαι* (*Μινῷοι*?) AV, *ἡ πόλις Μινῶα* R. an igitur *ἡ πολῖτις Μινῴα*? 12. *Θεσσαλίας* R. 12. 13. *Δευκαλιωνίας* R. 17. *δευτέρῳ* sive potius *β'* RV, *ἐννάτῳ* A. 18. *ἀναβάσεως γ' Ξενοφῶν* R. *τρίτῳ*] c. 4, 6 ubi *Μέσπιλα*.

Μόκαρσος, Θρᾴκης χωρίον. Θεόπομπος πρώτῳ τῶν Φιλιππικῶν. τὸ ἐθνικὸν Μοκάρσιος.

Μόκατα, πόλις Βιθυνίας, ὡς Δομέτιος Καλλίστρατος ἐν τῷ περὶ Ἡρακλείας τετάρτῳ. τὸ ἐθνικὸν Μοκατηνός.

Μόκλη, κώμη Φρυγίας. οἱ οἰκήτορες Μοκληνοί.

Μολορχία, πόλις Νεμέας, ἀπὸ Μολόρχου τοῦ ξενίσαντος Ἡρακλέα ἀπιόντα ἐπὶ τὸν ἀγῶνα. τὸ ἐθνικὸν Μολορχίτης.

Μολοσσία, ἡ χώρα τῆς Ἠπείρου. ὁ οἰκήτωρ Μολοσσός. καὶ θηλυκὸν Μολοσσίς καὶ τὰ Μολοσσά οὐδετέρως, καὶ Μολοτοί δι' ἑνὸς τ̄. Μολοτός ὁ τόπος. τὸ κτητικὸν Μολοττικός.

Μολυβδίνη, πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπῃ.

Μολυκρία, πόλις Αἰτωλίας. Στράβων δεκάτῃ. Θουκυδίδης δευτέρᾳ *Μολύκρειον* αὐτὴν καλεῖ, Εὐφορίων δὲ *Μολυκρίαν* αὐτήν φησι. τὸ ἐθνικὸν Μολύκριος καὶ θηλυκῶς καὶ οὐδετέρως. καὶ Μολύκρισσα καὶ Μολυκριάς. λέγεται καὶ Μολυκριεύς. Ἀρκάδιος δὲ Μολυκραίους φησί.

Μολύνδεια, πόλις Λυκίας, ἀπὸ Μολυνδαίου. Ἀλέξανδρος ἐν τῷ περὶ Λυκίας πρώτῳ. τὸ ἐθνικὸν Μολυνδεύς.

---

1. *Μόκαρος* R. *τῶν* add. V. 2. *Μοκάρσιος* B, *Μοκαρσός* A, *Μοκαρσιεύς* RV. an *Μοκαρσεύς*? 3. *Μόκαρτα* R. *Δομέτιος* M, *Δομαίτιος* R, *δ' ἀμάτιος* V, *Δομίτιος* A. 5. *Μόκλη* R, *Μόκκλη* APrV. *οἱ οἰκοῦντες* R. *Μοχληνοί* R, *Μοκκληνοί* AV. 6. *Μολορκία* et mox *Μολύρκου* et *Μολορκίτης* ante B. *Νεμαίας* R. 8. *Μολοσσία* R, *Μολοσία* AV. 9. *Μολοσίς* RV. *τὰ* add. RV. *Μολοσσά* V, *Μόλοσα* (σ supra) R, *Μόλοσα* A. cf. Aeschyl. Prom. 831. 9. 10. *καὶ* [*Μολοττοί καὶ*] *Μολοτοί δι' ἑνὸς τ̄*? 10. *Μολωτός* RV, an *Μολοττός*? *Μολοττικός* V, *Μολοτικός* AR. 11. *Μολυβδίνη* M, *Μολυβδάνα* (η supra) R, *Μολυβδάνα* AV. cf. Herodianus apud Cram. AO. vol. 3 p. 291: *Μολυβδίνη· ἔστι δὲ πόλις*. 12. *Μολύκρεια* B. *δεκάτῃ*] p. 460. ubi *Μολυκρεία* cod. D, *Μολύκρια* ceteri. 13. *β'* add. R. legitur cap. 84. *Μολύκριον* R. 13. 14. *Μολυκρίαν*] Si recte supra legitur *Μολυκρία*, hic aut *Μολύκρειαν* aut *Μολυκρίδα* legendum. 15. *Μολύκρισσα* M, *Μολικρίσα* R, *Μολυκρίσαι* APpV, *Μολυκρῖται* X, *Μολυκρεῖς* LDindorfius. *καὶ* post *λέγεται* om. V. 16. *ὀλυκριεύς* (μ supra) R. vid. s. v. *Ὀλύκραι*. 16. *Μιλυκραίους* RV. 17. *Μολύνδια* R. *ἀπὸ Μολυνδαῖος* RV. an igitur *ἀπὸ Μολυνδέως*? a quo recte formatur *Μολύνδεια*, ut

Μοναβαί, πόλις Ἰσαυρίας. Καπίτων ἐν Ἰσαυρικοῖς .... τὸ ἐθνικὸν Μοναβάτης.

Μονόγισα, [πόλις Καρίας, ὅθεν] Ἄρτεμις Μονογισηνή. ἵδρυμα Δαιδάλου μετρῶν ... γίσσα γὰρ τῇ Καρῶν φωνῇ λίθος ἑρμηνεύεται. καὶ νῦν τοὺς πλακώδεις καὶ μαλακώδεις λίθους γίσσα λέγουσι.

Μόνοικος, πόλις Λιγυστική. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Μονοίκιος.

Μοργέντιον, πόλις Ἰταλίας, ἀπὸ Μοργήτων. λέγεται καὶ *Μοργεντία*. τὸ ἐθνικὸν Μοργεντῖνος καὶ Μοργήτης λέγεται.

Μόργυνα, πόλις Σικελῶν. Φίλιστος δευτέρῳ. τὸ ἐθνικὸν Μοργυναῖος.

Μοσσύνοικοι, ἔθνος, περὶ οὗ Εὔδοξος ἐν πρώτῳ γῆς περιόδου. τὸ κτητικὸν Μοσσυνοικικός.

Ζοίτεια ἀπὸ Ζοιτέως (Steph.) et alia plurima, non item a Μολυνδαῖος. 1. Μοναβάς V. ἐν om. R, qui post Ἰσαυρικοῖς (ἰσμ... V) lacunam indicat. 2. Μοναβαΐτης? 3. Μονόγισσα R, Μονόγισσα AV. πόλις Καρίας ὅθεν add. B, libri lacunam indicant. Μονογισηνή RV, Μονογισσηνή A. 4. μετρῶν ... Pp, μετρ.. ΠV, με... A, lacuna indicata om. R. forsan πέτρων [ᾠκοδομημένον]. 5. καὶ νῦν V, νῦν δὲ A, νυν vel νες incerto ductu et quattuor literarum ante hoc lacuna indicata R. fort. [Ἕλλη]νες. 6. γίσσα AV, γίσσα R. an γῖσα? λέγουσι R, λεγ' V, λέγομεν A. 7. πόλις γυστική R. 8. Μονοίκιοι R, μονοικι V. 10. Μοργήτης Cluverus, Μοργίτης libri. malim Μοργεντίτης vel Μόργητες. 13. Μοσσύνοικοι BH, Μοσύνοικοι libri. πρώτῳ] ᾱ V, α̂ R. recte legitur α', siquidem Eudoxus primo operis amplissimi libro de Armenia (Steph.) de Scythis (Clem. Alex. Protr. p. 19 Sylb.) de Sauromatis et Tanaide (Steph.) de Chalybibus (Steph.) de Massagetis (Sext. Emp. Pyrrh. 1, 152 et Diog. Laert. 9, 83) de Phoenicibus (Athen. 8 p. 392 d.) ceterisque Asiae populis egerat, quarto autem libro superiorem Europae partem complexus est. 14. Μοσυνοικηκός P[r], συνοικικός V, Μοσυνοικός R. an Μοσσυνικός? quod a Μόσσυνος formatum est habetque Aristoph. fr. 409: Μοσσυνικὰ μαζονομεῖα, et Aristot. Mirab. ausc. 63: τὸν Μοσσύνοικον (leg. Μοσσυνικὸν) χαλκόν, cui idem restituendum suspicor cap. 49. ubi nunc editur: σιδήρου τοῦ Χαλυβικοῦ καὶ Μισικοῦ.

Μόσυλον, ἀκρωτήριον καὶ ἐμπόριον Αἰθιοπίας. Μαρκιανὸς ἐν πρώτῳ περιόδου.

Μόσχοι, Κόλχων ἔθνος προσεχὲς τοῖς Ματιηνοῖς. Ἑκαταῖος Ἀσίᾳ.

Μοτιηνή, χωρίον Ἰβηρίας, ἄποικος Ῥωμαίων. Πολύβιος τρίτῳ. Φλέγων δὲ *Μουτίνην* αὐτήν φησι. τὸ ἐθνικὸν Μοτιναῖος.

Μοτύη, πόλις Σικελίας, ἀπὸ Μοτύης γυναικὸς μηνυσάσης Ἡρακλεῖ τοὺς ἐλάσαντας τοὺς αὐτοῦ βοῦς. Ἑκαταῖος Εὐρώπῃ. Φίλιστος δὲ φρούριον αὐτήν φησι Σικελίας παραθαλάττιον. τὸ ἐθνικὸν Μοτυαῖος.

Μοτύλαι, Σικελίας φρούριον παρὰ τὴν Μοτύην. Φίλιστος Σικελικῶν πέμπτῳ. τὸ ἐθνικὸν Μοτυλαῖος.

Μουκισσός, πόλις Καππαδοκίας δευτέρας. Καπίτων Ἰσαυρικῶν ἕκτῳ.

Μούμαστος, ὡς Βούβαστος, πόλις Καρίας. Ἀλέξανδρος δευτέρῳ Καρικῶν. ὁ πολίτης Μουμαστίτης.

---

2. *περιόδῳ* V. 5. *Μοτιηνή* RV, *Μοτιηνοί* A. fort. *Μοτίνη* et *Ἰταλίας* pro *Ἰβηρίας*. Polybius enim, quem antestatur, de Mutina loquitur 3, 40, 8: *τοὺς φεύγοντας συνδιώξαντες εἰς Μοτίνην ἀποικίαν ὑπάρχουσαν Ῥωμαίων ἐπολιόρκουν*. probabilius tamen est hic quoque, quod centies factum est in libris Stephani, accidisse ut *ὁμοιοτέλευτον* causa corruptelae exstiterit. scripsisse videtur ethnicographus: *Μοτιηνή, χωρίον Ἰβηρίας*. [*Μοτίνη, πόλις Ἰταλίας*,] *ἄποικος Ῥωμαίων*. cui coniecturae etiam reliqua lectionis varietas fidem facit. *ἄποικος* R, *ἄποικον* AV. 6. *Μουτίνην* M, *Μοτινήν* R, *Μουτιηνήν* V, *Μουτιηνόν* A. 7. *Μοτιναῖος* M, *Μοτιηναῖος* R, *Μοτιηναῖος* V, *Μοτιηνός* A. 11. *Μοτυαῖος* Cluverus, *Μοττυσαῖος* R, *Μοτυσαῖος* AV. 12. *Μοτύλαι*] *Μόττον* Valguarnera. *παρὰ* RV, *περὶ* A. 16. *Μούμαστος ὡς Βούβαστος* B, *Μούμαστις ὡς Βούβαστις* libri. codicis, opinor, vitio finxit urbem Mumastum, quae non diversa fuit a Bubasto, Cariae oppido celeberrimo, quod *Βύβαστος* dicitur Ephoro fr. 88 et Parthenio Erot. 1 p. 298, 18. *Βυβασσός* Herodoto 1, 174: *χερσονήσου τῆς Βυβασσίης*, denique Bubasus Ovidio Metam. 9, 642: Byblida non aliter latos ululasse per agros Bubasides videre nurus. eadem forma ex optimo libro restituenda Plinio NH. 5, 28. ubi vulgo Bubassus

Μουνυχία, λιμὴν Ἀττικῆς, ἀπὸ Μονύχου. καὶ ἱερὸν Μουνυχίας Ἀρτέμιδος. ὁ οἰκήτωρ Μουνύχιος καὶ Μουνυχιάς. τὰ τοπικὰ Μουνυχίαθεν καὶ Μουνυχίαζε καὶ Μουνυχίασιν. οὗ τὴν εἰς τόπον σχέσιν Θουκυδίδης ἢ „τῶν Μουνυχίασι τεταγμένων ἄρχων".

Μοῦρσα, πόλις Παιονίας, κτίσμα Ἀδριανοῦ. τὸ ἐθνικὸν Μουρσαῖος, ὡς Παρθένιος Φωκαεύς. λέγεται καὶ *Μούρσιον*.

Μούσειον, τόπος περὶ τὸν Ὄλυμπον τὸν ἐν Μακεδονίᾳ. Πολύβιος τριακοστῷ ἑβδόμῳ. τὸ τοπικὸν ἀναλόγως Μουσειεύς, ὡς Σιγειεύς.

Μόψιον, πόλις τῆς Πελασγιώτιδος, χώρας Θεσσαλίας. Στράβων ἐνάτῃ „ἄλλος δέ ἐστι Μόψος, ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία". τὸ ἐθνικὸν Μόψιος.

Μοψοπία, ἡ Ἀττική, ἀπὸ Μόψοπος. Καλλίμαχος. ἄρρητος ἡ Μόψοψ εὐθεῖα. ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ. καὶ Μοψοπιεύς. Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν α' Λέσχῃ Μοψοπίτης φησί, καὶ ἔδει Μοψοπιώτης. ἴσως δὲ καθ' ὕφεσιν τοῦ ω̄. τὸ θηλυκὸν Μοψοπίς.

---

legitur. aliam transformationem eiusdem nomen urbis subiisse suspicor apud nostrum s. v. *Κυβασσός· πόλις Καρίας, ὡς Καβασσός*, quod item ex *Βυβασσός* corruptum videtur. 17. *βουβαστίτης* R. fortasse *Μουμαστίτης* [*ὡς Βουβαστίτης*]. 1. *Μουνύχου* X. Monychus seu Munychus heros, quem Munychiae nomen dedisse ferunt, a pluribus memoratus, commenticius est. Munychia, quae et *Μωνυχία* dicta, a similitudine ungulae quadrupedum bestiarum nomen traxit. 2. *οἰκητὴς* V. 3. *Μουνυχιᾶσι* RV, *Μουνυχιάσι* A. 3-5. *οὗ τὴν — ἄρχων* add. V. cf. in *Μωνυχία*. 4. *ἢ*] c. 92. 6. *Παιονίας* RV, *Ἰωνίας* A. cf. Wesseling. ad Anton. p. 131. 8. *Μούσσειον* R. 9. *Πολύβιος* δζ̄ R. 11. *Πελασγιώτιδος* X, *Πελασγίτιδος* libri. *χώρας* om. RV. 12. *ἐνάτῃ*] p. 443: *Μόψιον δ' ὠνόμασται οὐκ ἀπὸ Μόψου τοῦ Μαντοῦς τῆς Τειρεσίου, ἀλλ' ἀπὸ τοῦ Λαπίθου τοῦ συμπλεύσαντος τοῖς Ἀργοναύταις· ἄλλος δ' ἐστὶ Μόψος, ἀφ' οὗ ἡ Ἀττικὴ Μοψοπία*. haec sine dubio integra apposuerat Stephanus. 12. 13. *ἡ Ἀττικὴ Μοψοπία* Strabo, *οἱ Ἀττικοὶ Μοψοπίαι* (*Μοψοπίαν* V) ARV. 15. *ἡ* B, *ἢ* libri. *Μόψοψ εὐθεῖα* M, *μοψεῦ* R, *Μόψοψ* AV. 16. *δ'* add. *Π*. 17. *ἀλέχῃ Μοψοπίτης* RV, *πρώτῳ ... Μοψοπίτης* A. correxi Anall. Alex. p. 381. 18. *Μοψωπίς* R.

Μόψου ἑστία, [πόλις] Κιλικίας ἐπὶ τῷ Πυράμῳ ποταμῷ, ἀπὸ Μόψου τοῦ μάντεως. ὁ πολίτης Μοψεάτης, κατὰ παραγωγὴν μιᾶς τῶν λέξεων. ἀφ' οὗ ὁ γραμματικὸς Ἡρακλείδης ὁ Μοψεάτης.

Μυγδονία, μοῖρα Μακεδονίας. καὶ ἑτέρα Φρυγίας τῆς μεγάλης. ἀπὸ Μυγδόνος. τινὲς δὲ Μαιδοὺς αὐτούς φασι. τὸ κτητικὸν Μυγδονικός καὶ θηλυκῶς καὶ οὐδετέρως. λέγεται καὶ Μυγδόνιος καὶ Μυγδονία. ἐλέγετο καὶ Μυχθονία.

Μυγισσός, πόλις Καρίας. Ἑκαταῖος τετάρτῃ γενεαλογιῶν. τὸ ἐθνικὸν Μυγίσσιος καὶ Μυγισσία Ἀθηνᾶ καὶ Μυγισσίς.

Μύης Μύητος, ὡς Φάγρης Φάγρητος, πόλις Ἰωνική. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Μυήσιος ὡς Φαγρήσιος.

Μυκάλη, πόλις Καρίας. Ἡρόδοτος πρώτῃ. τὸ ἐθνικὸν Μυκαλήσιος ὡς Ἰθακήσιος. Τρύφων δὲ Μυκαλεύς φησιν ἐν παρωνύμοις. λέγεται καὶ θηλυκῶς Μυκαλησίς, ὡς Σώστρατος ὁ Φαναγορείτης. Δίδυμος δ' ὄρος τὴν Μυκάλην φησίν. ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπὶ τόκῳ μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ *Μυχάλην* αὐτήν φασιν, ἐπεὶ

---

1. *πόλις* add. B. 2. *Μοψεάτης*] Hoc ad *Μόψεια* revocandum. 4. *ὁ Μοψεάτης* om. V. 5. *Μυρδονία* R. 6. *Μαιδοὺς* Salmasius, *Μάρδους* libri. 6. 7. *τὸ ἐθνικὸν* W. an [*τὸ ἐθνικὸν Μυγδών*,] *τὸ κτητικὸν Μυγδονικός*? de *Μυγδών* cf. Strabo 7 p. 295. 7. *Μιρδονικός* R. 8. *Μιρδόνιος* R. 9. *Μυγισσός* R, *Μυγιασοι* V, *Μύγισοι* A. 10. *Μυγίσιος* libri. *Μυγισσία* R, *Μυγισία* AV. *Μυγισσίς* M, *Μυγισαΐς* A, *Μυσαγηίς* RV. 11. *Μύης*] Memoratur in Catal. trib. 4. 7. 10. 13. 43. 52. 57. 76. 139. eandem esse quae reliquis dicitur *Μυοῦς* recte statuit Boeckhius. *Φάγρης Φάγρητος* B, *Φάγης Φάγητος* R, *Φράγρης Φράγρητος* V. 12. *Φαγρήσιος* B, *Φραγρήσιος* et *Φραγήσιος* libri. 13. *πρώτῃ* (c. 148) BH, *ϛ'* vel *ἕκτῃ* libri. 14. *ὡς* om. RV. 15. *θηλυκὸν* R. 16. *Φαναγορίτης* libri. 17. *ἐπιτοκῶντο* R, *ἐπιτόκῳ* V, *ἐπὶ τόπῳ* B, *ἐπὶ τῷ τόπῳ* H. forsan *ἐπ' οἴκτῳ* cll. Plutarcho de Flum. p. 36. Huds. ubi de eadem re: *διὰ τὴν συμπάθειαν*. cf. Eustathius ad Hom. p. 368, 26: *ἡ Μυκάλη αὕτη (ἐκλήθη) κατὰ τὸν ἐθνολόγον ἐπεὶ αἱ Γοργόνες ἐπὶ τοῦ ὄρους τούτου μυκώμεναι τὴν κεφαλὴν ἀνεκαλοῦντο*. adde ib. 268, 22. ad rem cf. Etymol. M. p. 594, 1. ad Boeoticam Mycalessum eadem rettulit Nonn. 13, 78.

ἐν μυχῷ κεῖται τῆς Καρικῆς ἁλός. ἔστιν οὖν ἡ Μυκάλη καὶ πόλις καὶ ὄρος.

Μυκαλησσός, πόλις μεσογεία Βοιωτίας. Θουκυδίδης ἑβδόμῃ. ἐκλήθη δὲ ὅτι ἡ βοῦς ἐνταῦθα ἐμυκήσατο ἡ τὸν Κάδμον καὶ τὸν σὺν αὐτῷ στρατὸν ἀγαγοῦσα εἰς Θήβας. ἔστι καὶ ἄλλη Καρίας, ὡς Ἔφορος τρίτῳ. τὸ ἐθνικὸν Μυκαλήσσιος καὶ Μυκαλησσία. ἔστι καὶ ὄρος Μυκαλησσός ἐναντίον Σάμου. καὶ Μυκαλησσίς τὸ θηλυκόν.

Μυκῆναι, πόλις Πελοποννήσου. Ὅμηρος „οἳ δὲ Μυκήνας εἶχον". ἀπὸ Μυκηνέως τοῦ Σπάρτωνος τοῦ Φορωνέως ἀδελφοῦ· ἢ ἀπὸ μύκητος τοῦ ξίφους ὃ ἐφόρει Περσεύς, οὗ πεσόντος κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἔκτισεν· ἢ ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰὼ βοῦν ἐκεῖ γενομένην. ὁ πολίτης Μυκηναῖος καὶ θηλυκὸν Μυκηνίς. καὶ Μυκηνεύς.

Μύκοι, ἔθνος [Περσίδος], περὶ οὗ Ἑκαταῖος ἐν Ἀσίᾳ „ἐκ Μύκων ἐς Ἀράξην ποταμόν".

Μύκονος, μία τῶν Κυκλάδων, ἀπὸ Μυκόνου τοῦ Ἀνίου τοῦ Καρυστοῦ καὶ Ῥοιοῦς τῆς Ζάρηκος. Θουκυδίδης τρίτῃ. καὶ Στράβων δεκάτῃ „Μύκονος δ' ἐστίν, ὑφ' ᾗ μυθεύουσι κεῖσθαι τῶν Γιγάντων τοὺς ὑγιεινοτάτους ὑφ' Ἡρακλέους

---

1. *ἐν* om. V. 3. [*ἐν*] *μεσογείᾳ?* 4. *ἑβδόμῃ*] c. 29. 6. *ἄλλη Καρίας*] Mycalen dicit. 6. 7. *Μυκαλήσιος* ante W. 7. *Μυκαλησσός*] Mycalen dicit. 9. *Ὅμηρος*] Il. 2, 569. 10. *ἀπὸ* [*Μυκήνης νύμφης Λακωνικῆς, ἢ ἀπὸ*] *Μυκηνέως?* ita Eustath. ad Hom. p. 289, 49. *Μυκηνέως* PpV, *Μυκηναίου* AR. *Σπάρτωνος* [*τοῦ Φηγέως*] *τοῦ Φορωνέως* Politus cll. schol. Eurip. Or. 1239. sed v. Paus. 2, 16, 4. 11. *μύκητος* RV, *μητὸς* A. 14. *καὶ Μυκηνεύς καὶ θηλυκὸν Μυκηνίς?* 15. *Μυκοί* vulgo; recte *Μύκοι* scribitur apud Herod. 3, 93. cf. Epimer. Hom. p. 223, 16. *Περσίδος* om. libri. 16. *ἐς* R, *εἰς* AV. *Ἀράξην ποταμόν* R et Salmasius, *Ἀράξινόν ποτε* AV. 17. *Αἰνείου* ARV, *Αἰνίου* Pp, *Ἀνίου* Galeus ad Parthen. c. 1. qui cetera ita scribit: *τοῦ τῆς Ῥοιοῦς καὶ Ζάρηκος τοῦ Καρύστου.* cf. Wesseling. ad Diod. Sic. vol. 1 p. 380. 18. *Ῥυοῦς* libri. *Ζάρηκος* X, *Ζάρικος* AV, *Βάρυκος* R. *τρίτῃ*] c. 29. 19. *δεκάτῃ* (p. 487) ΠRV, *τρίτῃ* A. *ὑφ' ᾗ* V, *ἐφ' ᾗ* AR. *μυθεύουσι* Strabo, *μυθεύονται* libri. 20. *ὑστάτους* Strabonis libri.

καταλυθέντας, ἀφ' ὧν ἡ παροιμία „πάντα ὑπὸ μίαν Μύκονον" ἐπὶ τῶν ὑπὸ μίαν γραφὴν ἀγόντων τὰ διῃρημένα τῇ φύσει. καὶ τοὺς φαλακροὺς δέ τινες Μυκονίους καλοῦσιν ἀπὸ τοῦ τὸ πάθος τοῦτο ἐπιχωριάζειν τῇ νήσῳ". ὁ νησιώτης Μυκόνιος.

Μυλαί, πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπῃ. ὁ πολίτης Μυλαΐτης, ὡς τῶν Θηβῶν Θηβαΐτης, Ἀθῆναι Ἀθηναΐτης. εἰσὶ γὰρ οἳ οὕτω λέγονται. καὶ τὸ θηλυκὸν Μυλαΐτις. εἰσὶ δὲ Μυλαὶ καὶ Θετταλίας, ἧς τὸ ἐθνικὸν Μυλαῖος.

Μύλακες, ἔθνος Ἠπειρωτικόν. Λυκόφρων „Κρᾶθις δὲ γείτων ἠδὲ Μυλάκων ὄρος".

Μυλαντία, ἄκρα ἐν Καμίρῳ τῆς Ῥόδου. Μυλάντειοι θεοί. ἀπὸ Μύλαντος ἀμφότερα, τοῦ καὶ πρώτου εὑρόντος ἐν τῷ βίῳ τὴν τοῦ μύλου χρῆσιν.

Μύλασα, πόλις Καρίας, ἀπὸ Μυλάσου τοῦ Χρυσάορος τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου. λέγεται καὶ Μύλασος, ὡς Αἰσχύλος ἐν Καρσὶν ἢ Εὐρώπῃ. τὸ ἐθνικὸν Μυλασεύς. οὕτως γὰρ ἀναγράφουσι πολλοί, ὡς Μένανδρος Καταψευδομένῳ.

Μύλιοι, ἔθνος Φρυγίας. Ἑκαταῖος Ἀσίᾳ.

---

1. 2. *Μύκονον* Strabo, *Μύκον* libri. 2. *ἀγόντων* Strabo, *αγαγόντων* R, *ἀγαγόντων* AV. *διῃρημένα* apud Strabonem, quod ex nostro corrigendum videtur. 8. *λέγονται* RV, *λέγουσι* A. vide supra ad p. 34, 22. 10. *Μύλακος* V. *Λυκόφρων*] vs. 1021. *Κράθης* AR, *Κρήθης* V. 11. *ὄρος*] Apud Lycophronem *ὅροις*. 12. *Καμίρῳ* Salmasius, *Κανήρῳ* A, *Κ..αήρω* V, *Κα..ήρῳ* V. *τῆς Ῥόδου* om. R. *Μυλάντειοι* Dindorfius, *Μυλάντιοι* libri. 13. *θεοὶ [ἐπιμύλιοι]* Meursius. *Μύλαντος*] Vide Lobeck. Aglaoph. p. 1194. *ἀμφότεροι* R. 15. *Μυλάστου* RV. 16. *Μύλασος* R, *Μύλας* AV. 17. *Καρσὶν ἢ Εὐρώπῃ* X, *Καρσίνη Εὐρώπῃ* R, *Καρσίνῃ Εὐρώ..* A. *Μυλασεύς*] Plutarch. Qu. gr. p. 302 a: *ἦλθεν Ἄρσηλις ἐκ Μυλέων ἐπίκουρος τῷ Γύγῃ.* nonne *Μυλασέων*? 18. 19. *κατὰ ψευδομένων* A, *Καταψευδομένων* RV, *Καταψευδομένοις* B. 20. *Μύλιοι* R, *Μύλισιν* AV, *Μυλιεῖς* H, *Μυλισηνοί* B. an *Μυλίαι* i. e. *Μιλύαι*?

Μύλων, πόλις Αἰγύπτου. Ἑκαταῖος. ὁ πολίτης Μυλοπολίτης.

Μύνδος, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. ἔστι καὶ πόλις Καρίας ἄλλη *Παλαιάμυνδος*. ἧς τὸ ἐθνικὸν Μύνδιος καὶ Μυνδία. Ἀπολλώνιος καὶ Ζήνων Μύνδιοι γραμματικοί.

Μύνδωνες, ἔθνος Λιβύης. Ἔφορος εἰκοστῷ ὀγδόῳ „Μύνδωνες οἵπερ εὐγνωμόνατοι δοκοῦσιν εἶναι πλουσιώτατοι τὸν βίον".

Μυονία, πόλις Φωκίδος. Παυσανίας ι'. οἱ πολῖται Μύονες. Θουκυδίδης Μυονέας αὐτούς φησι.

Μυόννησος, πόλις μεταξὺ Τέω καὶ Λεβέδου. Ἑκαταῖος Ἀσίᾳ. Ἀρτεμίδωρος δὲ χωρίον αὐτήν φησι. ὁ νησιώτης Μυοννήσιος.

Μυοῦς, πόλις Ἰωνίας, ὡς Φίλων καὶ Ἀπολλόδωρος ἐν α' χρονικῶν. Στράβων ιβ' „τὸ περὶ Μαγνησίαν καὶ Μυοῦντα". τὸ ἐθνικὸν Μυούσιος.

Μύρα, πόλις Λυκίας, ἀπὸ μύρων ἢ ἀπὸ Μύρωνος ἢ ἀπὸ Μύρου ποταμοῦ παραρρέοντος. ἄμεινον δὲ τὸ πρῶτον. λέγεται καὶ θηλυκῶς καὶ οὐδετέρως. τὸ ἐθνικὸν Μυρεύς.

---

1. *Μύλων* [πόλις], πόλις Αἰγύπτου? *Μύλων* enim secundus casus est denotatque molarum civitatem. potest vero etiam editum servari, cui simillima sunt Ἀγκυρῶν Ἀκανθῶν et alia, de quibus supra dictum est p. 445. 4. Καρίας] Ἀσίας R, Ἀρκαδίας Casaubonus. Παλαιάμυνδος R, παλαιὰ Μύνδος AV. 6. Μύνδωνες M, Μύνδονες libri. Μύνδωνες, quod in Ephori loco RV habent pro Μύνδονες, literarum ordo poscit. 7. ὑπερευγνωμόνατοι libri. εἶναι [καὶ] πλουσιώτατοι? neglexit Ephori locum Marxius. 9. Μυονία (Μυόνεια?) eadem quae infra Μύων. ι'] c. 38, 8. 10. Θουκυδίδης] 3, 101. 11. Μυόννησος RV, Μυόνησος A. 12. χωρὶς R. quae sequuntur ita redintegranda videntur: αὐτήν φησι. [τὸ ἐθνικὸν Μυοννήσιος. ἔστι καὶ νῆσος Μυόννησος Θετταλίας.] ὁ νησιώτης Μυοννησίτης. 15. ιβ'] p. 579. τὸ περὶ R, ἡ περὶ A, τὸ παρὰ V. 16. τὸ om. R. 17. Μύρα BH, Μύρσον R, Μύρων AV. ἀπὸ μύρων BH, ἀπὸ μύρα libri. 18. ποτὲ R. 19. θηλυκῶς καὶ οὐδετέρως e corr. R, θηλυκὸν καὶ οὐδέτερον AV. ἡ Μύρα dixit scriptor de rebus gestis Theodosii in Maii Spic. Rom. vol. 2 p. 20.

Μυργέται, ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. ἔν τισι δὲ τῶν Ἡρωδιανοῦ γράφεται διὰ γ̄ [*Γυργ*]*ετῶν*, κακῶς.

Μυρίκη, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Μαρκιανὸς ἐν περίπλῳ αὐτῆς.

Μυρίανδρος, πόλις Συρίας πρὸς τῇ Φοινίκῃ. Ξενοφῶν ἐν πρώτῳ ἀναβάσεως. τὸ κτητικὸν Μυριανδρικὸς κόλπος.

Μυρικοῦς, πόλις καταντικρὺ Τενέδου καὶ Λέσβου τῆς Τροίας. Ἑκαταῖος „ἐς Μυρικόεντα τῆς Τρωικῆς". οἱ πολῖται Μυρικούσιοι.

Μύρινα, πόλις ἐν Λήμνῳ. Ἑκαταῖος Εὐρώπῃ. ἔστι καὶ τῆς Αἰολίδος ἄλλη. ἀπὸ Μυρίνης ἀμφότεραι ἢ ἀπὸ Μυρίνου. τὸ ἐθνικὸν Μυριναῖος, Μυριναία δὲ ἐπὶ τῆς χώρας, καὶ οὐδετέρως Μυριναῖον.

Μύρκινος, τόπος καὶ πόλις κτισθεῖσα παρὰ τῷ Στρυμόνι ποταμῷ. τὸ ἐθνικὸν Μυρκίνιος καὶ Μυρκινία. Παρθένιος δὲ *Μυρκιννίαν* αὐτήν φησι.

Μύρλεια, πόλις Βιθυνίας, ἡ νῦν λεγομένη *Ἀπάμεια*. ἀπὸ Μύρλου τοῦ Κολοφωνίων ἡγεμόνος. Νικομήδης δὲ ὁ Ἐπιφανής, Προυσίου δὲ υἱός, ἀπὸ τῆς μητρὸς Ἀπάμας Ἀπάμειαν ὠνόμασεν· οἱ δὲ ἀπὸ Μυρλείας Ἀμαζόνος. ὁ πολίτης Μυρλεανός, ὡς Ἀσκληπιάδης Μυρλεανὸς ἀναγράφεται. Στράβων δὲ Μυρλεᾶτιν καλεῖ τὴν χώραν, ἴσως ἀπὸ τοῦ Μυρλεάτης. ἔστι καὶ Μυρλεανὸς κόλπος.

---

2. *δὲ* add. PpRV. *διὰ γ̄* [*Γυργ*]*ετῶν* M, *διάγετῶν* R, *διάγετων* PpV, *Λυργετῶν* W. 6. *πρώτῳ*] 4, 6. *ἀναβάσεως.* [*τὸ ἐθνικὸν Μυριανδρηνός,*] *τὸ κτητικὸν* B. 12. *τὸ ἐθνικὸν Μυριναῖος δὲ Μυριναία ἐπὶ* RV. an *τὸ ἐθνικὸν Μυριναῖος, καὶ Μυριναία ἐπὶ*? 14. *Μύρκινος* et hic et in gentilibus R, *Μύρκιννος* A. 14. 15. *Στρυμόνι* R, *Στρύμονι* A, *Στρυμονι* V. 16. *Μυρκινίαν*? 17. *λεγομένη* om. RV. 18. *Μύρτου* RV. *τοῦ Κολοφωνίων ἡγεμόνος*] Itaque Myrlea Colophoniorum fuisse videtur colonia. 19. *ἐπιφανείς* RV. 19. 20. *ὠνόμασεν Ἀπάμειαν* RV. 20. *Μυρλίας* R. 21. 22. *Στράβων*] 12 p. 551. 22. *Μυρλεάτην* R. 22. 23. *τοῦ Μυρλεάτης. ἔστι* RV, *τούτου Μυρλεάτης ἐστί* A.

Μυρμήκιον, πολίχνιον τῆς Ταυρικῆς. Στράβων ἑνδεκάτῃ. Ἡρωδιανὸς διὰ διφθόγγου γράφει καὶ προπερισπᾷ. τὸ ἐθνικόν, ἐὰν μὲν διὰ διφθόγγου, Μυρμηκειεύς, εἰ δὲ διὰ τοῦ ῑ γράφεται, Μυρμήκιος. Ἀρτεμίδωρος δὲ *Μυρμηκίαν* αὐτήν φησι.

Μυρμιδονία, χώρα τῶν Μυρμιδόνων· οὕτως γὰρ ἡ Αἴγινα ἐκλήθη.

Μυρμισσός, πόλις περὶ Λάμψακον, ὡς Πολέμων. τὸ ἐθνικὸν Μυρμίσσιος.

Μυρρινοῦς, δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Μυρρινούσιος. τὰ τοπικὰ Μυρρινουντόθεν Μυρρινοῦντάδε Μυρρινοῦντι. Διονύσιος δὲ ὁ Τρύφωνος *Μυρρινοῦττα* φησίν. ὁ δημότης ἐκ Μυρρινούττης, διὰ δύο ττ.

Μύρσινος, πόλις Ἤλιδος. „καὶ Μύρσινος ἐσχατόωσα". ὕστερον δὲ *Μυρτούντιον* ἐκλήθη. τὸ ἐθνικὸν εὕρηται Μυρτούσιος.

Μύρτουσα, ὄρος Λιβύης. ὁ οἰκήτωρ Μυρτουσαῖος καὶ Μυρτούσιος.

Μύρωνος, νῆσος τοῦ Ἀραβικοῦ κόλπου. τὸ ἐθνικὸν Μυρωνονησίτης ἢ Μυρωνονησαῖος.

Μυσία, χώρα καὶ πόλις. Λυδοὶ δὲ τὴν ὀξύην μυσὸν

---

1. 2. ἑνδεκάτῃ (p. 494) X, ἑβδόμῃ A, ζ' RV. 2. Ἥρω R. 3. μὲν om. RV. διὰ διφθόγγου RV, δίφθογγον A. Μυρμηκειεύς R, Μυρμηκιεύς AV. 4. γράφεται add. RV. 4-6. Μυρμηκίαν — χώρα τῶν om. V. 6. Μυρμηδονία R. 9. Μυρμίσιος RV. 10. Μυρινοῦς cum uno ρ̄ et hic et in ceteris ante B. 12. Μυρρινοῦντι LDindorfius, Μυρινουντίσι A, Μυρινουντίδι RV. Μυρρινοῦττα LDindorfius, Μυρρινοῦντα libri. cf. Boeckh. C. I. vol. 1 p. 403. 14. καὶ Μύρσινος ἐσχατόωσα] Hom. Il. 2, 616. ἐσχατόεσσα V. 15. Μυρτούντιον Eustathius ad Homeri l. l., Μυρτώτιον A, Μυρτώιον V, Μυρτώσιον R, Μυρτώτων Pp. 17. Μύρτουσα R, Μύρτουσσα AV. 17. 18. Μυρτουσαῖος καὶ Μυρτούσιος R, Μυρτουσαῖος καὶ Μυρτίσσιος A, Μυρτουσσαῖος καὶ Μυρτίσσιος V. 19. νῆσος, [νῆσος] τοῦ B. vide p. 445. 20. Μυρωνησαῖος V. 21. Λυδὴν R, Λυδὸν V. ὀξύην M, ὀξύνην V, ὀξείην R, ὀξεύην A. consimili errore legitur apud Ze-

φασι. λέγονται καὶ Μυσοὶ καὶ Μύσιοι καὶ Μυσάδιος αἰολικῶς.

Μυστία, πόλις Σαυνιτῶν. Φίλιστος ἑνδεκάτῳ. οἱ οἰκήτορες Μυστιανοί, ὡς τῆς Ὠστίας Ὠστιανοί.

Μυτιλήνη, πόλις ἐν Λέσβῳ μεγίστη. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Μυτιλήνης τῆς Μάκαρος ἢ Πέλοπος θυγατρός. οἱ δὲ ὅτι Μυτίλης ἦν ὁ οἰκιστής. οἱ δὲ ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος καὶ Μυτιλήνης. ὅθεν Μυτωνίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τῷ τετάρτῳ, Παρθένιος δὲ Μυτωνίδας τὰς Λεσβικάς φησι. λέγονται καὶ Μύτωνες καὶ Μυτωναῖοι καὶ Μυτιληναῖος.

Μυτισέρατος, φρούριον Σικελίας. Φίλιστος δεκάτῃ. τὸ ἐθνικὸν Μυτισερατῖνος, ὡς αὐτός.

Μυτίστρατος, πολίχνιον περὶ Καρχηδόνα. Πολύβιος πρώτῳ. τὸ ἐθνικὸν Μυτιστράτιος, ὡς Στράτος Στράτιος, ἡ Ἀκαρνανικὴ πόλις.

Μύων, πόλις Λοκρῶν ἐν τῇ ἠπείρῳ. οἱ πολῖται Μύονες. λέγονται καὶ Μυονεῖς, ὡς Θουκυδίδης τρίτῃ.

---

nob. 3, 13: *Δι' ὀξείας δραμεῖν· ἐπὶ τῶν διακινδυνευόντων. ὀξεῖαν γὰρ λέγουσι τὴν λόγχην.* leg. *ὀξύας* et *ὀξύαν.* *μυσόν* R, *μυσήν* AV. 1. *καὶ Μυσοί* om. V. *Μυσάδιος*] V. Ahrens. Dial. aeol. p. 157. 3. *Μυστία πόλις ἐν Λέσβῳ μεγίστη Σαυνίτων* R. 5. *Μυτυλήνη* V, *Μιτυλήνη* et hic et in sequentibus R. 6. *Μάκαρος* X, *Μαίσαρος* RV, *Καίσαρος* A. *ἢ Πέλοπος θυγατρός* RV, *θυγατρὸς ἢ Πέλοπος* A. 7. *Μιτύλης* R, *Μυτήλης* V, *Μύτιλος* Salmasius. 8. *Μυτωνίδα* B, *Μυτανίδα* libri. 9. *ἐν δ̄* R. *Μυτωνίδας* X, *Μυτωνίδου* libri. 12. *Μυτισέρατος* RV, *Μυσισέρατος* Pp, *Μυτισέρατα* A. nomen hoc e *Μυτίστρατος* corruptum esse intellexit Cluverus. 14. *Μυτίστρατος* M, *Μυτίστρατον* libri. *Μυτίστρατος* scribendum fuisse docet comparatio cum *Στράτος* et, quamvis corrupta, eiusdem nominis forma *Ἀμήστρατος*, quam supra noster ex Apollodoro attulit. *περὶ Καρχηδόνα*] Imo Siciliae in ditione Carthaginiensium, ut intelligitur ex loco Polybii (1, 24, 11) quem ipse affert, ubi quidem vitiose editur *Μυττίστρατον.* 15. *Στρατός* libri. *Στράτιος* RV, *Στράτιον* A. 17. *Μύονες* RV, *Μύωνες* A. 18. *λέγονται καὶ Μυονεῖς*] Haec verba in libris post *τρίτῃ* lecta huc transposui. *Μυονεῖς* V, *Μυωνεῖς* AR. *τρίτῃ*] c. 101.

Μῶβα, μοῖρα τῆς Ἀραβίας. Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. οἱ οἰκοῦντες Μωβηνοί, καὶ θηλυκῶς Μωβηνή. ἔοικε δ' ἐνδεῖν τὸ ᾱ. ἦν γὰρ Μώαβα. καὶ τὸ ἐθνικὸν Μωαβίτης, τὸ θηλυκὸν Μωαβῖτις.

Μωθώ, κώμη Ἀραβίας, ἐν ᾗ ἔθανεν Ἀντίγονος ὁ Μακεδὼν ὑπὸ Ῥαβίλου τοῦ βασιλέως τῶν Ἀραβίων, ὡς Οὐράνιος ἐν πέμπτῳ. ὅ ἐστι τῇ Ἀράβων φωνῇ τόπος θανάτου. οἱ κωμῆται Μωθηνοὶ κατὰ τὸν ἐγχώριον τύπον.

Μῶλυς, Λίβυσσα πόλις. Ἑκαταῖος περιηγήσει Λιβύης. τὸ ἐθνικὸν Μωλύτης τῷ τύπῳ τῶν Λιβυσσῶν πόλεων καὶ Μωλυάτης.

Μώμεμφις, πόλις Αἰγύπτου. Ἡρόδοτος δευτέρᾳ. κλίνεται Μωμέμφεως, ὡς Ἀρίσταρχος. καὶ Μωμεμφίτης νομός.

Μωνυχία, λιμὴν τῆς Ἀττικῆς, οὗ τὴν εἰς τόπον σχέσιν φησὶ Θουκυδίδης ή „τῶν Μωνυχίασι τεταγμένων ἄρχων".

Μωριεῖς, ἔθνος Ἰνδικόν, ἐν ξυλίνοις οἰκοῦντες οἴκοις, ὡς Εὐφορίων.

Νάαρδα, πόλις Συρίας πρὸς τῷ Εὐφράτῃ, ὡς Ἀρριανὸς Παρθικῶν ἑνδεκάτῳ. τὸ ἐθνικὸν Νααρδηνὸς τῷ ἐγχωρίῳ τύπῳ.

Ναβαταῖοι, ἔθνος τῶν εὐδαιμόνων Ἀράβων, ἀπὸ Ναβάτου τινός. Ναβάτης δέ ἐστιν ἀραβιστὶ ὁ ἐκ μοιχείας γενόμενος. ἀπὸ οὖν τοῦ Ναβάτης Ναβαταῖος καὶ Ναβατηνή ἡ χώρα καὶ Ναβατηνός ὄνομα κύριον.

Νάγιδος, πόλις μεταξὺ Κιλικίας καὶ Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ „μετὰ δὲ Νάγιδος πόλις, ἀπὸ τοῦ Νάγιδος

---

1. *Μώβα* libri. 2. *θηλυκὸν* R. 3. *τὸ ᾱ* PpRV, *τὸ πρῶτον* A. 4. *τὸ* ante *θηλυκὸν* om. R. 6. *ὑπὸ — Ἀραβίων* (*Ἀράβων*?) om. R. 8. *κωμῖται* R. 11. *Μωλιάτης* V. 12. *δευτέρᾳ*] c. 163. 13. *Μωμφίτης* V. 14. *σχέσιν* RV, *θέσιν* A. 15. *ή* (c. 92) V, *ἡ* R, *ὁ* A. *Μωνυχιᾶσι* RV, *Μουνιχιάσι* APp, *Μουνυχιάσι* B. *τεταγμένων* PpRV, *τεταγμένος* A. cf. s. v. *Μουνυχία*. 16. *Μω..εῖς* V. 18. *ἀρχὴ τοῦ λγ' βιβλίου* ante *Νάαρδα* ΠR. *Ἀριανὸς* RV, *ῥιανὸς* A. 19. *Ναρδηνός* R, *Ναρδανός* AV. 21. *ἀραβιστὶ* R, *ἀραβιστίων* V, om. A. 24. *Νάγιδος* R, *Ναγίδος* A. 25. *Νάγιδος πόλις* B, *Νάγις πόλις* libri.

κυβερνήτου, καὶ νῆσος Ναγιδοῦσσα". Νάγιδος δ' ἐκλήθη διὰ τὸ Νάγιν αὐτὴν κτίσαι. ὁ πολίτης Ναγιδεύς.

Ναϊσσός, *πόλις Θρᾴκης, κτίσμα καὶ πατρὶς Κωνσταντίνου τοῦ βασιλέως. τὸ ἐθνικὸν Ναϊσσιτανός. καὶ ἔοικεν ἀπὸ τοῦ Ναϊσσός Ναϊσσίτης καὶ κατὰ παραγωγὴν ἐπιχωρίως Ναϊσσιτανός.*

Νάκρασος, *πόλις καὶ δῆμος Καρίας. Ἀπολλώνιος δεκάτῳ Καρικῶν. ὁ δημότης καὶ ὁ πολίτης Νακρασεύς.*

Νακόλεια, *πόλις Φρυγίας. Στράβων δωδεκάτῃ. καί ἐστιν οὐδέτερον. ἀπὸ Νακόλης νύμφης. καὶ ὥσπερ ἀπὸ τοῦ νύμφης νύμφαιον καὶ Ἥρας Ἥραιον, οὕτω Νακόλης Νακόλαιον. τὸ ἐθνικὸν Νακολαιεύς. εἰ δ' ἔστι Νακόλεια διὰ διφθόγγου,*

---

1. *κυβερνήτου* [*κληθεῖσα*], *καὶ νῆσος Ναγιδόεσσα* Hecataeus scripserat. *Ναγιδοῦσα* libri. 2. *τὸν ἄγιν* V. 4. *Ναϊσσιτανός* R, *Ναϊσιτανός* AV. 5. *Ναϊσσός Ναϊσσίτης* e corr. R, *Ναϊσός Ναϊσίτης* AV. 6. *Ναϊσιτανός* libri. 7. *Νάρκασος* libri, *Νακρασός* H, eandem urbem dici existimans quae Hierocli *Ἀκρασός*, Ptolemaeo (5, 2) autem, qui eam Lydiae tribuit, *Νάκρασα* dicitur. cf. Boeckh. C. I. vol. 2 p. 486. literarum tamen ordo ne sic quidem restitutus est. Stephanus fortasse *Νάκαρσος* scripserat. *πόλις καὶ δῆμος* RV, *δῆμος καὶ πόλις* A. fortasse *πόλις ἢ δῆμος* (vicus). 8. *Νακρασεύς* H, *Ναρκανασσεύς* R, *Ναρκανασεύς* V, *Ναρκασεύς* A.
9. *Ναχω̊λία* R, *Νακολία* AV. *Νακόλεια*, ut apud Strab. 12 p. 576 legitur, etiam Stephanum scripsisse sequentia docent: *τὸ ἐθνικὸν ἔσται Νακολεύς*. 9. 10. *καί ἐστιν οὐδέτερον*] Haec, praeter interpretes et Dindorfium Thes. L. G. v. *Νακολία*, male intellexit is qui e Stephano Suidam v. *Νακόλεια* interpolavit: non enim *Νακόλεια* genere neutro dici affirmat Stephanus, sed eiusdem urbis nomen paullo immutatum, scil. *Νακόλαιον*, neutro genere efferri monet. itaque rectius scripseris: *ἔστι καὶ οὐδέτερον*. sed *καί* apud nostrum saepe traiectum videas. sequentia autem cum his arcte coniungenda; apertum enim est hoc dici, *Νακόλαιον* ad *Νακόλη*, quod Nymphae nomen, *Νακόλεια* autem ad *Νάκολος* revocandum esse. 10. *Νακώλιας* an *Νακώλιης* incerto ductu R, sed ita ut scriba ῑ delere voluisse videatur. 11. *νύμφης* (*νύμφη*?) om. R. *νύμφαιον* R, *νύμφαι* AV. *Ἥραιον* R, *Ἡραί* V, *Ἥραι* A. *Νακόλας* libri. *Νακόλαιον* R, *Νακολαί* V, *Νακόλαι* A. 12. *Νακολαιεύς* M, *Νακολεύς* libri. *Ναχω̊λεια* R. *διὰ* [*τῆς* ει] *διφθόγγου*?

παρὰ τὸν Νάκολον τὸν Δασκύλου παῖδα. τὸ ἐθνικὸν ἔσται Νακολεύς, ὡς τὸ Σέλευκος Σελευκεύς.

Νακόνη, ὡς Ἀλκόνη, πόλις Σικελίας. τὸ ἐθνικὸν Νακοναῖος. Φίλιστος ἕκτῳ Σικελικῶν.

Ναξία, πόλις Καρίας. Ἀλέξανδρος ἐν πρώτῳ περὶ Καρίας. τὸ ἐθνικὸν Ναξιεύς τῷ τύπῳ τῆς χώρας, καὶ Ναξιάτης.

Νάξος, νῆσος τῶν Κυκλάδων, ἡ διάσημος, ἀπὸ τοῦ Νάξου Καρῶν ἡγεμόνος. ἄλλοι δὲ ἀπὸ Νάξου τοῦ Ἐνδυμίωνος. Εὐφορίων δὲ παρὰ τὸ νάξαι, ὅ φασι θῦσαί τινες. Ἀσκληπιάδης ἱστορεῖ τὰς Ναξίων γυναῖκας μόνας ὀκτάμηνα τίκτειν, ἢ διὰ τὸ τὴν Ἥραν φίλην γενομένην τῷ Διονύσῳ ταῖς Ναξίαις τοῦτο δῶρον παρασχεῖν, ἢ ὅτι καὶ αὐτὸς ὁ Διόνυσος οὕτως ἐτέχθη. καὶ ὅτι ἐστὶν ἐκεῖ κρήνη, ἐξ ἧς οἶνος ῥεῖ μάλα ἡδύς. ἔστι καὶ πόλις Σικελίας. καὶ ἄλλοι τόποι Νάξοι. τὰ ἐθνικὰ Νάξιοι, ἀφ' οὗ καὶ Ναξία λίθος ἡ Κρητικὴ ἀκόνη. λέγεται καὶ θηλυκὸν Ναξιάς ἀπὸ τοῦ Νάξιος. τὸ δὲ κριτικὴ ἀκόνη, ἐὰν διὰ τοῦ ῑ γράφηται, ἡ διακρίνουσα καὶ φανεροῦσα σημαίνει.

---

1. *τὸν ἄκολον* (i. e. *τὸ Νάκολον*) RV. *ἔσται* add. RV. 3. *Νακιώνη ὡς Ἡλιώνη* B, qui Suidae glossatorem affert: *Νακιώνη, πόλις Σικελίας, κατὰ τὸν ἐθνικογράφον.* eodem utitur H, qui conicit *Νακιώνη ὡς Ἁλιώνη.* scribendum videtur *Νακόνη, ὡς ἀκόνη,* sive id de cote interpreteris (non semel enim Stephanus, ubi accentus rationem declarat, utitur appellativorum exemplis), sive de Pontica urbe intelligere malis, quae plerisque *Ἀκόναι,* Ammiano Marc. 22, 8, 7. autem singulari numero dicitur A co'n e. 5. *Ἀλέξανδρος* add. *Π*R. 6. *Ναξιώτης* glossator Suidae s. v. *Ναξία. Ναξιάτης* habet Catal. trib. 13. 30. 44. 50. 9. *δὲ* add. R. *βῦσαι* Salmasius, *θῦσαι* legit item Eustath. ad Dion. p. 206, 10. 10. *ἱστορεῖ περὶ τὰς* R. *Ναξίων* R, *Ναξίας* BH, *Ναξίνας* AV. *ὀκταμήνια* R. 11. *ἢ* om. Schubartus. 13. *κρήνη* [*καθ' Ἡρακλείδην*] *ἐξ ἧς* B ex Suidae interpolatore l. l. 14. *εἰσὶ* R. 14.15. *καὶ ἄλλ' κρήτυς* (hoc incerto ductu) *τόπων Νάξιοι* R. scribendum videtur: *καὶ Κρήτης τόπος Νάξος, ἀφ' οὗ καὶ Ναξία λίθος ἡ Κρητικὴ ἀκόνη λέγεται. τὰ ἐθνικὰ Νάξιοι καὶ θηλυκὸν* [*Ναξία καὶ*] *Ναξιάς ἀπὸ τοῦ Νάξιος.* de Naxo in Creta et Cretica cote v. Boeckh. ad Pind. Isthm. 6, 108. et Lobeck. Paral. p. 229. 17. *κριτικὴ* X, *κρητικὴ* AR, *κρητικὸν* V. *ἐὰν δὲ διὰ* V. *γράφεται* libri. 18. *σημαινεια* V.

Ναπάται, πόλις Λιβύης πρὸς τῇ Αἰθιοπίᾳ. τὸ ἐθνικὸν ἔδει Ναπατίτης. ἔστι δὲ Ναπαταῖος, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν.

Νάπη, πόλις Λέσβου. Ἑλλάνικος ἐν δευτέρῳ Λεσβιακῶν. ὁ πολίτης Ναπαῖος, καὶ Ἀπόλλων Ναπαῖος. εἰσὶ καὶ Ναπαῖοι ἠπείρου. ἔστι καὶ μέρος ὄρους νάπη καὶ ναπαῖος τὸ ἐκ τούτου.

Νάπις, κώμη Σκυθίας. ὁ οἰκήτωρ Ναπάτης ἢ Ναπίτης ἡ κώμη. καὶ Ναπῖται ἐθνικόν.

Νάρβων, ἐμπόριον καὶ πόλις Κελτική. Στράβων τετάρτῃ. Μαρκιανὸς δὲ Ναρβωνησίαν αὐτήν φησι. τὸ ἐθνικὸν Ναρβωνίτης ὡς Ἀσκαλωνίτης. ἔστι καὶ λίμνη Ναρβωνῖτις, ὡς Ἀσκαλωνῖτις. καὶ ποταμὸς Ἄταξ. Ἑκαταῖος καὶ Ναρβαίους αὐτούς φησι.

Ναρβίς, Ἰλλυρίας πόλις.

Ναρθηκίς, νησίδιον ἐγγὺς Σάμου ἐν δεξιᾷ τοῖς προσπλέουσι πρὸς τὴν πόλιν. τὸ ἐθνικὸν Ναρθηκή....

Νάρμαλις, πόλις Πισιδίας, ὡς Κάβαλις. οἱ πολῖται Ναρμαλεῖς ὡς Καβαλεῖς, ὡς Ἔφορός φησι.

---

2. *Ναπασίτης* R. *ἐν* om. R. 4. *Λέσβου*, [*ἣν Λάπην ὀνομάζει*] *Ἑλλάνικος*? vid. Strab. 9 p. 426: *Νάπη ἐν τῷ Μηθύμνης πεδίῳ, ἣν Ἑλλάνικος ἀγνοῶν Λάπην ὀνομάζει.* 6. *Ἠπείρου* vulgo. v. ad *Τραγασαί*. 9. *ἡ κώμη* RV, *τῆς κώμης* APr, delet B. an *ὁ οἰκήτωρ Ναπάτης. καὶ Ναπῖτις ἡ κώμη*? 10. *Νάρβων* R, *Ναρβώ* A. *τετάρτῃ*] p. 181. 11. *Ναρβωνησίαν* BH, *Ναρβονησίαν* AV, *Ναρκίαν* R. 11. 12. *Ναρχωνίτης* et mox *Ναρχωνῖτις* R. 13. *Ἄταξ* R, *Αλακός* AV, *Ἀτακός* BH. 15. *Ναρβίς* (gl. Suidae *Νάρβις*) propter turbatum ordinem literarum suspectum est, nisi haec ante praecedens tmema ponenda sunt. 16. *Νάρθηκις* libri, *Ναρθηκίς* Strabo 14 p. 637. quem describit Stephanus. *νησίδιον* om. R. 17. *Ναρθηκή* .... R, *Ναρθηκ* V, *Νάρθη* APr, *Ναρθηκουσαῖος ἢ Ναρθηκούσιος* B. ita sane Suidas s. v. *Ναρθηκίς*. sed ea glossa codicum fide Suidam liberavit Gaisfordus. a *Ναρθηκίς* neque *Ναρθηκουσαῖος* neque *Ναρθηκούσιος* formari posse apertum est; itaque illam glossatoris coniecturam esse suspicor, Stephanum autem scripsisse *Ναρθηκίδιος*, ut *Ψωφίδιος Ἠλίδιος* et alia. 18. *Νάμαρλις* RV. 19. *Ναμαρλεῖς καὶ Καβαρλεῖς* R. *καὶ* pro *ὡς* etiam *H*V.

Ναρνία, πόλις Σαυνιτῶν, ἀπὸ τοῦ παραρρέοντος ποταμοῦ Νάρνου, ὡς Διονύσιος ὀκτωκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ναρνιάτης ὡς Καυλωνιάτης.

Νᾶρυξ, πόλις Λοκρίδος, θηλυκῶς λεγομένη. τινὲς δὲ *Ναρύκιον* τὴν πόλιν φασίν. ἐξ ἧς Αἴας. ὁ πολίτης Ναρύκιος καὶ Ναρυκία. καὶ Ναρύκιον δὲ οὐδετέρως. λέγεται καὶ *Ναρύκη*, καὶ Ναρυκαῖος θηλυκῶς καὶ οὐδετέρως.

Νασαμῶνες, ἔθνος ἐν Λιβύῃ, ὡς Καλλίμαχος, καὶ Νασαμωνίς, ἀπὸ Νασάμωνός τινος.

Νάστος, πόλις Θρᾴκης. γράφεται καὶ *Νέστος*. Ἀπολλόδωρος δευτέρᾳ περὶ γῆς.

Ναύκρατις, πόλις Αἰγύπτου, ἀπὸ Μιλησίων τότε θαλασσοκρατούντων. καὶ Στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης Ναυκρατίτης καὶ θηλυκῶς, καὶ Ναυκρατιώτης ὡς Πηλουσιώτης, ἴσως ἀπὸ τοῦ Ναυκράτιον ἢ Ναυκρατία, ὡς Ἰταλία Ἰταλιώτης.

Ναύπακτος, πόλις Αἰτωλίας, ἀπὸ ναυπηγίας τῶν Ἡρακλειδῶν, ὡς Ἔφορος καὶ Στράβων. ὁ πολίτης Ναυπάκτιος καὶ Ναυπακτία.

Ναυπλία, πόλις Ἄργους. Στράβων ὀγδόῃ „ἀπὸ τοῦ ταῖς ναυσὶ προσπλεῖσθαι". οἱ οἰκοῦντες Ναυπλιεῖς, ὡς Στράβων, καὶ Ναυπλία.

Νέαι, νῆσος πλησίον Λήμνου, ἐν ᾗ Φιλοκτήτης κατά τινας ἐδήχθη ὑπὸ ὕδρου. ἐκλήθη δὲ ἀπὸ τοῦ προσνήξασθαι

---

1. 2. *πόντου* RV. 4. *Νάρυξ* libri. 5. *Νάρυκον* Salmasius. *Ναρύκιον* tuetur Ovid. Met. 15, 705. ubi alii Naryciam. 6. *Ναρύκιον δὲ* R, *Ναρύκια δὲ* V, om. A. *λέγεται* om. R. 8. *Καλλίμαχος*] Fragm. 126. 9. *Νασαμονίς* (*Νασιμονίς* R) *ἀπὸ Νασαμόνος* libri. 10. *Νάσπος* AV, *Νάσπολις* R. *Νεστός* libri. v. Arcad. p. 79, 20. 11. *περὶ γῆς* Gavelius, *περιηγήσει* libri. 13. *καὶ* (*ὡς*?) *Στράβων ἑπτακαιδεκάτῃ* (p. 801) om. R. 14. *θηλυκόν* R. *Ναυκρατῖτις* add. B. 16. 17. *Ἡρακλει... ὡς* RV. 17. *εὔφορος* R. *Στράβων*] 9 p. 427. 19. *ὀγδόῃ*] p. 368. 20. *Στράβων*] p. 373. 21. *καὶ Ναύπλιος* B, malim *καὶ* [*Ναύπλιος καὶ*] *Ναυπλία*. 23. *προσνήσασθαι* R.

Ἡρακλέα. τὸ ἐθνικὸν Νεαῖος. ἔστι καὶ Νέα κώμη φρούριον Μυσίας. τὸ ἐθνικὸν τὸ αὐτό.

Νεάνδρεια, πόλις Τρῳάδος ἐν Ἑλλησπόντῳ, ὡς Χάραξ. ἔν τισι δὲ Λέανδρος γράφεται διὰ τοῦ λ̄ κακῶς. λέγεται καὶ Νεάνδρειον οὐδετέρως, ὡς Θεόπομπος. ὁ πολίτης Νεανδρεύς, ὡς Στράβων.

Νεάπολις, πόλις Ἰταλίας διάσημος, ἐν ᾗ Παρθενόπη ἥρηται μία τῶν Σειρήνων. ὁ πολίτης Νεαπολίτης. ἔστι καὶ ἄλλη Λιβύης καὶ ἄλλαι.

Νέγλα, πολίχνιον Ἀραβίας. Γλαῦκος δευτέρῳ Ἀραβικῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νέγλιος, ἢ Νεγλίτης τῷ ἔθει τῆς χώρας.

Νέδη, πόλις Ἀρκαδίας, ἀπὸ νύμφης Νέδης. Εὐφορίων δὲ Νεδέην [καὶ] αὐτήν φησι. τὸ κτητικὸν Νεδεήσιος.

Νέδων, ποταμὸς καὶ τόπος τῆς Λακωνικῆς. τὸ τοπικὸν Νεδούσιος καὶ Νεδουσία ἡ Ἀθηνᾶ. κλίνεται δὲ Νέδοντος.

Νεῖλος, πόλις Αἰγύπτου. Ἑκαταῖος περιηγήσει αὐτῆς „καὶ ἱρὸν Νείλου τοῦ ποταμοῦ". τὸ ἐθνικὸν τῆς πόλεως Νειλοπολίτης. εἰ δὲ ἡ πόλις μόνη κέκληται, ὀφείλει ἕπεσθαι τῷ κτητικῷ τοῦ ποταμοῦ Νειλαῖος, ὡς Ἀπολλώνιός φησιν. „ὅσα γὰρ τῶν κτητικῶν ἀρ.. τοῦ ῑ ἢ τὴν γενικὴν ποιεῖ τοῦ πρωτοτύπου ἢ τὴν εὐθεῖαν, ταῦτα μόνον διὰ τοῦ ῑ ἐκφέρεται, Ποσειδώνιος Ἑλικώνιος Ῥόδιος Σάκιος. τὰ δὲ φύσει διὰ

1. κώμη φρούριον RV, κώμη καὶ φρούριον A. non Νέα sed Νέα κώμη castello isti nomen fuit. v. Strab. 13 p. 603. itaque gentile esse debebat Νεοκωμήτης. sed Νεαῖος est ἓν ἀπὸ δυοῖν. 4. Λεάνδρεια Salmasius. γράφεται Pp, γράφει A, om. R. 5. Νεάνδρειον H, Νεάνδριον libri. 6. Νεανδρεύς] Νεανδρειῆς legitur in Cat. trib. no. 47 et 137. Στράβων] 13 p. 606. 7. Ἰταλίας πόλις RV. 8. ἥρηται X, ἤρηται A, εἴρηται RV. 14. καὶ seclusi. αὐτήν R, αὐτή V, αὐτός A. 15. ποταμὸς B, πόλις libri. 18. ἱερὸν libri. τοῦ add. R. 21. κτητικῶν ἀρ.. τοῦ ῑ RV, κτητικῶν· τοῦ ῑ A, κτητικῶν δίχα τοῦ ῑ Hermannus, κτητικῶν [παραληγόμενα διὰ] τοῦ ῑ Salmasius. 22. ἐκφέρεται H, γράφεται et supra scriptum ἐκφέρεται R, ἐκφέρονται A. 23. Ῥίδιος R. Σύκιος BH, Σάβιος libri. φύσει] φυλάσσοντα R.

διφθόγγου παραληγόμενα οὐδέποτε τὸ προκείμενον σχῆμα ἀποτελεῖ. οὐδὲ γὰρ τὸ κηπαῖος ἢ Νειλαῖος ἐθνικὸν αὐτὸ ὁμολόγως παραλαμβάνει".

Νέμαυσος, πόλις Γαλλίας, ἀπὸ Νεμαύσου Ἡρακλείδου, ὡς Παρθένιος. τὸ ἐθνικὸν Νεμαύσιος, ἢ Νεμαυσῖνος διὰ τὴν χώραν.

Νεμέα, χώρα τῆς Ἀργολίδος. ἐν ταύτῃ Δρύοπες ᾤκουν... τὸ ἐθνικὸν Νέμεος καὶ Νεμεαῖος. Στράβων ὀγδόῃ. καὶ Νεμέα λέγεται, καὶ Νεμεήτης ὁ Ζεύς, καὶ Νεμεῆται. οἱ πολῖται τῆς Λοκρίδος πόλεως Νέμειοι. καὶ Νεμέηθεν ἐπίρρημα.

Νεοκαισάρεια, Ποντικὴ πόλις. τὸ ἐθνικὸν Νεοκαισαρεύς, ὡς Φλέγων ιε' Ὀλυμπιάδων. οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται. ἔστι καὶ Βιθυνίας.

Νέον τεῖχος, [πόλις] τῆς Αἰολίδος, ὡς Χωλὸν τεῖχος. τὸ ἐθνικὸν Νεοτειχίτης ὡς Χωλοτειχίτης. [καὶ Νεοτειχεύς,] ὡς Ἡρόδοτος ἐν Ὁμήρου βίῳ.

Νέπετος, πόλις Ἰταλίας. Διονύσιος τρισκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νεπεσῖνος. ἡ τροπὴ δὲ τοῦ τ εἰς σ ἰδιάζουσα καὶ σεσημείωται.

Νέσσων, πόλις Θεσσαλίας. Διονύσιος τρίτῳ Γιγαντιάδος. τὸ ἐθνικὸν Νεσσωνίτης τῷ κοινῷ τύπῳ.

Νέστος, πόλις καὶ ποταμὸς Ἰλλυρίας. τὸ ἐθνικὸν Νέ-

---

1. *παραλήγεται* R, *παραλήγονται* V. 2. *οὔτε* libri. *Κυπαῖος* Hermannus. 3. *ὁμολογουμένως* Hermannus. *παραλαλαμβάνει* R. 4. *Γαλλίας* X, *Ἰταλίας* libri. 7. *Ἀργολίδος* OMüllerus, *Ἤλιδος* libri. lacunam indicavi, excidisse opinor *ἔστι καὶ ἄλλη Λοκρίδος*. cf. Delect. Anthol. gr. p. 159. 8. *ὀγδόῃ*] p. 377. 8. 9. *Νεμαία* pro *Νεμέα* R. 9. *ὁ* add. R. *Νεμεῆται*] An *Νεμεῆτις*? 10. *Νέμιοι* R. *Νεμεῆθεν* libri. respici Callim. fr. 103, 4. monuit B. 12. *Ὀλυμπιάδων* M, *ὀλυμπιάδος* libri, *ὀλυμπιάδι* Salmasius. 14. *πόλις* add. B. 15. *καὶ Νεοτειχεύς* add. BH. 16. *βίῳ*] c. 9 et 10. 17. *Νέπετος* RV, *Νέσπετος* A. 18. *ἀρχῆς* V. *Νεπεσῖνος* RV, *Νεσπεσῖνος* A. 20. 21. *Γιγαντιάδος* R, *Γιγαντίδος* AV. 21. *Νεσσωνῖτις* R.

στιος, ὡς Ἀρτεμίδωρος δευτέρῳ γεωγραφουμένων, καὶ Νεστίς ἡ χώρα.

Νευροί, ἔθνος τῆς Σαρματίας. Διονύσιος ἐν περιηγήσει. καὶ Νευρίς ἡ χώρα. λέγονται καὶ Νευρῖται.

Νεφελοκοκκυγία, πόλις κωμικῶς ἐπινοηθεῖσα παρὰ Ἀριστοφάνει, καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη. τὸ ἐθνικὸν Νεφελοκοκκυγιεύς.

Νεφθαλῖται, ἔθνος κρατῆσαν τῆς ἕω, ὡς Ἰώσηπος. καὶ θηλυκῶς Νεφθαλῖτις.

Νεών, πόλις Φωκίδος. Ἡρόδοτος ὀγδόῃ. τὸ ἐθνικὸν Νεώνιος ὡς Ἐλεών Ἐλεώνιος, καὶ Νεωνία καὶ Νεωναῖος.

Νήιον, ὄρος Ἰθάκης, ἀφ' οὗ κατὰ Κράτητα αἱ νηιάδες. οἱ δὲ τὰς διατριβούσας περὶ τὰ νάματα. τὸ δὲ Ὑπονήιον σύνθετον ὡς τὸ Ἐπικνημίδιοι. αἱ δὲ νηιάδες ἀπὸ τοῦ νήιος ἢ ἀπὸ τοῦ νηιεύς.

Νηκούια, πόλις Ὀμβρίκων. Διονύσιος ἑπτακαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νηκουιάτης.

Νήραβος, πόλις Συρίας. Νικόλαος τετάρτῳ. τὸ ἐθνικὸν Νηράβιος, ὡς τοῦ Τόρρηβος Τορρήβιος.

Νήρικος, πόλις Ἀκαρνανίας, ἣν Ὅμηρος ἀκτήν φησιν

---

1. Νεστίς X, Νεσίς libri. 3. ἁρματίας ante X. περιηγήσει] vs. 310. 6. Ἀριστοφάνει (Av. 819) RV, Ἀριτοφάνους A. πληθυντικῶς] Av. 917. 7. Νεφελοκοκκυγιεύς] Av. 878 sq. 8. Ἰώσηπος] A. I. 5, 1. 9. θηλυκὸν R. 10. Νέων libri. ὀγδόῃ] c. 32. 11. Νεωναῖος] Hoc ad aliunde non cognitam formam Νεωναί referendum. 13. ἐπὶ libri. ὑπονήιον R, ὑπερνήιον AV. 14. ὡς τὸ Ἐπικνημίδιοι RV, ὥσπερ τὸ Ἐπικνημίδιον A. cf. s. v. Ὑποθῆβαι. 15. νηιεύς] Malim νηίς cll. iis quae leguntur s. v. Ἀβαντίς· ἀπὸ τοῦ Ἀβάντιος δοκεῖ εἶναι τὸ Ἀβαντιάς, ὡς ἀπὸ τοῦ Ἑλικώνιος Ἑλικωνιάς, Ὀλύμπιος Ὀλυμπιάς, Δήλιος Δηλιάς — ἴσως δὲ καὶ τὸ Ἀβαντιάς ἀπὸ τοῦ Ἀβαντίς παρήχθη, ὡς ἀπὸ τοῦ Λέσβος Λεσβίς Λεσβιάς, Ἀχαιίς Ἀχαιιάς. favetque huic rationi R, in quo νηιεύς scriptum est. neque vero sibi constat scriptor. in Ὠρωπός enim gentile Ὠρωπιάς refert ad Ὠρωπιεύς, et similiter alia aliis locis. 16. Νηκουῖνα Cluverus. 17. ἀρχῆς V. Νικουιάτης R, Νηκουινάτης Cluverus. 19. Τόρηβος Τορήβιος R. 20. Ὅμηρος] Od. 24, 377. φησιν om. V.

ἠπείροιο, ἥτις ἐστὶν Ἀκαρνανία. Λούπερκος δὲ ταύτην Νήριτος φησίν, ἢ Νήριτον, ὡς τὸ ὄρος. ὁ πολίτης Νηρίκιος καὶ Νηρικία, καὶ τὸ κτητικὸν τοῦ ὄρους Νηρίτιος.

Νηρίς, πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ.

Νησαῖον πεδίον, ἀφ' οὗ παρὰ Μήδοις οἱ Νησαῖοι ἵπποι.

Νῆσος, ἡ ἐν θαλάσσῃ πόλις. ὁ ταύτην οἰκῶν νησίτης, ὡς Κάνωβος Κανωβίτης. τοῦ δὲ νησίον νησιώτης καὶ νησιῶτις θηλυκῶς. καὶ νησαῖος ὡς χερσαῖος. τὸ κτητικὸν νησιωτικός. ἔστι καὶ Νῆσος πόλις Ἰβηρική.

Νησώπη, νῆσος Λέσβου, ἡ τὸν Σίγριον λιμένα ποιοῦσα. τὸ ἐθνικὸν Νησωπαῖος.

Νίβις, πόλις Αἰγύπτου. Φλέγων ρμ' ὀλυμπιάδι. τὸ ἐθνικὸν Νιβίτης ὡς Μεμφίτης.

Νίγρητες, ἔθνος Λιβύης, ἀπὸ ποταμοῦ Νίγρητος. Διονύσιος „καὶ ἀγχέμαχοι Νίγρητες".

Νίκαια, πόλις Βιθυνίας, Βοττιαίων ἄποικος. ἐκαλεῖτο δὲ πρότερον Ἀγκώρη, εἶτα Ἀντιγόνεια, ὕστερον δὲ ἀπὸ τῆς Λυσιμάχου γυναικὸς Νίκαια μετεκλήθη. δευτέρα τῶν Ἐπικνημιδίων Λοκρῶν. τρίτη ἐν Ἰλλυρίδι. τετάρτη ἐν Ἰνδοῖς. πέμπτη ἐν Κύρνῳ τῇ νήσῳ. ἕκτη ἐν Λεύκτροις τῆς Βοιωτίας. ἑβδόμη Κελτικῆς, Μασσαλιωτῶν ἄποικος. ὀγδόη Θρᾴκης. εἰσὶ δὲ καὶ ἄλλαι. ἢ παρὰ Θερμοπύλας καὶ Θρᾴκην. λέγεται

---

2. *Νήριτον* R, *Νήριτος* AV. 3. *Νηρικία* R, *Νηρικίαι* AV. *ὡς* pro *καί*? 5. *παρὰ Μήδοις, ἀφ' οὗ*? 9. *θηλυκόν* R. 11. *Νησώπη* et mox *Νησωπαῖος* PpR, *Νισώπη* et *Νισωπαῖος* AV. *Σίγριον* BH, *Σίγρην* R, *Σίγριν* AV. 13. *βιβλίον λδ'* ante *Νίβις* (*Νῖβις*?) PpΠR. *ρμ'* om. R. *ὀλυμπιάδι* B, *ὀλυμπιάδος* libri. 15. *ἀπὸ τοῦ Νίγρητος* R. 15. 16. *Διονύσιος*] Per. 215. 16. *ἴγρητες* R. 18. *Ἄγκυρα* B. 19. *μετεκλήθη* PpRV, *ἐκλήθη* A. 23. *ἢ παρὰ Θερμοπύλας καὶ Θρᾴκην* RV, *αἱ περὶ Θερμοπύλας καὶ Θρᾶκας* (*Θρᾴκην* P[r]) AP[r]. Thracicam Nicaeam iam supra memoravit, et quam apud Thermopylas sitam dicit, eam haud diversam esse a Nicaea Locrensium secundo loco memorata vidit B. itaque nescio an totum hoc *ἢ* (leg. *ἡ*) *παρὰ* — *Θρᾴκην* delendum sit.

δὲ προπαροξυτόνως. εἰ δ' ἔστι νικαῖος, τὸ θηλυκὸν νικαία. ὁ πολίτης Νικαιεὺς καὶ Νικαεὺς διχῶς. ἐξ αὐτῆς Ἰσίγονος καὶ Ἀσκληπιάδης καὶ Παρθένιος καὶ Ἀπολλωνίδης καὶ Ἐπιθέρσης γραμματικὸς γράψας περὶ λέξεων ἀττικῶν καὶ κωμικῶν καὶ τραγικῶν.

Νικασία, νησίδιον μικρὸν πλησίον Νάξου. τὸ ἐθνικὸν Νικάσιος ὡς Θηράσιος, καὶ θηλυκῶς καὶ οὐδετέρως. ἔστι καὶ ὄνομα κύριον Νικάσιος.

Νικατορίς, πόλις Συρίας πρὸς τῇ Εὐρώπῳ, κτίσμα Σελεύκου τοῦ Νικάτορος. τὸ ἐθνικὸν Νικατορίτης.

Νικηφόριον. οὕτως ἡ Κωνσταντῖνα ἡ περὶ Ἔδεσσαν πόλις, ὡς Οὐράνιος. τὸ ἐθνικὸν Νικηφόριος ὡς Βυζάντιος.

Νικίου, κώμη Αἰγύπτου. Ἀρισταγόρας Αἰγυπτιακῶν δευτέρῳ. ὁ οἰκήτωρ Νικιώτης, ὥς φησιν Ὧρος ἐθνικῶν πρώτῳ.

Νικομήδεια, πόλις Βιθυνίας, ἀπὸ Νικομήδους τοῦ Ζηίλα παιδός, ἐπισημοτάτου βασιλέως. ἡ καὶ Ὀλβία ἐκλήθη. ὁ πολίτης Νικομηδεύς. καὶ τὸ κτητικὸν Νικομήδειος, καὶ θηλυκῶς καὶ οὐδετέρως. ἐξ ἧς Ἀρριανός.

Νικομήδειον, ἐμπόριον Βιθυνίας. Ἀρριανὸς πέμπτῳ Βιθυνιακῶν. τὸ ἐθνικὸν Νικομηδεύς. δυνατὸν καὶ Νικομηδειεύς.

Νικόπολις, πόλις Ἠπείρου, ὡς Μαρκιανός. ἔστι καὶ Βιθυνίας. ἔστι καὶ ἄλλη τῆς μικρᾶς Ἀρμενίας. ὁ πολίτης Νικοπολίτης, ὡς Παυσανίας δεκάτῳ.

---

1. *Νικαῖος τὸ θηλυκὸν Νικαία* vulgo. hoc dicit, *Νίκαια* nomen proprium esse, *νικαία* adiectivum. compares *Δίκαια* et *δικαία*, *Μίνῳα* et *Μινῴα*, *Νίσαια* et *Νισαία*, *Τίμαια* et *τιμαία*. 2. *αὐτῆς* B, *αὐτοῦ* libri. *Ἰσίγονος* BH, *ἀρήγονος* RV, *ἀρηγόνος* A. 3. *Ἀπολλωνίδης* Augustus Nauckius, *Ἀπολλόδωρος* libri. 4. *καὶ* ante *κωμικῶν* om. R. 7. *θηλυκὸν καὶ οὐδέτερον* R. *ἔστι* om. R. 9. *Νικάτορις* libri. *Εὐρώπῳ* BH, *Εὐρώπῃ* libri. 11. *Κωνσταντίνα* libri. *Κωνστάντεια* interpolator Suidae. *Ἔδεσαν* ante W. 12. *ὡς Οὐράνιος* add. RV. 14. *ὡς ἔθη* R. *ἐθνικὸν ᾱ* R. 16. *Ζηίλα* R, *Ζήλα* AV. 18. *θηλυκὸν καὶ οὐδέτερον* V. *ἐξ ἧς* RV, *ὡς* A. 20. *δυνατὸν* RV, *δύναται* A. 24. *δεκάτῳ*] c. 8, 3.

Νικωνία, πόλις ἐν τῷ Πόντῳ πρὸς ταῖς ἐκβολαῖς τοῦ Ἴστρου. Στράβων ἑβδόμῃ. τὸ ἐθνικὸν Νικωνιάτης ὡς Ῥιθυμνιάτης.

Νίναια, πόλις Οἰνώτρων ἐν τῇ μεσογείᾳ. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ναιναῖος ἢ Ναιναιεύς.

Νινόη, ἡ ἐν Καρίᾳ Ἀφροδισιάς, κτισθεῖσα ὑπὸ τῶν Πελασγῶν Λελέγων. καὶ ἐκλήθη Λελέγων πόλις. εἶτα ἐκλήθη Μεγάλη πόλις. εἶτα ἀπὸ Νίνου Νινόη. τὸ ἐθνικὸν Νινοήτης, ὡς τὸ πύλη πυλήτης, ὅθεν „Πυλάτιδες ἀγοραί", καὶ λίμνη λιμνήτης.

Νίνος, πόλις Ἀσσυρίων, ἣν ἔκτισε Νίνος Σεμιράμιδος ἀνήρ, ἐν τῇ Ἀτουρίᾳ. οἱ πολῖται Νίνιοι. Στράβων ἑκκαιδεκάτῃ.

Νίσαια, ἐπίνειον Μεγαρίδος. καὶ αὐτὴ ἡ Μεγαρίς. ἀπὸ Νίσου τοῦ Πανδίονος. Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῃ .... καὶ ἐν τῇ δευτέρᾳ „καὶ Νίσαιάν τε εἷλε καὶ Νῖσον τὸν Πανδίονος καὶ Μεγαρέα τὸν Ὀγχήστιον [ἀπέκτεινεν]".

Νίσιβις, πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. Φίλων ἐν Φοινικικοῖς Νάσιβις φησὶ διὰ τοῦ ᾱ. Οὐράνιος δὲ διὰ τοῦ ε̄ Νέσιβις. σημαίνει δέ, ὥς φησι Φίλων,

---

1. 2. τοῦ Τύρα H e Strabone. 2. ἑβδόμῃ] p. 306. 4. μεσογείᾳ R, μεσογαίᾳ AV. 7. Πελασγῶν [ἢ] Λελέγων? καὶ ἐκλήθη Λελέγων om. R. πόλις om. V. 8. Μεγάλη πόλις PpRV, Μεγαλόπολις A. 9. Νινοΐτης R. Νινοήτης tuentur sequentia; perpetua in his gentiliciis nominibus varietas, Ἀρσινοΐτης — Ἀρσινοήτης, Ῥοδοΐτης — Ῥοδοήτης, Μεροΐτης — Μεροήτης. v. Lobeck. Path. p. 384. in Aegyptiacis unice probandum videtur ῑτης. πυλίτης R. Πυλάτιδες ἀγοραί] Soph. Trach. 639. Πυλιάτιδες R. 11. Ἀσυρίων RV. 12. Ἀσσυρίᾳ R. Νήνιοι R. ἑκκαιδεκάτῃ (p. 737) B, πεντεκαιδεκάτῃ A, ιε' RV. 13. Νισαία libri. 14. ἱερείων ante B. 14. 15. πρώτῃ καὶ ἐν τῇ β' R, α' καὶ ἐν τῇ β' V, πρώτῳ καὶ ἐν τῷ δευτέρῳ A. 15. Νίσαιάν τ' R, Νισαίαν AV. 16. Ὀγχήστιον RV, Ἀγχήστιον A. ἀπέκτεινεν addidi cll. Apollod. 3, 15, 8. ubi de Minoe: καὶ Μέγαρα εἷλε Νίσου βασιλεύοντος τοῦ Πανδίονος καὶ Μεγαρέα τὸν Ἱππομένους ἐξ Ὀγχηστοῦ Νίσῳ βοηθὸν ἐλθόντα ἀπέκτεινε. videtur autem Stephanus Hellanici verba contraxisse. 18. Νάσιβες R. φησὶ add. HRV. 19. Νάσιβες R.

νάσιβις τὰς στήλας". ὁ δὲ Οὐράνιος „νέσιβις" φησί „σημαίνει τῇ Φοινίκων φωνῇ λίθοι συγκείμενοι, συμφορητοί". Στράβων δὲ ἑκκαιδεκάτῃ διὰ τοῦ ῑ. τὸ ἐθνικὸν Νισιβηνός. ἔδει Νισιβίτης, ἀλλ' ὁ τύπος Αἰγύπτιος καὶ Λίβυς, ὁ δὲ διὰ τοῦ ηνος παρὰ τὸν Εὐφράτην καὶ τὴν ἕω, ὡς Σωφηνός Ταβηνός Καμβυσηνός.

Νίσυρος, νῆσος μία τῶν Κυκλάδων. „Οἵ δ' ἄρα Νίσυρόν τ' εἶχον". Πολυβώτης γὰρ εἷς τῶν Γιγάντων ὑπὸ Διὸς βληθεὶς ἐνήχετο, Ποσειδῶν δὲ ἐπ' αὐτὸν ἀφεὶς τὴν τρίαιναν τοῦ μὲν ἥμαρτε· γέγονε γὰρ νῆσος τὸ βληθὲν Νίσυρος. ἐκαλεῖτο καὶ Πορφυρίς ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων. ὁ οἰκήτωρ Νισύριος. καὶ Νισυριακός.

Νιτρίαι, τόπος Αἰγύπτου. Στράβων ἑπτακαιδεκάτῃ. τὸ ἐθνικὸν Νιτρίτης καὶ Νιτριώτης. ἔστι καὶ νομὸς Νιτριώτης.

Νιφάτης, ὄρος Ἀρμενίας. οὕτως γὰρ Ἀρκάδιος. ἔοικε δὲ παρὰ τὸ νείφειν, ἀλλ' ὀνοματικῶς διὰ τοῦ ῐ γράφεται. καὶ Πείσανδρος ἑβδόμῳ „Ταύρου πρυμνώρειαν ἐυσκόπελόν τε Νιφάτην".

Νίψα, πόλις Θρᾴκης. ὁ πολίτης Νιψαῖος. Ἡρόδοτος τετάρτῃ.

Νόαι, τὸ ἐθνικὸν Νοαῖος. ὁ τύπος γὰρ οὐκ ἀήθης αὐτοῖς. ἔστι δὲ πόλις Σικελίας. Ἀπολλόδωρος δευτέρῳ χρονικῶν.

---

1. Νέσιβες R. ὡς pro ὁ V. νέσιβες R. 2. [καὶ] συμφορητοί B. 3. ἑκκαιδεκάτῃ] p. 747. Νισιβινός R. ἔδει R, καὶ ἔδει AV. 3. 4. Νισιβίτης RV, Νισηβήτης A. 4. Λίβυς RV, Λιβύης A. 5. ἕων R. ὡς ante Ταβηνός add. RV. Ταβηνός B, Ταξηνός libri. 7. νῆσος add. RV. οἳ δ' ἄρα] Hom. Il. 2, 676. 9. ἐνήχετο PpR, ἠνείχετο APrV. 10. ἥμαρτεν γεγὸς R. 11. πορφυρέων PrRV et Eustath. ad Hom. p. 318, 29. πορφυρῶν A. 13. Νιτρίαι B, Νίτραιαι APr, Νίτρεαι R, Νίστραιαι V. ἑπτακαιδεκάτῃ] p. 308. ς' R. 14. Νιτρίτης RV, Νιτρήτης A. 16. νίφειν R. ὀνομαστικῶς B. 17. πρυμώρεια R, πρυμνώρεια AV, πρυμνώρειαν interpolator Suidae s. v. Νιφάτης. ἐυσκόπωλόν R, ἐυσκόλοπόν V. 19. Ναψαῖος R. Ἡρόδοτος R, Ἡρωδιανὸς AV. ceterum confer s. v. Σίρες. 20. τετάρτῃ] c. 93.

Νομαντία, πόλις Ἰβηρίας. Ἰόβας ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νουμαντῖνος λέγεται διὰ τῆς $\overline{ου}$.

Νόμβα, πόλις τῆς Ἰουδαίας. Ἰώσηπος ἕκτῳ τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Νομβαῖος.

Νόσορα, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Οὐράνιος Ἀραβικῶν .. ὁ νησιώτης Νοσορηνός. ἐγχώριος ὁ τύπος.

Νοστία, κώμη Ἀρκαδίας. Θεόπομπος τριακοστῷ δευτέρῳ Φιλιππικῶν. Ἔφορος τὸ ἐθνικὸν Νεστάνιος ἔφη, ὥστε κατ' αὐτὸν *Νεστανίαν* λέγεσθαι· ἡ αὐτὴ γὰρ τῇ προτέρᾳ, ὡς δῆλον ἐξ ἄλλων.

Νότιον, πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Νοτιεύς.

Νοῦβαι, ἔθνος Λιβύης παρὰ Νείλῳ. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς. λέγονται καὶ *Νουβαῖοι* ὡς Σαβαῖοι, καὶ *Νουβάδες* οἱ αὐτοί.

Νουκερῖνοι, ἔθνος Ἰταλίας. Πολύβιος τρίτῳ. τὸ πρωτότυπον αὐτῶν Νουκερία.

Νουκρία, πόλις Τυρσηνίας. Φίλιστος [ιε'] ια'. καὶ τὸ ἐθνικὸν Νουκρῖνος. εὕρηται καὶ *Νακρία* διὰ τοῦ $\overline{α}$.

Νυμφαία, θηλυκόν, ἡ νῆσος Καλυψοῦς παρὰ τῷ Ἀδρίᾳ. τὸ ἐθνικὸν Νυμφαῖος, ὡς τῆς Αἰαίας Αἰαῖος.

Νύμφαιον, πόλις Ταυρικὴ μεταξὺ Παντικαπαίου μητροπόλεως καὶ Θεοδοσίας, ὥς φησι Στράβων. τὸ ἐθνικὸν

---

2. *ἐθνικὸν ννομαντῖνος* e corr. R. fortasse *ἐθνικὸν Νομαντῖνος. λέγεται* [*καὶ*] *διὰ τῆς* (*τοῦ* R) $\overline{ου}$. 3. *ἕκτῳ*] c. 12, 1. et 4. ubi libri aut *Νόβα* aut *Νωβά*. 8. *Νεστάνιος* B, *ἑστιανός* ex *νεστιανός* correctum R, *ἑστανικός* AV, *Νεστανίους* interpolator Suidae s. v. *Νοστία*. 9. *Νεστανίαν* idem, *ἑστιανίαν* libri. *Νεστάνιος* nihil causae video, cur ad *Νεστανία* Stephanus quam ad *Νεστάνη*, ut locus hic a Pausan. 8, 7, 4. dicitur, revocare maluerit. 11. *τὸ* om. R. 14. *Σαβαῖοι* B, *Δαμαῖοι* H, *Δαβαῖοι* libri. 15. *Νουβάδες* Valesius, *Νούμιδες* libri, *Νομάδες* B. 16. *τρίτῳ*] c. 91, 4. 18. *ια' καὶ ιε'* B. seclusi *ιε'*. 20. *Νυμφαῖα* R. *Καλυψώ* RV. 22. 23. *μητρόπολις* R. 23. *Στράβων*] 7 p. 309.

δύναται ὡς Ἡραιεὺς Νυμφαιεύς. τὸ δὲ νυμφαῖος κτητικὸν ἀπὸ τῶν νυμφῶν. λέγεται καὶ Νυμφαΐτης.

Νυμφάς, πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν Νυμφάσιος, καὶ Νυμφασία πηγή.

Νύραξ, πόλις Κελτική. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Νυράκιος, ὡς παρὰ τὴν Νάρυκα Ναρύκιος.

Νῦσαι πόλεις πολλαί. πρώτη ἐν Ἑλικῶνι. δευτέρα ἐν Θρᾴκῃ. τρίτη ἐν Καρίᾳ. τετάρτη ἐν Ἀραβίᾳ. πέμπτη ἐν Αἰγύπτῳ. ἕκτη ἐν Νάξῳ. ἑβδόμη ἐν Ἰνδοῖς. ὀγδόη ἐπὶ τοῦ Καυκάσου ὄρους. ἐνάτη ἐν Λιβύῃ. δεκάτη ἐν Εὐβοίᾳ, ἔνθα διὰ μιᾶς ἡμέρας τὴν ἄμπελόν φασιν ἀνθεῖν καὶ τὸν βότρυν πεπαίνεσθαι. τὸ ἐθνικὸν Νυσεὺς καὶ Νυσαῒς θηλυκόν, ἀφ' οὗ κτητικὸν Νυσήιος. λέγεται καὶ Νυσαῖος, καὶ ἐξ αὐτοῦ Νυσαιεὺς τρισυλλάβως καὶ Νυσαεὺς ἄνευ τοῦ ι.

Νῶλα, πόλις Αὐσόνων. Ἑκαταῖος Εὐρώπῃ. Νώλην δὲ αὐτὴν Πολύβιός φησι. τὸ ἐθνικὸν Νώλιος. Πολύβιος δὲ Νωλανοὺς αὐτούς φησιν.

Νωμεντός, πόλις οὐ πόρρω Ῥώμης. τὸ ἐθνικὸν Νωμεντανός. Διονύσιος ἐν δευτέρῳ Ῥωμαϊκῆς ἀρχαιολογίας.

Νώνακρις, πόλις Ἀρκαδίας. Ῥιανὸς ἐν Ἠλιακῶν πρώτῳ.

---

1. Νυμφαιεύς om. V. 2. ἀπὸ τοῦ νυμφῶν R. an igitur ἀπὸ τοῦ νύμφη? 3. Νύμφα V. πόλις add. R, τόπος B. ὀγδόῳ] c. 34, 6. 4. Νυμφάσιος] Exspectabam Νυμφάδιος, ut Λευκάς Λευκάδιος. sed Νυμφασία πηγή constans lectio est apud Pausan. 8, 36, 4. itaque prototypon non Νυμφάς est, sed Νύμφη, a quo Νυμφάσιος formatur ut κοράσιον a κόρη, Φυλάσιος a Φυλή, Πτελεάσιος a Πτελέα, Θηρασία a Θήρα. 5. Νυράκη V. 6. ἢ pro ὡς V. Ἄρυκα RV. 7. Νύσαι AV, Νύσα R. 11. ἀνθεῖν om. V. 12. Νυσαΐς RV. propter sequentia malim Νυσηΐς, quod recte componitur cum Νυσεύς, ut Δρυηΐς cum Δρυεύς, Δρεπανηΐς cum Δρεπανεύς et alia plura. 13. καὶ ante ἐξ add. R. 14. τρισυλλάβως R, τρισύλλαβα AV. 15. Νωλὴν libri. 16. Πολύβιος] 3, 91, 5. 17. Νωλανοὺς RV, Νωλανεὺς A. 18. Νωμεντός] Hunc articulum libri post Νώνυμνα habent. 18. 19. Νωμεντανός BH, Νωμεντῖνος libri. 19. δευτέρῳ] c. 113. ἀρχῆς V. 20. Ἰλιακῶν R.

τὸ ἐθνικὸν Νωνακρίτης, καὶ κατὰ πλεονασμὸν τοῦ ᾱ Νωνακριάτης, ὁ Ἑρμῆς. Λυκόφρων „Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός". καὶ θηλυκὸν Νωνακριᾶτις. καὶ Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει.

Νώνυμνα, πόλις Σικελίας. ὁ πολίτης Νωνυμναῖος, ὡς Φίλιστος.

Νῶρα, πόλις ἐν Σαρδοῖ τῇ νήσῳ. τὸ ἐθνικὸν Νωρανός ὡς Νωλανός.

Νώρακος, πόλις Παννονίας. ὁ πολίτης Νωράκιος. ὡς Ἐπαφρόδιτος ἐν τοῖς Ὁμηρικοῖς φησιν, ὅτι γίνεται ἐν Παννονίᾳ σίδηρος, ὃς ἀκονηθεὶς λαμπρότατός ἐστιν. ἀφ' οὗ καὶ τὸ „νώροπα χαλκόν". καὶ θηλυκὸν Νωρακία καὶ οὐδέτερον Νωράκιον.

Ξάνθοι, ἔθνος Θράκιον. Ἑκαταῖος Εὐρώπῃ.

Ξάνθος, πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ „παρ' ἣ Ξάνθος ἐξίησι ποταμός". ἐκλήθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου ἢ Κρητὸς οἰκιστοῦ. ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβῳ. ὁ πολίτης Ξάνθιος, ὡς Εὐριπίδης. καὶ τοῦ ποταμοῦ τὸ κτητικὸν ὁμοίως.

Ξαῦρος, τόπος Μακεδονίας, ἀπὸ Ξαύρου τινός. οἱ οἰκοῦντες Ξαύριοι.

Ξενέφυρις, κώμη Λιβύης πλησίον Ἀλεξανδρείας. τὸ ἐθνικὸν Ξενεφυρίτης, τῷ τύπῳ τῆς χώρας.

Ξερξήνη, ἀπὸ Ξέρξου, ὡς Καμβυσηνὴ ἀπὸ Καμβύσου, τῇ μικρᾷ Ἀρμενίᾳ ὅμορος.

---

2. *Λυκόφρων*] vs. 680. 9. *Παννονίας* V, *Πανονίας* A, *Πανωνίας* R. *Νωρίκιος* RV. 10. *γίνεται* RV, *γίγνεται* A. 10. 11. *Πανονίᾳ* A, *Πανωπίᾳ* R, *Παννοπίᾳ* V. 12. *νώροπα χαλκόν*] Il. 2, 578. 14. *Ξάνθοι*] *βιβλίον λέ* praefigit R, *ἀρχὴ τοῦ βιβλίου λέ* Pp. 15. *ᾗ* R, *ᾗς* AV. 16. *ἔξεισι* Eustathius ad Hom. p. 369, 25. 17. *οἰκιστοῦ*] Fortasse *λῃστοῦ* cll. Eustath. ad Dion. 129. sive infra ad *Πάταρα*. 18. *Εὐριπίδης* PrPpRV, *Εὐρίπιος* A. 24. *Καμβυσήνη* libri. 25. *Ἀρμενίων* R. *ὅμορος* X, *ὅμηρος* libri.

Ξήρα, πόλις περὶ τὰς Ἡρακλείους στήλας. Θεόπομπος τεσσαρακοστῷ τρίτῳ. τὸ ἐθνικὸν Ξηραῖος, ὡς Θήρα Θηραῖος.

Ξιλία, πόλις Λιβύης. Ἀλέξανδρος ἐν τρίτῳ Λιβυκῶν. τὸ ἐθνικὸν Ξιλιάτης, ὡς Ἰάμνια Ἰαμνιάτης.

Ξιφήνη, χώρα Παλαιστίνης. Ἰώσηπος ἕκτῳ Ἰουδαϊκῆς ἱστορίας τὸ ἐθνικὸν Ξιφηναῖος φησί.

Ξιφωνία, πόλις Σικελίας. Θεόπομπος Φιλιππικῶν τριακοστῷ ἐνάτῳ. τὸ ἐθνικὸν Ξιφωνιάτης ὡς Καυλωνιάτης.

Ξόϊς, πόλις καὶ νῆσος Αἰγυπτία ἐν τῇ μεσογείῳ τῇ ὑπὲρ τοῦ Σεβεννυτικοῦ καὶ Φατνιτικοῦ στόματος. ὁ πολίτης Ξοΐτης ὡς Σαΐτης.

Ξουθία, πόλις Σικελίας. Φίλιστος τρίτῳ Σικελικῶν. τὸ ἐθνικὸν Ξουθιάτης.

Ξοῦχις, πόλις Λιβύης. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα. τὸ ἐθνικὸν Ξουχίτης.

Ξύλος, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Ξύλιος ἢ Ξυλεύς, διὰ τὸ ἰδίωμα τοῦ τόπου· χαίρουσι γὰρ τοῖς εἰς ευς.

Ξυνία, Θετταλίας πόλις. Πολύβιος ἐνάτῳ. τὸ ἐθνικὸν Ξυνιεύς ὡς Ἰλιεύς. καὶ Ξυνιὰς λίμνη, ἣν Βοιβιάδα φασίν.

Ξυπετή, δῆμος Κεκροπίδος φυλῆς. ὁ δημότης Ξυπετεών ὡς Μακεδών. τὸ τοπικὸν ἐκ Ξυπετεώνων εἰς Ξυπετεώνων καὶ ἐν Ξυπετεώνων. Φιλόχορος δὲ Ξυπετέωνον τὸν δῆμόν φησι διὰ τοῦ ω καὶ τοῦ ο μικροῦ ἐν τέλει.

---

1. Ξηρά vulgo. Ἡρακλείους RV, Ἡρακλείας A. 1. 2. Θεόπομπος μή R. 4. Ἰάμνια om. V. 5. ἕκτῳ] c. 13. ubi Ζιφήνη editur. apud eundem incolae non Ζιφηναῖοι vel Ξιφηναῖοι nominantur, sed legitimo illarum regionum typo Ζιφηνοί. Stephani verba non dubitandum est quin luxata sint et in hunc fere modum redintegranda: τὸ ἐθνικὸν [Ξιφηνός. ὁ δὲ δεῖνα] Ξιφηναῖος φησίν. cf. in Δόλβα et Δολίχη, ne plura afferam. 7. Φιλιππικῶν om. R. 9. Ξόϊς BH, Ξόης libri. 9. 10. τῇ μεσογείῳ τῇ ὑπὲρ Strabo 17 p. 802, τῷ μεσογειώτῃ ἀπὸ libri. 10. καὶ Φατνιτικοῦ om. V. 14. Ξούχης ante BH. 20. Ἰλιεύς R, Ἠλιεύς AV. Βοιβιάδα B, Βοιβαΐδα R, Βυβαΐδα AV. 22. ὡς Μεδεών? 23. Ξυνπετέωνον PpV, Ξυπετεώνων R. nonne Ξυπεταίωνον et l. 24. διὰ τῆς

Ξύστις, ὡς Σάρδις, πόλις Καρίας. τὸ ἐθνικὸν Ξυστιανός.

Ὄα, δῆμος τῆς Ἀττικῆς, τῆς Πανδιονίδος φυλῆς. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνός φησι τὸ πληθυντικὸν Ὄεις λέγεσθαι αὐτάς, ὡς καὶ ἄλλα πολλά. ὁ μέντοι δημότης Ὀαθεν λέγεται „Δάμων Δαμωνίδου Ὄαθεν". καὶ ἐκ τόπου τὸ αὐτό. τὰ δ' ἄλλα Ὄαζε Ὄασι. λέγεται καὶ Ὄη. ἔστι δ' Ὄη τῆς Οἰνηίδος φυλῆς. ὁ δημότης Ὄηθεν.

Ὄανος, πόλις Λυδίας. Διονύσιος ἐν τρίτῳ Βασσαρικῶν.

Ὄαξος, πόλις Κρήτης, Ἐλευθέρνης οὐ πόρρω, καθὰ Ξενίων, ἀπὸ Ὀάξου τοῦ Ἀκακαλλίδος τῆς θυγατρὸς τοῦ Μίνω. τινὲς δὲ διὰ τὸ καταγῆναι τὸν τόπον καὶ κρημνώδη ὑπάρχειν· καλοῦσι γὰρ τοὺς τοιούτους τόπους ἄξους, καθάπερ καὶ ἡμεῖς ἀγμούς. ὁ πολίτης Ὀάξιος.

Ὄβοδα, χωρίον Ναβαταίων. Οὐράνιος Ἀραβικῶν τετάρτῳ „ὅπου Ὀβόδης ὁ βασιλεύς, ὃν θεοποιοῦσι, τέθαπται". τὸ ἐθνικὸν Ὀβοδηνός ὡς Δαχαρηνός.

Ὀβόλκων, Ὀβόλκωνος, πόλις [Ἰβηρίας]. τὸ ἐθνικὸν Ὀβολκωνίτης.

Ὀγκαῖαι, πύλαι Θηβῶν. Εὐφορίων Θρᾳκί. Ὄγκα γὰρ ἡ Ἀθηνᾶ κατὰ Φοίνικας.

Ὄγκειον, χωρίον Ἀρκαδίας, ἀπὸ Ὄγκου δυναστεύσαντος,

αι? ceterum hanc formam codicis vitio deceptus finxisse videtur, in quo εἰς Ξυπεταίωνον pro εἰς Ξυπεταιώνων scriptum erat. 1. 2. Ξυστιανός] Stephanus sine dubio addiderat ὡς Σαρδιανός. 3. Ὄα] βιβλίον λς' praefigit R, ἀρχὴ τοῦ βιβλίου λς' Pp. Πανδίονος V. 5. αὐτάς, ὡς] αὐτὰς τοῦ Ὄεις ὡς R. an igitur scribendum: πληθυντικῶς Ὀεῖς (Ὀαεῖς) λέγεσθαι, ἀπὸ τοῦ Ὀεύς (Ὀαεύς), ὡς ἄλλα πολλά? λέγεσθαι R. 6. Δάμων Δαμωνίδου Ὄαθεν] Videntur haec e Crateri psephismatis ducta esse. 7. Ὄασι M, Ὄασε libri. 9. Ὄανος editur apud Nonn. 13, 471. 10. Ἐλευθέρνης οὐ W, Ἐλευθερονήσου RV, Ἐλευθερόνης οὐ H, Ἐλευθέρας οὐ X. 11. Ἀκακάλλιδος RV, Ἀκάλλιδος A. 12. καταγῆναι vel καταγῆ εἶναι H, κατὰ γῆν εἶναι libri. κνημνώδης Pr. fortasse igitur κνημώδη. 18. Ἰβηρίας add. B. 20. Ὀγκαῖα R. 22. Ὄγκειον R, Ὀγκεῖον AV.

ὡς Παυσανίας δηλοῖ ὀγδόῳ. ὁ οἰκήτωρ Ὄγκειος καὶ θηλυκῶς Ὀγκεία.

Ὀγχηστός, ἄλσος. Ὅμηρος „Ὀγχηστόν θ' ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄλσος". κεῖται δὲ ἐν τῇ Ἁλιαρτίων χώρᾳ, ἱδρυθὲν δὲ ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος. ἔστι καὶ πόλις [Βοιωτίας], ὡς Παυσανίας ἐνάτῳ. Ἀπολλώνιος δὲ ὁ Ῥόδιος .... πόλιν φησὶ μεγάλην τὸν Ὀγχηστόν μεταξὺ Ἁλιαρτίων καὶ Ἀκραιφίων. ἔστι καὶ ποταμὸς ἐν Θεσσαλίᾳ. ὁ πολίτης Ὀγχήστιος. Παυσανίας ἐνάτῳ.

Ὀγχόη, πόλις Φωκίδος. τὸ ἐθνικὸν Ὀγχοαῖος, ὡς τῆς Οἰνόης Οἰναῖος, ἢ Ὀγχοεύς.

Ὀδησσός, πόλις ἐν τῷ Πόντῳ πρὸς τῷ Σαλμυδησσῷ. Ἀπολλόδωρος δ' ὄρος μέγα τὴν Ὀδησσόν φησιν. ὁ πολίτης Ὀδησσίτης καὶ Ὀδησσεύς. ἐχρημάτιζον δὲ Ἡρακλείδης ἱστοριογράφος καὶ Δημήτριος ὁ περὶ τῆς πατρίδος γράψας.

Ὀδιούπολις, χωρίον Ἡρακλείας τῆς πρὸς τῷ Πόντῳ. Δομίτιος Καλλίστρατος ἕκτῳ τῶν περὶ Ἡρακλείας. ὁ πολίτης Ὀδιουπολίτης.

Ὁδός, παρὰ τὸ ἐδός, ἡ πεπατημένη τρίβος. τὸ παράγωγον ὅδιος καὶ ἐνόδιος, καὶ ὅδιος Ἑρμῆς.

1. *δηλοῖ* add. R. *ὀγδόῳ* (25, 4.) om. R. *θηλυκὸν* R. 3. *ἄλσος* add. RV. *Ὅμηρος*] Il. 2, 506. 4. *Ἁλιαρτῶν* ante X. 5. *ἱδρυθὲν* BH, *ἱδρυθῆναι* libri. cf. Eustath. ad Il. p. 270, 14: *Ὀγχηστός, ἄλσος ἐν τῇ Ἁλιαρτίων χώρᾳ ἱδρυθὲν ὑπὸ Ὀγχηστοῦ παιδὸς Βοιωτοῦ, ὅς, φασίν, ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν. ἔστι δὲ καὶ πόλις μεγάλη κατά τινας.* 6. *Βοιωτίας*, quod punctis notat R, inclusi. *ἐνάτῳ*] c. 26, 6. 6. 7. *Ἀπολλώνιος*] Arg. 3, 1241. lacunam, quam indicavi, ita fere expleas: *καθάπερ Ὅμηρος ἄλσος λέγει.* praeterea scriptoris nomen excidisse docet *φησὶ*, quod qui *φασὶ* scripserunt HB, ante *πόλιν* addiderunt *τινὲς δέ*. 7. *φησὶ μεγάλην* R, *μεγάλην φησὶ* AV. 8. *Ἁλιαρτίων* X, *Ἁλιάρτων* V, *Ἁλιαρτῶν* APpR. *Ἀκραιφίων* X, *κραιφίων* libri. 9. *ἐνάτῳ*] c. 26, 6. 10. *Ὀγχοαῖος* R, *Ὀγχιαῖος* AV. 11. *Ὀγχοεύς* B, *Ὀγχεύς* libri. 13. *Ὀδησόν* V. 19. *ἕδος* libri. cf. Etym. M. p. 615, 8: *παρὰ τὸ ἕω τὸ πέμπω ἐδός καὶ ὁδός.*

Ὀδόμαντοι, ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ. καὶ θηλυκὸν Ὀδομαντίς, [καὶ] Ὀδομαντικὴ ἐκ τοῦ Ὀδομαντικός.

Ὀδρύσαι, ἔθνος Θρᾴκης. Στράβων ἑβδόμῃ. λέγεται Ὀδρύσιος καὶ Ὀδρυσία καὶ Ὀδρυσίδαι καὶ Ὀδρυσιάδες θηλυκῶς καὶ Ὀδρυσίς. ἔστι δὲ καὶ *Ὄδρυσα* πόλις αὐτῶν, [ἣ] καὶ *Ὀδρυσία* λέγεται. καὶ Ὀδρύσης λέγεται καὶ Ὀδρυσίτης.

Ὀδυσσεῖς, πόλις Ἰβηρίας. ἀρσενικῶς. καὶ τὸ ἐθνικὸν ὅμοιον, [ἀρσενικὸν δέ,] ὡς Ἀταρνεῖς καὶ Διπαιεῖς.

Ὀζόλαι. Λοκρῶν μοῖραι τρεῖς εἰσιν, Ἐπιζεφύριοι, Ἐπικνημίδιοι, οἱ καὶ Ὀπούντιοι ὧν ἦν Αἴας, οἱ δὲ Ὀζόλαι. λέγεται καὶ Ὀζολὶς ἡ χώρα.

Ὀθρωνός, πόλις, οἱ δὲ νῆσον πρὸς νότον Σικελίας. „ἄλλοι δὲ Μελίτην νῆσον [Ὀθρωνοῦ πέλας"]. ὁ οἰκῶν Ὀθρώνιος.

Οἰάνθη, πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπῃ. Ἑλλάνικος δὲ *Οἰάνθειαν* αὐτήν φησιν. [τὸ ἐθνικὸν] Οἰανθεύς ἐστι καὶ Οἰάνθεια ἢ καὶ Οἰανθίς. ἐξ αὐτοῦ Οἰάνθιος.

---

1. δευτέρᾳ] c. 101. 2. θηλυκὸν W, ἐθνικὸν R, om. AV. καὶ add. M. 3. Ὄδρυσσαι R, Ὄδρυσαι AV. ἑβδόμῃ (p. 88. Kr.) B, ἑπτακαιδεκάτῃ A, ιζ' RV. 4. 5. θηλυκὸν R. 5. δὲ add. R. ἣ add. M. 6. καὶ [ὁ πολίτης] Ὀδρύσης? δρυσίτης R. 7. Ὀδυσσεύς? quemadmodum Ἀταρνεύς καὶ Διπαιεύς et urbium et incolarum nomen est. de Ἀταρνεύς res nota est, de Διπαιεύς vide s. v. Δίπαια. quae nostro vocatur Ὀδυσσεύς sive Ὀδυσσεῖς, eam Ὀδύσσειαν dicit Strabo 3 p. 149. καὶ om. R. 8. ἀρσενικὸν (ἀρσενικῶς R) δέ seclusit M. 9. τρεῖς B, τρισκαίδεκα A, ιγ' ΠRV. 9. 10. Ἐπιζεφύριοι Ἐπικνημίδιοι Salmasius, Ἐπικνημίδιοι Ἐπιζεφύριοι libri. 12. Ὄθρωνός R, Ὄθρωνος AV. νῆσος X. πρὸς νότον Σικελίας] Fallitur. causa erroris, quod non vidit Lycophronem loqui de Melite Illyrica. 13. ἄλλοι — πέλας] Lycoph. 1027. ubi scholiastes: Ὀθρωνός, νῆσος μεταξὺ Ἠπείρου καὶ Ἰταλίας. δὲ om. BH. Μελίτην νῆσον ex Lycophrone BH, Μελιτηνῆς A, Μελιτινῆς RV. Ὀθρώνου πέλας ex Lycophrone add. BH. 15. Εὐρώπῃ M, Ἀσίᾳ libri. cf. in Χάλαιον. 16. τὸ ἐθνικὸν add. B. 16. 17. Οἰανθεύς ἐστι καὶ Οἰάνθεια ἢ M, Οἰανθεύς δ' ἐστι καὶ Οἰάνθειαν ἡ R, Οἰανθεύς δ' ἐστὶ καὶ Οἰανθειαν V, Οἰανθεύς δ' ἐστί, καὶ Οἰάνθειον A, Οἰανθεύς. ἔστι δὲ καὶ Οἰάνθειον B. 17. Οἰανθίς] Nicander

Οἰδάντιον, πόλις Ἰλλυριῶν. Θεόπομπος Φιλιππικῶν τριακοστῷ ὀγδόῳ. τὸ ἐθνικὸν Οἴδαντες, ὥς φησιν Ἑκαταῖος. καὶ Οἰδαντικὴ γῆ.

Οἶκος. Ἡρωδιανὸς μὲν παρὰ τὸ εἴκω, ἐν ᾧ εἴκομεν. δύναται δὲ εἶναι τὸ ἴδιον ἐνδιαίτημα παρὰ τὸ οἶον τὸ μόνον ἐῶ μονούμενος, κατὰ πλεονασμὸν τοῦ κ, ὡς ὅρος ὅρκος. ὁ οἰκήτωρ οἰκεῖος, ὡς ἀστός ἀστεῖος, καὶ οἰκεύς παρὰ τὸ οἶκος, οἰκία καὶ οἰκιάτης κατὰ πλεονασμὸν τοῦ ā ἀπὸ τοῦ οἰκίτης.

Οἰκοῦς, Καρίας πόλις. τὸ ἐθνικὸν Οἰκούσιος καὶ Οἰκουσία καὶ „Οἰκούσιον ἄστυ".

Οἶνα, πόλις Τυρρηνίας ἐχυρὰ λίαν. μέσος δὲ αὐτῆς λόφος ἐστὶν ὑψηλὸς τριάκοντα σταδίων, ἔχων ἄνω καὶ ὕδατα καὶ ὕλην παντοδαπήν, ὡς Ἀριστοτέλης περὶ θαυμασίων ἀκουσμάτων. τὸ ἐθνικὸν Οἰνάτης. οὐκ ἀλλότριος γὰρ ὁ τύπος.

Οἰνειάδαι, πόλις Ἀκαρνανίας πρὸς τῷ Ἀχελῴῳ ἡ καὶ Ἐρυσίχη καλουμένη. τὸ ἐθνικὸν Ἐρυσιχαῖος. λέγεται καὶ Οἰνειάς ἡ χώρα. ἔστι καὶ ἑτέρα τῆς Οἰταίας πόλις Οἰνειάδαι.

Οἰνεών, Λοκρίδος λιμήν. Θουκυδίδης τρίτῃ. τὸ ἐθνικὸν Οἰνεωνεύς.

---

apud schol. Ther. 215: Ῥύπης τε πάγον καὶ Ὀνθίδα λίμνην. legendum puto Ὀανθίδα λίμνην, quod ille pro Οἰανθίδα dixit ut ὀργυόεντα pro ὀργυιόεντα Ther. 216. [ὁ] ἐξ αὐτοῦ Thesaurus L. G. Par. s. v. Οἰάνθη. sed Οἰάνθιος neque ex Οἰάνθεια neque ex Οἰανθίς formari potest. malim igitur [καὶ] ἐξ αὐτοῦ (i. e. ἐκ τοῦ Οἰανθίς) Οἰανθιάς. 4. παρὰ τὸ εἴκω] Vide Lobeck. Rhem. p. 59. 5. 6. παρὰ τὸ οἶον τὸ μόνον ἐῶ μονούμενος κατὰ PpRV, παρὰ τὸ οἰῶ τὸ μόνον ἐῶ κατὰ A, παρὰ τὸ οἶον τὸ μόνον κατὰ Salmasius, παρὰ τὸ οἶος τὸ μόνος κατὰ B. 7. οἰκήτωρ R, οἰκήτης AV. 8. οἰκία abesse malim. τοῦ ā RV, τοῦ κ̄ A. 10. Οἰκούσιον ἄστυ] Nicaeneti verba apud Parthen. Erot. 11. 11. Οἶνα R, Οἰναρέα Aristoteles Mir. hist. 96. quem noster descripsit. Volsinios dici existimat Niebuhr. Hist. rom. 1 p. 126. cf. Müller. Etrusc. vol. 1. p. 379. μέσον RV. 12. ἄνω καὶ RV, ἄνω A. 15. Οἰνιάδαι B contra literarum seriem, nisi hanc sectionem post Οἴνη transponere malis. ἡ om. RV. 16. 17. Οἰνιάς RV. 17. Οἰνειᾶδαι RV. 18. Οἰνεών B, Οἰνιών libri. τρίτῃ] c. 95. 102. 19. Οἰνεωνεύς B, Οἰνωνεύς libri, Οἰνεώνιος probabiliter Thesaurus L. G. Par. s. v. Οἰνεών.

Οἴνη, πόλις Ἄργους. Ἑκαταῖος ἱστοριῶν πρώτῳ. τὸ ἐθνικὸν Οἰναῖος Οἰναία Οἰναῖον. Ὦρος δὲ Οἰνώην αὐτήν φησιν, ἧς τὸ ἐθνικὸν Οἰνωάτης καὶ θηλυκὸν Οἰνωᾶτις Ἄρτεμις, ἡ ἐν Οἰνώῃ τῆς Ἀργείας ἱδρυμένη ὑπὸ Προίτου.

Οἰνόανδα, πόλις Λυκίας. Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν. τὸ ἐθνικὸν Οἰνοανδεύς.

Οἰνόη, μία τῶν ἐν Ἰκάρῳ δύο πόλεων. τὸ ἐθνικὸν Οἰνοαῖος.

Οἰνοῦς, πολίχνιον Λακωνικῆς, ὡς Ἀνδροτίων καὶ Δίδυμος. καὶ τὸ ἐθνικὸν Οἰνούντιος καὶ Οἰνουντιάς.

Οἰνοῦσσαι, νῆσοι τῇ Χίῳ προσεχεῖς. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Οἰνουσσαῖος καὶ Οἰνούσσιος.

Οἰνώνη, νῆσος τῶν Αἰακιδῶν. οἱ οἰκήτορες Οἰνωναῖοι, ὡς Παρθένιος Ἡρακλεῖ.

Οἰνωτρία, χώρα τῆς Ἰταλίας. τινὲς δὲ καὶ αὐτὴν Ἰταλίαν οὕτω φασὶ κεκλῆσθαι ἀπὸ Οἰνώτρου Ἀρκάδος, ὡς Παυσανίας ὀγδόῳ. Πείσανδρος τρισκαιδεκάτῳ ἀπὸ τῆς τοῦ οἴνου χρήσεως κεκλῆσθαι αὐτήν φησι. τὸ ἐθνικὸν Οἰνωτρός, ὡς

---

Προγάσεια, πόλις Λυδίας, ἀπὸ Προγάσου τοῦ υἱοῦ Μελάμπου. τὸ ἐθνικὸν Προγασεύς.

---

quoties nostro restitui ex fide codicum et constanter fere exhibent optimi libri Strabonis, cui nescio an libris addicentibus ubique reddenda sit. cf. Kramerum ad vol. 1 p. 171. *παρὰ* X, *ἀπὸ* PpRV, *ἄπο* A. 1. *Πρίαισος* libri. 4. *Πριηπεύς* Schubartus, *Πριηπός* libri. *Πριαπῆς* sunt in Catal. trib. no. 23. 6. *Πριηνεύς*] *Πριανῆς* memorantur in Catal. trib. no. 4. et in titulo apud Boeckh. vol. 2 p. 573. 8. *Πρίνασσος* libri. 9. *Πρίολα* libri, *Πριόλα* Schneiderus ad Nicandri Alex. 15. afferunt schol. Apoll. Rh. 2, 780: *Πριόλας δὲ ἀδελφὸς Λύκου καὶ Πριόλα πόλις πλησίον Ἡρακλείας.* ac nescio an *Πριόλα* pro genitivo habendum, et *Πριόλα πόλις* dictum sit ut *Πιτάου πόλις*, *Πομπηίου πόλις* et alia innumera. favet Nicander l. l. *ἄστυρα Πριόλαο* urbem illam dicens. hoc si verum est, Stephanus fortasse scripsit: *Πριόλα* [*πόλις*], *πόλις*. videtur etiam alia huius nominis forma fuisse *Πριολάειον*, ad quam pertinere puto gentile *Πριολαεύς*, ut *Μιδάειον Μιδαεύς*, *Δορυλάειον Δορυλαεύς* etc. quamquam *Πριολαεύς* etiam ad *Πριόλα πόλις* revocari potest nota figura quam noster *ἓν ἀπὸ δυοῖν παρηγμένον* appellat, quemadmodum e. c. *Μοψεάτης* a *Μόψου ἑστία*. 14. *Προβαλίσιος* R, *Προβαλήσιος* V, *Προβαλίνθιος* A. 15. *δὲ* om. V. *ὁ δῆμος*? ita *Τρικόρυνθος* utroque genere dicitur. nisi *ὁ δημότης* ex superioribus per errorem repetitum dicas.

Πρόκλη, πόλις Λυδίας. τὸ ἐθνικὸν Προκλαῖος.

Προκόννησος, μία τῶν Σποράδων ἐν τῇ Προποντίδι. ὁ πολίτης Προκοννήσιος.

Προνάσται, ἔθνος Βοιωτίας. „Βοιωτῶν δέ τινες τὸ πάλαι [ἔθνος] Προνάσται καλέονται".

Πρόνεκτος, πόλις Βιθυνίας πλησίον τῆς Δρεπάνης, ἣν ἔκτισαν Φοίνικες.

Πρόπαλαι, πόλις Σικελίας. τὸ ἐθνικὸν Προπαλαῖος. ἔστι δ' ὡς Ἐπιπολαῖος.

Προξενούπολις, περὶ Ναύκρατιν. ὁ πολίτης Προξενοπολίτης ὡς Ἑρμοπολίτης.

Προποντίς, ἡ πρὸ τοῦ πόντου τοῦ Εὐξείνου θάλασσα καὶ γῆ Βυζαντίων. ὁ οἰκήτωρ Προποντίτης καὶ Προπόντιος. καὶ Προποντὶς ἡ θάλασσα.

Προσέληνοι, οἱ Ἀρκάδες. καὶ Προσεληνίς τὸ θηλυκόν.

Πρόσπαλτα, δῆμος Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Προσπάλτιος. τὰ ἐθνικὰ Προσπαλτόθεν Πρόσπαλτάδε Προσπαλτοῖ.

Προστρόπαια, πόλις Σικελίας, οὐδετέρως. τὸ ἐθνικὸν Προστροπαῖος.

Πρόσυμνα, μοῖρα τοῦ Ἄργους. ὁ οἰκήτωρ Προσυμναῖος.

Πρόσχιον, χώρα Αἰτωλίας. τὸ ἐθνικὸν Προσχιεύς ὡς Σούνιον Σουνιεύς.

Προσωπίς, πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Προσωπίτης, ὡς Ναυκρατίτης καὶ ὅσα τοιαῦτα. [λέγεται καὶ *Προσωπῖτις*.]

---

2. *Προκόννησος* et 3. *Προκοννήσιος* RV, simplici ν̄ A. vide p. 121. *Προκόνησος* metri causa aliquoties scripsit Paulus Silent. descr. Soph. e. c. 159 et 189. 4. 5. *Βοιωτίας — ἔθνος* om. V. *τὸ* add. R. 5. *πάλαι* GDindorfius, *παλαιὸν* libri. *ἔθνος* seclusit idem. *καλέονται* RV, *καλοῦνται* A. videntur Hecataei vel Hellanici verba esse. 8. *Προπολαί* et *Προπολαῖος*? 10. *Ναυκρατίαν* libri. 10. 11. *Προξενουπολίτης* RV. 15. *Προσεληνίς* GDindorfius, *Προσεληνία* libri. 25. 26. *λέγεται καὶ Προσωπῖτις* om. RV.

Προσωπῖτις, νῆσος Αἰγύπτου. λέγεται καὶ *Προσωπίς*. ὁ πολίτης Προσωπίτης, τὸ θηλυκὸν Προσωπῖτις.

Πρόσωπον, νῆσος οὐ πόρρω Καρχηδόνος. τὸ ἐθνικὸν Προσωπίτης καὶ Προσώπιος.

Προῦσα, τῆς Προυσιάδος διαφέρει. ἡ μὲν γὰρ *Προυσιὰς* Βιθυνίας, ἀπὸ Προυσίου τοῦ Ζηίλα τοῦ Βιθυνῶν βασιλέως, ἡ *Κίος* πρότερον ὀνομασθεῖσα, ἧς ὁ πολίτης Προυσιεύς· ἡ δὲ *Προῦσα* καὶ αὐτὴ μὲν πόλις μικρὰ Βιθυνίας, κτίσμα Προυσίου τοῦ πρὸς Κῦρον πολεμήσαντος. ταύτης τὸ ἐθνικὸν Προυσαεύς, ὡς τῆς Νῦσα Νυσαεύς.

Προχύτη, νῆσος Σικελίας. τὸ ἐθνικὸν Προχυταῖος.

Πρυμνησία. πόλις Καρίας, ἣν ἔκτισε Μίμαιθος. τὸ ἐθνικὸν Πρυμνησιεὺς ὡς Θεοδοσιεύς.

Πρώανα, πόλις Θεσσαλική, οὐδετέρως λεγομένη. τὸ ἐθνικὸν Πρωανεὺς ὡς Τυανεὺς Ἀδανεύς.

Πρωτή, ὀξυτόνως, νῆσος παρὰ τῇ Σφακτηρίᾳ καὶ Πύλῳ. τὸ ἐθνικὸν Πρωταῖος.

Πτελέα, δῆμος Οἰνηίδος φυλῆς. ὁ δημότης Πτελεάσιος. τὰ τοπικὰ Πτελέαθεν Πτελέανδε Πτελέασιν. ἔστι καὶ πόλις· οὕτω γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο. τὸ ἐθνικὸν Πτελεαῖος.

Πτελεόν, πόλις Ἰωνίας καὶ Τρῳάδος καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν, οὐδετέρως. καλεῖται δὲ ὅτι πολλὰς ἔχει

---

1. 2. *Προσωπῖτις νῆσος — τὸ θηλυκὸν Προσωπῖτις* add. RV. 4. *Προσωπῖτις* R. *καὶ* R, *ἢ* AV. 6. *Ζηίλα τοῦ*] *Ζηιλάτου* R, *Ζιηλάτου* AV, *Ζιήλα τοῦ* H. 7. *Κῖος* H, *Κεῖος* libri. 8. *μικρὰ* om. V. 9. *πρὸς* H, *καὶ* RV, om. A. *Κῦρον*] Non minus vitiose apud Strab. 12 p. 564 *Κροῖσον* legitur. *Κίερον* conicit Vaillant. de Arsac. imp. 2 p. 319. cll. Wesselingio ad Hierocl. p. 693. 10. *Νῦσα* aut *Νύσης* M, *Νύσας* PpRV, *Νύσσας* A. *Νυσαεύς* PpRV, *Νυσσαεύς* A. 11. *νῆσος [πρὸ τῆς] Σικελίας* X. 12. *Μίμαιθος*] Vide ad *Σύρνα*. 16. *παρὰ* W, *ἀπὸ* libri. *τῇ Σφακτηρίᾳ καὶ Πύλῳ* R, *τῆς Σφακτηρίας καὶ Πύλου* A, *τῆς Σφακτηρίας καὶ Πύλῳ* V. 19. *Πτελέαθεν* R, *Πτελεάθεν* AV. *Πτελέασιν* V, *Πτελεᾶσιν* R, *Πτελεάσιν* A. 20. *Πτελεαῖος* B, *Πτελαῖος* libri. 21. *Πτελέον* libri. *Ἰωνίας*] Memoratur etiam Plinio NH. 5, 31. vix diversa a Ptelea, vetere Ephesi nomine. 21. 22. *περὶ Θετταλίαν* H

πτελέας. ὁ πολίτης Πτελεάτης καὶ Πτελεούσιος, καὶ Πτελεεῖς ὡς Φενεεῖς.

Πτέριον, πόλις Μήδων. τινὲς δὲ **Πτερά** οὐδετέρως τὴν ἀκρόπολιν Βαβυλῶνος. λέγεται καὶ θηλυκῶς ἡ **Πτερία**. ἔστι καὶ **Πτερία** πόλις Σινώπης. τὸ ἐθνικὸν τῆς Μηδικῆς Πτεριηνός, τῆς δ' ἐν τῇ Σινώπῃ Πτέριος.

Πτολεμαΐς, πόλις Φοινίκης. ἐκαλεῖτο δὲ πρότερον **Ἀκή** ἀπὸ τῆς ἰάσεως τοῦ γενομένου δήγματος Ἡρακλεῖ ὑπὸ ὄφεως. ὁ πολίτης Πτολεμαΐτης καὶ Πτολεμαιεύς.

Πτυχία, νῆσος παρὰ τῇ Κερκύρᾳ. τὸ ἐθνικὸν Πτυχιεύς, ὡς Ὑρία Ὑριεύς.

Πύγελα, πόλις Ἰωνίας. ὁ πολίτης Πυγελεύς.

Πυγμαῖοι, ἔθνος, ἀπὸ Πυγμαίου τοῦ Δώρου τοῦ Ἐπάφου.

Πύδης, πόλις καὶ ποταμὸς Πισιδίας. τὸ ἐθνικὸν Πυδήσιος, ὡς Φαγρήσιος καὶ Μαγνήσιος, οὗ τὸ Μαγνησία.

Πύδνα, πόλις Μακεδονίας. ὁ πολίτης Πυδναῖος.

Πυῆνις, πόλις Κόλχων. τὸ ἐθνικὸν Πυηνίτης τῷ λόγῳ τῶν εἰς ῑς ληγόντων.

Πύθιον, τὸ πάλαι μεσαίτατον τῆς ἐν Κρήτῃ Γόρτυνος. οἱ κατοικοῦντες Πυθιεῖς καὶ οἱ τὸ Πύθιον οἰκοῦντες. ἐν ᾧ Ἀπόλλωνος ἱερόν ἐστι. καὶ Μακεδονίας **Πύθιον**, ἐν ᾧ καὶ

---

ex Eustathio ad Hom. p. 297, 27. et 324, 41. περιθαλαττίαν V, παραθαλαττίαν R, παραθαλαττίων A. 1. Πτελεάσιος PrR. recte legi videtur Πτελεούσιος, cui similia sunt Ἀμούσιος Ἀλούσιος Θραμβούσιος Λαμούσιος Λιβανούσιος Λινούσιος Μαραθούσιος alia, quorum primitiva etsi fere in ο̄ς terminantur, gentilicia tamen sic formata sunt, ac si descendant a nominibus in ο̄ῦς vel ο̄ῦσσα exeuntibus. 3. Πτερά] V. Buttmann. Mus. Antiqu. stud. vol. 2 p. 491. 4. Βαβυλῶνα PpR. 5. Σινώπις V. 10. ἀπὸ pro παρὰ R. 13. ἀπὸ om. V. 14. ποταμὸς] Antimachus fr. 106: Πύδητος τηλεκλείτου ποταμοῖο. 15. Μαγνήσιος] Horkelius Μενδήσιος, sequentibus omissis. 17. Πυήνης PpR. infra Τυῆνις. 19. post πάλαι aliquid excidisse videtur. Γόρτυνος R, Γορτῦνος Pp, Γορτύνης A. 20. Πυθιεῖς bis R. itaque possis: οἱ κατοικοῦντες Πυθιεῖς „καὶ Πυθιεῖς οἱ τὸ Πύθιον οἰκοῦντες, ἐν ᾧ Ἀπόλλωνος ἱερόν ἐστι". sed nihil muto. cf. ad p. 449, 2. 21. Ἀπόλλωνος — ἐν ᾧ om. R.

τὰ Πύθια ἐπιτελεῖται. Πύθιος οὖν τὸ ἐθνικόν. ἔστι καὶ Πύθιον πλησίον τοῦ Ἀστακηνοῦ κόλπου. οἱ κατοικοῦντες Πυθιανοὶ καλοῦνται καὶ Πυθιανὰ ποτήρια.

Πυθόπολις, Καρίας πόλις, ἡ μετὰ ταῦτα κληθεῖσα Νῦσα. Πυθόπολις ἀπὸ Πυθοῦ περισπωμένως, ὡς ἀπὸ τῆς Ἑρμοῦ γενικῆς Ἑρμόπολις. ὁ δὲ Πυθῆς τοσοῦτον πλουσιώτατος ἦν, ὥστε τὸν Ξέρξην ὑποδεξάμενος ἑκάστῳ τῶν στρατιωτῶν ἀνὰ ἓξ δαρεικοὺς χρυσοῦς παρέσχεν. ὁ πολίτης Πυθοπολίτης ὡς Ἑρμοπολίτης. ἔστι καὶ ἄλλη Πυθόπολις Μυσίας.

Πυθώ, ἡ τοῦ Ἀπόλλωνος πόλις. „Πυθοῖ ἐν ἠγαθέῃ". τὸ ἐθνικὸν Πυθῷος, ὡς Λητώ Λητῷος, καὶ Πύθιος καὶ Πυθία καὶ Πυθιάς ὡς Ἑλικωνιάς, καὶ Πύθιον, καὶ πυθαΐζειν, ἀπὸ τοῦ Πυθαῖος διαλύσεως γενομένης, καὶ πυθαϊστής. καὶ τὸ τοπικὸν Πυθῶθεν διὰ τοῦ ω ὡς Κριῶθεν, καὶ μετὰ συστολῆς Πυθόθεν ὡς Λεσβόθεν. καὶ Πυθοῖ τὸ ἐν τόπῳ. καὶ παρὰ τὴν Πυθώ Πυθεύς ὡς Ἐνυώ Ἐνυεύς, καὶ ἀπὸ τῆς Πυθῆος γενικῆς ἰωνικῆς Πύθιος, ἐξ ἧς τὸ Πυθήιος κτητικὸν καὶ Πυθαιεύς καὶ Πυθαεύς ὡς Κρηταεύς.

Πύλαι, τόπος Ἀρκαδίας. καὶ Πυλαία. τὸ ἐθνικὸν Πυλαιίτης. λέγεται καὶ Πύλαια τὸ οὐδέτερον ἐπὶ τῆς θυσίας.

---

1. ἐτελεῖται V. ἔστι add. PpR. 2. Ἀστακοῦ R. huius Pythii memoria latere videtur apud Aristot. Mir. ausc. 74.: ἐν Ἡρακλείᾳ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥηγίῳ γίνεσθαί φασιν ὀρυκτοὺς ἰχθύας. pro Ῥηγίῳ, quod ferri non potest, cod. Vind. Ῥυθίῳ. legendum igitur Πυθίῳ. 5. Νύσσα libri. 7. ὥστε Thesaurus L. G. Parisinus, ὅτι libri. 9. ὡς Ἑρμοπολίτης add. R. 10. Πυθοῖ ἐν ἠγαθέῃ] Hom. Od. 8, 80. Stephanus totum locum posuerat: ὣς γάρ οἱ χρείων μυθήσατο Φοῖβος Ἀπόλλων Πυθοῖ ἐν ἠγαθέῃ. 11. Λητώιος Pp. καὶ Πύθιος om. R. 12. πυθαΐζειν Salmasius, πυθιάζειν libri. 13. πυθέος R. 14. τὸ om. R. 15. Πυθόθεν] Huic simillimum est ἠόθεν, quod Dionysio restituendum conieci p. 195, 5. 16. πειθώ πειθεύς R. 16. 17. τῆς Πυθοῦς γενικῆς ἰωνικὴ Πυθῆος Pp, τοῦ Πυθοῦς γενικῆς ἰωνικὴ Πύθιος V, τοῦ Πυθὼ γενικῆς Πύθιος R, τῆς Πυθίος γενικῆς ἰωνικῆς Πυθίος Pr. fortasse: ἀπὸ τοῦ Πυθεύς γενικὴ ἰωνικὴ Πυθῆος. 19. 20. Πυλαΐτης R.

καὶ τὸ ἐπίρρημα Πυλαιόθεν. τὸ ἐθνικὸν Πυλάτης, τὸ θηλυκὸν Πυλᾶτις.

Πυλήνη, πόλις Αἰτωλίας. τὸ ἐθνικὸν Πυλήνιος. τὸ θηλυκὸν Πυληνίς.

Πύλος, πόλις ἐν Μεσσήνῃ. ἐκαλεῖτο δὲ Κορυφάσιον. τὸ ἐθνικὸν Πύλιος καὶ Πυλαῖος. λέγεται καὶ θηλυκῶς καὶ ἀρσενικῶς. τρία τοίνυν ἐθνικά, Πύλιος Πυλαῖος Πυλίων.

Πύξις, πόλις ἐν μεσογαίῃ τῶν Οἰνώτρων. [Ἑκαταῖος Εὐρώπῃ.] τὸ ἐθνικὸν Πύξιος.

Πυξοῦς, πόλις Σικελίας, κτίσμα Μικύθου. ὁ οἰκήτωρ Πυξούντιος.

Πυραία, μοῖρα Θεσσαλίας, ὠνομασμένη ἀπὸ Πύρας. ὁ οἰκήτωρ Πυραῖος.

Πυραμίδες, ἐν Αἰγύπτῳ, κτίσμα ... εἰς ὃ λέγεται ἀνηλωκέναι κρομμύων καὶ σκορόδων καὶ τυροῦ τάλαντα μύρια πεντακόσια. ὠνομάσθησαν δὲ πυραμίδες ἀπὸ τῶν πυρῶν, οὓς ἐκεῖ συναγαγὼν ὁ βασιλεὺς ἔνδειαν ἐποίησε σίτου κατὰ τὴν Αἴγυπτον.

Πύραμος, ποταμὸς ἐν Μαλλῷ τῆς Κιλικίας. ἐκαλεῖτο δὲ πρότερον Λευκόσυρος.

---

1. *Πυλαιόθεν*] Vide p. 527. 2. *Πυλᾶτις*] *Πυλίτης* RV. respicitur Soph. Trach. 638: *Πυλάτιδες ἀγοραί*. 5. *Μεσήνῃ* RV. 7. *Πυλίων*] Patronymicum pro gentili, ut *Βουπρασίων* et *Καδμείων*, quae noster componit p. 182, 18. 8. *Πύξις*] Malim propter gentile *Πύξος*, ut est apud Arcad. p. 66, 12. *μεσογαίῃ* R, *μεσογείῃ* AV, *μεσογείᾳ* X. 8. 9. *Ἑκαταῖος Εὐρώπῃ*] Haec in libris omissa hic eo minore errandi periculo addi potuerunt, cum ipsum illud *μεσογαίῃ* ionicum auctorem prodat. cf. supra p. 513. ceterum Hermanno (Opusc. vol. 5 p. 179) Pyxin non diversam statuenti a Buxento nescio an adversetur quod Buxentum in ipso maris littore situm fuisse constat e Strab. 6 p. 253. 10. *Ἰταλίας* Cluverius. vide ad *Σινόεσσα*. *Μικύθου* PpRV, *Μιάνθου* A. 12. *Πυρραία* H. sane hanc formam usus postulat (Anall. Alex. p. 186), respuit autem literarum ordo, nisi hoc tmema suo loco (post *Πύρρα*) motum dicas. 14. indicavi lacunam. 15. *κρομύων* V. 19. *Μαλλῷ* R, *Μαλῷ* A, *Μάλῳ* PpV.

Πύρανθος, πόλις μικρὰ ἢ κώμη Κρήτης περὶ Γόρτυνα. οἱ κατοικοῦντες Πυράνθιοι.

Πύρασος, πόλις Φθίας. κέκληται δὲ διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον. τὸ ἐθνικὸν Πυρασαῖος.

Πύργησσα, πολίχνιον Ἰταλίας. ὁ πολίτης Πυργησσαῖος.

Πύργοι, πόλις Μεσσήνης. τὸ ἐθνικὸν Πυργῖται.

Πυρήνη, ὄρος Εὐρώπης. καὶ Πυρηναία πόλις Λοκρίδος.

Πύρινδος, πόλις Καρίας. τὰ εἰς ο̅ς̅ καὶ εἰς α̅ εἰς ε̅υ̅ς̅ ἔχει τὸ ἐθνικόν.

Πύρνος, ὡς Κύρνος, πόλις Καρίας. οἱ πολῖται Πύρνιοι.

Πύρρα, πόλις ἐν Λέσβῳ. ὁ πολίτης Πυρραῖος. ἔστι καὶ κώμη Λιγυστική. ἔστι καὶ νῆσος.

Πυρωναία, πόλις Λοκρίδος ἀπὸ Πύρωνος „Λοκρῶν ἀγυιαὶ καὶ Πυρωναῖαι νάπαι".

Πῶλις καὶ Σῆνος, πόλεις [Αἰγύπτου] ἐν νήσοις. ὁ μὲν Πωλίτης, ὁ δὲ Σηνικός.

Ῥάβα, πόλις πρὸς τῷ Ἰονίῳ κόλπῳ. τὸ ἐθνικὸν Ῥαβαῖος, ὡς Βάββα Βαββαῖος.

Ῥαβάθμωβα, πόλις τρίτης Παλαιστίνης, ἡ νῦν Ἀρεόπολις. ὁ πολίτης Ῥαβαθμωβηνός.

---

5. Πύργησα R. 6. Μεσσήνης R, Μεσήνης AV. 7. Πυρηναία] Πυραῖα R. 8. Πύρινδος libri, Πήρινθος errore typographico X, unde Πέρινθος BW et Thesaurus Parisinus. τὰ om. R. εἰς ο̅ν̅ RV. εἰς ε̅υ̅ς̅] καὶ εἰς ε̅υ̅ς̅ RV. 10. Κύρνος B, Οὖρνος libri. 11. πόλις ὡς ἐν Λέσβῳ RV, in quibus quum ὡς ex καὶ corruptum videatur, suspiceris: πόλις [Καρίας.] καὶ ἐν Λέσβῳ. v. Strabon. 14 p. 636. 12. νῆσος] V. Strabon. 9 p. 435. 13. Πύρωνις RV. 13. 14. Λοκρῶν ἀγυιαὶ X ex Lycophr. 1149, λωκιαναὶ libri. 14. Πυρωναία R, Πυρωναῖοι Pp, Πυράνθιοι libri Lycophronis, e Stephano corrigendi. 15. Πῶλις] Cf. ad Πόλις. πόλεις H, πῶλις R, πύλις AV. Αἰγύπτου additum ex nostro in Σῆνος. νήσοις [ὁμωνύμοις]? praeterea his addidit Stephanus sine dubio ὡς Ἑκαταῖος Λιβύῃ. vide in Σῆνος. 15. 16. [τὸ ἐθνικὸν] οὗ μὲν Πωλίτης (Πολίτης R) οὗ δὲ Σηνικός? nisi haec scriptoris alicuius verba sunt. 17. Ἰωνίῳ V. 19. Ῥαβάθμωβα et 20. Ῥαβαθμωβηνός RV, Ῥαβάθμωνα et Ῥαβαθμωμηνός A.

Ῥαββατάμμανα, πόλις τῆς ὀρεινῆς Ἀραβίας. λέγεται δὲ οὐδετέρως. τὸ ἐθνικὸν Ῥαββαταμμανηνός.

Ῥάβεννα, πόλις Ἰταλίας. Ἕρμιππος ὁ Βηρύτιος Ῥούενναν αὐτὴν καλεῖ. Διονύσιος δ' ἐν ἑκκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ πληθυντικῶς καὶ διὰ τοῦ η καὶ δι' ἑνὸς ν „ἀμφότεροι ἀπήντησαν Φλουμίῳ περὶ τοὺς καλουμένους Ῥαβηνούς". τὸ ἐθνικὸν Ῥαβεννάτης, παρὰ τοῖς Ἰταλοῖς Ῥαβεννήσιος.

Ῥάγα, πόλις ἐν Μηδίᾳ [τὸ ἐθνικὸν τῆς μὲν Ῥαγός Ῥάγιος, τῆς δὲ Ῥάγαι Ῥαγηνός ὡς Καρρηνός.] ἐκτισμένη ὑπὸ Σελεύκου τοῦ Νικάτορος. ἐκαλεῖτο δὲ *Εὐρωπός*. μετωνομάσθη δὲ καὶ *Ἀρσάκη* ἀπὸ Ἀρσάκου βασιλέως Περσῶν. ἔστι νῆσος Λυκίας Ῥάξ, ἀλλὰ ταύτης μὲν τὸ ἐθνικὸν Ῥάγιος, τῆς δὲ πόλεως Ῥαγηνός.

Ῥαδανουσία, πόλις Μασσαλίας. τὸ ἐθνικὸν Ῥαδανουσιεύς.

Ῥαία, πόλις μεταξὺ Σκυθίας καὶ Ὑρκανίας. τὸ ἐθνικὸν Ῥαιαῖος.

---

2. Ῥαββαταμμαντηνός R, Ῥαββατυμμαρηνός V, Ῥαββαταμμηνός A. 3. 4. Ῥαούενναν Pinedo, Ῥοΰενναν H. 5. πληθυντικὸς R, ἀρσενικῶς Pinedo. 6. Φλουμίῳ PpRV, Φλαμίῳ APr, Φλαβίῳ W. an Οὐολουμνίῳ? Volumnius iis vixit temporibus, quorum historiam Dionysius libro decimo sexto exposuit. 6. 7. περὶ τοὺς καλουμένους Ῥαβηνούς M, περὶ τὸν καλούμενον Ῥαβηνόν A, περὶ τοῦ καλουμένου Ῥαβηνοῦ RV, περὶ τῶν καλουμένων Ῥαβηνῶν W. 7. παρὰ τοῖς R, παρ' AV. 9. Ῥαγαί scribitur apud Athen. 12 p. 513 f. Ῥάγεια apud Strab. 11 p. 524. Ῥάγα apud Isidorum Charac. p. 187. Μηδείᾳ R. 9. 10. τὸ ἐθνικὸν — Καρρηνός seclusit H. 10. Ῥάγαι R, Ῥάγας AV. Καρηνός R. 10. 11. Σελευκοῦ vulgo. 11. Ὠρωπός Schubartus propter ea quae leguntur s. v. Ὠρωπός, ubi vide quae annotavimus. 12. καὶ om. R. Ἀρσάκη lacuna indicata om. R. rectius fortasse supra p. 125. scribitur Ἀρσακία. atque ita etiam quem noster h. l. sequitur Strabo 11 p. 524. ἔστι [καὶ] νῆσος? 13. inter Λυκίας et Ῥάξ lacunam habet V. 14. Ῥαγηνός] Ῥαβοννῆς R, Ῥαβυνός P, Ῥαγονός V. post Ῥαγηνός fortasse excidit et ex superioribus add. ὡς Καρρηνός. 15. Ῥαδανουσία ex Ῥοδανουσία corruptum putat H. Μασσαλίας X, Μασαλίας AR, Μασαυλίας V. 15. 16. Ῥαδανούσιος Dindorfius.

Ῥαιτοί, Τυρρηνικὸν ἔθνος.

Ῥάκηλος, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Ῥακήλιος.

Ῥακῶτις. οὕτως ἡ Ἀλεξάνδρεια πρότερον ἐκαλεῖτο. ὁ οἰκήτωρ Ῥακωτίτης.

Ῥαμνοῦς, δῆμος τῆς Αἰαντίδος φυλῆς. ὁ δημότης Ῥαμνούσιος καὶ Ῥαμνουσία καὶ Ῥαμνουσίς. τὰ τοπικὰ Ῥαμνουντόθεν Ῥαμνοῦντάδε καὶ Ῥαμνοῦντι.

Ῥάπτα, ἡ μητρόπολις τῶν ἐντὸς Αἰθιόπων. οἱ οἰκήτορες Ῥάψιοι. καὶ Ῥάπτα ὅρμος καὶ Ῥάπτος ποταμός. ἔστι δὲ καὶ μητρόπολις τῆς Βαρβαρίας [τὰ] Ῥάπτα καὶ αὐτὴ καλουμένη.

Ῥαρεντός, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥαρεντῖνος.

Ῥάριον πεδίον ἐν Ἐλευσῖνι. καὶ Ῥαρία γῆ. καὶ Ῥαριὰς ἡ Δημήτηρ.

Ραῦκος, πόλις ἐν μεσογείῳ τῆς Κρήτης. τὸ ἐθνικὸν Ῥαύκιος καὶ Ῥαυκία.

Ῥαφάνεια, πολίχνιον Συρίας. ὁ πολίτης Ῥαφανεώτης. τῶν δὲ εἰς ωτης ἐθνικῶν τὰ πολλὰ τὸ ι πρὸ τοῦ ω ἔχει, Πηλιώτης Φθιώτης, σπάνια δὲ τὸ ε καὶ σχεδὸν ἀπὸ τῆς ει συσταλέντα, Ἡρακλεώτης. οὕτω καὶ Ῥαφανεώτης.

Ῥάφεια, πόλις Συρίας. ὁ πολίτης Ῥαφεώτης. ἐκλήθη δὲ ἀπὸ τῆς ἱστορίας τῆς περὶ τὸν Διόνυσον.

---

1. Τυρρηνῶν supers. Τυρρηνικὸν R. 2. Ῥακκήλιος V. 3. Ῥακώτης ante H. 8. Ῥάπτρα ἡ R, Ῥάπται AV. ἐντὸς H, ἐν τοῖς libri. v. Ptolem. 4. ult. 9. Ῥάπτρα ante H. Ῥάπτρος RV. 10. Βαρβαρίας] Hanc non diversam esse a superiore monuit H. τὰ seclusit M. Ῥάπτα H, Ῥάπτρα AR, Ῥόπτρα V. 11. Ῥάρεντος libri. 12. Ῥάριον] De spiritu cf. Hermannus ad Hymn. Cer. 450 et in Schneidewini Philol. vol. 1 p. 584. 12. 13. Ῥαριάς ἡ Δημήτηρ] V. Herodianum dict. sol. p. 34, 7: τὸ γὰρ Ῥαρίδος Δηοῦς παρ' αὐτὸ (Ῥάρος) γέγονε. 14. Ῥαῦκος] Non diversa ab ea quae Δραῦκος vocatur Lycophr. 1304. ubi est Σκαμάνδρῳ Δραυκίῳ. monuere iam alii. μεσογαίᾳ R. 16. Ῥαφάνεια H, Ῥαρανέαι AV, Ῥαφαναί R. Ῥαφανέαι etiam Hierocles Synecd. p. 397, 30. 17. δὲ add. RV. τὰ X, κατὰ libri. 18. Πηλειώτης V. τῆς εἰς ει R, τῆς εἰς ε V. 20. Ῥαφιώτης R, Ῥαφιώτης AV.

Ῥέάτιον, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥεατῖνος, ὡς τοῦ Ῥήγιον Ῥηγῖνος.

Ῥεμουρία, πόλις πλησίον Ῥώμης. τὸ ἐθνικὸν Ῥεμουριάτης καὶ Ῥεμουριανός.

Ῥέσαλα, πόλις Ὀμβρικῶν. τὸ ἐθνικὸν Ῥεσαλῖνος τῷ τῆς χώρας ἔθει.

Ῥέσινα, πόλις περὶ τὸν Ἄβορον ποταμόν. καὶ εἰ μὲν ὡς Αἴγινα τονωθείη, τὸ ἐθνικὸν Ῥεσινάτης, εἰ δὲ ὡς Τερῖνα, Ῥεσιναῖος. Ῥεσινάτης δὲ ἄμεινον.

Ῥῆβας, ποταμὸς παρὰ τῷ Πόντῳ. ἔστι καὶ χώρα, οὗ τὸ ἐθνικὸν Ῥηβαῖοι.

Ῥήγιλλος, Σαβίνων πόλις.

Ῥήγιον, πόλις Ἑλληνίς. ὁ πολίτης Ῥηγῖνος, τὸ θηλυκὸν Ῥηγίνη, καὶ Ῥηγῖνον τὸ οὐδέτερον.

Ῥῆγμα, πόλις, ὡς Ἅρμα. καὶ κόλπος *Ῥῆγμα* περὶ τὸν Περσικὸν κόλπον. τὸ ἐθνικὸν Ῥηγματίτης.

Ῥήνη, νῆσος μικρὰ πλησίον Δήλου. λέγεται καὶ *Ῥηνίς* καὶ *Ῥηναία*. καὶ Ῥηναιεύς καὶ Ῥήνιος.

Ῥῆνοι, ἔθνος παροικοῦν τῷ Ῥήνῳ τῷ ποταμῷ καὶ ἀπ' αὐτοῦ καλούμενοι.

Ῥιζηνία, πόλις Κρήτης. ὁ πολίτης Ῥιζηνιάτης.

---

1. *Ῥεατηνός* V. 2. *Ῥηγινός* A, *Ῥηγηνός* RV. 5. *Ῥεσαλῖνος* H, *Ῥεσαληνός* libri. 7. *πόλις* [*Μεσοποταμίας*]? *παρὰ* R. *Ἄβορον*] Is *Ἀβόρρας* dicitur Strab. 16 p. 747. *Χαβώρας* Ptolem. 5, 18. *Ἄβωρ* Reg. 4, 17, 6. quae attulit H. *Ἀβόρραν* ex Strabone corrigit GDindorfius. 8. *τονηθείη* libri. *Τερῖνα* Lobeck. Pathol. p. 223, *Τέρινα* libri. 9. *Ῥεστιναῖος* V. *Ῥεσινάτης δὲ* lacuna indicata om. R. 12. *Ῥήγιλλος, Σαβίνων πόλις*, quae libri post *Ῥῆνοι* articulum habent, fortasse ex margine illata sunt. 13. *Ῥήγιον* R, *Ῥήγινον* AV. 17. *Δήλου πλησίον* RV. 18. *Ῥηνέα* R, *Ῥήνεια* H. *Ῥηναία* tuetur Catal. trib. no. 9. ubi *Ῥηναιῆς*, et no. 44. ubi *Ῥηναῖοι* memorantur. rectius fortasse *Ῥήναια*, quamvis repugnante Lobeckio Paral. p. 302. *τὸ ἐθνικὸν Ῥηναῖος καὶ Ῥηναία* probabiliter ante *καὶ Ῥηναιεύς* add. H. 19. *παροικοῦν τῷ* X, *παροικούντων* libri. 20. *καλούμενον*?

Ῥίζις, ἄκρα μεγάλη, ἣν οἰκοῦσι Τρωγλοδύται. οἱ κατοικοῦντες Ῥιζῖται. δύναται καὶ Ῥίζις Ῥίζιος Ῥιζιανός ὡς Φασιανός.

Ῥιζοῦς, πόλις Θεσσαλίας. τὸ ἐθνικὸν Ῥιζούντιος.

Ῥίζων, πόλις τῆς Ἰλλυρίας καὶ ποταμὸς ὁμώνυμος. ὁ πολίτης Ῥιζωνίτης.

Ῥιθυμνία, πόλις Κρήτης. τὸ ἐθνικὸν Ῥιθυμνιάτης καὶ Ῥιθύμνιος.

Ῥινοκούρουρα, πόλις Αἰγύπτου „ἀπὸ τῶν εἰσῳκισμένων ἐκεῖ τοπαλαιὸν ἀνθρώπων τὰς ῥῖνας ἠκρωτηριασμένων οὕτω καλουμένη". τὸ ἐθνικὸν Ῥινοκουρουραῖος καὶ Ῥινοκουρουρίτης.

Ῥίον, πόλις Μεσσήνης ἢ Ἀχαΐας. καὶ ἄλλη Αἰτωλίας, ἣ καὶ Μολυκρικὸν ἐκαλεῖτο.

Ῥιπαῖα, ὄρος Ὑπερβορέων. τὸ ἐθνικὸν Ῥιπαῖος, οὗ παράγωγον τὸ Ῥιπαιεύς.

Ῥίπη, Ἀρκαδικὴ πόλις. βαρύτονον. τὸ ἐθνικὸν Ῥιπαῖος ὁμοίως.

Ῥόβεια, περίης. τὸ ἐθνικὸν Ῥοβειάτης καὶ Ῥοβείτης, καὶ κατὰ διάλυσιν Ῥοβεΐτης.

---

2. *δύναται* add. R. 6. *Ῥιζωνίτης*] *Ῥίζων Ῥίζωνος* Choerob. Bekk. p. 1417. at *Ῥιζονικὸς κόλπος* Ptolem. 2, 16 (17) 15. et Strabo apud nostrum p. 243, 7. 9. *Ῥινοκούρουρα* R, *Ῥινοκούραρα* APrV. nomen hoc varie scriptum reperitur. v. Wesseling. ad Itin. p. 151. et Havercamp. ad Ioseph. vol. 2 p. 87. 9-11. *ἀπὸ τῶν — καλουμένη*] Strab. 16 p. 759. ubi absunt a libris verba: *ἐκεῖ τοπαλαιὸν — ἠκρωτηριασμένων*. 11. 12. *Ῥινοκουρωρίτης* ante X. 13. *Μεσήνης* R, *Μεσίνης* V. 14. *Μολύκριον* Salmasius, *Μολυκρία* X. librorum lectio docet *Ῥίον Μολυκρικόν* dictum fuisse quod plerisque dicebatur *Ἀντίρριον*. 15. *Ῥιπαίας* Pr. *Ὑπερβοραίων* V. 17. *βαρυτόνων* RV, *βαρυτόνως* A. 18. *ὁμοίως*, quod H delebat, indicare videtur hanc sectionem cum praecedenti ita fuisse coniunctam: [*καὶ*] *Ῥίπη, Ἀρκαδικὴ* — 19. *περίης* RV, *παρ' ἧς* A. in *περίης* latet provinciae nomen, velut *Πιερίης*. vide sequentem annotationem. nisi malis *περὶ ἧς* indicata lacuna, quae scriptoris et nomen et verba absorpserit. A coniungit: *παρ' ἧς τὸ ἐθνικὸν*, quod dubito num ferri possit. 20. *Ῥοβεΐτης* an *Ῥοβηΐτης* incertum R, *Ῥοβηί-*

Ῥοδανουσία, πόλις ἐν Μασσαλίᾳ. ὁ πολίτης Ῥοδανούσιος, καὶ τὸ θηλυκὸν Ῥοδανουσία.

Ῥοδαί, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥοδαιάτης.

Ῥόδη, πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Ῥοδαῖος ὡς Μενδαῖος Ἰουδαῖος.

Ῥοδία, πόλις Λυκίας. τὸ ἐθνικὸν Ῥοδιάς Ῥοδιεύς. καὶ τῆς Ῥόδης Ῥοδεύς. ἄμεινον δὲ τὸ Ῥοδιαῖος.

Ῥοδόη, πόλις Ἰνδική. τὸ ἐθνικὸν Ῥοδοΐτης, ὡς Ἀρσινοΐτης.

Ῥοδόπη, πόλις Ἰωνίας. τὸ ἐθνικὸν Ῥοδοπεύς ὡς Σινωπεύς.

Ῥόδος, νῆσος ἐπιφανεστάτη. ἐκαλεῖτο δὲ Ὀφιοῦσσα. καὶ *Αἰθραία*, οἱ κατοικοῦντες Αἰθραῖοι. οἱ κατοικοῦντες Ῥόδιοι καὶ Ῥοδία.

της AV. ionica dialysis (ut in *Βορυσθενεΐτης*) auctorem prodere videtur Hecataeum. 5. *Ἰουδαῖος* parum apte comparatur, nec mendo carere videtur. fortasse *Ἰδαῖος*. 6. *Ῥοδιεύς Ῥοδιάς*? 7. *Ῥοδιαῖος*] Id cur *ἄμεινον* dicat eo mirabilius est, cum terminatio in *ευς* Lyciae urbibus propria sit. in R scriptum est *Ῥοδιαῖος* i. e. *Ῥοδαῖος*. hoc verum videtur, sed ita ut hic de *Ῥοδία* articulus coniungatur cum superiore in hunc modum: *ὡς Μενδαῖος Ἰδαῖος*. [*καὶ*] *Ῥοδία πόλις Λυκίας*. itaque hoc dicit, a *Ῥόδη* formari *Ῥοδαῖος*, ut a *Μένδη Μενδαῖος*, a *Ῥοδία* autem *Ῥοδιεύς*. posse vero a *Ῥόδη* etiam dici *Ῥοδεύς*, sed praestare *Ῥοδαῖος*. ceterum Rhodia, etiam Theopompo apud Photium Bibl. p. 120, 11. memorata, eadem sine dubio est quae Rhodiopolis est Plinio (vide p. 386) et cuius cives *Ῥοδιαπολῖται* dicuntur in titulo apud Spratt and Forbes Trav. in Lyc. vol. 2 p. 278. 8. *Ῥοδίη* V. 8. 9. *Ῥοδοΐτης ὡς Ἀρσινοΐτης* R, *Ῥοδιήτης ὡς Ἀρσινοήτης* V, *Ῥοδοήτης καὶ Ἀρσενοήτης* A. 10. 11. *Σινωπεύς*] Malim *Ἐνοπεύς* quod cum *Ῥοδοπεύς* comparat in *Ἐνόπη*. 12. *Ῥόδος*] Constant. Porph. Them. 1. p. 39: *ἀποβλέπει δὲ πρὸς βορρᾶν τε καὶ νότον, δελτωτὴ τὸ σχῆμα, τὴν δὲ γραμμὴν τρίγωνος. Δωριέων δέ ἐστιν ἄποικος τῶν ἐκ Πελοποννήσου, Ἀργείων τε καὶ Λακεδαιμονίων τῶν ἀπὸ τῆς Ἡρακλέους γενεᾶς καταγομένων, καθὼς καὶ Ὅμηρος ἐν τῷ τῶν νεῶν καταλόγῳ περὶ αὐτῆς τάδε φησί „Τληπόλεμος δ' Ἡρακλείδης κτλ.* quae fortasse ex Stephano sunt petita, qui non dubitandum est quin de Rhodo copiose disputaverit. *δὲ* add. R. *Ὀφίουσσα* libri. 13. *Αἰθραῖοι. οἱ κατοικοῦντες Ῥόδιοι* RV, *Αἰθραῖοι καὶ Ῥόδιοι* A.

Ῥοδουντία, χώρα πλησίον Οἴτης. τὸ ἐθνικὸν Ῥοδούντιος. τὸ οὐδέτερον „Ῥοδούντιον αἶπος".

Ῥοδοῦσσα, πόλις τῆς Ἀργείας. τὸ ἐθνικὸν Ῥοδούσσιος ὡς Πιτυούσσιος, καὶ Ῥοδουσσαῖος.

Ῥοῖξος, ἐπίνειον Κιλικίας ἐπὶ ταῖς ἐκβολαῖς τοῦ Σάρου ποταμοῦ. τὸ ἐθνικὸν Ῥοίξιος ἢ Ῥοιξίτης.

Ῥοίτειον. Ὦρος ἄκραν εἶναί φησι. καὶ πόλις δέ ἐστι Τρῳάδος. ὁ πολίτης Ῥοιτειεύς καὶ Ῥοιτειάς καὶ Ῥοιτηίς διὰ τοῦ ι.

Ῥοιτία, πόλις Βάκτρων. τὸ ἐθνικὸν Ῥοιτιηνός ὡς Ἀριηνός, καὶ Ῥοιτιανός ὡς Βακτριανός.

Ῥονδαῖοι, ἔθνος Θρᾴκιον.

Ῥοξονοκαία, πόλις. τὸ ἐθνικὸν Ῥοξονοκαῖος καὶ Ῥοξονοκαιάτης καὶ Ῥοξονοκαιανός.

Ῥοπεῖς, ἔθνος. οὗ μέμνηται Φαβωρῖνος ἐν ἐπιτομῇ δ' τῆς Παμφίλης.

Ῥύβδος, φρούριον Σικελίας. τὸ ἐθνικὸν Ῥύβδιος.

Ῥύγχαι, χωρίον Εὐβοίας. τὸ ἐθνικὸν Ῥυγχαῖος.

Ῥύμη, ὁ στενωπός. τὸ τοπικὸν ῥυμαῖος ἢ ῥυμίτης.

---

2. *αἶπος* Salmasius, *ἔπος* libri. vide Anall. Alex. p. 289. 3. *Ῥόδουσσα* libri. 3. 4. *Ῥοδούσιος ὡς Πιτυούσιος καὶ Ῥοδουσαῖος* R. 5. *ἀπὸ* RV. *τῶν ἐκβολῶν* V. 7. *ἐστι* om. R. 8. *Ῥοιτηίς* Lobeck. Par. p. 24, *Ῥοιτίς* libri. 9. *Ῥοιτήηνός* R, *Ῥοιτιανός* AV. 9. 10. *Ἀριηνός*] Dionys. Per. 1098. 10. *καὶ* pro *ὡς* R. 12. *πόλις* [*Περσική*]? 12. 13. *Ῥοξονικαιάτης καὶ Ῥοξονικαιανός* V. 14. 15. *δ' τῆς Παμφίλης* RV, *τετάρτῃ τῆς Παμφυλίας* AP[r]. quod sequens H verba *τῆς Παμφυλίας* ab *ἔθνος* suspensa esse, Schubartus autem post *ἔθνος* transponi voluit. Rhopenses Pamphyliae populum fuisse incompertum est. itaque consultius visum est meliorum librorum lectionem repraesentare, ex qua discimus Phavorinum Pamphilae commentarios historicos (Photius Bibl. 175 p. 119. intpp. Suidae v. *Παμφίλη*) in compendium redegisse, in quo nihil inest, quod a Phavorini studiis alienum sit. idem post Phavorinum a Sopatro factum esse constat e Photii Bibl. 161 p. 103, 36. 17. *Ῥυγχαῖος*] *Γρυγχῆς* memorantur Catal. trib. no. 9. 40. 52. 72. 110. 111. 134.

Ῥύνδακος, πόλις μεταξὺ Φρυγίας καὶ Ἑλλησπόντου. οἱ κατοικοῦντες Ῥυνδακηνοί ὡς Κυζικηνοί. λέγεται καὶ ἀπὸ τοῦ Ῥύνδακος θηλυκὸν Ῥυνδακίς, καὶ Ῥυνδακίτης.

Ῥύπαι, πόλις Ἀχαϊκή. λέγεται καὶ Ῥυπαίη, ἐξ οὗ τὸ Ῥυπαῖος. ὁ πολίτης Ῥύψ. τὸ κτητικὸν ἀπὸ τοῦ Ῥύπες Ῥυπικόν.

Ῥύτιον, πόλις Κρήτης. ὁ πολίτης Ῥυτιεύς. τοῦ δὲ **Ῥυτιασσός** Ῥυτιασσεύς ὡς Ἁλικαρνασσεύς.

Ῥωγάνη, πόλις ἐν τῇ Ἰνδικῇ.

Ῥώγη, νῆσος ἐπὶ τῇ Λυκίᾳ. τὸ ἐθνικὸν Ῥωγαῖος.

Ῥωγμοί, Κιλικίας ἐπίνειον. τὸ ἐθνικὸν Ῥωγμίτης.

Ῥώμη, διασημοτάτη πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ῥωμαῖος ὡς Θηβαῖος. καὶ Ῥωμαία καὶ Ῥωμαΐς.

Ῥωμυλία, τῶν ἐν Ἰταλίᾳ Σαυνιτῶν πόλις. τὸ ἐθνικὸν Ῥωμυλιάτης.

Ῥών, πόλις τῆς Γανδαρικῆς Σκυθίας. τὸ ἐθνικὸν Ῥώνιος ἢ Ῥωνίτης ὡς Θωνίτης.

Ῥωσός, πόλις Κιλικίας. τὸ ἐθνικὸν Ῥώσιος. ἀλλὰ καὶ Ῥωσεύς, ὡς ἀπὸ τοῦ Ταρσός Ταρσεύς. καὶ τὸ κτητικὸν Ῥωσικός „Ῥωσικὸς σκόπελος".

Σαβαί, πόλις μεγάλη πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης

---

1. Ῥύνδακος] Ῥυνδακός edebatur s. v. Ἀρταία et Βέσβικος, quibus locis proparoxytonon restitui, ut praecepit Herodianus Hom. Il. ν', 759. singularem formam Ῥύνδαξ suppeditat Catal. tribut. no. 138. ubi legitur ἐπὶ Ῥύνδακι. eandem supra restitui p. 453, 8. Ῥυνδακᾶς dicitur Cinnamo Hist. 2, 5. qui alias communi forma utitur. πόλις] Malim ποταμὸς, nisi forte praeferas πόλις [καὶ ποταμὸς], si modo recte hoc nomine urbem fuisse conicio ex Niceta Chon. in Alexio Comn. ed. Bonn. p. 48, 19: τὸ περὶ τὸν Ῥύνδακον ποταμὸν πόλισμα memorante. 5. τοῦ Ῥυπός Salmasius. Ῥυπτικόν R. 6. 7. Ῥυτίασσος AV, Ῥυτίασος R. 9. ἀπὸ τῆς Λυκίας RV. fort. igitur πρὸ τῆς Λυκίας. 13. Σαυρίτων R. 16. Θωνίτης H, Θεωνίτης libri. 17. Ῥῶσος libri. v. Herodian. dict. solit. p. 38. simplex sigma e codd. revocandum apud Athen. 6 p. 229 c. et 13 p. 586 c. item apud Aristot. Vent. nom. p. 973, 17. ubi paullo post corruptissime editur: ἀπὸ τῶν Συρίων πυλῶν, ἃς διέστηκεν (leg. διέστακεν) ὅ τε Ταῦρος καὶ Ταυρόσια ὄρη. leg. τὰ Ῥώσια ὄρη. πόλις Κιλικίας add. RV.

καὶ φρούριον. τὸ ἐθνικὸν τῆς πόλεως καὶ τοῦ φρουρίου Σαβαῖοι καὶ θηλυκῶς Σαβαία. καὶ τὸ κτητικὸν Σαβαϊτικόν, ὡς ἀπὸ τοῦ Σπάρτης Σπαρτιακόν.

Σαββατία, κώμη Κελτική. τὸ ἐθνικὸν Σαββατιανός καὶ Σαββάτιος.

Σαβῖνοι, Ἰταλικὸν ἔθνος. τὸ θηλυκὸν Σαβίνη καὶ ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τῆς χώρας.

Σάβοι, ἔθνος Φρυγίας. λέγονται καὶ ἀντὶ τοῦ βάκχοι παρὰ Φρυξίν.

Σαβώ, πόλις μεγάλη πέραν τῆς Ἐρυθρᾶς θαλάσσης. οἱ πολῖται Σαβαῖοι.

Σαγαλασσός, πόλις Πισιδίας. λέγεται καὶ Σελγησσός. τὸ ἐθνικὸν Σαγαλασσεύς καὶ Σαγαλασσηνός.

Σαγαρτία, χερρόνησος παρὰ τῇ Κασπίᾳ θαλάσσῃ. τὸ ἐθνικὸν Σαγάρτιοι.

Σαγγάριος, ποταμὸς τῆς κάτω Φρυγίας. τὸ ἐθνικὸν Σαγγάριος. προὔφθη γὰρ ὁ τύπος τοῦ πρωτοτύπου καταληφθείς.

Σάγουντος, πόλις ἐν Ἱσπανίαις. οἱ πολῖται Σαγούντιοι.

Σάδαλις, Αἰγυπτία πόλις. τὸ ἐθνικὸν Σαδαλίτης.

Σάζοι, ἔθνος παρὰ τῷ Πόντῳ.

Σαιδηνή, ὄρος Κύμης. τὸ ἐθνικὸν Σαιδηνός καὶ Σαιδηνή ἡ χώρα.

---

2. Σαβαία, [καὶ Σαβαΐτης,] καὶ τὸ κτητικὸν? 3. Σπάρτης Σπαρτιακόν AV, Σπάρτη Σπαρτιᾳκόν R, Σπάρτη Σπαρτιακόν W, Σπάρτης Σπαρτιατικόν Gavelius. paullo melius esset Σπαρτιάτης Σπαρτιατικόν. sed ne hoc quidem scriptoris consilio accommodatum est, quare Σαΐτης Σαϊτικόν scribendum puto. 6. Σαβινή R, Σαβηνή V. 7. καὶ τῆς χώρας R. 8. Σάβοι] Eustath. ad Dion. 1069: ἦσαν δὲ καὶ ἔθνος Θρᾳκικὸν Σάβοι, ὅπερ τοὺς βάκχους δηλοῖ Φρυγίᾳ διαλέκτῳ. ex quo Stephanum supplet H. 12. Σαγαλασσός R, Σαγάλασσος A. 12. 13. Σέλγησσ[ός] R, Σέλγησσος AV, Σεγελησσός Salmasius, Σαλαγασσός H. 18. Σαγούντιοι R, Σαγουντηνοί i. e. Σαγουντῖνοι AV. forsan utrumque coniungendum. 19. Σάδαλος V. 20. Σάζοι] Hoc ex Λαζοί corruptum videtur H. Σάξοι operarum errore X. ἀπὸ R. 21. Σαιδήνη Lobeck. Path. p. 195, 7.

Σαΐξαι, ἔθνος παρὰ τῷ Ἴστρῳ.

Σάϊς, πόλις Αἰγύπτου. κλίνεται δὲ Σάεως ὡς Μέμφεως. [καὶ κτητικὸν Σάιος καὶ Σαΐα] καὶ Σαΐτης νομὸς καὶ ὁ πολίτης. καὶ κτητικὸν Σαϊτικόν. τὸ θηλυκὸν Σαΐτις. καὶ Σαϊτηνός.

Σάκαι, ἔθνος. τοὺς Σκύθας οὕτως φασίν, ἀπὸ τοῦ ὅπλου, ὅτι αὐτὸ εὕραντο. τὸ θηλυκὸν Σακίς.

Σάκος, κώμη τῆς ἐν Μακεδονίᾳ Πιερίας. τὸ ἐθνικὸν Σάκιος.

Σακχηνοί, ἔθνος Ἀράβιον.

Σάλαγγος, ὡς πέλαγος, ἔθνος Ἰταλίας. ἔστι δὲ καὶ ἕτερον ἔθνος Ἰνδικόν.

Σαλάμιοι, ἔθνος Ἀράβων. σάλαμα δὲ ἡ εἰρήνη. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ ἔνσπονδοι γενέσθαι τοῖς Ναβαταίοις.

---

1. ἀπὸ PR. 3. *καὶ κτητικὸν (ἐθνικὸν?) Σάιος καὶ Σαΐα*, quae de Saiorum gente Thracia intelligenda sunt, alieno loco infersit interpolator. rectissime *Σαΐους* et *Σαΐτας* distinguit scriptor Vitae Arati ed. West. p. 52. quamquam male Thraciam urbem *Σάϊς* commentus. *Σάιος* om. V. 4. *Σαϊτηνός* non est forma Aegyptiaca, ut hoc quoque imperiti interpolatoris additamentum esse videatur. 5. 6. *ἀπὸ τοῦ — εὕραντο*] Haec in hunc locum traieci, cum libri ea in sequenti articulo habeant inter *Πιερίας* et *τὸ ἐθνικὸν*, loco ineptissimo. Sacas *τοῦ σάκους* inventores perhibet praeter alios Tzetzes Hist. 12, 903: *τοὺς Σάκας ἔθνος γίνωσκε, ὧν εὕρεμα τὸ σάκος.* 6. *αὐτὸ* RV, *αὐτοὶ τοῦτο* A. 7. *Μακεδονίᾳ* W, *Λακεδαίμονι* libri.
9. *Σακχηνοί*] Iidem qui supra *Ἀκχηνοί*. 10. *Σάλαγγος*] Hanc sectionem libri habent post *Σαλαμίς*. Salangos Italiae populum memorat Lycophr. 1058. Indicorum Salangorum (Nonn. 26, 61.) memoriam deberi suspicor Dionysii Bassaricis. mirum vero id nomen componi cum neutro *πέλαγος*. in R scriptum est *σαλαγγος ὡς πέλαγος*, omisso in *σαλαγγος* accentu. vereor igitur ne hic quoque duo articuli in unum conflati sint et Stephanus scripserit: **Σάλαγγος**, *ἔθνος Ἰταλίας — Ἰνδικόν.* **Σαλάγγων**, *ὡς Πελάγων*, [*ποταμὸς Ἰλλυρίας*]. memorat Salangonem Apollonius Rhod. 4, 337: *μέσφα Σαλάγγωνος ποταμοῦ καὶ Νεστίδος αἴης.* ita enim correxit Lobeck. Path. p. 309, 3. cum hoc nomine quam recte comparetur *Πελάγων* docet Ptolemaeus apud schol. Ven. φ', 141: *τὰ δὲ ἄλλως* (i. e. *διὰ τοῦ ω̅ καὶ διὰ ν̅τ̅*) *κλιθέντα βαρύνεται Οὐκαλέγων Πελάγων Σαλάγγων.*
11. *καὶ* ante *Ἰνδικόν* add. PpRV. fort. *κατ' Ἰνδικήν*. 13. *γενέσθαι* PRV, *γεγονέναι* A.

Σαλαμίς, ἡ πρὸς τῇ Ἀττικῇ νῆσος καὶ πόλις. ὁ πολίτης Σαλαμίνιος καὶ Σαλαμινία.

Σάλαρς, ὡς μάκαρς, νῆσος Λιβύης. τὸ ἐθνικὸν Σαλάρτιος ὡς Τιρύνθιος.

Σαλγανεύς. „μετὰ τὴν Χαλκίδα ἐστὶν ὁ Σαλγανεὺς συνάπτων τῷ Εὐρίπῳ". ἔστι δὲ πόλις Βοιωτίας. ὁ οἰκήτωρ Σαλγάνιος. δύναται δὲ καὶ Σαλγανείτης καὶ Σαλγανεὺς Ἀπόλλων.

Σάλγας, ποταμὸς καὶ πόλις Σάλγα τῆς Μαυριτανίας. τὸ ἐθνικὸν Σαλγαῖος ἢ Σαλγανός.

Σαλήσιοι, μοῖρα Παιόνων. „Σαλησίοις δ' οἵπερ καὶ αὐτοὶ μοῖρα Παιόνων τυγχάνουσι".

Σαλλεντία, πόλις Μεσσαπίων. τὸ ἐθνικὸν Σαλλεντῖνος.

Σάλλυες, ἔθνος Λιγυστικόν, πολεμῆσαν Ῥωμαίοις, ὡς Χάραξ ἐν δεκάτῳ χρονικῶν.

Σαλμακίς, πόλις Καρίας. τὸ ἐθνικὸν Σαλμακίτης, καὶ Σαλμακεὺς διὰ τὸ ἐπιχώριον.

Σαλμηνοί, ἔθνος νομαδικόν, ὡς Γλαῦκός φησιν ἐν .. Ἀραβικῆς ἀρχαιολογίας.

Σάλμος, πόλις Βοιωτίας, ἧς οἱ πολῖται Σαλμώνιοι, ὡς Ἑλλάνικος ἐν δευτέρῳ Δευκαλιωνείας.

Σαλμυδησσός, κόλπος τοῦ Πόντου. τὸ ἐθνικὸν Σαλ-

---

3. μάκραρς RV. 3. 4. Σαλάρτιος Salmasius, Σαλάρσιος X, Σαλαρίσιος libri. 5. 6. μετὰ — Εὐρίπῳ fortasse Hecataei verba. 7. δὲ add. RV. Σαλγανίτης R. 8. Σάλγας] Hinc fortasse corrigendus Strabo 17 p. 831. ubi Σάλδας editur. an eodem pertinet Σάμβας fluvius a Choerobosco Gaisf. p. 33, 12. memoratus? Μαυρατανίας RV. 10. οἵπερ H, εἴπερ libri. 12. Σαλλεντία] V. Niebuhr. Rom. hist. 1 p. 154. Μεσαπίων R. Σαλλεντινός V, Σαλλεντηνός A, Παλλεντηνός R. 13. Σάλλυες H, Σάλυες libri. Λιγυστικόν H, δυστικόν R, δυτικόν AV. 17. νομαδικόν Salmasius, μοναδικόν libri. Γλαῦκος add. X, firmat R. 17. 18. ἐν Ἀραβικῆς ἀρχαιολογίας RV, ἐν Ἀραβικῶν ἀρχαιολογίᾳ A. 19. Σαλμώνιοι R, Σαλμόνιοι A, Σαλμόνιον V. Hellanici citatio non ad usum gentilis Σαλμώνιος spectat, sed ad Σάλμος, quo nomine Hellanicus appellaverat urbem, quae aliis Ἅλμων vel Σάλμων. cf. s. v. Ἅλμος. 20. Δευκαλιωνείας V, Δευκαλιωνίας AR.

μυδήσσιος καὶ Σαλμυδησσία καὶ Σαλμυδησσηνοί. ἡ ἀπὸ τόπου σχέσις Σαλμυδησσόθεν.

Σάλμυκα, πόλις περὶ τὰς Ἡρακλέους στήλας. τὸ ἐθνικὸν ὡς ἀπὸ τῆς Σάλμυκος Σαλμυκῖνος ὡς Ἐρυκῖνος.

Σαλμώνη, πόλις τῆς Πισάτιδος καὶ κρήνη ὁμωνύμως, ἀπὸ τοῦ Σαλμωνέως τοῦ βασιλέως. ὁ πολίτης Σαλμωνεύς ἢ Σαλμωνείτης ὡς Ἀταρνείτης. τὸ θηλυκὸν Σαλμωνεῖτις.

Σάλωνα, πόλις Ἰλλυρίας. τὸ ἐθνικὸν Σαλωνίτης. εἰσὶ καὶ Σαλῶναι πόλις Δελματίας, ὧν Σαλωνεύς τὸ ἐθνικόν, ὡς Πρίσκος ἐν ἕκτῳ.

Σαλώνεια, πόλις Βιθυνίας. καὶ τόπος Σάλων Σάλωνος. ὁ κατοικῶν Σαλωνείτης. οὐκ ἔστι δὲ τοῦ Σάλωνος ὁ Σαλωνείτης, ἀλλὰ τῆς Σαλωνείας. λέγεται καὶ Σαλωναῖος.

Σαμάρεια, πόλις τῆς Ἰουδαίας, ἡ μετονομασθεῖσα Νεάπολις. καὶ Ἐπαφρόδιτος μὲν τὸ ἐθνικὸν αὐτῆς Σαμαρεύς εἶπε καὶ τὴν πρώτην συλλαβὴν ἐμήκυνεν, ὁ δ' Ἀντίοχος Σαμαρείτης.

---

1. Σαλμυδησία R. ἡ om. RV. 3. Σάλμυκα etiam s. v. Τρίτη, at Σαλμύκη s. v. Ἀκκαβικὸν τεῖχος, idque melius convenit cum Ἐρύκη et Ἔρυξ. Ἡρακλέους] Ἡρακλείους solet noster vel Ἡρακλείας. 4. ὡς add. RV. Σαλμυκηνός ὡς Ἐρυκηνός libri, corr. Millerus. 5. Σαλμώνη] Σαλμωνία apud Diod. Sic. 4, 68. quod Σαλμώνεια scribendum et ad hanc formam revocandum est gentile Σαλμωνείτης, quod a Σαλμώνη deduci non potest. fortasse igitur utramque formam Stephanus commemoraverat. 6. τοῦ ante Σαλμωνέως om. R. 7. Σαλμωνῖτις V. 8. Σαλωνίτης] Σαλώνιος posuit s. v. Σάνδιον, nisi id Σαλμώνιος est. 9. Σάλωνες (αι superscr.) R. Σάλων, ωνος, dicitur apud Strab. 7 p. 315. Cinnam. Hist. 5, 17 aliosque. pluralem non legi nisi apud Socrat. Hist. Eccl. 7, 23. ubi bis scriptum est εἰς Σαλῶνας, nisi id Σαλώνας scribendum est. Σάλωνα, quod noster in lemmate posuit, nusquam repperi. Δελματίας V, Δαλματίας AR. 12. 13. Σαλωνίτης utroque loco RV. 13. Σαλωναῖος neque ad Σαλώνεια neque ad Σάλων referri potest, sed pertinet ad Σαλῶναι. 14. τῆς add. R. 15. αὐτῆς τὸ ἐθνικὸν R. 16. ἐμήκυνεν] Epaphroditus igitur secutus est eos qui Samariam a σῆμ' Ἄρεως dictam putarent. cf. Etymol. M. p. 708, 6: ἐν αὐτῇ Ἄρης Ἀσκαλάφῳ τῷ υἱῷ τύμβον ἔχωσεν, ἐν ᾧ καὶ ἐπέγραψε τοῦτο „σῆμ' Ἄρεως ἔτυμον βεβοημένον ἑλλάδι φήμῃ (φωνῇ?) οὕνεκ' Ἄρης ταύτῃ τέκνον ἔχωσε πόλει". nec dubium quin ipso illo epigrammate usus

Σάμβος, πόλις Ἀράβων. καὶ ἑνικῶς μὲν ἡ πόλις, πληθυντικῶς δὲ οἱ πολῖται Σάμβοι. καὶ Σαμβίτης.

Σαμηνοί, νομάδων Ἀραβίων ἔθνος.

Σαμικόν, οὐδετέρως, Τριφυλιακὴ πόλις. τὸ ἐθνικὸν Σαμικεύς ὡς ἀπὸ τοῦ οὐδετέρου, ἢ Σαμικόν ὡς Ἀττικόν τῆς Ἀττικῆς.

Σάμνιον, πόλις Πρετανίας. τὸ ἐθνικὸν Σάμνιος καὶ Σαμνίτης. καὶ Σαμνιτικός κτητικόν.

Σαμοθράκη, νῆσος πρὸς τῇ Θράκῃ, πόλιν ὁμώνυμον ἔχουσα. ἐκλήθη δὲ ἀπὸ τῶν Σαμίων καὶ τῶν Θρᾳκῶν. ἐκαλεῖτο δὲ πρότερον *Δαρδανία*. τὸ ἐθνικὸν Σαμοθρᾷξ καὶ Σαμοθρᾴκιος.

Σάμορνα καὶ *Σάμορνος* ἡ Ἔφεσος ἐκαλεῖτο. τὸ ἐθνικὸν τῆς Σαμόρνης Σαμορναῖος, τῆς δὲ Σάμορνος Σαμόρνιος.

Σάμος, ἐπιφανὴς πρὸς τῇ Καρίᾳ νῆσος. ἐκλήθη δὲ πρότερον *Παρθενία* καὶ *Δρύουσα* καὶ *Ἀνθέμουσα* καὶ *Μελάμφυλλος*. τὸ ἐθνικὸν Σαμαῖος καὶ Σάμιος καὶ Σαμία. καὶ Σαμιακός.

---

sit Epaphroditus, quem dixisse ea de re puto ad Il. ο', 112. ubi schol.: *φασὶ δὲ τὸν Ἀσκάλαφον εἰς Ἑβραΐδα τεθάφθαι γῆν. διὸ καὶ Σαμάρειαν καλεῖσθαι διὰ τὸ σῆμα ὃ Ἄρης ἐποίησεν.* 5. 6. *ἢ Σαμικός ὡς Ἀττικός?* 7. *Πρετανίας* APpRV, *Βρετανίας* X, *Βρεττίας* H, rectius sine dubio quam Salmasius ad Solin. p. 227. qui *Βρεττανία* de Bruttiorum terra dici posse existimabat. fecit hoc sane Tzetzes Hist. 10, 648. qui etiam *Βρεττανούς* de Bruttiis dixit. fortasse etiam Zosimus Hist. 6, 11. et Ioannes Lyd. de mens. 4, 60. nisi hi quoque *Βρεττίαν* scripserunt. adde quae ad v. *Βάδιζα* et *Βρεττία* annotata sunt. Stephanus autem dicere videtur Britanniam cismarinam, Galliae provinciam hodie B r e t a g n e dictam, ubi *Σαμνίτας* memorant Strabo 4 p. 198. et Ptolem. 2, 8, 6. *Βρεταννός* Celtae nomen est apud Parthen. Erot. 30. 10. *τῶν* W, *τῆς* libri. 11. *Θρᾷξ* pro *Σαμοθρᾷξ* V. *Σαμοθρᾴκιος*] *Σαμοθρᾳκεύς* R. 15. *Ἀνθέμουσα* RV, *Ἀθέμουσα* A. 15. 16. *Μελάμφυλλος* B, *Μελάμφυλος* AR, *Μελαμφύλης* V. cf. Iamblichus V. Pyth. 1, 2. de Samo: *τὴν δι' ἀρετὴν τοῦ ἐδάφους καὶ τῆς γῆς Μελάμφυλλον καλουμένην.* adde Strab. 10 p. 457. 16. *Σαμαῖος* ad Samen spectare videtur, non ad Samum; quamquam comparari potest *νησαῖος* a *νῆσος* et alia eius generis plura.

Σαμόσατα, πόλις Κομμαγηνῆς ἐπὶ τῷ Εὐφράτῃ. ὁ πολίτης Σαμοσατεύς.

Σαμυδάκη, πόλις Καρμανίας. τὸ ἐθνικὸν Σαμυδακηνός, ὡς τῆς Ἀρτάκης Ἀρτακηνός.

Σαμυλία, πόλις Καρίας, Μοτύλου κτίσμα τοῦ τὴν Ἑλένην καὶ Πάριν ὑποδεξαμένου. τὸ ἐθνικὸν Σαμυλιανός.

Σάμφη, πόλις Φοινίκης. τὸ ἐθνικὸν Σαμφαῖος.

Σάμψα, κώμη τῆς Ἀραβίας. τὸ ἐθνικὸν Σαμψηνός. σάμψα δὲ παρὰ τοῖς Ἄραψιν ὁ ἥλιος.

Σάμψειρα, πόλις Αἰγύπτου. τὸ ἐθνικὸν Σαμψειρεώτης ὡς Μαρεώτης, καὶ Σαμψειρίτης.

Σανδάλιον, Πισιδίας χωρίον. ὁ τοῦτο οἰκῶν Σανδαλιεύς.

Σάνδων, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σανδώνιος ὡς Αὐλώνιος Σαλώνιος.

Σάνεια, πόλις Ἰνδική, ὡς Ἀδριανὸς Ἀλεξανδριάδος ἑβδόμῳ. τὸ ἐθνικὸν Σανεύς.

Σάνη, πόλις Θρᾴκης μεταξὺ Ἄθω καὶ Παλλήνης. οἱ πολῖται Σάνιοι καὶ Σαναῖοι ὡς Καναῖοι.

---

7. *Φοινίκων* RV. 10. *Σαμψειρεώτης*] Id ad aliud primitivum, *Σαμψείρεια*, referendum, ut *Μαρεώτης* ad *Μάρεια*. 14. *Σαλώνιος*] Vide ad *Σάλωνα*. 15. *Ἀδριανὸς*] Vide Anall. Alex. p. 370. *Ἀλεξανδριάδος* V, *Ἀλεξανδρειάδος* AR. 17. *πόλις Θρᾴκης*] Thracen pro Macedonia nominat, vetustum secutus auctorem, qui Macedoniae nomen ignorabat. eum vero vix alium esse posse quam Hecataeum aegre negabit qui sequentia contulerit: *Αἰζική*, Θρᾴκης μέρος. Ἑκαταῖος Εὐρώπῃ. *Αἰγιαλός*, Θρᾴκης παρὰ τῷ Στρυμόνι, ὡς Ἑκαταῖος. *Γαληψός*, πόλις Θρᾴκης καὶ Παιόνων. Ἑκαταῖος Εὐρώπῃ. *Λιπαξός*, πόλις Θρᾴκης. Ἑκαταῖος. *Μηκύβερνα*, πόλις Παλλήνης τῆς ἐν Θρᾴκῃ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ. *Σμίλα*, πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ. mitto alia, ac ne haec quidem attulissem nisi haec res ad instaurandam Hecataei memoriam aliquid ponderis haberet. sic enim existimo: quascunque urbes Stephanus ex vetere dicendi usu Thracae assignat pro Macedonia, earum memoriam ex Hecataei opere repetitam esse, nomen autem Hecataei sive epitomatorum sive librariorum oscitantia excidisse. sunt autem fere haec. *Αἰγαί*.. τῆς Θρᾳκησίων χερρονήσου i. e. peninsulae Chalcidicae, ut in *Γρησῖνος* aliisque locis statim commemorandis. *Αἰό-*

Σάνινα, πόλις ἐπὶ τῆς Ἐρυθρᾶς θαλάσσης. τὸ ἐθνικὸν Σανιναῖος ὡς Κωνσταντιναῖος. ἀλλ' ἐπειδὴ τῷ εἰς ιτης χαίρουσι τύπῳ, γίνεται Σανινίτης.

Σαννίγαι, ἔθνος Σκυθίας τοῖς Ἀβασγοῖς παρακείμενον.

Σάντις, πόλις Κελτική. τὸ ἐθνικὸν Σαντίτης ὡς Λέπτις Λεπτίτης.

Σάντονες, ἔθνος τῆς Ἀκυϊτανίας.

Σάξονες, ἔθνος οἰκοῦν ἐν τῇ Κιμβρικῇ χερρονήσῳ.

Σάος, ἡ τῶν Σαΐων νῆσος. τὸ ἐθνικὸν Σάιος.

Σάπαι, ἔθνος Θρᾴκης. λέγονται δὲ *Σαπαῖοι* καὶ *Σάιοι*. καὶ τὸ κτητικὸν Σαπαϊκὸν καὶ Σαπαϊκή.

Σάπειρες, ἔθνος ἐν τῇ μεσογείᾳ τῆς Ποντικῆς, οἱ νῦν διὰ τοῦ $\overline{β}$ λεγόμενοι *Σάβειρες*.

λιον, τῆς Θρᾴκης χερρονήσου πόλις. *Αἶσα*, πόλις Θρᾴκης προσεχὴς τῇ Παλλήνῃ. *Αἰσύμη*, πόλις Θρᾴκης. *Ἀφύτη* . . . πόλις πρὸς τῇ Παλλήνῃ Θρᾴκης. *Ἄρνη* . . . τῆς Γρασινίων (sic leg.) πρὸς τῇ Θρᾴκῃ. *Βέργη*, πόλις Θρᾴκης πρὸς τῇ χερρονήσῳ. *Βέρης*, πόλις Θρᾴκης. *Γιγωνός*, πόλις Θρᾴκης πρὸς τῇ Παλλήνῃ. *Θέρμη*, πόλις Θρᾴκης, Ἀπολλόδωρος δὲ Μακεδονίας φησί. *Μένδη*, πόλις Θρᾴκης. *Μεθώνη*, πόλις Θρᾴκης. *Μίλκωρος*, πόλις Χαλκιδικὴ ἐν Θρᾴκῃ. *Ὀλόφυξος*, πόλις ἐν Θρᾴκῃ περὶ τὸν Ἄθω. *Ὄλυνθος*, πόλις Θρᾴκης πρὸς τῇ Σιθωνίᾳ. *Παλλήνη*, πόλις Θρᾴκης. *Ποτίδαια*, πόλις Θρᾴκης. *Σκιωνή*, πόλις Θρᾴκης. *Στράμβαι*, πόλις Θρᾴκης. *Στῶλος*, πόλις μία τῶν ἐν Θρᾴκῃ βαρβαρικῶν. *Τορώνη*, πόλις Θρᾴκης. *Τράγιλος*, πόλις μία τῶν ἐπὶ Θρᾴκης πρὸς τῇ χερρονήσῳ. *Φλέγρα*, πόλις Θρᾴκης. fieri quidem potest ut horum nonnulla aliis scriptoribus, velut Cratero, debeantur; at longe plurima quin ad Hecataeum auctorem referenda sint, non dubitamus. Σαναῖοι ὡς Καναῖοι (vel Σαμαῖοι) M, Σηναῖοι ὡς Σαναῖοι libri. 1. Σανῖνα malim, ut Κωνσταντῖνα. 2. τῷ εἰς $\overline{ιτης}$ Schubartus, τῷ εἰς $\overline{ης}$ RV, τῷ $\overline{ης}$ A. 3. Σανινίτης X, Σανωνίτης A, Σαλωνίτης RV. 4. Σάνιγαι R, Σάννιγαι AV. 5. Σάντες V. 7. Σάντωνες libri. Ἀκυϊτανίας M, Ἀκυντανίας libri, Ἀκυτανίας X. 8. Σάξωνες R. Κιμβρικῇ X, Κεμβρικῇ R, Κεβρικῇ A. 10. δὲ] καὶ? Σάιοι H, Σίπιοι libri, Σάπιοι B. 12. Σάπειρες] Etym. M. p. 708, 16: Σάπειρες, ἐπίθετον (leg. ἐθνικὸν). ἡ εὐθεῖα Σάπειρ. de ceteris huius nominis formis dixit L. Dindorfius Thes. L. G. s. v. Σάπφειρος.

Σαπφειρηνή, νῆσος ἐν τῷ Ἀραβίῳ. ἐκ ταύτης ὁ σάπφειρος λίθος.

Σάρακα, χώρα Ἀραβίας μετὰ τοὺς Ναβαταίους. οἱ οἰκοῦντες Σαρακηνοί.

Σάραπις, νῆσος ἐν τῷ Ἰνδικῷ κόλπῳ. τὸ ἐθνικὸν Σαραπίτης.

Σάραπτα, πόλις Φοινίκης. ὁ πολίτης Σαράπτιος καὶ Σαραπτία καὶ Σαραπτηνός.

Σάργανθα, πόλις Ἰβηρίας. τὸ ἐθνικὸν Σαργανθῖνος.

Σάργαντις, πόλις καὶ φυλακὴ Αἰγυπτία. ὁ πολίτης Σαργαντίτης, ὡς Ναυκρατίτης.

Σάρδαιον, ὄρος περὶ Ἀσωπόν. τὸ ἐθνικὸν Σαρδαῖος καὶ Σαρδαιεύς.

Σαρδησσός, πόλις Κιλικίας πλησίον Λυρνησσοῦ. ὁ οἰκήτωρ Σαρδήσσιος. καὶ Σαρδήσσιος ὁ Ζεὺς τιμᾶται.

Σάρδις, πόλις Λυδίας. ὁ πολίτης Σαρδιανός καὶ Σαρδιανή. τὸ κτητικὸν Σαρδιανικός καὶ Σαρδιανικὴ καὶ Σαρδιανός.

Σάρδος, ὡς Πάρθος, πόλις Ἰλλυρίας. οἱ πολῖται Σαρδηνοί.

Σαρδώ, νῆσος .... ὁ Σάρδος οὖν τῇ Σαρδοῖ ἀναλόγως.

---

1. *Σαμφιρήνη* RV, *Σαμφειρινή* A, *Σαπφειρινή* X. *Σαππειρίνη* ἢ *Σασπειρήνη* vitioso accentu editur etiam Ptolem. 4, 5, 77. *Ἀραβίῳ*] *κόλπῳ* add. X. vide ad p. 243, 7. ad *Σίνθος* et *Τερηδών*. 1. 2. *σάπφειρος* X, *σάμφειρος* libri. 9. *Σαργανθῖνος* M, *Σαργανθηνός* libri. 14. *Κιλικίας* Salmasius, *Λυκίας* libri. Ciliciam intellige Troicam. cf. Strabo 13 p. 586. 15. *Σαρδήσιος* R. *καὶ Σαρδήσσιος* om. R. *ὁ* add. RV. 16. 17. *Σαρδιανή*] *Σαρδιανόν* RV. 17. *καὶ Σαρδιανός* add. PRV. an *καὶ Σαρδιανικόν*? 18. *Σάρδος*] Haec sine dubio ea est, quam Constantini aetate nobilitavit *σύνοδος Σαρδική*, de qua v. Socratem Hist. Eccl. 2, 20. qui quidem ipsam etiam urbem *Σαρδικήν* appellat, ut Procopius B. G. 3, 40. et Cinnamus Hist. 5, 14: *Σαρδικὴν τὴν Ἰλλυριῶν μητρόπολιν.* add. Nicetas Chon. ed. Bonn. p. 568: *τὴν Τριάδιτζαν, ἥ ἐστιν ἡ πάλαι λεγομένη Σαρδική.* mitto alios. eodem pertinere videntur Sardeates apud Plinium NH. 3, 22, 141. 19. *νῆσος* RV, *ἡ νῆσος* A. post *νῆσος* indicavi lacunam. sequentia sensu cassa sunt. verba *ὁ Σάρδος οὖν* videntur laciniae esse loci nescio cuius scriptoris, in quo de Sardo, Sardiniae conditore a Pausan. 10, 17, 2. memorato, agebatur. tum distinguendum: *τῇ Σαρδοῖ ἀναλόγως λέγεται καὶ Σαρδιών.*

λέγεται καὶ Σαρδών, ὡς τῇ Πυθῶ παράκειται τὸ Πυθών. ἐκαλεῖτο δὲ Ἰχνοῦσσα, διότι ἐοικυῖα ἦν ἀνθρώπου ἴχνει. ὁ κατοικῶν Σαρδόνιος καὶ Σαρδονία καὶ Σαρδῷος. καὶ Σαρδονικός καὶ Σαρδονική.

Σάριχα, πόλις Καππαδοκίας. τὸ ἐθνικὸν Σαριχηνός ἢ Σαριχεύς ὡς Τυανεύς.

Σαρμάται, ἔθνος Σκυθικόν. ἡ χώρα αὐτῶν Σαρματία καὶ Σαρματικὸν ὄρος.

Σαρνοῦς, ὡς Μυοῦς, πόλις Ἰλλυρική. τὸ ἐθνικὸν Σαρνούσιος ὡς Μυούσιος.

Σαρπηδών, πόλις Θρᾴκης. τὸ ἐθνικὸν Σαρπηδόνιος καὶ Σαρπηδονία.

Σάρτη, πόλις περὶ τὸν Ἄθων. τὸ ἐθνικὸν Σαρταῖος.

Σάρων, τόπος Τροιζῆνος. Σαρώνιος οὖν καὶ Σαρωνία καὶ Σαρωνικός καὶ Σαρωνική.

Σάτρα, πόλις Κρήτης, ἡ μετονομασθεῖσα Ἐλεύθερνα. ὁ πολίτης Σατραῖος.

Σατορνία, ἡ Ἰταλία πρῶτον ἐκαλεῖτο. τὸ ἐθνικὸν Σατορνῖνος, καὶ τὸ κύριον ὁμοίως.

Σάταλα, πόλις Ἀρμενίας, ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ. τὸ ἐθνικὸν Σαταλεύς.

Σατίκολα, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σατικολανός ὡς Μεδιολανός.

Σάτραι, ἔθνος Θρᾴκης, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ φησί.

---

1. ὡς τῇ] ὡς τῆς V, ὁ τῆς R. fort. ὡς τῷ. Πυθώ RV, Πυθοῖ A. τὸ om. V. 2. Ἰχνοῦσα libri. 3. 4. Σαρδώνιος καὶ Σαρδωνία — καὶ Σαρδωνικὸς καὶ Σαρδωνική libri. 13. ποταμὸς H ex Eust. ad Dion. 422. Ἄθος R, Ἄθω V. 14. οὖν om. R. 15. Σαρωνικός] καὶ τὸ κύριον ὁμοίως add. V. margini adscripta ad l. 19. non suo loco posita sunt. 15. καὶ Σαρωνική om. V. 16. Σάτρα] Hanc sectionem cum sequente om. V. loco suo motam esse turbatus literarum ordo docet. nolui tamen in alium locum transponere, cum ne de lectionis quidem sinceritate satis constet. Σάτρα enim ex Σαώρα corruptum videri potest comparanti quae leguntur s. v. Ἐλευθεραί, ubi nomen urbis Σάωρος scribitur. Ἐλευθέρνα libri. 20. Ἀσίῳ R. 22. τῆς ante Ἰταλίας add. R.

Σατρία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σατριανός, ὡς Διονύσιος.

Σατύριον, χώρα πλησίον Τάραντος. τὸ ἐθνικὸν Σατυρῖνος καὶ Σατύριος.

Σαῦα, οὐδετέρως, κώμη τῆς εὐδαίμονος Ἀραβίας. οἱ κωμῆται Σαυηνοί. ἔστι δὲ καὶ Σαῦνις πόλις Ἀραβίας, ἧς καὶ ἡ αἰτιατικὴ Σαῦνιν.

Σαυνῖται, τῶν Ἰαπύγων ὅμοροι. καὶ τὸ θηλυκὸν Σαυνῖτις, καὶ τὸ κτητικὸν Σαυνιτικός.

Σαῦρα, πόλις Σαυνιτῶν. τὸ ἐθνικὸν „Σαυρανῶν δ' οἱ κορυφαιότατοι".

Σαυρομάται, ἔθνος Ἰνδικόν. καὶ Σαχαλίτης κόλπος. „κατὰ τοῦτον, τὸν Σαχαλίτην κόλπον, κεῖνται πελάγιοι νῆσοι ἑπτά".

Σεβαστή, πόλις Ἀρμενίας, ἡ νῦν Σεβάστεια καλουμένη, ὡς Ἀλέξανδρος ὁ Ἐφέσιος. ἔστι δὲ καὶ [ἐν] τῇ Σαμαρείτιδι πολίχνιον. τὸ ἐθνικὸν Σεβαστηνός. λέγεται καὶ ἡ πρὸς τῇ Κωρύκῳ χερρόνησος οὕτως.

Σέβεδα, λιμὴν Λυκίας, ὡς Ἀλέξανδρος ἐν περίπλῳ. τὸ ἐθνικὸν Σεβεδεύς.

Σεβέννυτος, πόλις Αἰγύπτου καὶ λίμνη καὶ ποταμός. καὶ Σεβεννύτης νομὸς καὶ πολίτης. καὶ Σεβεννυτικὸν στόμα.

---

1. *Σάτρικα* et mox *Σατρικανός* Casaubonus. 5. *Σάβα* et mox *Σαβινοί* R. 6. *καὶ* add. R. 6. 7. *ἧς καὶ ἡ* RV, *ἧς ἡ* A. 10. 11. *Σαυρανῶν δ' οἱ κορυφαιότατοι* forsan elegiaci poetae, qualis Simylus fuit, fragmentum. 12. *Ἀραβικόν* H. 13. 14. *κατὰ — ἑπτά* forsan Marciani verba. cf. s. v. *Ἀσκῖται*. 15. *Σεβαστία* libri. 16. *Ἀλέξανδρος*] Suspicabar *Μένανδρος*. v. Anall. Alex. p. 375. probabilius tamen est Alexandri memoriam ad antiquius Sebastae sive Sebastiae nomen spectare ab epitomatore omissum. *δὲ* add. RV. *ἐν* add. X. *Σαμαρίτιδ* R. 17. 18. *τῇ Κωρύκῳ* P, *τῇ Κόρυκι* A, lacuna indicata om. RV. 21. *Σεβεννυτός* minus recte et contra Herodiani praeceptum (apud nostrum v. *Βηρυτός* p. 167, 19.) editur apud Ptolem. 1, 15, 4 et 4, 5, 51. *Αἰγυπτία* RV. *λιμὴν?* 22. *Σεβεννύτης* tanquam a *Σέβεννυς*, cuius paragogica forma est *Σεβέννυτος*.

Σεγίδα, πόλις Κελτιβήρων. τὸ ἐθνικὸν Σεγιδαῖος.

Σεθρόη, πόλις Αἰγύπτου. ὁ πολίτης Σεθροΐτης, ὡς Ἀρσινοΐτης. Ἀλέξανδρος τρίτῳ Αἰγυπτιακῶν.

Σειρήνουσαι „νῆσοι ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας κείμεναι προπεπτωκότος τόπου καὶ διαλαμβάνοντος τοὺς κόλπους, τόν [τε] περιέχοντα Κύμην [καὶ] τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν, ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται καὶ τιμῶνται καθ' ὑπερβολήν. ὧν καὶ τὰ ὀνόματα ταῦτα, Παρθενόπη καὶ Λευκωσία καὶ Λίγεια". τὸ ἐθνικὸν Σειρηνούσιος καὶ Σειρηνουσαῖος.

Σέκελλα, κώμη Παλαιστίνης, ὡς Ἰώσηπος. τὸ ἐθνικὸν Σεκελλοί.

Σελασία, πόλις τῆς Λακωνικῆς. τὸ ἐθνικὸν Σελασιεύς, ὡς τῆς Πειρασίας Πειρασιεύς.

---

1. *Σεγίδα* V. cui similis est librorum scriptura *Σέγιδα* apud Strabon. 3 p. 162. ubi Kramerus propter Appianum Iber. 44, ubi *Σεγήδη* editur, *Σεγήδα* edidit. 2. *Σεθρόη* Salmasius, *Σέθρον* libri. 3. *Ἀρσενοΐτης* V. *τρίτῳ*] *τύπῳ* R. 4. *Σειρηνοῦσαι* R, *Σειρηνοῦσσαι* AV. 4-9. *νῆσοι — Λίγεια*] Aristot. Ausc. mir. c. 110. ubi priora ita leguntur: *φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ* (*πρὸς* Vind.) *τοῦ πεπτωκότος τόπου καὶ διακυμαίνοντος* (*διαλαμβάνοντος* Vind.) *τοῖς κόλποις, τόν τε περιέχοντα τὴν Κύμην καὶ τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν*. in his verba *ὃς κεῖται* recte omittit Stephanus. 5. *προπεπτωκότος* Heynius, *τοῦ προπεπτωκότος* Salmasius, *τοῦ ἀποπεπτωκότος* libri. 6. *τοὺς κόλπους* Salmasius, *τοῖς κόλποις* libri. *τε* et mox *καὶ* ex Arist. additum. 8. *καθ' ὑπερβολήν*] Aristotelis libri addunt: *ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς*. sequentia iidem ita: *ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες καλοῦσι τὴν μὲν Παρθενόπην τὴν δὲ Λευκοσίαν τὴν δὲ Λίγειαν*. 9. *ταῦτα*] *αὐτῶν* RV. 10. *Σειρηνούσιος* RV, *Σειρηνούσσιος* A. *Σειρηνουσαῖος* R, *Σειρηνουσσαῖος* AV.
11. *Σεκέλλα* R, *Σέκελα* V. *Σίκελα* dicitur Socrati Hist. Eccl. 3, 25. *κώμη* R, *πόλις* A. *Ἰώσηπος*] A. I. 6, 13, 9. ubi editi *Σεκελά*, codd. alii aliter, sed ut in duplice λ̄ consentiant. 12. *Σεκελλοί* R, *Σεκελοί* AV. forsan *Σεκελληνοί*. 13. *Σελλάσεια* ante H. *Σελασιεύς* H, *Σελασειεύς* libri.

Σέλγη, πόλις Πισιδίας, ἄποικος Λακεδαιμονίων. οἱ πολῖται Σελγεῖς. καὶ Σελγικὴ κτητικόν.

Σελεύκεια, πόλις ἐπὶ Κιλικίᾳ τραχεῖα λεγομένη. ὠνόμασε δὲ Σελεύκειαν αὐτὴν Σέλευκος ὁ Νικάτωρ, ὡς Ἀλέξανδρός φησι. πρότερον δὲ Ὀλβία ἐκαλεῖτο καὶ Ὑρία. οἱ πολῖται ἀπὸ τῆς Ὑρίας Ὑριεῖς, καὶ τῆς Ὀλβίας Ὀλβιανοί, καὶ τῆς Σελευκείας Σελευκεῖς καὶ Σελευκεύς καὶ Σελευκηνός, καὶ Σελευκίς ἡ χώρα. ἔστι καὶ ποτηρίων εἶδος Σελευκίς, ἀπὸ Σελεύκου.

Σέλευκος, πόλις παρὰ τῇ ἐν Συρίᾳ Ἀπαμείᾳ, ἀρσενικῶς λεγομένη. ὁ πολίτης Σελευκίτης.

Σελευκόβηλος, πόλις Συρίας, πλησίον .... ὁ πολίτης Σελευκοβηλίτης καὶ Σελευκοβηλαῖος. λέγεται καὶ Σελευκεὺς πρὸς τῷ Βήλῳ. οὕτω γὰρ Παυσανίας ἐν τῷ περὶ Ἀντιοχείας φησί.

Σελήνης πόλις, [πόλις] Τυρρηνίας. τὸ ἐθνικὸν Σεληνοπολίτης. καὶ ἑτέρα μεγάλη μία τῶν Ἑκατὸν νήσων. ἔστι καὶ σελήνη πόπανόν τι τῷ ἄστρῳ παραπλήσιον. ὁ οἰκήτωρ Σεληνίτης καὶ Σεληναῖος.

Σελινοῦς, πόλις Σικελίας, ἀρσενικῶς καὶ θηλυκῶς

3. *τραχείᾳ λεγομένη* X. 5. *Ὀλμία* et 6. *Ὀλμίας Ὀλμιανοί* H. 7. an *Σελευκεῖς καὶ Σελευκίς*? nisi *καὶ Σελευκεύς* delere praestat. 10. *παρὰ* RV, *περὶ* A. *ἐν Συρίᾳ* RV et X, *ἐνυρίᾳ* A. *Ἐπαμίᾳ* R. 11. *Σελευκίτης* R, *Σελευκιήτης* V, *Σελευκηΐτης* A, quo scripturae vitio Golzius abusus est ut numum fingeret cum epigraphe *ΣΕΛΕΥΚΗΙΤΩΝ*. 12. *Σελευκόβηλος* non diversa a superiore. v. Wesseling. ad Hierocl. p. 712. *πλησίον* [*Λαρίσσης*] EMillerus. 14. *γὰρ* lacuna septem literarum indicata om. R. 16. *Σελήνη, πόλις Τυρρηνίας* libri. corrigendum esse ut correxi praeter gentile ostendit Strabo 5 p. 222: *ἡ μὲν Λοῦνα πόλις ἐστὶ καὶ λιμήν, καλοῦσι δ' οἱ Ἕλληνες Σελήνης λιμένα καὶ πόλιν.* 17. *μεγάλη*] Hoc ineptissime dictum de insula minutissima. fortasse *Σελήνη* fuit. *Ἑκατὸν*] *ρ'* RV. vide supra p. 121. 17. 18. *ἔστι καὶ — παραπλήσιον*] Haec aut interpolatori debentur, aut certe in finem sectionis reicienda sunt. 18. *τῷ* add. R. 20. *καὶ θηλυκῶς*] Vide ad Scymn. p. 41.

λεγομένη. ὁ πολίτης Σελινούντιος καὶ Σελινούσιος καὶ Σελινουντία.

Σελλασία, πόλις Λακωνική. Θεόπομπος ἐν τετάρτῳ Ἑλληνικῶν. ὁ πολίτης Σελλασιεύς, ὡς τῆς Ἀπίας Ἀπιεύς.

Σελλοί, οἱ Δωδωναῖοι. „ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίουσ' ὑποφῆται". λέγεται καὶ δίχα τοῦ σ Ἑλλοί.

Σέμφη, ὡς Τύμφη, πόλις τῆς κατὰ Εὐφράτην Ἀραβίας. τὸ ἐθνικὸν Σεμφαῖος καὶ Σεμφηνός.

Σέννονες, ἔθνος Γαλατικόν, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῳ.

Σενοεσσανοί, ἔθνος Ἰταλικόν, ὡς Πολύβιος ἐν τρίτῳ.

Σέριφος, μία τῶν Σποράδων, ἐξ οὗ καὶ τὸ βάτραχος Σερίφιος. καὶ τὸ θηλυκὸν Σεριφία καὶ Σεριφαία.

Σερμυλία, πόλις παρὰ τὸν Ἄθω, ὡς Ἑκαταῖος. ἔοικε δὲ ὡς παρὰ τὸ Σερμύλιον τὸ ἐθνικὸν Σερμυλιαῖος καὶ Σερμυλία καὶ Σερμυλιεύς.

Σέρρειον, ἀκρωτήριον τῆς Θρᾴκης. ἔστι καὶ πόλις Σαμοθρᾴκης. τὸ ἐθνικὸν Σερρειεύς καὶ Σερρειώτης, ὡς τοῦ Λαύρειον Λαυρεώτης, καὶ Σερρεάτης, ὡς Λέπρεον Λεπρεάτης. καὶ Σέρρειον τεῖχος, οὗ τὸ ἐθνικὸν Σερρειοτειχίτης. καὶ ἀπὸ τοῦ Σέρρεια ὄρη Σέρρειος ἐθνικόν. λέγεται καὶ Σέρρα, ἧς ἡ γενικὴ κατ' Ἴωνας Σέρρης, καὶ Σερρατειχίτης.

---

4. τῆς Ἀπίας add. R, τῆς Ἀσίας V. 5. ἀμφὶ δὲ] Hom. Il. 16, 234. 7. Σέμφη] Haec sectio in libris post Σενοεσσανοί legitur. 9. Οὐράνιος] Vranius, Arabicae historiae auctor notissimus, quam opportunitatem habuerit commemorandae gentis Gallicae vix intelligas; itaque nescio an Vranii memoria loco suo mota sit et ad vocem Σέμφη pertineat. 11. τρίτῳ] c. 91, 4. ubi Σενουεσσανοί. 14. παρὰ τὸν Ἄθω RV, περὶ τὸν Ἄθω A. 15. Σερμυλιαῖος] Hoc ad Σερμύλιον revocari non potest, itaque, nisi plura omissa sunt, scribendum Σερμύλιος. 16. Σερμυλιεύς] Σερβυλιῆς Catal. trib. no. 29 et 112. 18. Σερειεύς καὶ Σερεώτης R. 18. 19. ὡς τοῦ — Λεπρεάτης om. V. Λαύρεον R. 19. Λέπρειον scriptoris consilio accommodatius. 20. Σέρειον R, Σερρίειον V. 21. Σέρειον ἐθνικόν R. 22. Ἴωνος RV.

Σεσάρηθος, πόλις Ταυλαντίων, ὥς φησιν Ἑκαταῖος. καὶ τὸ ἐθνικὸν Σεσαρήθιος.

Σεσίνδιον, πόλις Ἰνδική. τὸ ἐθνικὸν Σεσίνδιος, ὡς τῆς Ἰσίνδου Ἰσίνδιος.

Σέστιον, πόλις ἐν μεσογείᾳ Οἰνώτρων. τὸ ἐθνικὸν Σεστιεύς, ὡς τὰ εἰς ον οὐδέτερα.

Σηκοανός, πόλις Μασσαλιωτῶν. ἀφ' οὗ τὸ ἐθνικὸν Σηκοανοί, ὡς Ἀρτεμίδωρος ἐν πρώτῃ.

Σηλυμβρία, πόλις Θρᾴκης. κέκληται δὲ ἀπὸ Σήλυος. βρία γὰρ κατὰ Θρᾷκας ἡ πόλις, ὡς Πολτυμβρία ἡ Πόλτυος πόλις. ὁ πολίτης Σηλυμβριανός.

Σημαχίδαι, δῆμος Ἀττικῆς, ἀπὸ Σημάχου, ᾧ καὶ ταῖς θυγατράσιν ἐπεξενώθη Διόνυσος, ἀφ' ὧν αἱ ἱέρειαι αὐτοῦ. ἔστι δὲ τῆς Ἀντιοχίδος φυλῆς. Φιλόχορος δὲ τῆς Ἐπακρίας φησὶ τὸν δῆμον. ὁ δημότης Σημαχίδης. τὰ τοπικὰ ἐκ Σημαχιδῶν ἐν Σημαχιδῶν εἰς Σημαχιδῶν.

Σήνη, πόλις Κελτική. ὁ πολίτης Σηναῖος καὶ Σήνιων.

Σῆνος, πόλις Αἰγύπτου. Ἑκαταῖος ἐν αὐτῆς περιηγήσει. ὁ πολίτης Σηνικός.

Σῆρες, ἔθνος Ἰνδικόν, ἀπροσμιγὲς ἀνθρώποις, ὡς Οὐράνιος ἐν τρίτῳ Ἀραβικῶν.

Σήσαμον, πόλις Παφλαγονίας, ἐν ᾗ ᾤκησεν ὁ πρῶτος Φινεύς. Δίδυμος δὲ νῆσον αὐτήν φησι. τὸ ἐθνικὸν Σησαμηνοί καὶ Σησαμίτης.

---

3. *Σεσίνδιον*] Propter comparationem cum *Ἴσινδος* conicias *Σέσινδος*. nec repugnabit Nonnus 26, 55, cui Graefius *Σισίνδιον αἰπύ* restituit, si id *ἄστυ* scribas. notitia urbis Dionysii Bassaricis deberi videtur.
5. *Οἰνώτρων*] Addendum *Ἑκαταῖος Εὐρώπῃ*. cf. p. 513. 5.6. *Σεστριεύς* R. 7. *Σηκοάν* V, *Σικόανος* AR. *πόλις* RV, *ποταμὸς* A. 8. *Σηκόανοι* AV, *Σικόανοι* R. 12. *Ἀττικῆς* R, *Ἀττικῶν* V, *Ἀττικός* A. *ᾧ* PpRV, *οὗ* A. 13. *ἀφ' ὧν αἱ*] *ἀφ' ᾧ καὶ* R. 14. *Ἐπακτρίας* RV. 19. *Σηνικός*] Vide s. v. *Πῶλις* et *Ταριχέαι*. 22. *Σήσαμος* Eustathius ad Hom. p. 362, 8. 22. *ὁ παλαιός*? Eustathius: *λέγεται δὲ οἰκῆσαι ταύτην* (Sesamum) *ὁ τῆς παλαιᾶς ἱστορίας Φινεύς*. an *τὸ πρότερον*? 23. *νῆσον* i. e. *χερρόνησον*. *Σησαμηνοί* RV, *Σησαμινοί* A.

Σηστός, πόλις πρὸς τῇ Προποντίδι. λέγεται δὲ ἀρσενικῶς παρ' Ἐφόρῳ. οἱ δ' Ἀθηναῖοι „ἐν τῇ Σηστῷ" φασιν. ὁ πολίτης Σήστιος· ἔστι δὲ ὡς Φαῖστος Φαίστιος.

Σηταῖον, χώρα παρὰ Σύβαριν, ἔνθα Σήταιαν, μίαν τῶν αἰχμαλώτων, πείσασαν τὰς ἄλλας τῶν Ἑλλήνων ἐμπρῆσαι τὰς ναῦς αὐτοὶ ἐσταύρωσαν. τὸ ἐθνικὸν Σηταῖος.

Σητία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σητῖνοι. εἰσὶ δὲ καὶ *Σητοί* [Βιθυνίας] πόλις. τὸ ἐθνικὸν τῶν Σητῶν τῶν ἐν Βιθυνίᾳ Σηταῖος. λέγονται καὶ Σητοί, ὡς Δελφοί καὶ Λοκροί.

Σιαγαθουργοί, ἔθνος, περὶ οὗ φησι Μαρκιανὸς ἐν περίπλῳ Σαρματίας.

Σίβαι, Ἰνδικὸν ἔθνος, ἅμα Δηριάδῃ μαχεσάμενον Διονύσῳ, καθά φησι Διονύσιος.

Σίβδα, πόλις Καρίας. οἱ πολῖται Σιβδᾶται. τὸ ἐθνικὸν Σιβδανός καὶ Σιβδίτης.

Σιβερίνη, πόλις Οἰνώτρων. τὸ ἐθνικὸν Σιβερῖνος. προκατελήφθη γὰρ ὁ τύπος τῷ πρωτοτύπῳ.

Σίβυρτος, πόλις Κρήτης. τὸ ἐθνικὸν Σιβύρτιος, ὡς Πολύβιος ἐν τρισκαιδεκάτῳ.

---

2. *Εὐφόρῳ* ante X. cf. Eustath. ad Dion. 513: *ἀττικῶς μὲν ἡ Σηστός, παρὰ δὲ Ἐφόρῳ ὁ Σηστός.* 4. *χωρίον?* *παρὰ* R, *περὶ* A. 5. *τοὺς ἄλλους* V. 6. *αὐτοὶ* PpRV, *αὐτὴν* A. 7. *Σητηνοί* libri. *εἰσὶ* V, *ἔστι* AR. 8. *Σητοί* M, *Σητή* libri. *Βιθυνίας* add. BH. 9. *Δελφοί καὶ Λοκροί*] Haec non propter accentum comparantur, sed ut urbis et civium nomen idem esse intelligatur. cf. *Βύβαι, πόλις .. τὸ ἐθνικὸν οἱ Βύβαι, ὡς Λοκροί καὶ Δελφοί. Ἀμφίδολοι, πόλις .. καὶ οἱ πολῖται ὁμοίως, ὡς Θούριοι καὶ Θαύμακοι καὶ Λεοντῖνοι καὶ Δελφοί. Πολήσιοι, πόλις καὶ οἱ πολῖται, ὡς Λοκροί Δελφοί οἱ οἰκήτορες ὁμοίως. Φανοτεῖς, πόλις. οἱ πολῖται Φανοτεῖς, ὡς Δελφοί καὶ Θούριοι. Φύσκος, πόλις. καὶ τὸ ἔθνος Φύσκοι καὶ (ὡς?) Λοκροί.* eo minus igitur dubitari potest, quin *Σητοί* pro *Σητή* recte emendatum sit. 12. *μαχησάμενον* V. 14. *Σιβδᾶται* R, *Σιβδάται* AV. 15. *Σιβδήτης?* 16. *Σιβερηνή* et mox *Σιβερηνός* libri. *Οἰνώτρων*] Hic etiam Hecataei nomen excidit. vide p. 513. 18. *Σίβυργος* R, *Σίβυργοι* V. videtur haec eadem esse quae *Σύβριτα* vel *Σίβρυτα* dicitur Scylaci Per. 48. cuius incolae *Σιβρύτιοι* in titulis. v. Boeckh. C. I. vol. 2 p. 637.

Σίγαθα, πόλις Λιβύης, ὡς Στράβων ἑπτακαιδεκάτῃ. ὁ πολίτης Σιγαθεύς.

Σίγγα, πόλις Λιβύης, ὡς Πολύβιος δωδεκάτῳ. τὸ ἐθνικὸν Σιγγαῖος.

Σίγγαρα, πόλις Ἀραβίας πρὸς τῇ Ἐδέσσῃ, ὡς Οὐράνιος ἐν πρώτῳ Ἀραβικῶν. ὁ πολίτης Σιγγαρηνός.

Σίγγος, πόλις παρὰ τῷ Ἄθῳ. τὸ ἐθνικὸν Σίγγιος, καὶ Σιγγικὸς τὸ κτητικόν. καὶ Σιγγαῖος.

Σίγγυα, πόλις Παμφυλίας. τὸ ἐθνικὸν Σιγγυάτης, ὡς Αἰγύας Αἰγυάτης.

Σίγειον, πόλις Τρῳάδος, ὡς Στράβων τρισκαιδεκάτῃ. ὁ πολίτης Σιγειεύς, τὸ θηλυκὸν Σιγειάς. καὶ Σιγειακός. ἔστι καὶ ἄλλο ἐθνικὸν Σίγειος.

Σίγη, πόλις Τρῳάδος, ὡς Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Σιγίτης.

Σιγνία, πόλις Ἰταλίας, ὡς Στράβων πέμπτῃ. τὸ ἐθνικὸν Σιγνῖνος.

---

1. ἑπτακαιδεκάτῃ] p. 829. ubi Σίγα editur. 3. δωδεκάτῳ] c. 1, 3. 5. Ἐδέσῃ ante X. 6. Σαγγαρηνός R. 7. παρὰ τῷ Ἄθῳ RV, περὶ τὸν Ἄθων A. 8. Σιγγιτικός dubitanter Dindorfius. 10. Αἰγύας Αἰγυάτης] Aegyam nusquam memorari memini. Αἶγυς Laconici oppidi nomen est, a quo Αἰγύα dici potuit ager Aegyticus. non credo tamen id Stephanum in animo habuisse, qui potius scripsisse videtur ἀγυίας ἀγυιάτης. 11. τρισκαιδεκάτῃ] p. 595. 12. Σιγειεύς] Vide ad p. 22, 36. 13. ἐθνικὸν] Forsan κτητικὸν. ἄλλο dicit propter Σιγειακός, quod formatum est ut Κῳακός et similia; quod autem possessivum non differt a primitivo, id hanc rationem habet, quod Σίγειον proprie ne ipsum quidem πρωτότυπον est, sed κτητικῶς formatum, ut Ῥοίτειον et similia. male Seneca Troad. 936. et Lucanus Phars. 9, 963. Sigion (vulgo Sigeum) et Rhoetion dixerunt penultima correpta. 14. Σίγη] Commemoratur ab Avieno Descr. Orae Mar. 46. quin et Damastes nobili natus Sige, quem mirum est primam corripere. 15. Σιγείτης R. an Σιγήτης? cf. s. v. Σίδη. Σιγαῖος est in Catal. trib. no. 113. 16. Σιγνία Pr, Σίγνινα ARV. πέμπτῃ (p. 237) H, γ' RV, τρίτῃ A. 17. Σίγνινος libri.

Σίγριον, Λέσβου λιμήν. τὸ ἐθνικὸν δύναται καὶ Σιγριεὺς καὶ Σίγριος.

Σίγυννος, πόλις Αἰγυπτίων, ὡς Κτησίας ἐν πρώτῳ περίπλων. οἱ πολῖται Σίγυννοι.

Σιδάκη, πόλις Λυκίας, ἀπὸ Σιδάκης τῆς Ἀμισωδάρου. τὸ ἐθνικὸν Σιδακηνὸς καὶ Σιδακηνή [καὶ Σιδακηνόν], καὶ Σιδακεύς τῷ τῆς χώρας ἔθει· χαίρουσι γὰρ τῷ τύπῳ.

Σιδαροῦς, πόλις [Λυκίας] καὶ λιμήν. τὸ ἐθνικὸν Σιδαρούντιος ὡς Τραπεζούντιος.

Σίδη, πόλις Παμφυλίας, ὡς Ἑκαταῖος Ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σίδης τῆς θυγατρὸς μὲν Ταύρου, γυναικὸς δὲ Κιμώλου, ἀφ' οὗ ἡ νῆσος. ὁ πολίτης Σιδήτης. τὴν δευτέραν συλλαβὴν ἔχει διὰ τοῦ η διὰ τὸν βαρὺν τοῦ πρωτοτύπου τόνον. τὰ γὰρ εἰς η λήγοντα δισύλλαβα πρωτότυπα ὀξυνόμενα μὲν διὰ τοῦ ε τὸ παράγωγον ἐκφέρει, φυλή φυλέτης, βαρυνόμενα δὲ διὰ τοῦ η, κώμη κωμήτης, Πύλη Πυλήτης καὶ Πυλάτης.

Σιδήλη, πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Σιδηληνός.

Σιδήνη, πόλις Λυκίας, ὡς Ξάνθος ἐν Λυδιακῶν τετάρτῳ. τὸ ἐθνικὸν Σιδηνός ὡς Σωφηνός.

Σιδοῦς, κώμη Κορίνθου ἢ Μεγαρίδος ἐπίνειον. τὸ ἐθνικὸν Σιδούντιος. ἔστι καὶ περὶ Κλαζομενὰς κώμη. καὶ

---

3. *Σίγυμνος* R, *Σίγυνος* X. Sigymni memorantur in libris Orphei Argon. 759. ubi Hermannus *Σίγυννοι* edidit. *Αἰγυπτίων*] Corruptelam arguit et res et gentilicii typus minime Aegyptiacus. 4. *Σίγυνοι* X. 5. *Σιδάκκης* V. *Ἀμισωδάρου* M, *Ἀμισοδώρου* libri. vide Com. graec. vol. 3 p. 540. Lyciaca huius nominis forma fuit *Ἴσαρας*. v. Plutarch. Mul. virt. p. 247 e. 6. *καὶ Σιδακηνόν* add. X. 8. *Λυκίας* add. B. *Σιδηροῦς* Lyciae *ἀκρωτήριον καὶ λιμήν* est apud Scylac. Per. 100. 11. *μὲν Ταύρου* H, *Μενταύρου* AR, *Κενταύρου* V. 11. 12. *Κιμώλου* PpRV, *Μώλου* A. 16. *βαρυνόμενα δὲ διὰ τοῦ η* RV, *διὰ δὲ τοῦ η βαρυνόμενα* A. 21. *Σιδηνός ὡς Σωφηνός* om. R. *Σοφηνός* libri. 22. 23. *Σιδοῦς — τὸ ἐθνικὸν* om. R. 23. *Κλαζομενοὺς* V.

ἄλλη τῆς Ἐρυθραίας. καὶ τόπος τῆς Παμφυλίας. τὸ ἐθνικὸν Σιδούσιος.

Σίδουσα, πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίᾳ „ἐν δὲ Σίδουσα πόλις".

Σίδυμα, πόλις Λυκίας, ἧς Ἀλέξανδρος μέμνηται ἐν πρώτῳ Λυκιακῶν. ἐκλήθη δὲ ἀπὸ Σιδύμου. ὁ πολίτης Σιδυμεύς.

Σιδών, πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Σιδώνιος διὰ τοῦ ω̄ μεγάλου καὶ διὰ τοῦ ο̄ μικροῦ. καὶ Σιδωνίς τὸ θηλυκόν. ἀλλὰ καὶ Σιδών ἐθνικόν.

Σιδωνία, πόλις Τρῳάδος. τὸ ἐθνικὸν Σιδώνιος· προκατελήφθη γὰρ τὸ πρωτότυπον.

Σιθηνοί, ἔθνος παρακείμενον τῇ Ἐρυθρᾷ θαλάσσῃ, ὡς Μαρκιανὸς ἐν περίπλῳ.

Σιθωνία, μέρος Θρᾴκης. τὸ ἐθνικὸν Σιθώνιος καὶ Σιθωνίη.

Σικάνη, πόλις Ἰβηρίας, ὡς Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Σικάνιος.

Σικανία, ἡ περίχωρος Ἀκραγαντίνων. καὶ ποταμὸς Σικανός, ὥς φησιν Ἀπολλόδωρος.

Σικελία, ἡ χώρα καὶ ἡ νῆσος. [[Σικανία πρότερον ὠνο-

---

1. Ἐρυθραίας M, Ἐρυθρᾶς libri, quod cum aliis obfuit tum Alberto ad Hesychium s. v. Σιδόνιοι. vide ad v. Σίδουσα. Παμφυλίης V. 3. Σίδουσα R, Σίδουσσα AV. in Hecataei loco Σίδουσα RV, Σίδουσσα A. Hecataeus aut Σίδουσα scripserat aut Σιδόεσσα. ceterum haec eadem est quae in praecedenti articulo secundo loco memoratur. cf. Thucyd. 8, 24: ἔκ τε Οἰνουσσῶν τῶν πρὸ Χίου νήσων καὶ ἐκ Σιδούσσης καὶ ἐκ Πτελεοῦ, ἃ ἐν τῇ Ἐρυθραίᾳ εἶχον τείχη. 5. ἧς RV, ὡς A. 8. διὰ τοῦ ῡ καὶ διὰ τοῦ ω̄ R. 15. Σιθωίνη R. ionica forma remansit ex loco Herodoti 7, 122. 18. Ἀκραγαντίνων] Schol. Lycophr. 951: Σικανίαν πόλιν οὖσαν παρὰ Ἀκραγαντίνοις κειμένην. 20. ἡ χώρα καὶ ἡ νῆσος] Haec epitomatoris sunt, non Stephani, qui, ut solet, hanc de Sicilia sectionem ita fere orsus erat: Σικελία, νῆσος μεγίστη καὶ ἐπιφανεστάτη, quibus verbis utitur Constantinus Porphyr. Them. 2 p. 58 Bonn.: νῆσός ἐστι μεγίστη καὶ ἐπιφανεστάτη ἡ Σικελία. eidem accepta feruntur quae uncis inclusi verba: Σικανία πρότερον ἐκλήθη usque ad 568, 6: Σικελιῶται ὡς Ἰταλιῶται. C (i. e. Constantinus) ita: ἔσχε δὲ τὴν ἱστορίαν (αἰτίαν

μάζετο, εἶτα Σικελία ἐκλήθη, ὥς φησιν Ἑλλάνικος Ἱερειῶν τῆς Ἥρας β' „ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Αὔσονες ὑπὸ τῶν Ἰαπύγων ἐξ Ἰταλίας ἀνέστησαν, ὧν ἦρχε Σικελός· καὶ διαβάντες εἰς τὴν νῆσον τὴν τότε Σικανίαν καλουμένην περὶ τὴν Αἴτνην καθιζόμενοι ᾤκουν αὐτοί τε καὶ ὁ βασιλεὺς αὐτῶν Σικελὸς βασιλείην ἐγκαταστησάμενος, καὶ ἐντεῦθεν ὁρμώμενος [ὁ Σικελὸς οὗτος] πάσης ἤδη τῆς νήσου τότε [ταύτης] Σικελίας καλουμένης ἀπὸ τοῦ Σικελοῦ [τούτου], ὃς καὶ ἐν αὐτῇ ἐβασίλευσε". καὶ Μένιππος δὲ ταῦτά φησιν. [Θουκυδίδης δὲ οὕτως] „ἐλθόντες εἰς Σικελίαν στρατὸς πολὺς ἐξ Ἰταλίας τούς τε Σικανοὺς κρατήσαντες μάχῃ ἀπέστειλαν εἰς τὰ μεσημβρινὰ καὶ τὰ ἑσπέρια μέρη αὐτῆς καὶ ἀντὶ Σικανίας Σικελίαν τὴν νῆσον ἐποίησαν καλεῖσθαι, καὶ τὰ κράτιστα τῆς γῆς ᾤκησαν ἔχοντες". μεγίστη δὲ αὕτη μαρτυρεῖται τῶν ἑπτά, καθά φησιν Ἄλεξις ὁ κωμικός

τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος,
ἐστὶν μεγίστη, δευτέρα Σαρδώ, τρίτη

Bekkerus) τοῦ καλεῖσθαι Σικελία ἀπὸ ἱστορίας τοιαύτης, καθὼς ὁ γραμματικὸς Στέφανος γράφει· Σικελία ἡ νῆσος Σικανία πρότερον ὠνομάζετο κτλ. 2. ἐν δὲ τῷ αὐτῷ] Hellanici verba Constantinus suae dictionis sordibus inquinavit foedissime. Ionismi vestigium reliquit nullum praeter βασιλείην (βασιληΐην), nisi id βασίλειον (βασιλήιον) scribendum est. 4. τότε Bekkerus, τε vulgo. 5. Αἴτναν C. 6. Σικελός, [ὃς]? 7. ὁ Σικελὸς οὗτος seclusit Bekkerus. 7. 8. ἤδη τῆς νήσου [ἐκράτει] τότε Σικελίας καλουμένης ἀπὸ τοῦ Σικελοῦ? interim ταύτης et τούτου seclusi. sequentia, ὃς καὶ ἐν αὐτῇ ἐβασίλευσε, non videntur Hellanici esse. 9. καὶ Μένιππος δὲ ταῦτά φησιν fortasse ex margine illata sunt, nisi ipsa Menippi verba excidere. Θουκυδίδης δὲ οὕτως add. M. Thucydidis locus est 6, 2. 10. ἐλθόντες δὲ ἐς Thucydides. ἐξ Ἰταλίας om. Thucydides. 11. κρατοῦντες Thucydides. ἀνέστειλαν Bekkerus. 12. μέρη om. Thucydides. 14. αὐτὴ vulgo. 15. Ἀλέξιος suae aetatis morem secutus C. Alexidis versus qui apposuit Eustath. in Dion. 568. haud dubie eos ex Stephano adscripsit. cf. Com. graec. vol. 3 p. 517. 16. ἔδειξεν Eustathius. 18. ἐστὶν μεγίστη M, ἐστὶ μεγάλη καὶ C, πρώτη μεγίστη Eustathius.

Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφός,
Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος,
Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦσ' ἔχει.

.... „τῶν δὲ νησιωτῶν οἱ μὲν ἰθαγενεῖς πάλαι Λίγυες ἐξ Ἰταλίας Σικελοὶ λέγονται, οἱ δὲ ἐπήλυδες Ἕλληνές εἰσι Σικελιῶται, ὡς Ἰταλιῶται".]] τὸ ἐθνικὸν Σικελοί καὶ Σικελιῶται. καὶ οἱ μὲν ἀπὸ τοῦ οἰκιστοῦ καὶ ἀρχηγέτου τῆς χώρας, ἀφ' οὗ καὶ ἡ χώρα, ὡς Κίλικες τοῦ Κίλικος, οὗ καὶ ἡ Κιλικία, ὡς Θετταλοί ἀπὸ Θετταλοῦ, οὗ ἡ Θετταλία, καὶ Φρύγες Φρυγός, οὗ ἡ Φρυγία. οἱ δ' ἐπιγενόμενοι καὶ τὴν χώραν εὑρόντες προκεκλημένην ἐπωνομάσθησαν, ὡς ἀπὸ τῆς Φθίας Φθιῶται, οὕτω Ἰταλίας καὶ Σικελίας Ἰταλιῶται καὶ Σικελιῶται. καὶ Σικελός καὶ Σικελή. ἔστι καὶ ἄλλη Σικελία κατὰ τὴν Πελοπόννησον.

Σίκημος, πόλις Ἀραβίας, καὶ Σίκημα. τὸ ἐθνικὸν Σικήμιος καὶ Σικημίτης. τοῦ δὲ Σίκημα τὸ ἐθνικὸν Σίκημοι.

Σίκινος, νῆσος περὶ τὴν Κρήτην, ὡς Στράβων δεκάτῃ.

---

2. *στενοφυής* Eustathius, *στεινοφυής* C. 3. *ἑβδόμη* Eustathius. 4. *τῶν δὲ νησιωτῶν*] Haec non Stephani sed vetusti scriptoris a Stephano allati verba esse vel Ligurum commemoratio ostendit, quos pro Siculis vel Ausonibus memoravit etiam Philistus apud Dionysium A. R. 1, 22. eam ob causam lacunam indicavi. videntur autem haec loco suo mota et post Thucydidis testimonium ponenda esse. postrema, *ὡς Ἰταλιῶται*, importune ceteris assuta sunt. 8. *Κίλικες* X, *Κίλικος* libri. [*ἀπὸ*] *τοῦ Κίλικος* X. 9. *ὡς*] Malim *καὶ*. 9. 10. *Φρύγες Φρυγός* M, *Φρυγὸς Φρύγες* libri. 11. 12. *Φθιῶται, καὶ Ἰταλίας Ἰταλιῶται, οὕτω καὶ Σικελίας Σικελιῶται?* 12. 13. *καὶ* [*τὸ θηλυκὸν Σικελιῶτις*] *καὶ Σικελίς καὶ Σικελή?* 13. 14. *Σικελία κατὰ τὴν Πελοπόννησον*] Huius nulla apud alios memoria: nec tamen causa est, cur fides denegetur ethnicographo, siquidem compluribus in terris fuerunt loca Siciliae nomine appellata, in Attica, Thrace, Mauritania. etiam Naxus insula parva Sicilia dicta fuit. v. Hesychium s. v. *Σικελία* ibique Albertum. Bergkio tamen Observ. crit. spec. 2 Stephani error subesse videtur, natus ille ex Eupolidis versu *Ὠλκαῖε Σικελιῶτα Πελοποννήσιε*, de quo v. Com. gr. vol. 2 p. 540. 15. 16. *Σικήμιος*] *Σικίμιος* R. cf. Alberti ad Hesych. s. v. *Σίκιμα*. 17. *Σίκινος* H, *Σίκηνος* libri. cf. ad Scymni Per. p. 76. *τὴν* om. R. *δεκάτῃ*] p. 484.

αὕτη Οἰνόη πρότερον ἐκαλεῖτο. ὁ οἰκήτωρ Σικινίτης, ὡς νῆσος νησίτης.

Σικυών, πόλις Πελοποννήσου. λέγεται καὶ θηλυκῶς καὶ ἀρσενικῶς. ἡ δ' αὐτὴ ἐκλήθη καὶ Μηκώνη καὶ Τελχινία. ὁ πολίτης Σικυώνιος. καὶ ὑποδήματα Σικυώνια.

Σιλίνδιον, πόλισμα περὶ τὴν Ἴδην, ὡς Δημήτριος ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωικοῦ διακόσμου. οἱ πολῖται Σιλινδῖται καὶ Σιλινδιῶται.

Σίλλυος, πόλις Ἰωνίας πρὸς τῇ Σμύρνῃ. τὸ ἐθνικὸν Σιλλυεῖς.

Σίμανα, πόλις Βιθυνίας μεταξὺ δύο ποταμῶν. τὸ ἐθνικὸν Σιμαναῖος καὶ Σιμανεύς.

Σίμηνα, πόλις Λυκίας, οὐδετέρως. οἱ κατοικοῦντες Σιμηνεῖς ὡς Σιδυμεῖς.

Σιμόεις καὶ Σιμοῦς, ὡς Ὀπόεις Ὀποῦς. παράγωγον Σιμούντιος, καὶ θηλυκὸν Σιμουντίς.

Σίμυρος, πόλις Σύρων. Ἔφορος δὲ Σίμυρα οὐδετέρως αὐτήν φησι. τὸ ἐθνικὸν Σιμύριος, τοῦ δὲ οὐδετέρου Σιμυρεύς.

Σίναι, μητρόπολις τῶν Σινῶν, περὶ ὧν φησι Μαρκιανὸς ἐν περίπλοις.

Σινδησσός, ὡς Τελμησσός, πόλις Καρίας. τὸ ἐθνικὸν Σινδησσεύς καὶ Σινδήσσιος.

Σινδία, πόλις Λυκίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Σίνδιοι.

Σίνδα, πόλις πρὸς τῷ μεγάλῳ κόλπῳ τῆς Ἰνδικῆς, ἔνθεν οἱ καλούμενοι Σίνδαι.

Σίνδοι, ἀπὸ μεσημβρίας τῆς Μαιώτιδος λίμνης. ἔνιοι

---

1. Σικηνίτης AV, Σικινήτης R. 4. Μήκων ante H. 6. παρὰ R. 10. Σιλυεῖς R. 13. 14. Σιμηνεῖς RV, Σιμανεῖς A. 17. Συρίων libri. Σίμυρα] Cf. s. v. Ἴμυρα. 21. Τελμησσός RV, Τελμισσός A. 23. an Λυδίας? Isindiam noster p. 338, 15. Ioniae tribuit. 25. Σίνδα] Haec aut ante Σινδησσός transponenda aut praecedentibus annectenda sunt. 26. Σισίνδαι R. 27. Σινδοί libri. Arcadius ex sexto Herodiani p. 48, 9: βαρύνεται Λίνδος Σίνδος Πίνδος. cui consentit schol. Apoll. Rh. 4, 322: τὸ Σίνδοι Ἡρωδιανὸς ἐν τῷ ἕκτῳ

δὲ καὶ τὸ Σινδικὸν γένος φασὶν εἶναι τῶν Μαιωτῶν ἀπόσπασμα. λέγεται καὶ τὸ γυναικεῖον αἰδοῖον.

Σινδοναῖοι, Θρᾴκιον ἔθνος, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ.

Σίνηρα, πόλις Φοινίκης, τῶν ἀπὸ τῆς Φοινίκης καὶ Συρίας. τὸ ἐθνικὸν Σινηρεύς.

Σίνθος, πόλις παρὰ τῷ Θερμαίῳ. Ἡρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν Σίνθιος.

Σινόεσσα, πόλις Σικελίας. τὸ ἐθνικὸν Σινοεσσαῖος καὶ Σινοεσσανός.

Σιντία, πόλις Μακεδονίας πρὸς τῇ Θρᾴκῃ, ὡς Εὔδοξος ἐν τετάρτῳ γῆς περιόδου. οἱ ἐνοικοῦντες Σιντοί ὀξυτόνως. γίνεται δέ τι θαυμαστὸν παρ' αὐτοῖς, ὥς φησιν Ἀριστοτέλης, ποταμόν τινα εἶναι Πόντον προσαγορευόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους, οἳ καιόμενοι τοὐναντίον πάσχουσι τοῖς

τῆς καθόλου βαρυτονεῖν φησι δεῖν. cf. nostrum in Βάλδος. 1. τῶν add. R. 3. ἐν add. R. 4. Σίνηρα] Σίνδρα postulat ordo literarum. τῆς add. R. 6. Σίνθος] Σίνος in Cat. trib. no. 66. ἀπὸ R. κόλπῳ post Θερμαίῳ add. X. cf. in Ἰουέρνη, πόλις ἐν τῷ Πρετανικῷ, et Σαπφειρηνή, νῆσος ἐν τῷ Ἀραβίῳ. ἑβδόμῃ] c. 123. ubi Σίνδος editur. 8. Σικελίας] Siciliam de Campania et inferiore parte Italiae Stephanus dixit aliquoties. hinc Siculorum gentilium formas dicit Μεταποντῖνος Βρεντεσῖνος Τερεντῖνος Ἀρρητῖνος s. v. Ἀβάκαινον p. 2, 16. adde Βρουττία, μοῖρα Σικελίας, ubi Ἰταλίας scribebat H, et Λαγαρία, φρούριον Σικελίας, ubi item contra libros edebatur Ἰταλίας, quod etiam s. v. Μάταυρος, ποταμὸς Σικελίας reponi voluit B. confer praeterea Πυξοῦς, πόλις Σικελίας, ubi Cluverus Ἰταλίας, ut in Σκυλλήτιον, πόλις Σικελίας. et Ἀφάναι, χωρίον Σικελίας ἄσημον, si tamen id recte de Apina Dauniae loco intelligitur. certior res est de Italico s. v. Ἰταλία p. 341, 18. ubi item corrigunt. denique s. v. Χαλκίς recte codices habent καλοῦνται δὲ καὶ οἱ ἐν τῇ Κύμῃ τῆς Σικελίας Χαλκιδεῖς. eundem dicendi usum Herodianum secutum esse docent quae leguntur apud Arcad. p. 16, 24. Σούλμων, πόλις Σικελίας, et p. 83, 6. Λωμεντός Λαυρεντός, Σικελικαὶ πόλεις. adde praeterea Bernhardyn ad schol. Dionysii Per. p. 998. 9. Σινοεσσανός M, Σινοεσσηνός libri. 11. γῆς om. V. ἐνοικοῦντες R, οἰκοῦντες AV. 12. Ἀριστοτέλης] Mir. ausc. 125, ubi alia emendatius alia vitiosius scripta leguntur quam apud nostrum.

ἐκ τῶν ξύλων ἄνθραξι· ῥιπιζόμενοι μὲν γὰρ ἀποσβέννυνται ταχέως, ὕδατι δὲ ῥαινόμενοι ἀνάπτονται· ὅταν δὲ δὴ καίωνται, πονηρὸν ὄζουσι καὶ παραπλήσιον ἀσφάλτῳ, καὶ τὴν ὀσμὴν οὕτω δριμεῖαν ἔχουσιν, ὡς μηδὲν τῶν ἑρπετῶν ὑπομένειν καιομένων αὐτῶν". λέγεται καὶ Σίντιοι καὶ Σίντιον τὸ οὐδέτερον.

Σίντοιον, φρούριον Ἀρμενίας, κτίσμα Γαλατῶν. τὸ ἐθνικὸν Σιντοιεύς.

Σινώπη, πόλις διαφανεστάτη τοῦ Πόντου, κτίσμα Κρητίνου [καὶ] Κῴου, ὥς φησι Φλέγων. ὁ πολίτης Σινωπεύς καὶ Σινωπίτης καὶ Σινωπῖτις καὶ Σινωπίς ἀπὸ τοῦ Σινωπεύς. καὶ Σινωπικόν.

Σίξος, πόλις Μαστιηνῶν. Ἑκαταῖος „μετὰ δὲ Σίξος πόλις".

---

1. μὲν om. R. 2. ἀνάπτουσιν RV. 3. καὶ prius om. R. 5. λέγεται R, λέγονται AV. 8. Σινώπη] Hanc sectionem multo quam nunc est pleniorem repperisse Eustathium indicio sunt quae scripsit ad Dionys. Per. 255: Σινωπίτης δὲ Ζεὺς ἢ ὁ Μεμφίτης· Σινώπιον γὰρ ὄρος Μέμφιδος· ἢ ἀπὸ Σινώπης τῆς Ποντικῆς. φέρεται γὰρ λόγος ὅτι βασιλεῖ τῆς Ἀλεξανδρείας Πτολεμαίῳ τῷ Λάγου δαίμων τις ἐπιφανεὶς ἐκέλευσε πέμψαντα ναῦν κομίσαι αὐτόν, μὴ προδηλώσας καὶ τόπον ὅθεν αὐτὸν ἀνακομίσεται. ὁ δὲ πέμπει φέρεσθαι τηνάλλως τὴν ναῦν ὅπῃ τύχῃ. καὶ ὡς προσέβαλεν ἡ ναῦς τῇ Φωκίδι, λαβόντες χρησμὸν οἱ ἐμπλέοντες ἀπελθεῖν εἰς Σινώπην καὶ ἐνέγκαι τὸ προσταχθέν, ἤνεγκαν ἐκεῖθεν τὸ τοῦ Σαράπιδος Διὸς ἄγαλμα. κἀντεῦθεν Σινωπίτης Ζεὺς ἤτοι Σάραπις, οὗ φασι τὸ ἄγαλμα τοῖς ὁρῶσιν ἄδηλον εἶναι οἵας φύσεως ἦν. οἱ δὲ ἀπὸ τοῦ Σίνωπος ποταμοῦ τὸν Σινωπίτην τοῦτον Δία παρήγαγον. quae omnia Stephano deberi certum est. 8. 9. Κρητίνου M, Κριτίου PpRV, Μακριτίου A et Eudocia Viol. p. 375. quod statim sequitur καὶ addidit Rochettus Colon. graec. vol. 3 p. 331. locum de conditoribus Sinopae tractavi Comment. crit. de Scymni Per. p. 61 sqq. ubi tamen minus recte statui de nomine conditoris Milesii in Scymni vs. 947. quem cum codex ita scriptum habeat: ἔπειτα δ' Ἀμβρώντας γένει Μιλήσιος, nunc non dubito quin Ἀβρώνδας scribendum sit, quod nominum genus non Boeotis tantum usitatum fuisse docent Diondae et Leondae Atheniensium exempla apud Plutarch. Vit. dec. orat. p. 848 c. et in titulo apud Keil. Anall. epigr. p. 147. 11. Σινωπικὸν [στόμωμα] haud dubie scripserat Stephanus. v. in Λακεδαίμων p. 407. 12. Μαστιννῶν V.

Σιποῦς, πόλις Δαυνίων. τὸ ἐθνικὸν Σιπούντιος.

Σίπυλος, πόλις Φρυγίας. Ἑλλάνικος ἐν Ἱερειῶν πρώτῳ. τὸ ἐθνικὸν Σιπυληνός καὶ Σιπυληνή.

Σίρβων καὶ *Σιρβωνίς* λίμνη πλησίον τοῦ Κασίου. τὸ κτητικὸν Σιρβώνιος ἀπὸ τῆς Σίρβωνος γενικῆς, ὡς Κιθαιρώνιος καὶ Ἀργανθώνιος.

Σίρες, ἔθνος Θράκης ὑπὲρ τοὺς Βυζαντίους, ὡς δέδεικται ἐν τῷ περὶ Νίψων.

Σῖρις, πόλις Ἰταλίας πλησίον τοῦ Μεταποντίου καὶ ποταμός. μετωνομάσθη δὲ καὶ *Πολίειον* ἀπὸ τῆς ἐν Ἰλίῳ Πολιάδος Ἀθηνᾶς. ὁ πολίτης Σιρίτης ὡς Σύβαρις Συβαρίτης, τὸ θηλυκὸν Σιρῖτις. καὶ Σιρῖνος. ἔστι καὶ *Σῖρις* ἐν Παιονίᾳ, ἧς τὸ ἐθνικὸν ἀπὸ τῆς γενικῆς *Σιριοπαίονες*.

Σίρμιον, πόλις Παιόνων. τὸ ἐθνικὸν Σιρμιεύς, ὡς τοῦ Σούνιον Σουνιεύς.

Σίρρα, πόλις Θράκης. Θεόπομπος ἐν Φιλιππικῶν εἰκοστῷ. τὸ ἐθνικὸν Σιρραῖος.

Σισίγυλις, πόλις μεγάλη πλησίον Κελτικῆς. τὸ ἐθνικὸν Σισιγυλίτης.

Σίσυρβα, μέρος Ἐφέσου, ἀπὸ Σισύρβης Ἀμαζόνος. τὸ τοπικὸν Σισυρβίτης.

Σιτικόν, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σιτικῖνοι.

Σιττάκη, πόλις Περσική, ὡς Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Σιττακηνός, καὶ ἡ χώρα Σιττακηνή.

---

2. ἐν add. R. 3. Σιπυληνή RV, Σιπυληνοί A. 5. Σιρβώνειος V. 7. Σίρες] Haec libri ante Σίρβων habent. 8. Νίψων] Itaque fuit Νίψα, ων, non Νίψα, ης, ut est in Thesauro Parisino. 10. ποταμοῦ V. 12. ἐθνικὸν R. Σιρῖνος H, Σιρηνός libri. ἔστι om. R. 13. Σιριυοπαίονες RV. 14. θηλυκὸν RV. Σιρμιεύς R. τοῦ RV, τὸ A. 16. Σίρρα V, Σιρρά AR. Sirrhaeorum titulum edidit Boeckh. C. I. vol. 2 p. 62 no. 2007. 20. μέσος R. 21. τοπικὸν RV, ἐθνικὸν A. 22. Σιτικηνοί libri. 23. Σιττάκη R, Σιτάκη AV. 24. Σιτακηνός libri. Σιττακηνή R, Σιτακηνή AV.

Σῖφαι, ἐπίνειον τῆς Θεσπιακῆς. καὶ ἑνικῶς *Σίφη*. ἔστι δὲ ὡς ἀπὸ τῆς Κρηταῖος Κρηταιεὺς οὕτω Σιφαῖος Σιφαιεύς.

Σίφνος, περὶ τὴν Κρήτην νῆσος, ἀπὸ Σίφνου τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. ἐκαλεῖτο δὲ πρότερον *Μερόπη*. τὸ ἐθνικὸν Σίφνιος. καὶ Σίφνιον ποτήριον καὶ σιφνιάζειν.

Σιωνία, πόλις Ποντική. τὸ ἐθνικὸν Σιωνίτης καὶ Σιωνῖτις τὸ θηλυκόν.

Σκάβαλα, χώρα Ἐρετριέων. Θεόπομπος εἰκοστῷ τετάρτῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Σκαβαλαῖος.

Σκαιοί, ἔθνος μεταξὺ τῆς Τρῳάδος καὶ τῆς Θρᾴκης, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ.

Σκάμανδρος, ποταμὸς Τροίας, ἀπὸ Σκαμάνδρου. τὸ ἐθνικὸν Σκαμάνδριος. καὶ *Σκαμανδρία*, καὶ Σκαμανδριανός, ὡς τοῦ Καρδία Καρδιανός, καὶ Σκαμανδρινός.

Σκαμβωνίδαι, δῆμος Ἀττικῆς Λεοντίδος φυλῆς. τὰ τοπικὰ ἐκ Σκαμβωνιδῶν καὶ ἐν Σκαμβωνιδῶν καὶ εἰς Σκαμβωνιδῶν.

Σκάνδεια, ἐπίνειον Κυθήρων, ὡς Παυσανίας τρίτῳ.

Σκαπτησύλη, πόλις Θρᾴκης μικρὰ ἀντικρὺ Θάσου. τὸ ἐθνικὸν Σκαπτησυλῖται.

Σκάροι, πόλις Λυκίας, ἧς τὸ ἐθνικὸν ὁμοίως. ἔστι δὲ καὶ κρήνη ἱερά, οὗ κατ' εὐχὴν ἐμβάλλειν τινάς...

---

1. 2. *Σίφη*. [τὸ ἐθνικὸν Σιφαῖος.] ἔστι καὶ ὡς? 2. δὲ om. R. 8. *χωρίον*? *Ἐρετριέων* i. e. *κτίσμα Ἐρετριέων* in Thrace. vide sequentem annotationem. 9. *Σκαλαῖος* V. fortasse igitur *Σκαβλαῖος* et in lemmate *Σκάβλα*. *Σκαβλαῖοι* cum Olynthiis memorantur Catal. trib. no. 1. 44. 49. 10. *Σκαί* V. *μεταξὺ — Θρᾴκης*] I. e. Thraces ex adverso Troadi. ab hac gente Scaeae portae denominatae sunt. 11. *ἐν* add. R. 13. *Σκαμανδρία*] Urbis id nomen esse ex sequentibus recte collegit Franckius ad Richteri Inscr. p. 438. cll. Plinio NH. 5, 30, 33. est tamen et nunc Scamandria civitas parva. eandem *Σκάμανδρος* et *Σκάμανδροι* dici docuit Boeckh. C. I. vol. 2 p. 884. probabile est Stephani verba ita esse redintegranda: *τὸ ἐθνικὸν Σκαμάνδριος. καὶ [πόλις Σκαμανδρία,] καὶ [τὸ ἐθνικὸν] Σκαμανδριανός.* 15. *Ἀττικῆς* R, *Ἀττικὸς* A, *Ἀττικ°ῆς* V. 18. *τρίτῳ*] c. 23, 1.

Σκάρφεια, πόλις Λοκρίδος τῶν Θερμοπυλῶν ἐγγύς. κέκληται ἀπὸ Σκαρφείας. τὸ ἐθνικὸν Σκαρφεύς καὶ Σκαρφαιεύς καὶ Σκαρφαῖος καὶ Σκάρφιος.

Σκέμψα, πόλις Θρᾴκης. τὸ ἐθνικὸν Σκεμψαῖος καὶ „Σκέμψιοι, Δαυνιοτειχῖται".

Σκηναί, πόλις ἀξιόλογος Περσική, ὡς Στράβων ις΄. οἱ πολῖται Σκηνῖται.

Σκῆψις, πόλις Τρωική. Ξενοφῶν Ἑλληνικῶν τρίτῳ. ἐκλήθη δὲ ἀπὸ τοῦ σκήψασθαι τὴν Ῥέαν ἀντὶ τοῦ παιδὸς λίθον τεκεῖν. τὸ ἐθνικὸν Σκήψιος.

Σκίαθος, νῆσος Εὐβοίας. τὸ ἐθνικὸν Σκιάθιος.

Σκιάποδες, ἔθνος Αἰθιοπικόν, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου.

Σκιάς, χώρα Ἀρκαδίας. καὶ Σκιάτης τὸ ἐθνικόν, ὡς Λευκὰς Λευκάτης. ἔστι καὶ Σκιά πολίχνιον Εὐβοίας, οὗ τὸ ἐθνικὸν Σκιεύς.

Σκίθαι, πόλις Θρᾴκης πλησίον Ποτιδαίας. ὁ πολίτης Σκιθαῖος, ὥς φησι Θεόπομπος.

---

2. 3. Σκαρφαιεύς schol. Anthol. Wechel. p. 365. qui articulum hunc descripsit. indicavit H. libri Σκαρφιεύς. Stephanus autem sine dubio inverso ordine scripserat Σκαρφαῖος καὶ Σκαρφαιεύς, ut qui gentilicia in αιευς ex primitivis formis in αιος desinentibus repetere soleat. ceterum utraque forma non minus ac Σκάρφιος ad Σκάρφη revocanda est, quam formam Stephanum quoque memorasse docet Eustath. ad Hom. p. 277, 40: καὶ Σκάρφην τὴν αὐτὴν λέγει (Strabo 1 p. 60 et 9 p. 426) καὶ Σκάρφειαν, ὡς δοκεῖ καὶ τῷ τὰ ἐθνικὰ γράψαντι. 3. Σκάρφειος schol. Anth. 4. Σκεψαῖος V, om. R. 5. Σκέμψιοι PpR, Σκέψιοι APrV. Σκάψιοι dicuntur in Catal. trib. no. 8, 48. sequuntur reliquiae loci nescio cuius scriptoris, fortasse Crateri, in quo complures Thraciae gentes recensebantur. Δαυνιοτειχῖται BH, Δαυνοτειχίται libri. 6. ις΄ (p. 748) R, τρίτῃ A, β΄ V. 8. τρίτῳ] c. 1, 25. 11. νῆσος [ἐγγὺς] Εὐβοίας H. 14. Σκιάτης R, Σκιάστης AV, quod legitur apud Lycophr. 562. ubi H corrigit Σκιάτης. 15. Σκιαί V. cf. Pausan. 4, 2, 3: ἐν Σκίῳ μοίρᾳ τῆς Ἐρετρικῆς. fortasse igitur Σκίος vel Σκίον scribendum. 17. Σκίθαι] Nisi, quod non puto, corruptum nomen est, articulum hunc post Σκίδρος transpone. 18. Σκιάθιος V.

Σκίδρος, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Σκιδρανός, ὡς Λύκος ἐν τῷ περὶ Ἀλεξάνδρου.

Σκιλλοῦς, πόλις Τριφυλιακή. τὸ ἐθνικὸν Σκιλλούσιος καὶ Σκιλλούντιος καὶ Σκιλλουντίς.

Σκιρῖτις, ἡ δωδεκάπολις τῆς Καρίας. οἱ οἰκοῦντες Σκιρῖται.

Σκίρος, Ἀρκαδίας κατοικία πλησίον Μαιναλέων καὶ Παρρασίων. οἱ κατοικοῦντες Σκιρῖται, τὸ θηλυκὸν Σκιρῖτις. ἔστι καὶ ἕτερον Σκίρον τόπος Ἀττικός. καὶ Σκιρωνίδες πέτραι, ἀπὸ Σκίρωνος. ἢ οὗτος μὲν ἀπὸ τόπου, ὁ τόπος δὲ ἀπὸ Σκίρου ἥρωος. ἐν δὲ τῷ τόπῳ τούτῳ αἱ πόρναι ἐκαθέζοντο. ἴσως δὲ καὶ τὸ σκιραφεῖον, ὅπερ δηλοῖ τὸν τόπον εἰς ὃν οἱ κυβευταὶ συνίασι. καὶ ὁ σκιροφόρος, ὃ σημαίνει τὸν ἀκόλαστον καὶ κυβευτήν, ἀπὸ τῶν ἐν Σκίρῳ διατριβόντων. Σκίρα δὲ κέκληται, τινὲς μὲν ὅτι ἐπὶ Σκίρῳ Ἀθηνᾷ θύεται, ἄλλοι δὲ ἀπὸ τῶν γινομένων ἱερῶν Δήμητρι καὶ Κόρῃ ἐν τῇ

---

1. Σκιδρανοί RV. 2. Λίκος R, Λυκόφρων Pr. Ἀλέξανδρον V, Ἀλε^ον Pr. 4. Σκιλούντιος καὶ Σκιλουντίς V. 7. Σκίρες V. rectius videtur Σκῖρος. Μαιναλέων M, Μενελείων APrV, Μινελείων R, Μαιναλείων X, Μαιναλίων H. 9. Σκίρον an Σκῖρον praestet, non satis constat mihi. analogia quidem ut producatur postulat, at Σκίρα, festi nomen, constanter primam corripit. τόπος Ἀττικός R, τόπου Ἀττικοῦ APrV. 10. οὕτως PpPrRV. ἀπὸ [τοῦ] τρόπου? ut dicat, Scironem ab animi saevitia (σκιρός enim idem quod σκληρός), Scirum autem Atticae locum a Sciro Salaminio (Strab. 9 p. 393. Plutarch. Thes. 17) nomen traxisse. 12. δὲ add. RV. σκιράφιον libri. 13. κυβευταὶ R, κυβεσταὶ PpV, κυβισταὶ A, κοῦροι Pr. σκιροφόρος] Fortasse σκίραφος, de quo dictum est Com. graec. vol. 3 p. 310. nisi malis σκιροφορ[ιών. καὶ ὁ σκίραφ]ος cll. Strab. 9 p. 393: ἀφ' οὗ (Sciro) Ἀθηνᾶ τε λέγεται Σκιράς καὶ τόπος Σκίρα ἐν τῇ Ἀττικῇ, καὶ ἐπὶ Σκίρῳ ἱεροποιία τις καὶ ὁ μὴν σκιροφοριών. 14. κυβευτὴν R, κυβεστὴν PV, σκιβευτὴν APr. 15. δὲ om. V. Σκίρῳ PrV, Σκύρῳ AR. Ἀθηνᾷ Meursius, Ἀθήνῃσι libri. cf. schol. Aristoph. Thesm. 834: τὰ δὲ Σκίρα λέγεσθαί φασί τινες τὰ γινόμενα ἱερὰ ἐν τῇ ἑορτῇ ταύτῃ Δήμητρι καὶ Κόρῃ, οἱ δὲ ὅτι ἐπὶ Σκίρῳ θύεται τῇ Ἀθηνᾷ. 16. Δήμητρι RV, Δημήτερι APr. 16. 576, 1. ἐν τῇ ἑορτῇ ταύτῃ RV, καὶ ἡ ἑορτὴ ταύτῃ APr.

ἑορτῇ ταύτῃ ἐπὶ Σκίρῳ κέκληται. λέγεται καὶ ὁ Σκῖρος καὶ τὸ Σκίριον. βαρύνεται δέ· τὰ γὰρ εἰς ρον λήγοντα καθαρὸν δισύλλαβα ἔχοντα πρὸ τέλους φύσει μακρὰν βαρύνεσθαι θέλει, εἰ μὴ κατὰ πλεονασμὸν ἀποβολὴν ποιήσεται γένους, δῶρον σπεῖρον σκῖρον. [εἰσὶ καὶ Σκίροι Γαλατικὸν ἔθνος.] τὸ ἐθνικὸν Σκιριεὺς καὶ Σκιρεύς.

Σκιρτώνιον, πόλις Ἀρκαδίας, ὡς Παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν Σκιρτώνιος.

Σκίρφαι, πόλις Φωκική. τὸ ἐθνικὸν Σκίρφιος καὶ Σκιρφαῖος, ὡς Διευχίδας φησί.

Σκιώνη, πόλις Θρᾴκης, ἔνθα λέγεται τὰς Τρῳάδας αἰχμαλώτους, διὰ τὸ μὴ ὑπὸ τῶν Ἑλλήνων εἰς δουλείαν ἀπενεχθῆναι τῶν αὐτῶν γυναικῶν, ἐμπρῆσαι τὰς ναῦς. οἱ δὲ

---

1. ἐπὶ Σκίρῳ Pr, ἐπισκίρα AV, ἀπεσκίρα R. σκίρος Pr, σκύρος R. 2. Σκίριον] Σκίρον Salmasius. recte legi Σκίριον ostendit quod infra affert gentile Σκιριεύς. tres igitur formas commemorat, τὸ Σκίρον τὸ Σκίριον et ὁ Σκίρος. sequentia tamen docent etiam appellativum σκῖρον ab Herodiano (huius enim canonem affert) commemoratum fuisse. itaque post τὸ Σκίριον excidisse videntur verba ἔστι καὶ σκῖρον. 4. κατὰ πλεονασμὸν ἀποβολὴν] Dubitanter corrigo κατὰ μεταπλασμὸν μεταβολήν. caderet hoc e. c. in πλευρόν, quod eximit etiam Arcadius p. 122, 24: τὰ εἰς ρον δισύλλαβα φύσει μακρᾷ παραληγόμενα βαρύνεται, δῶρον, σπεῖρον τὸ ἱμάτιον, νεῦρον, φῆρον βρῶμα θεῶν, μῆρον καὶ (i. e. ἤτοι) μηρίον. σεσημείωται τὸ πλευρόν. 5. εἰσὶ — ἔθνος seclusi ut aut alieno loco posita aut ex margine illata. Σκίροι RV, Σκῖροι A. 7. ὀγδόῳ] c. 27, 4. 9. Σίρφαι R. eadem videtur esse quae Κίρφις dicitur Straboni 9 p. 416: χωρία πρὸς τῷ Παρνασῷ Δελφοί τε καὶ Κίρφις καὶ Δαυλίς. item Galeno Lex. Hippocr. p. 520: πόλις δὲ αὕτη (Melaenas dicit) κατὰ τὸ Κρισαῖον πεδίον προκειμένη (παρακειμένη?) τῷ Κριφίῳ, ἀγαθὰς νομὰς ἔχουσα. ubi τῷ Κίρφει legendum videtur, nisi τῷ Κιρφίῳ malis, id ut montis nomen fuerit. 11. Σκιώνη X, libri Σκιών. 13. τῶν αὐτῶν γυναικῶν] τῶν αὐτῶν ὑδρευόντων ex Pp affert H. probari hoc potest, si ναυτῶν cum Salmasio scribas pro αὐτῶν, et cum sequentibus ista coniungas, ut captivae naves incendisse dicantur, dum nautae aquatum ivissent. plane ita Conon Photii Bibl. p. 133, 5. rem narrat, incensas esse naves πρὸς ὑδρείαν τῶν περὶ Πρωτεσίλαον ἀπιόντων τοῦ αἰγιαλοῦ ἄνωθεν πρὸς τὴν

πλοίων ἀποροῦντες ἐξ ἀνάγκης κατέμειναν αὐτοῦ πόλιν Σκιώνην οἰκίσαντες. ὁ πολίτης Σκιωναῖος καὶ Σκιωνεύς. ἔστι δὲ ὡς τοῦ Σινώπη Σινωπεύς.

Σκόλις, Ἀχαΐας πόλις. ὁ πολίτης Σκολιεύς, ὡς Ῥιανὸς ἐν τετάρτῳ Ἀχαϊκῶν.

Σκορδίσκοι καὶ Σκίρτιοι, ἔθνη Παιονίας, ὡς Φλέγων ἐν Ὀλυμπιάδων ιε΄.

Σκορπιανός, ἔθνος. Ἡρωδιανὸς ἑβδόμῃ „Ζυγιανός Ταυριανός Σκορπιανός".

Σκότινα, τόπος ἐν Λακεδαίμονι, ἐν ᾧ τιμᾶται Ζεὺς Σκοτινᾶς, ὡς Παυσανίας τρίτῳ „ἰοῦσι δὲ ἀπὸ τῶν Ἑρμῶν ἔστι τόπος οὗτος δρυῶν πλήρης. ὄνομα δὲ τῷ χωρίῳ Σκοτινὰ οὐ τὸ συνεχὲς τῶν δένδρων ἐποίησεν, ἀλλὰ Ζεὺς ἐπίκλησιν Σκοτινᾶς".

χώραν ἀναδραμόντων. sed vereor ne illud ὑδρευόντων nihil sit nisi coniectura Salmasii. itaque revocavi ceterorum librorum scripturam. timebant captivae ne apud mulieres victorum servitutem subire cogerentur. similiter de re eadem excerpta Strab. 7 p. 81 Kr.: κἀνταῦθα δὲ τῆς λύμης αἱ Τρῳάδες αἴτιαι λέγονται, ἐμπρήσασαι τὰς ναῦς, ἵνα μὴ ταῖς γυναιξὶ τῶν ἑλόντων αὐτὰς δουλεύοιντο. cf. Aristoteles Mir. ausc. 119: τὰς γὰρ Τρῳάδας γυναῖκας ... εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν λέγεται τὰς ναῦς ἐμπρῆσαι. Etym. M. p. 598, 40: αἱ αἰχμάλωτοι εὐλαβούμεναι τὴν ἐν τῇ Ἑλλάδι δουλείαν καὶ τὴν ἐσομένην ζηλοτυπίαν τῶν γυναικῶν αὐτῶν ἐνέπρησαν τὰς ναῦς. de Pisis Servius ad Virg. Aen. 10, 179. Troianae captivae metu dominarum, ad quas deducebantur, naves incenderunt. 2. οἰκήσαντες RV. 6. Σκίρτιοι PpR, Σκερτίοι V, Σκιτίοι A. ἔθνη RV, ἔθνος A. 7. ἐν ὀλυμπιάδι ιε΄ RV, ἐν πεντεκαιδεκάτῃ ὀλυμπιάδι A. vide p. 204. 8. Ἡρωδιανὸς W, Ἡρόδοτος libri. Herodiani canon talis fere fuit: τὰ εἰς ανος, ἐθνικὰ ὄντα ἀπ' ἐθνικῶν, ὀξύνεται, Ζυγιανός Ταυριανός Σκορπιανός. omisit haec Arcadius p. 64. 10. Σκοτινά X. 11. τρίτῳ (10, 6) H, δεκάτῳ A, ι΄ RV. 12. 13. Σκοτίας R. Pausaniae libri Σκοτιτάς Σκοτιτᾶς Σκοτιτάν. 13. οὐ RV, ὃ οὐ A. 14. Σκοτινᾶς X, σκοτινάς R, σκοτίας AV. Pausaniae codices fluctuant inter Σκοτιτάς Σκοτιτᾶς et Σκοτίτας.

Σκότουσα, πόλις καὶ χωρίον τῆς ἐν Θετταλίᾳ Πελασγίας. καὶ πληθυντικῶς Σκότουσαι. τὸ ἐθνικὸν Σκοτουσαῖος καὶ Σκοτουσαία.

Σκοῦποι, πόλις Θρᾴκης. Λέπιδος ἐν ἱστορικῆς ἐπιτομῆς ὀγδόῳ. τὸ ἐθνικὸν Σκουπηνοί.

Σκύβρος, χωρίον Μακεδονικόν, ὡς Θεόπομπος. τὸ ἐθνικὸν Σκύβριος.

Σκύδρα, Μακεδονικὴ πόλις, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. τὸ ἐθνικὸν Σκυδραῖος.

Σκύθαι, ἔθνος Θρᾴκιον. ἐκαλοῦντο δὲ πρότερον Νομαῖοι. Σκύθαι δὲ ἀπὸ Σκύθου παιδὸς Ἡρακλέους, τινὲς δὲ ἀπὸ τοῦ σκύζεσθαι· ὀργιλώτατοι γάρ. Σκυθία τοίνυν καὶ Σκύθαι καὶ Σκυθικοί καὶ Σκυθικά λέγεται καὶ Σκυθική. ἔστι καὶ ὑποδήματος εἶδος, ὡς Περσικαί. καὶ Σκυθίη καὶ „Σκύθης ὅμιλος" καὶ „Σκύθην ἐς οἶμον" καὶ „Σκύθης σίδηρος". ὅθεν τὸ ἀποσκυθίσαι τὸ τῷ σιδήρῳ τὰς τρίχας τεμεῖν. ἡ κλητικὴ Σκύθα ἐστίν, ὡς Πέρσα, ἔστι δὲ Σκύθη. καὶ Σκυθίς τὸ θηλυκόν, καὶ Σκύθαιναν ὡς κηρύκαιναν, καὶ σκυθίζειν.

Σκυθηνοί, ἔθνος οὐ πόρρω τῶν Μακρώνων, ὡς Ξενοφῶν ἐν ἀναβάσεως τετάρτῳ.

Σκυθόπολις, Παλαιστίνης πόλις. ἢ Νύσσης κοίλης

---

1. Σκότουσα R, Σκότουσσα AV. 2. Σκότουσαι M, Σκότουσσαι, καὶ H, Σκότους. καὶ libri. 2. 3. Σκοτουσαῖος καὶ Σκοτουσαία RV, Σκοτουσσαῖος καὶ Σκοτουσσαία A. 4. Σκοῦποι R, Σκόποι A, Σκόσποι V. Λέσπιδος V. ἱστορικῇ V. 5. Σκοπηνοί V. 8. 9. Μακεδονικοῖς R, Μακεδονικῇ A, Μακεδονικῶν V. 14. Σκυθίη suspectum. 15. Σκύθης ὅμιλος] Aeschyl. Prom. 415. Σκύθην ἐς οἶμον] ib. 2. 15. 16. Σκύθης ὁ σίδηρος libri. v. Aeschyl. Sept. 799. 16. τὸ add. RV. 17. Σκύθα RV, ὦ Σκύθα A. ἐστίν R, ἐχρῆν AV. ἔστι καὶ Σκύθη? an ἔστι δὲ [καὶ] Σκύθη? 18. ὡς καὶ Σκύθαιναν RV. κηρύκαιναν M, κυρίκαιναν libri; respicitur Aristoph. Eccl. 718: λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα. 20. τετάρτῳ] c. 7, 18. ubi male Σκυθινοί editur. 21. ἢ Νύσσης κοίλης] Fortasse: καὶ Νῦσα τῆς κοίλης Συρίας Σκυθῶν πόλις, ut Nysam quoque in Coelesyria Scytharum urbem vocatam esse dicat.

Συρίας Σκυθῶν πόλις, πρότερον Βαίσων λεγομένη ὑπὸ τῶν βαρβάρων. ὁ πολίτης Σκυθοπολίτης.

Σκυλάκη, πόλις περὶ Κύζικον. Ἑκαταῖος Ἀσίᾳ. ὁ πολίτης Σκυλακηνός καὶ Σκυλάκιος.

Σκύλλαιον, ἄκρα, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ φησί. τὸ ἐθνικὸν Σκυλλαῖος.

Σκυλλήτιον, πόλις Σικελίας, ὡς Εὔδοξος ἕκτῃ. τὸ ἐθνικὸν Σκυλλητῖνοι. τὸ κτητικὸν Σκυλλητικός.

Σκύλλιον, ὄρος Κρήτης. οἱ παροικοῦντες Σκύλλιοι· Σκύλλιος γὰρ ὁ Ζεὺς αὐτοῦ τιμᾶται, ἔνθα φασὶν ἀποθέσθαι τοὺς Κουρῆτας μετὰ τῶν Σπαρτιατῶν τὸν Δία.

Σκυμνιάδαι, ἔθνος σὺν Γέταις. Εὔδοξος τετάρτῃ γῆς περιόδου „Σκυμνιάδαι καὶ Γέται".

Σκύρμος, πόλις ἐν τῇ Δολιονίδι Κυζίκου πλησίον. οἱ πολῖται Σκύρμιοι.

Σκῦρος, νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ „Σκῦρον

---

1. Βαίσων λεγομένη RV, λεγομένη Βαίσων Pp, λεγομένων Βαίσων A, λεγομένη Βασάν vel Βηθσάν H. 3. πόλις om. V. παρὰ RV. 7. Σκυλλῆτον Pp. Σικελίας] Vide ad Σινόεσσα. de situ Scylletii satis constat e Strabone aliisque, quo magis mirum est haec legi Aristot. vent. nom. p. 973, 13: Ἰᾶπυξ. οὗτος ἐν Τάραντι Σκυλητῖνος (leg. Σκυλλητῖνος) ἀπὸ χωρίου Σκυλαντίμου (leg. Σκυλλητίου vel Σκυλλητίνου). sed videntur ibi post Τάραντι complura excidisse. 8. Σκυλλητῖνοι M, Σκυλλητηνοί libri. 9. Σκύλλιον Salmasius, Σκυλλήτιον libri. Σκύλλιοι Salmasius, Σκυλλαῖοι libri, quod tenens Göttlingus in Actis soc. saxon. lit. 4 p. 144 Scyllaei Iovis memoriam restitui voluit in rhetra apud Plutarch. Lyc. 6. ubi vulgo editur Διὸς Ἑλλανίου καὶ Ἀθηνᾶς Ἑλλανίας ἱερόν, cum libri habeant Συλλανίου et Συλλανίας. non credo probari posse Göttlingi sententiam, quamquam quid scriptum fuerit in rhetra nec mihi constat: interim vide an Hesychii glossa uti liceat: Σκυλλανίς· ἡ πολεμική, ἴσως ἀπὸ τοῦ σκυλεύειν. quae si vera est explicatio, Iovis bellatoris (σκυλλανίου) et Minervae bellatricis (σκυλλανίας) satis commoda in Lycurgi rhetra videri potest memoria. 11. Σπαρτιατῶν] V. Lobeck. Aglaoph. p. 1147. 12. σὺν Γέτας RV, συν[εχὲς] Γέταις Salmasius. 13. περιόδῳ V.

δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες". οἱ νησιῶται Σκύριοι καὶ Σκυρία αἶξ.

Σκυτόπολις, πόλις Λιβύης, περὶ ἧς ὁ πολυίστωρ ἐν Λιβυκῶν τρίτῳ. τὸ ἐθνικὸν Σκυτοπολίτης.

Σκυφία, πολίχνιον Κλαζομενίων, ὡς Ἔφορος ἐν τρίτῳ „ἐν Σκυφίᾳ κατῴκει". τινὲς δὲ διὰ τοῦ π.

Σκῶλος, πόλις Βοιωτίας, ἀρσενικῶς ... δὲ κώμη τις ... ὁ πολίτης Σκώλιος καὶ Σκωλιεύς.

Σμίλα, πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ „μετὰ δὲ Σμίλα πόλις". τὸ ἐθνικὸν Σμιλαῖος.

Σμίνθη, πόλις Τρωίας. τὸ ἐθνικὸν Σμινθαῖος. γράφεται δὲ καὶ διὰ τοῦ ε καὶ διὰ τῆς αι διφθόγγου. καὶ Σμινθεύς.

Σμίνθιον, ἄλσος. Στράβων τρισκαιδεκάτῃ. ὁ οἰκήτωρ Σμίνθιος, καὶ διὰ διφθόγγου ὡς Ἀχίλλειος. καὶ Σμινθήιον. καὶ θηλυκῶς Σμινθία ἡ χώρα.

Σμύρνα, πόλις Ἰωνίας, ἣν πρῶτον ἔκτισε καὶ ᾤκησε Τάνταλος. καὶ τότε μὲν Ναύλοχον, ὕστερον δὲ Σμύρνα προσηγορεύθη, ἀπὸ Σμύρνης Ἀμαζόνος κατασχούσης τὴν Ἔφεσον. τὸ ἐθνικὸν Σμυρναῖος, καὶ τὸ κτητικὸν Σμυρναϊκὸς κόλπος.

---

2. Σκυρία αἶξ M, Σκυριάξ R, Σκυρία AV. v. intpp. Zenob. Cent. 2, 18. 3. ὁ] ὡς V. 6. Σκυθίᾳ R. 7. indicavi lacunas; verba δὲ κώμη τις (l. τῆς) laciniae sunt loci Strabonis 9 p. 408. quem apposuerat Stephanus: Σκῶλος δ' ἐστὶ κώμη τῆς Παρασωπίας ὑπὸ τῷ Κιθαιρῶνι. 9. Σμίλα] Σμίλλα Cat. trib. no. 66. 11. 12. γράφεται δὲ καὶ om. R. quae de ethnicis dicuntur, intelligi possent ita scripta: τὸ ἐθνικὸν Σμινθαῖος διὰ τῆς αι διφθόγγου. γράφεται δὲ καὶ διὰ τοῦ ι [Σμίνθιος]. 12. καὶ Σμινθεύς hoc loco habent RV, post Σμινθαῖος A. 13. Σμίνθιον commemorat Strabo 13 p. 605: πολλαχοῦ δ' ἔστι τὸ τοῦ Σμινθέως ὄνομα. καὶ γὰρ περὶ αὐτὴν τὴν Ἁμαξιτὸν χωρὶς τοῦ κατὰ τὸ ἱερὸν Σμινθίου, δύο τόποι καλοῦνται Σμίνθια, καὶ ἄλλοι δ' ἐν τῇ πλησίον Λαρισαίᾳ. καὶ ἐν τῇ Παριανῇ δ' ἐστὶ χωρίον τὰ Σμίνθια καλούμενα, καὶ ἐν Ῥόδῳ καὶ ἐν Λίνδῳ καὶ ἄλλοθι δὲ πολλαχοῦ. quod sequitur apud nostrum ἄλσος loco suo motum et l. 14. cum Σμινθήιον coniungendum videtur. ita Σμινθήιον ἄλσος incerti poetae fragmentum fuerit. 14. Ἀχιλλεύς V. 16. πρῶτον RV, πρώτην A. ᾤκισε R. 17. ὕστερον excidit in V. Σκύρνα V.

Σόανες, ἔθνος ἀνδρεῖον, ὡς Στράβων ἑνδεκάτῃ „πλησίον δὲ καὶ οἱ Σόανες".

Σογδιανή, χωρίον περὶ τὴν Βακτριανήν, ἧς οἱ οἰκήτορες Σόγδιοι καὶ Σόγδοι.

Σόδομα, μητρόπολις ἦν τῶν δέκα πόλεων τῶν ἐπὶ τῇ Ἀσφαλτίτιδι λίμνῃ καταστραφεισῶν. ὁ πολίτης Σοδομίτης.

Σολκοί, πόλις ἐν Σαρδοῖ, ὡς Ἀρτεμίδωρος ἐν ἐπιτομῇ „ἀπὸ δὲ Καράλεως ἐπὶ Σολκούς".

Σόλλιον, Κορίνθου πολίχνιον. Θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικὸν Σολλιεύς, ὥσπερ Κάλλιον Καλλιεύς, Σούνιον Σουνιεύς, Ἴλιον Ἰλιεύς.

Σόλοι, Κιλικίας πόλις, ἡ νῦν Πομπηιούπολις. Ἑκαταῖος Ἀσίᾳ. κέκληται δὲ ἀπὸ Σόλωνος, ὡς Εὐφορίων ἐν Ἀλεξάνδρῳ. ἀνεκτίσθη ὑπὸ Πομπηίου καὶ μετωνομάσθη Πομπηιούπολις. ὁ πολίτης Σολεὺς καὶ Σόλιος, τὸ θηλυκὸν Σολουντίς, ὡς ἀπὸ τῆς Σολοῦς Σολοῦντος. Διονύσιος δ' ἐν τρίτῳ Βασσαρικῶν Σώλειαν λέγει διὰ τοῦ ω̄ τὴν πρώτην καὶ τὴν δευτέραν διὰ τῆς ει̅ διφθόγγου.

Σολοῦς, πόλις Σικελίας, ὡς Ἑκαταῖος ἐν Εὐρώπῃ. ἐκλήθη δὲ ἀπὸ Σολοῦντος κακοξένου, ὃν ἀνεῖλεν Ἡρακλῆς. ὁ πολίτης Σολούντιος καὶ Σολουντῖνος μετὰ τοῦ ν̄, καὶ Σολουντινὶς καὶ Σολουντιὰς καὶ Σολουντίς.

Σολύγεια, κώμη Κορίνθου, ὡς Θουκυδίδης τετάρτῃ. τὸ ἐθνικὸν ὤφειλεν εἶναι Σολυγεύς. ἔστι δὲ κτητικὸν „Σολύγειος λόφος".

Σόλυμα, πόλις Ἀσσυρίων, μετὰ τὴν ἅλωσιν τοῦ ναοῦ

---

1. ἑνδεκάτῃ (p. 499) H, πεντεκαιδεκάτῃ A, ιε' RV. 3. Σογδιανοί R. Βακτρίαν ἣν V. 5. τῶν πέντε πόλεων Pinedo. ἐπὶ τῇ RV, ἐν τῇ A. 7. Σολκοί] Infra Σύλκοι. 8. Καρβάλεως ante BH. 9. δευτέρᾳ] c. 30. 10. Σολιεύς ante X. 12. ἡ νῦν Πομπηιούπολις fortasse delenda. 14. Ἀλεξάνδρῳ PpRV, Ἀλε... A. 19. Σικελίας Cluverus, Κιλικίας libri. 20. ἐκλήθη Cluverus, ἐκλήθησαν libri. 21. Σολουντηνός RV, Σολουντινός A. 21. 22. Σολουντηνίς R. 23. τετάρτῃ] c. 42. 24. 25. Σολύγιος Thucydides l. l. Σολύγης λόφος dicitur Polyaeno Strat. 1, 39.

τοῦ ἐν Ἱεροσολύμοις κτισθεῖσα, ὡς Κουάδρατος ἐνάτῳ Παρθικῶν. τὸ ἐθνικὸν Σολυμηνός.

Σόλυμοι, οἱ νῦν **Πισίδαι** „Σολύμους καλουμένους παρελθὼν Μαυσώλου....".

Σουάγγελα, πόλις Καρίας, ἔνθα ὁ τάφος ἦν τοῦ Καρός, ὡς δηλοῖ καὶ τοὔνομα. καλοῦσι γὰρ οἱ Κᾶρες σοῦαν τὸν τάφον, γέλαν δὲ τὸν βασιλέα. ὁ πολίτης Σουαγγελεύς.

Σουκχαῖοι, ἔθνος Μαυρούσιον, ὡς Δέξιππος χρονικῶν δεκάτῳ.

Σουματία, πόλις Ἀρκαδίας, ἀπὸ Σουματέως τοῦ Λυκάονος ἑνὸς παίδων. γράφεται καὶ διὰ διφθόγγου **Σουμήτεια**. τὸ ἐθνικὸν τῷ πρωτοτύπῳ ὁμώνυμον.

Σούνιον, δῆμος Λεοντίδος φυλῆς. Ὅμηρος δὲ ἄκρον καλεῖ „ἀλλ' ὅτε Σούνιον ἄκρον". ὁ δημότης Σουνιεύς ὡς Ἰλιεύς. τὰ τοπικὰ Σουνιόθεν Σούνιόνδε Σουνιοῖ. καὶ τὸ θηλυκὸν Σουνιάς.

Σοῦρα, μαντεῖον Λυκίας, περὶ οὗ Πολίχαρμός φησιν ἐν Λυκιακοῖς „ὅπου νῦν φρέαρ θαλάσσης τόπος Σούριος καλούμενος". τὸ ἐθνικὸν Σουρηνός ὡς Καρρηνός. ἔστι καὶ Φοινίκης πόλις **Σῶρα**. τὸ ἐθνικὸν Σωρανός ὡς Νωλανός.

---

5. Σουάγγελα P[r]RV, Σουάγελα A. Σουάγγελα etiam in Catal. trib. eadem forma restituenda Straboni 13 p. 611. 6. τὸ ὄνομα RV. 7. Σουαγγελεύς P[r]RV, Σουαγελεύς A. 11. 12. Σουμέτεια V. an Σουμάτεια? 13. Ὅμηρος] Od. 3, 278. ubi est: ἀλλ' ὅτε Σούνιον ἱρὸν ἀφικόμεθ' ἄκρον Ἀθηνέων. 15. καὶ add. R. 17. μαντεῖον Λυκίας] Plutarchus de solertia anim. p. 976 c: καὶ περὶ Σοῦραν πυνθάνομαι κώμην ἐν τῇ Λυκίᾳ Φελλοῦ μεταξὺ καὶ Μύρων καθεζομένους ἐπ' ἰχθύσιν ὥσπερ οἰωνοῖς διαμαντεύεσθαι τέχνῃ τινὶ καὶ λόγῳ ἑλίξεις καὶ φυγὰς καὶ διώξεις αὐτῶν ἐπισκοποῦντας. adde Aelian. H. A. 8, 5. ubi male Σύρραν scriptum est pro Σοῦραν. Πολίαρχός R. vide Athen. 8 p. 333 d. 18. θαλάσσης [πλησίον καὶ] τόπος? pro τόπος fuit fortasse ποταμός, licet fontem dicat Plinius NH. 32, 2, 8. in Lyciae Myris, in fonte Apollinis, quem Curium (leg. Surium) appellant, ter fistula evocati veniunt ad augurium. Apollinem Surium habes in titulis Lyciacis apud Boeckh. no. 4303 i. et k. 19. τὸ ἐθνικὸν [Σουρεύς. ἔστι καὶ πόλις τῆς Κομμαγηνῆς. τὸ ἐθνικὸν] Σουρηνός? praecessisse

Σοῦσα, πόλις ἐπίσημος Περσική, Μέμνονος κτίσμα. κέκληται δὲ ἀπὸ τῶν κρίνων, ἃ πολλὰ ἐν τῇ χώρᾳ πεφύκει ἐκείνῃ, σοῦσόν τε αὐτὸ καλοῦσιν οἱ βάρβαροι. οἱ πολῖται Σούσιοι, οὓς καὶ Κισσίους φησὶ κεκλῆσθαι, ἀπὸ Κισσίας τῆς μητρὸς Μέμνονος. καὶ Σουσιανὴ ἡ χώρα, καὶ κώμη Σουσιανή.

Σούτριον, πόλις, ἡ πρότερον Τυρρηνῶν, ὕστερον δὲ Ῥωμαίων. τὸ ἐθνικὸν Σουτρῖνος.

Σπάδα, οὐδετέρως, κώμη Περσική, ἐν ᾗ πρώτη εὐνουχισμὸς γέγονεν, ὅθεν σπάδοι λέγονται. τὸ ἐθνικὸν Σπαδονεύς.

Σπάρτακος, πόλις Θρᾴκης. Ἐρατοσθένης ἐν Γαλατικῶν δευτέρῳ. τὸ ἐθνικὸν Σπαρτάκιος ἢ καὶ Σπάρτακος.

Σπαλέθρη, πόλις Θεσσαλίας. Ἑλλάνικος δὲ Σπάλαθρον αὐτήν φησι. τὸ ἐθνικὸν Σπαλαθραῖος.

Σπάρτη, Λακωνικὸν χωρίον, ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, περὶ ὧν Τιμαγόρας φησίν „ἐκπεσόντας δὲ αὐτοὺς εἰς τὴν Λακωνικὴν Σπάρτην ἀφ' ἑαυτῶν ὀνομάσαι". τὸ ἐθνικὸν Σπαρτιᾶται, τὸ θηλυκὸν Σπαρτιᾶτις καὶ Σπαρτιάς. τὸ κτητικὸν Σπαρτιατικός. τὰ τοπικά, ἐκ τόπου Σπάρτηθεν, εἰς

---

enim aliquid de Sura vel Suris, civitate Commagenae sive Euphratensis provinciae, ex gentili Σουρηνός intellexit H. Καρηνός libri, corr. H. 19. 20. Φοινίκης πόλις Σῶρα] An huc pertinet quod apud Gellium aliosque legitur, Tyrum antiquitus Sarram dictam fuisse? ita Σάρρα scribendum fuerit. aliter H, qui Ἰταλίας scribebat pro Φοινίκης. nec dubium est quin Soram, notissimam Campaniae urbem, memoraverit scriptor, docetque hoc et comparatio cum Νῶλα et gentilicium Σωρανός. parum tamen probabilis illa emendatio. fortasse igitur hic quoque aliquid excidit e. c. Φοινίκης πόλις [Σάρρα. ἔστι καὶ Ἰταλίας πόλις] Σῶρα. 3. σοῦσόν Salmasius, σοῦσάν libri. cf. Athen. 12 p. 513 f. 4. Κισίους et Κισίας libri. φασὶ? an scriptoris nomen in superioribus epitomator omisit? 7. πόλις ἐν ᾗ πρότερον R. 8. Σουτρηνός libri. 10. σπάθοι V, σπάδωνες dubitanter Salmasius. Σπαδονεύς] Σπαδηνός B, Σπαδεύς Horkelius. 12. καὶ add. R. Σπαρτακεύς H. 13. Σπαλάθρη? Σπάλαθρον V, Σπάλαθραν AR. 16. εἰσπεσόντας Salmasius. editum recte tenet Eustathius ad Hom. p. 294, 31. 18. Σπαρτιάς] Σπαρτισιάς RV. 19. καὶ ἐκ τόπου RV.

τόπον Σπάρτηνδε. ἔστι καὶ Σπάρτον ὄρος καὶ Σπάρτη κώμη πλησίον τοῦ Εὐξείνου πόντου.

Σπάρτωλος, πόλις Μακεδονίας, ὡς Θουκυδίδης ἐν δευτέρᾳ. τὸ ἐθνικὸν Σπαρτώλιος.

Σπασίνου χάραξ, πόλις ἐν τῇ μέσῃ τοῦ Τίγρητος Μεσήνῃ. ἡ δὲ τοῦ Σπασίνου εὐθεῖα Σπασίνης ἐστί. τὸ ἐθνικὸν [ἐκ] Σπασίνου χάρακος ῥητέον. εἰ γὰρ τὸν συνήθη τύπον ἐκλάβωμεν, ἀνάγκη Σπασινοχαρακηνός εἰπεῖν.

Σπήλαιον, τὸ ἄντρον. οἱ οἰκοῦντες σπηλαῗται. εἰσὶν οὖν „ἀγάλματα Ἡρακλέους Ἑρμοῦ καὶ Ἀπόλλωνος σπηλαῗται καλούμενοι".

Σπῖνα, πόλις Ἰταλίας, ὡς Εὔδοξος καὶ Ἀρτεμίδωρος. τὸ ἐθνικὸν Σπινάτης, ὡς τοῦ Βέμβινα Βεμβινάτης. ἔστι δὲ καὶ ποταμὸς Σπῖνος καλούμενος.

Σπόργιλος, δῆμος Ἀττικός. ὁ δημότης Σποργίλιος.

Στάγειρα, πόλις [Μακεδονίας], οὐδετέρως πληθυντικῶς. ὁ πολίτης Σταγειρίτης. Ἀριστοτέλης Σταγειρίτης.

Σταμένη, πόλις Χαλύβων. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Σταμεναῖος καὶ Σταμένιος.

Στάσις, πόλις Περσικὴ ἐπὶ πέτρης μεγάλης. ἣν εἶχεν

---

1. Σπάρτηνδε] Σπαρτόθεν V. 3. Σπαρτωλός vulgo. cf. Fragm. com. gr. vol. 2 p. 436. ἐν add. RV. 3. 4. δευτέρᾳ] c. 79. 5. Πίγρητος RV. 5. 6. Μεσήνη X, Μεσήνης AV, Μεσσήνης R. 6. Σπασίνου V, Σπασήνου superscr. ῑ R, Σπασηνοῦ A. 7. ἐκ add. Schubartus. γὰρ] δὲ H. τὸν om. V. 8. ἐκλάβοιμεν? 9. σπηλαῗται V, σπηλαιῖται AV. 9. 10. εἰσὶ γοῦν? sequentia e Pausan. 10, 32, 5 ducta sunt. 10. σπηλαιῖται libri. 11. καλούμενοι RV, καλούμενα A. 12. καὶ om. RV. 16. Μακεδονίας om. libri. οὐδετέρως πληθυντικῶς] Significat, opinor, et τὰ Στάγειρα dici et ἡ Στάγειρος, fortasse etiam ἡ Στάγειρα, quod legitur apud Nicetam Chon. ed. Bonn. p. 595, 1. nec veri dissimile est post πληθυντικῶς excidisse verba ἑνικῶς δὲ θηλυκῶς. ceterum Στάγιρα constanter Catal. trib. no. 4. 38. 48. 18. Σταμένη] Σταμένεια dicitur Scyl. 87. ubi codex Ἀμένεια, quod correxit H. 19. Σταμέναιος AV, Σταμένεος (superscr. αι) R. 20. ἐπὶ πέτρης μεγάλης] Fortasse Hecataei verba.

Ἀντίοχος ὁ Σελεύκου. τὸ ἐθνικὸν Στασίτης, τῆς δὲ χώρας Στασηνός.

Στειριά, δῆμος Ἀττικὸς Πανδιονίδος φυλῆς, θηλυκῶς καὶ οὐδετέρως. ὁ δημότης Στειριεύς Στειριέως καὶ κατὰ συναίρεσιν Στειριῶς. τὸ κτητικὸν Στειριακός, τὰ τοπικὰ Στειριᾶθεν Στειριάνδε Στειριοῖ.

Στενύκληρος, πόλις Μεσσήνης. τὸ ἐθνικὸν Στενυκλάριος. τὸ θηλυκὸν Στενυκλαρία.

Στεφάνη, πόλις Φωκίδος. τὸ ἐθνικὸν Στεφαναῖος.

Στεφανίς, πόλις Μαριανδυνῶν. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Στεφανίτης.

Στῆλαι, πόλις Κρήτης πλησίον Παραισοῦ καὶ Ῥιθύμνης. τὸ ἐθνικὸν Στηλαῖος, ὡς Λάμπη Λαμπαῖος. ἀλλὰ καὶ Στηλίτης, ὡς παρὰ τὸ ἀγαλμαϊστὸν λίθον, ἀφ' οὗ καὶ στηλιτεύω.

Στίλπαι, πόλις Σικελίας. τὸ ἐθνικὸν Στιλπαῖος.

Στοῖαι, πόλις Λιβύης, ὡς Ἑκαταῖος περιηγήσει αὐτῆς. τὸ ἐθνικὸν Στοιίτης.

Στοιχάδες, νῆσοι τρεῖς πρὸς τῇ Μασσαλίᾳ. καλοῦνται δὲ καὶ Λιγυστίδες.

---

1. ὁ] ἡ V. *χώρας* [*τύπῳ*]? 3. *Στειριά* R, *Στείρια* A. 3. 4. *θηλυκῶς καὶ οὐδετέρως*] I. e. *Στειριά* et *Στείρια*. 6. *Στειριάνδε* vel *Στειρίαδε* vel *Στειριάζε* M, *Στειριάδε* libri. 7. *Στενύκλαρος* H. 9. *Στεφάνη*] Fortasse idem locus, quem *Στεφαναῖον* dixerat Herodianus. vide Arcad. p. 120, 27: *Χαλαστραῖον νίτρον, καὶ Στεφαναῖον καὶ Ἠλακαταῖον.* ita enim haec corrigenda esse supra monui. 12. *Στήλη* Schubartus. *Παραισοῦ*] cf. p. 534, 3. 12. 13. *Ῥιθύμνης* H, *Ῥυθίμης* R, *Ῥυθίμνης* AV. 14. *παρὰ τὸ ἀγαλμαϊστὸν λίθον* R, *παρὰ τὸ ἀγαλμαῖς τὸν λίθον* AV, *ὡς παρὰ τὸ ἄγαλμα ἀγαλματίτης* H. in corruptis verbis fortasse nihil latet aliud quam *παρὰ τὸν ἀγαλματοποιόν*. apertum enim est hoc dici: ut a *στήλη*, statua, fit *στηλίτης*, statuarius, ita etiam a *Στήλη* urbis nomine recte formari posse *Στηλίτης* gentilicium. pressius etiam librorum ductus sequaris scribendo *παρὰ τὸ ἄγαλμα ἢ τὸν λίθον*. 15. *στηλιτεύσω* RV, *στηλιτευόω* Pp. 18. *Στοιίτης* M, *Στοιήτης* libri. illud Libycus typus postulabat.

Στουῖνος, πόλις Αἰγύρων. οἱ πολῖται Στουῖνοι.

Στρατία, βαρυτόνως, Ἀρκαδικὴ πόλις. Ὅμηρος „Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην". ὠνόμασται δὲ ἀπὸ τῆς θυγατρὸς Φενεοῦ. βαρυτονητέον δὲ τὰ ὀνόματα εἰς ἰδιότητα. τρία δὲ σημαίνει ἡ στρατία, τὴν πόλιν καὶ τὸ σύστημα τοῦ στρατοῦ μετὰ τῆς αὐτῆς γραφῆς, ἀλλὰ τόνου διαφόρου· ὀξύνεται γὰρ τὸ δηλωτικὸν τοῦ συστήματος, τοῦ τῆς πόλεως βαρυνομένου. τὸ δὲ ἀξίωμα ἡ στρατεία καὶ διὰ διφθόγγου καὶ βαρύνεται. τὸ ἐθνικὸν Στρατιεύς καὶ Στρατιάτης.

Στράμβαι, πόλις Θρᾴκης. τὸ ἐθνικὸν „Σταγειρῖται, Στραμβαῖοι".

Στράτιον, πόλις Ἀκαρνανίας. ὁ πολίτης Στρατιώτης καὶ Στράτιος.

Στρατονίκεια, πόλις Μακεδόνων πλησίον Καρίας. κέκληται δὲ ἀπὸ Στρατονίκης τῆς Ἀντιόχου γυναικός. ὁ πολίτης Στρατονικεύς. ἐκτίσθη δὲ ὑπὸ Ἀδριανοῦ καὶ *Ἀδριανούπολις* ὠνομάσθη. ἔστι καὶ ἕτερον πολίχνιον πρὸς τῷ Ταύρῳ.

Στράτος, πόλις Ἀκαρνανίας, θηλυκῶς καὶ ἀρσενικῶς. ὁ πολίτης Στράτιος.

Στρέψα, πόλις Μακεδονίας. τὸ ἐθνικὸν Στρεψαῖος καὶ Στρέψιος καὶ Στρεψιανός.

---

2. Ὅμηρος] Il. 2, 606. 3. *Ἐνίππην* libri. 4. *τῆς* om. RV. *Φενεοῦ* R, *Φανεοῦ* AV. Pheneus haud dubie is, a quo Pheneum, conterminam Stratiae urbem, denominatam ferunt. vid. Pausan. 8, 14, 4. 4. 5. *εἰς ἰδιότητα*] Possis *τεθέντα* addere. ita enim fere loquuntur grammatici, et noster ipse s. v. *Θεσσαλία*. sed etiam illud dici potuit. 8. *δὲ* add. RV. 11. *Στράμβαι*] Hanc a Thrambo non diversam putat H. 11. 12. *Σταγειρῖται* (*Στραμβῖται* P[r]) *Στραμβαῖοι* videntur Crateri verba esse. 15. *Μακεδόνων* vel *Μαιονίας* H, *Μακεδονίας* libri. cf. Strab. 14 p. 660: *Στρατονίκεια δ' ἐστὶ κατοικία Μακεδόνων*. *πλησίον Καρίας*] Lydiae civitatibus accenset Stratoniceam Ptolem. 5, 2. 16. *Στρατονικεύς* ante X. 17. *ἐκτίσθη* i. e. *ἀνεκτίσθη*. *Ἀδριανόπολις* R. 19. *Στρατός* vulgo. 21. 22. *καὶ Στρέψιος* add. R.

Στρῆνος. Ἡρωδιανὸς ἑβδόμῃ „[Στρῆνος] πόλις Κρητική". τὸ ἐθνικὸν Στρήνιος, ὡς Φαῖστος Φαίστιος.

Στρόβος, πόλις Μακεδονίας, Ῥωμαίων ἄποικος. τὸ ἐθνικὸν Στροβαῖος.

Στρογγύλη, μία τῶν ἑπτὰ Αἰόλου νήσων „ἀπὸ τοῦ σχήματος καλουμένη, καὶ φλογὸς μὲν λειπομένη, φέγγους δὲ μετέχουσα". τὸ ἐθνικὸν Στρογγυλαῖος, ὡς τῆς Λιπάρας Λιπαραῖος. ἔστι καὶ ἄλλη πρὸς τῇ Λύκτῳ. τὸ ἐθνικὸν τῷ τῆς χώρας ἔθει Στρογγυλεύς.

Στρόγωλα, πόλις Λυδίας. Ξάνθος ἐν Λυδιακῶν δευτέρῳ. τὸ ἐθνικὸν Στρογωλεύς.

Στρούθεια, πόλις Φρυγίας ἐν τοῖς ὅροις Λυκαονίας. τὸ ἐθνικὸν Στρουθεύς.

Στροφάδες, νῆσοι πρὸς τῇ Ζακύνθῳ δύο. τὸ ἐθνικὸν Στροφαδεύς.

Στρυβία, νῆσος τῶν Σποράδων. τὸ ἐθνικὸν Στρυβιαῖος.

Στρύμη, πόλις Θρᾴκης, ὡς Ἀνδροτίων ἑβδόμῳ. τὸ ἐθνικὸν Στρυμηνὸς καὶ Στρυμήσιος καὶ Στρυμαῖος. καὶ τὸ κτητικὸν Στρυμαϊκός.

---

1. Ἡρόδοτος V. ἑβδόμῃ] V. Arcad. p. 63, 18. ubi post Ῥῆνος adde Στρῆνος πόλις. Στρῆνος om. libri. conformavi haec ad normam aliarum sectionum. cf. s. v. Σύναγγος. 3. Στρόβος ex Στόβος seu Στόβοι corruptum esse suspicatur H. 5. ἑπτὰ add. PpR. 5-7. ἀπὸ τοῦ σχήματος — μετέχουσα] E Strab. 7 p. 276: ubi legitur: ἡ δὲ (ὄνος, i. e. ὄνομα, bene addit codex C) Στρογγύλη καλεῖται μὲν ἀπὸ τοῦ σχήματος, ἔστι δὲ καὶ αὐτὴ διάπυρος, βίᾳ μὲν φλογὸς λειπομένη, τῷ δὲ φέγγει πλεονεκτοῦσα. 8. πρὸς τῇ Λύκτῳ] Lycti nomen vitii arguunt sequentia. tantum enim abest ut gentilicius typus in $\overline{\epsilon\upsilon\varsigma}$ Cretensibus peculiaris fuisse dici possit, ut de sexaginta Creticarum urbium nominibus vix decem illam terminationem referant. itaque nescio an Stephanus πρὸς τῇ Λυκίᾳ scripserit et de Pinaris, urbe Lyciae notissima, loquatur, quam Strongylen aut vere appellatam fuisse aut appellari potuisse ipse significat s. v. Ἀρτύμνησος. de Lyciaco charactere gentilicio in $\overline{\epsilon\upsilon\varsigma}$ identidem admonui. 10. Στρόγωλα] Haec libri post articulum de Στρούθεια habent. 13. τὸ ἐθνικὸν καὶ Στρουθεύς V. 15. Στροβαδεύς R. 18. Στρυμαῖος RV, Στρυμιαῖος A.

Στρυμών, ποταμὸς Ἀμφιπόλεως, ἀφ' οὗ ὁ βορρᾶς „Στρυμονίου βορέαο". οἱ οἰκοῦντες Στρυμόνιοι. „οὗτοι διαβάντες εἰς τὴν Ἀσίαν Βιθυνοὶ ἐκλήθησαν". καὶ ἀπὸ τῆς Στρυμόνος γενικῆς τὸ θηλυκὸν Στρυμονίς. καὶ Στρυμονία ἡ γῆ.

Στρώη, πόλις Λιβύης, ὡς Ἑκαταῖος Ἀσίας περιηγήσει. τὸ ἐθνικὸν Στρωαῖος ἢ Στρωίτης.

Στύελλα, φρούριον τῆς ἐν Σικελίᾳ Μεγαρίδος. τὸ ἐθνικὸν Στυελλῖνος ὡς Ἐντελλῖνος.

Στυλλάγιον, πόλις Τριφυλίας. τὸ ἐθνικὸν Στυλλάγιος καὶ Στυλλαγιεύς.

Στύμφαλος, πόλις Ἀρκαδίας καὶ πεδίον ὁμώνυμον καὶ πηγή. ἡ πόλις ἀρσενικῶς καὶ θηλυκῶς. τὸ ἐθνικὸν Στυμφάλιος καὶ Στυμφαλία Ἄρτεμις καὶ λίμνη καὶ γυνή.

Στύρα, πλησίον Καρύστου, τῆς Εὐβοίας πόλις. ὁ πολίτης Στυρεύς.

Στυράκιον, ὄρος Κρήτης. οἱ ἐνοικοῦντες Στυρακῖται· Στυρακίτης γὰρ Ἀπόλλων.

Στῶλος, πόλις μία τῶν ἐν Θρᾴκῃ βαρβαρικῶν, ἃς μετήνεγκαν ἐκ τῶν Ἠδωνῶν οἱ Χαλκιδεῖς εἰς τὰς αὐτῶν πόλεις. τὸ ἐθνικὸν Στώλιος.

Σύαγρα, χωρίον Κιλικίας πλησίον Ἄδου καὶ Λαέρτου. τὸ ἐθνικὸν Συαγρεύς.

Σύαλις, πόλις Μαστιανῶν. τὸ ἐθνικὸν Συαλίτης τῷ κοινῷ λόγῳ. δύναται καὶ Συαλεύς.

Συασσός, κώμη Φρυγίας. ἐν ταύτῃ τῇ κώμῃ φασὶ Κιμμερίους εὑρεῖν ἐν σιροῖς τεθησαυρισμένας μυριάδας πυριῶν,

---

1. πόλις R. βορρᾶς V, βορᾶς AR. 2. Στρυμονίου βορέαο] Callim. Del. 26. 2. 3. οὗτοι — ἐκλήθησαν] Ex Herod. 7, 75. 8. Στυελληνός ὡς Ἐντελληνός ante H. 14. Στύρα] V. Wassius ad Thucyd. 7, 57. πόλεως V. 19. Ἠδονῶν V. 20. Στόλιος R. Στώλιοι memorantur in Catal. trib. no. 1. 4. 36. 42. 63. 21. Σύγρα R. Ἀδάνων H. 23. Μαστιανῶν R, Μαστυανῶν AV. 24. Συαλιεύς? ut Μακριεύς a Μάκρις, Ἀβοτιεύς ab Ἄβοτις etc. at Συαλεύς legi in titulo ἀνεκδότῳ annotavit H. 25. Σύασσος vulgo. 26. τεθησαυρισμέναις R.

ἀφ᾽ ὧν αὐτοὺς ἐπὶ πολὺν χρόνον διατραφῆναι. τὸ ἐθνικὸν Συασσεύς, διὰ τὸν εἰθισμένον τῇ χώρᾳ χαρακτῆρα.

Σύβαρις, πόλις Ἰταλίας καὶ ποταμός. ἡ δὲ πόλις ὕστερον ὠνομάσθη Θούριον. ἥλω δὲ ὑπὸ Κροτωνιατῶν χρησμοῦ δοθέντος αὐτοῖς

εὐδαίμων, Συβαρῖτα, πανευδαίμων σὺ μὲν αἰεὶ
ἐν θαλίῃσι θεῶν τιμῶν γένος αἰὲν ἐόντων,
εὖτ᾽ ἂν δὴ πρότερον θνητὸν θεοῦ ἄνδρα σεβίζῃ,
τηνίκα σοι πόλεμός τε καὶ ἔμφυλος στάσις ἥξει.

ἐγένετο δ᾽ αὐτῶν ὄλεθρος κατὰ τὸ μαντεῖον οὕτως. τῶν Συβαριτῶν τις οἰκέτην ἐμαστίγου ἐν ἀγρῷ, τοῦ δὲ καταφυγόντος ἐπὶ τὴν θεὸν ὁ δεσπότης ἐπέμενε παίων· ὁ δὲ παῖς, ἐπεὶ οὐδὲν ὠφέλει, εὐθέως ἐπὶ τὴν στήλην τοῦ πατρὸς καταντήσας ἔτυχεν αἰδοῦς, καὶ εὐθὺς ἀπεστράφη τὸ ἄγαλμα τῆς Ἥρας. ὁ πολίτης Συβαρίτης. καὶ θηλυκὸν Συβαρῖτις. καὶ Συβαριτικός καὶ Συβαριτικὴ συμφορά.

Σύβερος, πόλις Ἰλλυρίδος. τὸ ἐθνικὸν Συβέριος καὶ Συβερεύς καὶ Συβερίτης.

Σύβοτα, νῆσος πρὸς τῷ Ἀμβρακικῷ κόλπῳ, καὶ λιμήν. ὁ νησιώτης Συβότιος.

Συβρίδαι, δῆμος τῆς Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Συβρίδης. τὰ τοπικὰ ἐκ Συβριδῶν [εἰς Συβριδῶν] ἐν Συβριδῶν.

Σύεδρα, πόλις Ἰσαυρίας, ὡς Καπίτων ἐν Ἰσαυρικῶν τρίτῳ. ὁ πολίτης Συεδρεύς.

---

1. ἐφ᾽ ὧν R. 3. Σύβαρις πόλις, πόλις Ἰταλίας R. 4. χρησμοῦ] ὑπὸ χρησμοῦ R, quod fortasse ἀπὸ χρησμοῦ scribendum. oraculum illud attulit etiam Athen. 12 p. 520 a. 6. εὔδαιμον libri. Συβαρῖτα πανευδαίμων Athenaei codices omittunt. πανευδαίμων Schweighaeuserus, πανεύδαιμον libri. 7. ἐν om. R. θαλίῃσιν ἔσῃ τιμῶν Athenaeus. 8. ἔστ᾽ ἂν δὴ epit. Athenaei, εὖτ᾽ ἂν δὲ Schweighaeuserus. σεβίσσῃς Athenaeus. 9. ἐμφύλιος libri, corr. Porsonus. 12. τὸν θεὸν RV. 18. Συβερείτης libri. 19. νῆσοι? cf. Procopius B. G. 4, 22. ubi Συβόται νῆσοι editur. at cod. Συμβόντα, quod Σύβοτα scribendum. πρὸς τῷ Ἀμβρακικῷ κόλπῳ add. PpR. 22. εἰς Συβριδῶν om. libri.

Σύεσσα, καλύβη τις ἐν Λυκίᾳ, ἀπὸ Συέσσης γραός τινος ὑποδεξαμένης τὴν Λητώ. τὸ ἐθνικὸν Συεσσαῖος καὶ Συεσσεύς. καὶ *Σύεσσα* πόλις Τυρρηνῶν. τὸ ἐθνικὸν Συεσσῖνος.

Συήνη, πόλις μέση Αἰγύπτου καὶ Αἰθιοπίας ἐπὶ τῷ Νείλῳ, μεθ' ἣν ὠνόμασται Σῖρις ὁ ποταμός. μέμνηται τῆς πόλεως Παυσανίας. κέκληται δὲ ἀπὸ Συήνου Ἀέτου παιδός. ὁ πολίτης Συηνίτης. τὸ κτητικὸν Συηνιτικόν.

Συΐα, πόλις μικρὰ Κρήτης, ἐπίνειον οὖσα τῆς Ἐλύρου. ὁ πολίτης Συϊάτης καὶ Συϊεύς.

Σύϊς, πόλις Αἰγύπτου, ὡς Ἑκαταῖος ἐν τῇ αὐτῆς περιηγήσει. καὶ νομὸς Συΐτης.

Συκαί, πόλις ἀντικρὺ τῆς νέας Ῥώμης. [ἡ καθ' ἡμᾶς *Ἰουστινιαναί* προσαγορευθεῖσα]. Στράβων ἑνικῶς αὐτὴν λέγει Συκήν.... οἰκειότερον δέ, ὡς λέγονται, Συκαί καλοῖντ' ἄν. οἱ τόποι γὰρ ἀπὸ τῶν ἐν αὐτοῖς ὄντων ὀνομάζονται, Κυπάρισσος Ἐλαία, καὶ τύπῳ περιεκτικῶν Σικυών Μαραθών, καὶ εἰς ους Δαφνοῦς Κερασοῦς Φηγοῦς Μυρρινοῦς Ἀχερδοῦς Ἁγνοῦς Σελινοῦς. [ἡ πόλις αὕτη παρὰ τὸ γεννικῶς ἀνθεῖν Ἄνθουσα.] οὐδὲν τῶν τοιούτων εἰς ις λήγει, Συκίς, ἀλλ' ἐχρῆν ἢ

---

1. *Σύισσα* ante X. *Συείσσης* libri. 3. *Συεσσηνός* libri. 4. *μέση* add. PpRV. 6. *Παυσανίας*] 1, 33, 4 aliisque locis. *Ἀετοῦ* Heringa, *Δαέτου* libri. cf. s. v. *Αἴγυπτος*. 7. *Συηνιάτης καὶ Συεύς* ante *Συηνίτης* add. R. 8. *τῆς*] *τοῦ* R. 10. *Σόϊς* Choeroboscus Bekkeri p. 1192. 12. et 14. *Συκαῖ* R, *Σύκαι* V. inclusa verba non sunt Stephani. 13. *Στράβων*] 7 p. 319: *τὸν ἐπὶ τῇ Συκῇ λεγόμενον λιμένα.* 14. *οἰκειότερον*] Ante hanc vocem nonnihil excidisse de forma *Συκίς* sequentia docent. itaque lacunam indicavi. 14. *κάλοιτο ἂν* R. 17. *Κερασσοῦς* RV. 17. 18. *Σεληνοῦς* R. 18. 19. *ἡ πόλις — Ἄνθουσα*] Haec aut alieno loco posita aut interpolatoris additamentum sunt; ideo seclusi. videntur autem de Constantinopoli, quae etiam *Ἄνθουσα* dicta fuit, intelligenda esse. *γενικῶς* et *Ἀνθοῦσα* libri. 19. *οὐδὲ* R. *εἰς ις λήγει Συκίς* PpRV, *εἰς ἢ λήγει Συκή* A. dicit, opinor, nullum topicum ab arboribus plantisve ductum reperiri quod exeat in ις. non assentior Lobeckio Paral. p. 316, 12. ad cuius disputationem cf. nostrum p. 320, 19. quamquam non ab omni parte vera canonis auctorem tradidisse ostendit topicum *Ἐλαιῦς*.

Συκάς ἢ Συκήν ἢ Συκοῦντα ἢ Συκῶνα καλεῖσθαι. ἔστι καὶ ἄλλη Συκὴ πλησίον Συρακουσῶν. καὶ Κιλικίας. ἔστι καὶ ἑτέρα Ἀλεξανδρείας. [φησὶν ἕνα τῶν Τιτάνων Συκέα διωκόμενον τὴν μητέρα Γῆν ὑποδέξασθαι καὶ ἀνεῖναι τὸ φυτὸν τοῦτο.] ὁ πολίτης ὤφειλε Συκαῖος. ἔστι δὲ νῦν Συκαΐτης, ὅπερ ἐστὶν ἀπὸ τῆς Συκαῖος, ὡς Θηβαῖος Θηβαΐτης.

Συκαμίνων, πόλις Φοινίκων. τὸ ἐθνικὸν Συκαμινίτης.

Σύλκοι, πόλις ἐν Σαρδοῖ, Καρχηδονίων κτίσμα.

Σύλειον, πόλις Φρυγίας, διὰ τῆς ει διφθόγγου. τινὲς δὲ Παμφυλίας. τὸ ἐθνικὸν Συλειεύς.

Συλίονες, ἔθνος Χαονίας, ὡς Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν „Συλίονες δ' ἕσποντο ὁμοῦ".

Σύμαιθα, πόλις Θετταλίας. ὁ πολίτης Συμαιθεύς, ὡς Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ.

Σύμβρα, οὐδετέρως, Φρυγίας φρούριον, ὡς Καπίτων ἐν Ἰσαυρικῶν δευτέρῳ. τὸ ἐθνικὸν Συμβριανός.

Σύμη, νῆσος Καρική, ὡς Στράβων τεσσαρεσκαιδεκάτῃ. καὶ πόλις ὁμώνυμος. ὠνόμασται δὲ ἀπὸ Σύμης τῆς Ἰαλύσου. καὶ πρότερον μὲν ἐκαλεῖτο Μεταποντίς, εἶτα Αἴγλη. τὸ ἐθνικὸν Συμαῖος, ὡς Κυμαῖος Δυμαῖος. λέγεται καὶ Συμεύς.

Σύναγγος. Ἡρωδιανὸς ἕκτῳ φησὶ „Σύναγγος πόλις Φοινίκων". τὸ ἐθνικὸν Συνάγγιος ὡς Σίγγιος.

---

1. Συκάς ἢ Συκήν M, Συκὰς ἢ Συκήνη libri, Συκὰς ἢ Συκήνην W. ἔστι add. R. 2. Συκῇ R. de hac vid. Ahrens dial. dor. p. 64, 7. 3. Ἀλεξανδρείας] Ciliciam Alexandriam intelligit H, ut haec Syca eadem sit cum Cilicia; vereor ut recte. φησὶν RV, φασὶν A. descripta sunt haec ex Athenaeo 3 p. 78 b.: Τρύφων ἐν δευτέρῳ φυτῶν ἱστορίας Δωρίωνά φησιν ἱστορεῖν Συκέαν (leg. Συκέα) ἕνα τινὰ τῶν Τιτάνων, διωκόμενον ὑπὸ Διὸς τὴν μητέρα Γῆν ὑποδέξασθαι καὶ ἀνεῖναι τὸ φυτὸν εἰς διατριβὴν τῷ παιδί, ἀφ' οὗ καὶ Συκέαν πόλιν εἶναι ἐν Κιλικίᾳ. quae si ab ipso Stephano, nec potius ab interpolatore adiecta sunt, proxime post Κιλικίας transponenda fuerint. 7. Συκάμινον libri. 8. Σύλκοι] Supra Σολκοί. 9. Σύλειον] Addendum fort. καὶ Σύλλειον. cf. Eustath. ad Dion. Per. 815. 12. Συλείονες R. δ' ἕσποντο ὁμοῦ Pp, θ' ἕσπονθ' ὁμοῦ AV, θ' ἕπονθ' ὁμοῦ R. 15. Σύμβρα H, Σύβρα libri. an Σύμβρια? 16. Συβριανός ante H. 17. Στράβων] 14 p. 656.

Σύνδικος, πόλις προσεχὴς τῇ Σκυθίᾳ, ἔχουσα λιμένα. ἔνιοι δὲ *Γοργίππην* καλοῦσι.

Σύνναδα, πόλις Φρυγίας „.... καὶ Δοκίμεια κώμη ἐπέκεινα αὐτῆς ... οἱ δ' ἐπιχώριοι Δοκιμῖτιν καὶ Δοκιμαίαν". λέγουσι δὲ Ἀκάμαντα μετὰ τὰ Τρωικὰ ἀποπλανηθέντα ἐλθεῖν εἰς Φρυγίαν καὶ καταλαβεῖν πολιορκούμενον τὸν τῶν τόπων δυνάστην καὶ βοηθήσαντα αὐτῷ λαβεῖν χώραν καὶ κτίσαι πόλιν· συναθροίσαντα δὲ πολλοὺς οἰκήτορας τῶν ἀπὸ τῆς Ἑλλάδος Μακεδόνων κατὰ τὴν Ἀσίαν, τὸ μὲν πρῶτον αὐτὴν ἀπὸ τῆς συναγωγῆς καὶ συνοικήσεως *Σύνναια* προσαγορεῦσαι, μετὰ δὲ ταῦτα παρεφθαρμένως ὑπὸ τῶν πλησιοχώρων *Σύνναδα* κληθῆναι. ὁ πολίτης Συνναδεύς. οὕτω γὰρ καὶ ἐπὶ τοῦ παρόντος λέγεται.

Συπαληττός, δῆμος τῆς Κεκροπίδος φυλῆς. ὁ δημότης Συπαλήττιος. ἐκ τόπου Συπαληττόθεν, εἰς τόπον Συπαληττόνδε, ἐν τόπῳ Συπαληττοῖ.

Συράκουσαι, πόλις Σικελίας μεγίστη, ὡς Ἑκαταῖος Εὐρώπῃ, κτίσμα μὲν Ἀρχίου, Κορίνθου δ' ἄποικος, τοῖς ἐν Σικελίᾳ [Μεγάροις] καὶ Νάξῳ ὁμόχρονος. φασὶ δὲ Μύσκελλον τὸν Κρότωνος οἰκιστὴν καὶ τὸν ταύτης Ἀρχίαν Πυθοῖ χρηστηριαζομένους ἐρωτηθῆναι ἐκ τῆς Πυθίας, πότερον βού-

2. *Γοργίπην* libri. supra *Γοργίππεια* dicitur. 3. *Σύναδα* RV. lacunas indicatas supplere licet ex Strab. 12 p. 577: *Σύνναδα δ' ἔστιν οὐ μεγάλη πόλις. πρόκειται δ' αὐτῆς ἐλαιόφυτον πεδίον, ὅσον ἑξήκοντα σταδίων· ἐπέκεινα δ' ἐστὶ Δοκιμία (Δοκίμεια) κώμη καὶ τὸ λατόμιον τοῦ Συνναδικοῦ λίθου· οὕτω μὲν Ῥωμαῖοι καλοῦσιν, οἱ δ' ἐπιχώριοι Δοκιμίτην καὶ Δοκιμαίαν.* 4. *Δοκιμήτιν* R, *Δοκιμίτην* AV. *Δοκιμαῖον* H, *Δοκιμέα* Salmasius. 5. *Ἀκάμαντα*] Haec ex Alexandri Phrygiacis petita videntur. 10. *προσαγορεῦσαι* RV, *προσαγορευθῆναι* A. 11. *ἀπὸ* libri. 15. *εἰς τόπον* add. RV. 17. *βιβλίον νά* ante *Συράκουσαι* R. *Συράκοῦσαι* libri. 18. *μὲν* add. RV. *δ'* om. libri. *ἔποικος* Pp. *τοῖς* PpR, *τῆς* A. 19. *Μεγάροις* om. libri; vide Strabon. 6 p. 269: *τὰς Συρακούσας Ἀρχίας μὲν ἔκτισεν — περὶ τοὺς αὐτοὺς χρόνους, οἷς ᾠκίσθησαν ἥ τε Νάξος καὶ τὰ Μέγαρα.* 19. 20. *Μύσκελλον* R, *Μίσκελλον* AV.

λονται πλοῦτον ἔχειν ἢ ὑγίειαν, καὶ Μύσκελλον μὲν ὑγιαίνειν, Ἀρχίαν δὲ πλοῦτον εἰπεῖν, καὶ τῷ μὲν δοῦναι κτίσαι Συράκουσαν τῷ δὲ Κρότωνα, καὶ συμβῆναι τοὺς Κροτωνιάτας ὑγιεινὴν οἰκῆσαι τὴν πόλιν καὶ ἀθλητὰς εἶναι, Συρακουσίους δὲ πλουτεῖν ἐπὶ τοσοῦτον, ὡς καὶ παροιμίαν ἐκπεσεῖν ἐπὶ τῶν εὐτελῶν τὴν „ὡς οὐκ ἂν ἐκγένοιτο αὐτοῖς Συρακουσίων δεκάτη". τὸ ἐθνικὸν Συρακούσιος καὶ Συρακουσία τὸ θηλυκόν, καὶ λίμνη, ἥ τις καλεῖται Συρακώ. καὶ Συρακοσεύς.

Συρβανή, νῆσος ἐν τῷ Εὐφράτῃ, ὡς Κουάδρατος ἐνάτῳ Παρθικῶν. τὸ ἐθνικὸν Συρβανηνός.

Σύρινθος, πόλις Κρήτης. τὸ ἐθνικὸν Συρίνθιος ὡς Ὀλύνθιος, τὸ θηλυκὸν Συρινθία.

Συρμαῖον, πεδίον μεταξὺ Νομάδων τε καὶ Ναβαταίων. τὸ ἐθνικὸν Συρμαῖος.

Συρμάται, οἱ Σαυρομάται, ὡς Εὔδοξος πρώτῳ „ποταμὸν τοῦ Τανάιδος Συρμάτας κατοικεῖν".

Σύρνα, πόλις Καρίας. ἔκτισται δὲ ὑπὸ Ποδαλειρίου· ἐκπεσόντα γὰρ αὐτὸν εἰς Καρίαν σωθῆναι ὑπό τινος αἰγοβοσκοῦ καὶ ἀχθῆναι πρὸς Δαμαιθὸν Καρίας βασιλέα, οὗ τὴν θυγατέρα Σύρναν πεσοῦσαν ἀπὸ τοῦ τέγους ὑπ' αὐτοῦ θεραπευθῆναι. φησὶ δὲ οὕτως „ἀθυμοῦντος δὲ τοῦ Δαμαιθοῦ

---

1. ὑγίειαν R, ὑγίαν V, ὑγεἰαν A. ὑγίειαν? 2. πλοῦτον RV, πλουτεῖν A. 2.3. Συρακούσσαν V, Συρακούσας B. 6. εὐτελῶν PpR, πολυτελῶν A, cui concinit Strabo l. l.; πρὸς τοὺς ἄγαν πολυτελεῖς, ὡς οὐκ ἂν ἐκγένοιτο (ἐκλέγοιτο coni. Kramerus) αὐτοῖς ἡ Συρακουσίων δεκάτη. ὡς add. P. ἐκγένοιτο X, γένοιτο libri. αὐτοῖς X, αὐτὸς A, αὐτὴν RV. 7. δεκάτην RV. Συρακούσσιος καὶ Συρακουσσία V. 8. Συρακοσσεύς V. 10. Συρβανηνός W, Συρβαβηνός RV, Συρβανός A. 12. Συρινθίαι V. 15. Συρμᾶται RV. Σαυρομᾶται V. 15. 16. ποταμὸς RV. 16. Συμάτας R. 17. Ποδαρίου V. 18. ἐκπεσόντα] Haec quoque ex Alexandri Caricis ducta esse suspicor. scriptoris nomen excidisse docet quod lin. 21 restitui φησί. 19. Δαμαιθὸν] Idem supra v. Πρυμνησία vocatur Μίμαιθος, quod fortasse Δαμαιθός sive Δάμαιθος scribendum est. βασιλέως V. 20. ἀπὸ στέγεος (στέγους V) πεσοῦσαν RV. 21. φησὶ PpRV, φασὶ A. alterum δὲ add. RV.

τὸν Ποδαλείριον ἀφ' ἑκατέρου τῶν βραχιόνων αἷμα ἀφελόντα σῶσαι τὴν παῖδα, τὸν δὲ θαυμάσαντα συνοικίσαι αὐτῷ τὴν παῖδα καὶ δοῦναι τὴν χερρόνησον· ἐν ᾗ δύο πόλεις κτίσαντα τὴν μὲν ἀπὸ [τῆς] γυναικὸς Σύρνον, τὴν δὲ ἑτέραν ἀπὸ τοῦ σώσαντος αὐτὸν νομέως [Βυβασσὸν καλέσαι]". τὸ ἐθνικὸν Σύρνιοι. τὸ θηλυκὸν Συρνιάς.

Σύροι, κοινὸν ὄνομα πολλῶν ἐθνῶν. λέγονται καὶ Λευκόσυροι. Στράβων ἑκκαιδεκάτῃ „δοκεῖ δὲ ἀπὸ Βαβυλωνίας τῶν Σύρων τὸ ὄνομα διατείνειν μέχρι τοῦ Ἰσσικοῦ κόλπου, ἀπὸ δὲ τούτου μέχρι τοῦ Εὐξείνου πόντου. οἱ γοῦν Καππάδοκες ἀμφότεροι, οἵ τε πρὸς τῷ Ταύρῳ οἵ τε πρὸς τῷ Πόντῳ, μέχρι νῦν Λευκόσυροι καλοῦνται". τὸ κτητικὸν Συρικός.

Σῦρος, νῆσος Ἰωνική. ὡς Στράβων δεκάτῃ, τὸ ῡ μακρόν. τὸ ἐθνικὸν Σύριος. νῆσος Ἀκαρνανίας.

Συρρέντιον, πόλις Τυρρηνίας, καὶ Συρρεντόν. τὸ ἐθνικὸν Συρρέντιος.

Συώπιοι, ἔθνος προσεχὲς τοῖς Λιβυρνοῖς, ὡς Ἑκαταῖος Εὐρώπῃ.

Σφακτήρια, οὐδετέρως. ἔστι δὲ μεθόριον Ἠλείων τῆς πρὸς Μεσσήνην χώρας. κέκληται δ' οὕτως, ὥς φησιν Ἐχεφυλίδης, διὰ τὸ ἐν αὐτῷ σφαγιασαμένους τοὺς Ἡρακλείδας πρὸς Ὄξυλον ποιήσασθαι συνθήκας περὶ φιλίας καὶ ὁμονοίας. ἔστι καὶ νῆσος Σφακτηρία, ἧς μνημονεύει Παυσανίας ἐν τρίτῳ περιηγήσεως Ἑλλάδος. ἐκαλεῖτο καὶ Σφαγία, ὡς Φαβωρῖνος.

---

2. συνοικίσαι M, συνοικῆσαι libri. 4. τῆς om. libri. Σύρναν H. aut hoc verum aut in lemmate scribendum Σύρνος. 5. αὐτὸν add. R. Βυβασσὸν καλέσαι add. M. vide supra s. v. Βυβασσός. 8. ἑκκαιδεκάτῃ] p. 737. Βαβυλωνίας om. R. 10. οἱ γοῦν X, ἤγουν libri. 13. Σύσος R. δεκάτῃ] p. 485, δυοδεκάτῃ A, ιβ' RV. 15. Συρέντιον contra literarum ordinem libri. Συρεντόν H, Συρκεντόν A, Συριεντόν R, Συρηεντόν V. 16. Συρέντιος libri, Συρρεντῖνος dubitanter H. 20. Μεσήνην RV. 20. 21. Ἐχεφυλλίδης Lobeck. Paral. p. 4. cf. Ruhnk. Diss. de Long. §. 10. 21. σφαγιασαμένους R, σφαγιαζομένους A, σφαγιασμένους PpV. 23. τρίτῳ] c. 5, 5. 24. Ἑλλάδι V.

ἔστι καὶ Σφαγῖτις ἄκρα Σκυθίας. τὸ ἐθνικὸν ἀπὸ τῆς ἀναλογίας Σφακτηριεύς καὶ Σφακτηριώτης, καὶ τοῦ Σφαγία Σφαγιεύς, ὡς τοῦ Ὑρία Ὑριεύς.

Σφενδαλή, δῆμος Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Σφενδαλεύς. τὰ τοπικὰ Σφενδαλῆθεν Σφενδαλήνδε Σφενδαλῆσιν.

Σφήκεια, πόλις Εὐβοίας. Λυκόφρων „οἱ πέντε που Σφήκειαν εἰς Κεραστίδα". οὕτω δὲ καὶ ἡ Κύπρος ἐκαλεῖτο. τὸ ἐθνικὸν Σφῆκες. Σφήκειαν δὲ καὶ Κεράστειαν τὴν Κύπρον.

Σφηττός, δῆμος Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Σφήττιος. τὰ τοπικὰ Σφηττόθεν Σφηττόνδε Σφηττοῖ. ὁ δῆμος καλεῖται ἀπὸ Σφήττου τοῦ Τροιζῆνος παιδός.

Σχερία, ἡ Φαιακία. κέκληται, ὡς Ἀριστοτέλης φησίν, ἀπὸ τοῦ τὴν Δήμητραν φοβουμένην, μὴ οἱ ἐκ τῆς ἠπείρου ἐπιχεόμενοι ποταμοὶ ἤπειρον αὐτὴν ποιήσωσι, δεηθῆναι τοῦ Ποσειδῶνος ἀποστρέψαι τὰ τῶν ποταμῶν ῥεύματα. ἐπισχεθέντων οὖν τούτων ἀντὶ Δρεπάνης Σχερίαν αὐτὴν κληθῆναι. τὸ ἐθνικὸν Σχεριεύς. οἱ ἐνοικοῦντες Σχέριοι ἤτοι Φαίακες.

Σχινοῦσσα, ὡς Ῥοδοῦσσα, Φωκικὴ νῆσος. τὸ ἐθνικὸν Σχινούσσιος καὶ Σχινουσσαῖος.

---

1. Σφαγίτης libri. 4. Σφενδάλη libri. 7. Σφήκεια] Haec plenius leguntur apud Etym. M. p. 738, 50: Σφήκεια, ἡ Κύπρος. πρότερον γὰρ Σφήκεια ἐκαλεῖτο, ὥς φησι Στέφανος ἐν τῷ περὶ Κύπρου, ἀπὸ τῶν ἐνοικούντων ἐκεῖσε ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες. ἐκαλεῖτο καὶ Κεραστία, ὡς Μένανδρος (leg. μὲν Ἀλέξανδρος) ἐν τῷ περὶ Κύπρου λέγει, διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας οἳ εἶχον κέρατα, ὡς δὲ Ξεναγόρας ἐν τῷ περὶ νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐξοχάς, ἃς κέρατα καλοῦσι, Κεραστία ὠνομάσθη. quo loco ne quis ipsum nostrum Stephanum commemorari in animum induceret Fabricius (Bibl. gr. vol. 4 p. 626) cavit, recte ille corrigens ὡς Φιλοστέφανος. Λυκόφρων] vs. 447. 8. ἐς R. 9. καὶ Κεράστειαν Salmasius, καὶ Ῥάστειαν R, ῥάστει V, Κεράστειαν A. 13. Σχεαρία RV. Ἀριστοτέλης] Vid. schol. Apoll. Rh. 4, 983. 14. 15. ἐπιχεόμενοι ἐκ τῆς ἠπείρου R. 19. Σχίνουσσα ὡς Ῥόδουσσα AV, Σχίνουσα ὡς Ῥόδουσα R. 20. Σχινούσιος καὶ Σχινουσαῖος R.

Σχοινοῦς, Ἀρκαδίας χωρίον, ἀπὸ Σχοινέως τοῦ Ἀταλάντης πατρός. ἑλώδης δὲ ὢν ὁ τόπος ἀπὸ τῶν ἐν αὐτῷ σχοίνων τὴν προσηγορίαν εἴληφεν, ὥσπερ καὶ τῶν δήμων ἀπὸ τῶν ἐν αὐτοῖς φυομένων Ῥαμνοῦς Φηγοῦς Μυρρινοῦς Μαραθοῦς. ὁ τὸ χωρίον οἰκῶν Σχοινούντιος, ὡς Σελινούντιος ... καὶ Σχοινεύς ποταμός, ἀπὸ Σχοινέως τοῦ Ἀθάμαντος. Τρύφων ἐν τῷ περὶ παρωνύμων ὧδέ φησι „τὰ εἰς ευς λήγοντα παρώνυμα οὐδέποτε τῆς γενικῆς τοῦ πρωτοτύπου μιᾷ πλεονάζει. ὁ γοῦν Φωκαεύς οὐ παρὰ τὸν Φῶκον γέγονε, παρὰ μέντοι τὴν Φώκαιαν, καὶ ὁ παρὰ Καλλιμάχῳ Ἑλλοπιεύς παρὰ τὴν Ἑλλοπίαν, οὐ παρὰ τὸν Ἔλλοπα. ὁ δὲ παραρρέων τὸν Σχοῖνον ποταμὸς Σχοινεύς καλεῖται ἤτοι παρὰ τοὺς σχοίνους ἢ παρὰ τὸν Σχοινέα τὸν τῆς Ἀταλάντης πατέρα". ὁ πολίτης μέντοι Σχοινεύς (ὁ γὰρ ποταμὸς καὶ ὁ οἰκιστὴς Σχοινεύς) ὡς Ταρσοῦ Ταρσεύς. ἐκ τόπου Σχοινόθεν.

Σώβαλα, πόλις Καρίας. οὐδετέρως. τὸ ἐθνικὸν Σωβαλεύς.

Σώζουσαι πόλεις τρεῖς, Φοινίκης Πισιδίας καὶ Αἰθιοπίας.

Σώλιμνα, πόλις Ἰνδίας, ὡς Ἡρωδιανὸς ἐν ἑνδεκάτῳ. τὸ ἐθνικὸν Σωλιμναῖος.

Σωσάνδρα, νῆσος περὶ Κρήτην. ἐκλήθη δὲ ἐπειδή ποτε τῶν Λυττίων νύκτωρ ἐπελθόντων τῇ πόλει διασῶσαι λέγεται τοὺς εἰς αὐτήν. ὁ νησιώτης Σωσάνδριος.

Σώτειρα, πόλις Ἀρειηνῶν, Ἀντιόχου κτίσμα τοῦ Σελεύκου. τὸ ἐθνικὸν διὰ τὴν χώραν Σωτειρηνός.

---

4. αὐτοῖς M, αὐτῇ libri. 4. 5. Μαραθών? 5. lacunam indicavit H. supplere possis: ἔστι καὶ χώρα τῆς Θηβαϊκῆς Σχοῖνος. 8. τῆς γενικῆς W, τῇ γενικῇ libri. τοῦ] τῆς V, τῇ R. 9. γοῦν R, οὖν APrV. περὶ V. 10. Φώκαιαν R, Φώκειαν APrV. Καλλιμάχῳ] Del. 20. 11. Ἑλλόπειαν libri. 12. Σχοῖνον] Σχοινοῦντα W. Σχοινεύς Pr, Σχοινιεύς ARV. τὰς Pr. σχοίνους Pinedo, σχοινίους libri. 14. Σχοινεύς RV, Σχοινιεύς APr. 17. πόλεις τῆς Φοινίκης γ' R, πόλις τρεῖς Φοινίκης A. 19. Σώλιμνα R. ἐν om. R. 22. Λιττύων R, Λυκτίων X. 23. εἰς om. V. αὐτήν Pr, ἑαυτήν A, ἑαυτόν PpRV. addendum videtur φυγόντας. 24. Σώτειρα] Haec sectio in libris post Σωφηνή legitur. 25. Σωτηρηνός R.

Σωφηνή, χώρα τῶν πρὸς Ἀρμενίαν, ὡς Στράβων ἐν ἑνδεκάτῃ. παρὰ δ' Ἀρριανῷ Σωφανηνὴ τετρασυλλάβως. οἱ κατοικοῦντες Σωφηνοί. φησὶ γὰρ Στράβων ἐν τῇ εἰρημένῃ „Σωφηνὸς Ἀρσάκης ἔχων τὰ νότια μέρη". ἀντίκειται δὲ ταύτῃ ἡ Κομμαγηνὴ ὅμορος οὖσα τῇ Μελιτηνῇ.

Τάβαι, πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας „ἄστυ Ταβῶν ἐριχυδὲς ἐλευθερὸν οἰκίζεσθαι". καὶ Ἀπολλώνιος ἐνάτῳ „ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι". βαρύνεται δέ, ὡς Σάβαι, κύριον καὶ ἰαμβικόν. ἐκλήθη δὲ ἀπὸ Τάβου. ὁ δὲ Τάβος ἥρως. οἱ δέ φασι τὸν Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς τὸν μὲν κτίσαι Κιβύραν πόλιν, τὸν δὲ Τάβας, καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας οἰκεῖσθαι· τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. ἔνιοι ἀπὸ Ταβηνοῦ Ἀργείου. ὁ πολίτης Ταβηνός [ὡς Γερηνός]. Ἡσίοδος „παρ' ἱπποδάμοισι Γερηνοῖς". ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι. καὶ τρίτη τῆς Περαίας, ἣν Ἀλέξανδρος ἐν τῷ περὶ Συρίας ἑρμηνεύει ἀγαθήν.

Ταβηνοί, ἔθνος, κατὰ τὴν ἔρημον Καρμανίας οἰκοῦντες.

Τάβιοι, πόλις Ἰταλίας, ἐν ᾗ οἱ περὶ Ῥέμον ἐπαιδεύθησαν. τὸ ἐθνικὸν ὁμοίως Τάβιοι, διὰ τὴν πρόληψιν τοῦ ἐν τῷ πρωτοτύπῳ ἐθνικοῦ χαρακτῆρος.

Τάβις, πόλις Ἀραβίας. Ἑκαταῖος περιηγήσει Αἰγύπτου. ὁ πολίτης Ταβηνός.

---

1. *Σωφωνή* V. *ἐν* add. R. 2. *ἑνδεκάτῃ*] p. 527. *περὶ δ' Ἀριανῶν* R. *Σωφανηνή* H, *Σωφανίνη* libri. 2. 3. *οἱ οἰκοῦντες* V. 3. *εἰρημένῃ*] p. 532. ubi editur: *ὁ Σωφηνὸς Ἀρσάνης.* 5. *Κομματίνη* R. 6. *Τάβαι*] Ante hanc vocem *ἀρχὴ τοῦ τ' βιβλίου α'* Pp. 9. *Ἄβαι?* *κύριον καὶ ἰαμβικόν*] Ex Herodiani duodecimo *τῆς καθόλου.* v. Arcad. p. 104, 11: *τὰ εἰς βη ἰαμβικὰ κύρια ἢ παρώνυμα βαρύνεται, Ἄβη κύριον, βλάβη.*
11. *Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς*] Theophanes Contin. 6 p. 367: *Κίβυρρα ἀπὸ Κιβύρρου ἀδελφοῦ Μαρσοῦ τε καὶ Κιδράμου.*
14. *ὡς Γερηνός* add. H. 18. *Ταβιηνοί* Pinedo. *Καρβανίας* R, *Καρμανίαν* H. 19. *Τάβιοι* i. e. *Γάβιοι.* 20. *τῶν* pro *τοῦ* R. 21. *ἐθνικῶν* R.

Τάβαθρα, πόλις Λιβύης. Πολύβιος δωδεκάτῳ. τὸ ἐθνικὸν Ταβαθρηνός διὰ τὴν χώραν.

Ταηνοί, ἔθνος ἀπὸ τῶν Σαρακηνῶν πρὸς μεσημβρίαν, ὡς Ὀλυμπιανὸς ἐν Ἀραβικοῖς καὶ Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ.

Ταίναρος, πόλις, ἀπὸ Ταινάρου τοῦ Γεραίστου μὲν ἀδελφοῦ, Διὸς δὲ παιδός. ὃς πλέων σὺν Καλάβρῳ τῷ ἀδελφῷ καὶ τόπον τῆς Πελοποννήσου καταλαβών τινα Ποσειδῶνος ἱερὸν ἱδρύσατο, ὃ καλεῖται *Ταίναρον*. ἔστι καὶ Ταίναρος ὁ Ἰκαρίου υἱός „ἀφ' οὗ καλεῖται ἡ πόλις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν". λέγεται δὲ ἀρσενικῶς καὶ θηλυκῶς. λέγεται καὶ Ταινάριος καὶ Ταιναρία καὶ Ταινάριον. εἰσὶ δὲ καὶ Ταινάριοι θῆβαι, ὡς Χάραξ ἐν Ἑλληνικῶν δευτέρῳ. λέγεται καὶ ταιναρίζειν, ὡς Ἕρμιππος Θεοῖς „καί σέ τι χρὴ παραταιναρίζειν." Ὧρος δέ φησιν ἐν τῇ ὀρθογραφίᾳ „*Ταίναρον*· πεδίον τῆς Λακωνικῆς, καὶ Ταιναρῖται οἱ ἐν αὐτῷ".

Τάκομψος, κώμη ἐν τοῖς ὁρίοις Αἰγυπτίων καὶ Αἰθιόπων πρὸς τῇ Φίλῃ νήσῳ, ὡς Ἀρισταγόρας ἐν Αἰγυπτιακῶν

---

1. *Τάβρακα* Pinedo. *Πολύβιος* RV, *Πο͂λ* Pr, *Πολ...* A. 2. *Ταβαθρηνός* libri. *Ταβαδρηνός* error est editionis Xylandri. *διὰ τὴν χώραν*] Haec in finem praecedentis articuli traicienda videntur. Libyca gentilia raro formantur in *ηνος*. 3. *Ταηνοί* H, *Τάιννοι* AV, *Τάινοι* PrR. 4. *Οὐλυμπιανὸς* R, *Οὐπιανὸς* V, *Οὐλπιανὸς* AP. Olympiano teste utitur noster s. v. *Δούλων πόλις*. 6. *πόλις* [*Λακωνικῆς*], *ἀπὸ*? *Γεραιστοῦ* RV. 8. *τὸν τόπον* V. 10. *Ἰκάρου* V. *υἱωνός* pro *υἱός*? an *Ταίναρος ὁ* [*Ἐλάτου τοῦ*] *Ἰκαρίου*? *ἡ πόλις καὶ ἡ ἄκρα* RV, *ἡ ἄκρα καὶ ἡ πόλις* A. praetuli illud propter schol. Apoll. Rh. 1, 102: *Φερεκύδης ἐν τῇ θ' φησὶν ὅτι Ἔλατος ὁ Ἰκάρου* (leg. *Ἰκαρίου*) *γαμεῖ Ἐρμήδαν τὴν Δαμασίκλου. τούτου δὲ γίνεται Ταίναρος, ἀφ' οὗ Ταίναρον καλεῖται ἡ πόλις καὶ ἡ ἄκρα καὶ ὁ λιμήν*. ex his nostrum ipsis Pherecydis verbis usum esse intelligitur. 13. an *θῆκαι*? quod de mortuorum conditoriis dici potuit. 14. *ὡς — παραταιναρίζειν* om. V. *ὡς* om. R. 15. *πεδίον*] Taenarium campum memorat Hesychius: *Ταινάρια παρὰ Λακεδαιμονίοις ἑορτὴ Ποσειδῶνος. καὶ ἐν αὐτῇ Ταιναρισταί. Ταίναρον γὰρ πεδίον Λακωνικῆς*. 18. *Φιλίᾳ* libri, *Φίλᾳ* Salmasius. *τῇ νήσῳ* RV.

πρώτῳ. τὸ ἐθνικὸν Ταχομψίτης, ὡς Κάνωβος Κανωβίτης, Πεντάσχοινος Πενταςχοινίτης.

Ταλαρία, πόλις Συρακουσίων. Θεόπομπος ἐν Φιλιππικῶν μ'. τὸ ἐθνικὸν Ταλαρῖνος, ὡς τῆς Πανδοσίας Πανδοσῖνος καὶ Πλακεντῖνος. Σικελικῶς καὶ γὰρ ἀμφότερα.

Τάμασος, πόλις Κύπρου, ἐν μεσογείᾳ, διάφορον ἔχουσα χαλκόν. τὸ ἐθνικὸν Ταμασίτης, καὶ Ταμάσιος ὡς Ἐφέσιος Θάσιος. ἐντεῦθέν τινες γράφουσιν „ἐς Τάμασιν μετὰ χαλκόν". ἀπιθάνως. ἔστι γὰρ καὶ Ταμέση πόλις τῆς Ἰταλίας καὶ ποταμός. Πολύβιος δ' ἐν τῷ πρώτῳ Τεμέσειαν τὴν πόλιν καλεῖ. τὸ ταύτης ἐθνικὸν Τεμεσαῖος.

Τάμβραξ, πόλις Παρθυαίων. τὸ ἐθνικὸν Ταμβράκιος, διὰ δὲ τὴν χώραν Ταμβρακηνός.

Ταμίαθις, πόλις Αἰγύπτου. λέγεται καὶ θηλυκῶς. ἡ γενικὴ Ταμιάθεως. [οὕτω Γεώργιος ὁ Χοιροβοσκὸς ἐν τῷ ὀνοματικῷ.]

Ταμιεῖον, οἶκος ἐν ᾧ τὰ ἀναγκαῖα ἀπετίθεσαν, ὡς

---

3. *Συρακοσσίων* RV. 5. *Πλακεντῖνος.* [*ἀλλὰ καὶ Ταλαριανός.*] *Σικελικὰ γὰρ ἀμφότερα?* utramque formam, *ῖνος* et *ιανος*, Siculorum et Italorum consuetudini convenire dicit. cf. s. v. *Πανδοσία*. 6. *Τάμασος* B, *Ταμασσός* R, *Ταμάσεος* AV. alteram formam *Ταμασσός* tuentur codd. Strab. 6, 1, 5. et Lycophr. 514: *Ταμάσσιον κρητῆρα καὶ βοάγριον*. ad eandem normam corrige Plin. NH. 5, 31, 130. ubi Tamaseus scribitur. apud nostrum *Τάμασος* praetuli propter gentilia, nisi haec quoque ad alteram formam revocanda dicas. de accentu *Τάμασος* et *Ταμασσός* cf. Arcad. p. 76, 20 sqq. *ἐν μεσογείᾳ*, quae libri post *χαλκόν* habent, transposuit M. 7. *χαλούς* RV. 8. *γράφουσιν*] Apud Hom. Od. 1, 184. *Τάμασιν* R, *Ταμάσην* V, *Ταμέσην* APr. malim *Τάμασον*. 9. *Ταμέση*] *μέση* RV. nonne *Τεμέση*? *τῆς* add. R. 10. *πρώτῳ*] *α'* RV, *ιγ'* Schweighaeuserus. *Τεμεσίαν* libri. 14. *Ταμίαθις*] Hoc tmema in libris post *Ταμυράκη* sequitur. 15. 16. *οὕτω — ὀνοματικῷ* non sunt Stephani. ideo seclusi. ac fortasse tota sectio ab alia manu accessit, unde factum ut in libris non suo loco legatur. Choerobosci locus est apud Bekkerum An. Gr. p. 1192. apud Arcad. p. 30, 5. male *Ταμίθις* scriptum. 16. *ὀνοματικῷ* RV, *ὀνομαστικῷ* A.

Ἀριστοφάνης καὶ ἰπνὸς καὶ ἄλλοι. Φρύνιχος δὲ ἐν σοφιστικῇ παρασκευῇ καὶ ἐπὶ τῶν κακῶν φησι τὸ ταμιεῖον. εἴρηται δὲ παρὰ τὸν ταμίαν. ὁ δὲ τοῦ ταμιείου οἰκήτωρ ταμιεύς.

Τάμνα, πόλις Ἀραβική, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ. ὁ πολίτης Ταμνίτης.

Τάμυνα, πόλις Ἐρετρίας. Στράβων δεκάτῃ. καὶ πληθυντικῶς „εἰς τὰς Ταμύνας". τὸ ἐθνικὸν Ταμυνεύς, καὶ θηλυκὸν Ταμυνηίς ἐξ αὐτοῦ. λέγεται καὶ Ταμυναῖος. οὕτω γὰρ ὁ Ζεὺς ἐν αὐτῇ τιμᾶται. Παυσανίας ι' περιηγήσεως.

Ταμυράκη, πόλις Σαρματίας τῆς ἐν Εὐρώπῃ. τὸ ἐθνικὸν Ταμυρακηνός.

Τάναγρα, πόλις Βοιωτίας, ἣν Ὅμηρος Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι. ἐκαλεῖτο δὲ πρότερον Ποιμανδρία. Λυκόφρων „ἣν ἐς βαθεῖαν λαιμίσας Ποιμανδρίαν". τὴν δὲ

---

1. *καὶ ἰπνὸς*] *καὶ Ἴστρος* H. an *Κρατῖνος?* 2. *προπαρασκευῇ?* *ἐπὶ τῶν κακῶν*] Phrynichus respiciebat locos qualis est Anaxandridis fr. 54 (sive Diphili fr. 115): *κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.* adde Democritum apud Plutarch. Mor. p. 500 e: *ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον καὶ θησαύρισμα.* 3. *ταμείου* R, *ταμίου* AV. 6. *δεκάτῃ*] p. 447. 7. *εἰς τὰς Ταμύνας* (*Ταμύναις* R) Demosthenis verba sunt c. Boet. p. 999, 8. 8. *θηλυκὸν* R, *θηλυκῶς* AV. 9. *ι'* R, *ια'* PpV, *ἐνδεκάτῳ* A, *ἐν δεκάτῳ* X, *ἐνάτῳ* Schubartus et Walzius Praef. ad Pausan. vol. 1 p. 45, Iovis Tamynaei memoriam a Pausania 9, 19, 5 eo loco celebratam esse suspicantes, ubi ille de ponte Euboeam cum Boeotia iungente dixerit: eo igitur loco et pontis et Tamynaei Iovis memoriam intercidisse; coniectura, ut mihi quidem videtur, parum probabili. etsi enim de ponte Euboico Pausaniam disseruisse concedamus (quamquam vereor ne in codicum scriptura *ἡ γέφυρα* nil aliud lateat quam *οἱ Γεφυραῖοι* cll. Strab. 9 p. 404), Tamynae tamen longius ab eo distabant (Herod. 6, 101), quam ut eodem loco Tamynaeus Iuppiter in transcursu memorari potuerit. accipio tamen illud *ἐνάτῳ* (praesertim cum *ι'* eundem numerum indicare possit), sed ita ut Pausaniae citationem suo loco motam esse, neque ad Tamynas sed ad articulum de Tanagra spectare credam, de qua Pausanias agit 9, 20 et 22. talium traiectionum exempla in libris Stephani vidimus permulta. *περιηγήσεων* R. 11. *Ταπυρακινός* (η superscr.) R. 12. *Ὅμηρος*] Il. 2, 498. 13. *Ποιμάντρια* R. 14. *Λυκόφρων*] vs. 326. *λαιμίσας* V, *λαιμίσσας* A, *λεμίσας* R.

Γραῖαν ἔνιοι λέγεσθαι τὸ νῦν τῆς Θηβαϊκῆς καλούμενον ἕδος, τινὲς δὲ τὴν Ταναγραίαν, ὧν εἷς ἐστι καὶ Καλλίμαχος, Ἀριστοτέλης δὲ Γραῖαν τὴν νῦν Ὠρωπόν. ἔστι δὲ τόπος τῆς τῶν Ὠρωπίων πόλεως πρὸς τῇ θαλάττῃ. ὁ πολίτης Ταναγραῖος, καὶ Ταναγρίς ἀπὸ τοῦ Τάναγρα, καὶ τὸ Ταναγραῖον. καὶ Ταναγρική. Ἡρόδοτος πέμπτῃ „Ταναγρικὴ μοῖρα", καὶ Μένανδρος „Ταναγρικὴ γυνή".

Τάναϊς, πόλις ὁμώνυμος τῷ ποταμῷ. Στράβων ἑβδόμῃ, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ „κατὰ δὲ τὰς εἰς τὴν λίμνην τὴν Μαιῶτιν ἐκβολὰς τοῦ Τανάιδος πόλις Ἑλληνικὴ ἔκτισται Ταναΐς, ἥ τις καὶ Ἐμπόριον ὀνομάζεται". ὁ πολίτης Ταναΐτης, καὶ θηλυκῶς Ταναΐτις. τινὲς δὲ καὶ τὸν ποταμὸν Ἀκεσίνην εἶναι καὶ Ἰαξάρτην, ἡλληνίσθαι δὲ τὰ πολλὰ τῶν βαρβαρικῶν ὀνομάτων, ὡς Νικάνωρ φησί.

Τάνις, πόλις μεγάλη Αἰγύπτου. ὁ πολίτης Τανίτης.... τὸ ἐθνικὸν τὸ αὐτό.

---

1. *λέγεσθαι* RV, *λέγουσι* A. *καλούμενον* [*Ῥέας*] *ἕδος*? cll. Polyaeno Str. 2, 1, 12: *Ἀγησίλαος ἐπόρθει τὴν Θηβαΐδα. οἱ δὲ κατέλαβον λόφον ὑπὲρ τῆς ὁδοῦ δύσβατον, ὃν καλοῦσι Ῥέας ἕδος.* quod non ausim tentare cum Wesseling. ad Antonini Itin. p. 327. qui affert Xenoph. Hell. 5, 4, 50. ex quo eundem locum *Γραὸς στῆθος* nominatum fuisse intelligitur, quocum compares Phrygiaci loci nomen *Γραὸς γάλα* apud Nicetam Chon. 6, 8. et quod magis etiam appositum est *Καλογραίας βουνός* (id enim significat *στῆθος*) apud Cinnamum Hist. 2 p. 40, 18. 2. 3. *Ἀριστοτέλης γέραιαν* R, *Ἀριστοτέλης δὲ γεγραίαν* V. cf. in *Ὠρωπός*. 3. *εὐρωπῆν* V. 4. *πρὸς τῇ θαλάσσῃ* A, *πρὸς θαλάττῃ* RV. 5. *ἀπὸ τοῦ Ταναγράς* V. an *ἀπὸ τοῦ Ταναγρεύς*? 6. *πέμπτῃ*] c. 57. 8. *τῷ* om. RV. *ποταμοῦ* V. *ἑβδόμῃ*] p. 310. 9. *ὡς*] *καὶ*? 11. *Τάναϊς*? 12. *Ἀκεσίτην* R. 13. *ἡλληνίσθαι* vel *ἡλλήνισται* M, *ἑλληνίσθαι* AV, *ἑλληνίσαι* R. 15. *Τάναϊς* et mox *Ταναΐτης* R. 16. prius *τὸ* om. R. ceterum verborum *τὸ ἐθνικὸν τὸ αὐτό* nullus sensus est, nisi etiam alteram Tanin in Thebaide sitam (Strabo 17 p. 813) a Stephano commemoratam statuas; itaque lacunam indicavi. nec dubium est quin etiam eius, quam *μεγάλην* vocat, situm accuratius indicaverit. de ea v. Strab. l. l. p. 802.

Τάνος, πόλις Κρήτης, ὡς Ἀρτεμίδωρος ἐν τετάρτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν Τάνιος.

Τάνταλος, ὄρος Λέσβου, ἀπὸ Ταντάλου. τὸ ἐθνικὸν Ταντάλιος ὡς Φαρσάλιος.

Ταξίανα, νῆσος περὶ τὸν Πηλώδη κόλπον τῆς Σουσιανῆς. τὸ ἐθνικὸν Ταξιανεύς ὡς Ἀδανεύς. ... ὀγδόῳ. τῷ τύπῳ τῆς χώρας Ταξιανηνός.

Τάξιλα, πόλις Ἰνδική. Στράβων ιε΄. τὸ ἐθνικὸν Ταξιλίτης τῷ τῆς χώρας τύπῳ καὶ Ταξιληνός, τῷ δὲ παρ' ἡμῖν Ταξιλεύς.

Τάοχοι, ἔθνος ἐνδοτέρω τοῦ Πόντου. καὶ ἡ χώρα οὕτω. τούτους τινὲς Τάους καλοῦσιν, ὡς Σοφαίνετος ἐν τῇ ἀναβάσει φησί.

Ταπόσειρις, πόλις Αἰγύπτου πλησίον Ἀλεξανδρείας. ὁ πολίτης Ταποσειρίτης.

Ταπροβάνη, νῆσος μεγίστη ἐν τῇ Ἰνδικῇ θαλάσσῃ. Ἀλέξανδρος ὁ καὶ Λύχνος

νῆσος τετράπλευρος, ἁλιστέφανος Ταπροβάνη,
θηρονόμος πέπληθεν ἐυρρίνων ἐλεφάντων.

ἢ πάλαι μὲν ἐκαλεῖτο *Σιμούνδου*, νῦν δὲ *Σαλική*, πλοῦ μῆκος. οὖσα ἑπτάκις που χιλίων σταδίων, πλάτος δὲ πεντακοσίων. τὰ αὐτὰ δὲ καὶ Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων.

Τάπυρροι, οὐ πόρρω Ὑρκανίας ἔθνος. Κουάδρατος *Τάπουρρα* φησί. τὸ ἐθνικὸν Ταπουρραῖοι.

Τάρανδρος, χῶρος Φρυγίας. τὸ ἐθνικὸν Ταράνδριος.

---

1. Τάνος] Eadem quae supra Ἰτανός, iudice H. sed vide Hoeck. Cret. vol. 1 p. 436. memorat Arcad. p. 63, 9: βαρύνεται Τάνος. 5. Πηλιώδη R. 5. 6. Σουσιανῆς P, Σουσίας νήσου ARV. 6. ὡς om. R. ὀγδόῳ add. RV, quod lacuna indicata recepi. excidit scriptoris nomen. 7. Ταξιανηνός B, Ταξιανὴ νῆσος libri. 8. ιε΄ (p. 691. 698) RV, πεντεκαιδεκάτῃ A. 14. Ταφόσιρις infra. 19. θηρονόμων libri, correctum ex Eustath. ad Dion. 593. cf. Anall. Alex. p. 375. et Lobeck. Pathol. p. 518. εὐρίνων ante X. 22. δὲ om. V. γεωγραφοῦσι R. 23. Τάπυροι H. 25. χῶρος PpRV, χώρα A.

Τάρας, πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος παρὰ θάλασσαν. ἀρσενικῶς δὲ κατ' ἀναλογίαν· οὐδὲν γὰρ εἰς ρας θηλυκὸν εὑρίσκεται· τοῦτο δ' εὕρηται καὶ θηλυκῶς. ὁ πολίτης Ταραντῖνος. καὶ ἀνεγράφησαν οὕτω πολλοὶ χρηματίζοντες, μάλιστα Πυθαγόρειοι, καὶ Ἀριστόξενος μουσικός, Ἀριστοτέλους γνώριμος. καὶ Ῥίνθων Ταραντῖνος, φλύαξ, τὰ τραγικὰ μεταρρυθμίζων ἐς τὸ γελοῖον· φέρονται δ' αὐτοῦ δράματα λή. καὶ Ἴκκος ὁ Ταραντῖνος ἰατρὸς ἐπὶ τῆς οζ' ὀλυμπιάδος· μέμνηται τούτου καὶ Πλάτων ἐν Πρωταγόρᾳ. τὸ θηλυκὸν Ταραντίνη, καὶ Ταραντῖνον οὐδετέρως. καὶ ταραντινίζειν τὸ τὴν ἐνόπλιον καὶ εἰς τὰς μάχας χρήσιμον ἱππασίαν ποιεῖσθαι. ἔστι δὲ καὶ *Τάραντος* ἀρσενικῶς λεγομένη πόλις Βιθυνίας, ἔνθα τιμᾶται Ταραντᾶιος Ζεύς, ὡς Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν. εὕρηται καὶ διὰ τοῦ δ *Δάρανδος*.

Ταριχέαι πόλεις πολλαί, αἱ μὲν Μενδήσιαι αἱ δὲ Σηνικαὶ αἱ δὲ Κανωβικαί. οἱ πολῖται ταριχευταί. παρὰ τὸ ταριχεύω. καὶ ὤφειλε διὰ διφθόγγου. ἔστι καὶ *Ταριχέα* καὶ ἑνικῶς καὶ πληθυντικῶς λεγομένη πόλις τῆς Ἰουδαίας, ὡς Ἰώσηπος. τὸ ἐθνικὸν Ταριχεάτης. καὶ ταριχεία τὸ πρᾶγμα παρὰ τὸ ταριχεύω.

Ταρκυνία, πόλις Τυρρηνίδος, ἀπὸ Τάρκωνος. τὸ ἐθνικὸν Ταρκύνιος ἢ καὶ Ταρκυνιεύς, ὡς Δουλιχιεύς καὶ Βουπρασιεύς, ποτὲ δὲ καὶ Ταρκυνῖται. εἰσὶ καὶ *Ταρκυναῖοι* ἔθνος Ὑπερβορέων, παρ' οἷς οἱ γρῦπες τὸν χρυσὸν φυλάσσουσιν, ὡς Ἱεροκλῆς ἐν τοῖς φιλίστορσιν.

---

1. *περὶ* R. 3. *θηλυκῶς*] Vide Dionys. Per. 377. 6. *Τεραντῖνος* V. 7. *μεταρυθμίζων* R. *λή* RV, *τριακονταοκτώ* A. 8. *καὶ* RV, *ὁ* A. *οζ'* RV, *ἑβδομηκοστῆς ἑβδόμης* A. 9. *Πρωταγόρᾳ*] p. 285. *θηλυκὸν* R, *ἐθνικὸν* A. 13. *ἐν* add. R. 15. *Ταριχίαι* R. 15. 16. *Σκηνικαὶ* operarum errore X. cf. ad *Σῆνος*. 17. *ἔστι γὰρ καὶ* R. 19. *Ἰώσηπος*] B. I. 3, 17. multisque aliis locis, ubi constanter *Ταριχέαι* apellatur. semel *Ταριχέα* de Vita sua p. 37. 22. *καὶ* add. R. *Ταρκυνιεύς* Salmasius, *Ταρκυνεύς* libri. 22. 23. *Βουπρεσιεύς* RV. 23. *Ταρκυνιῆται* R. *Ταρκυναῖοι*] V. Niebuhr. Hist. rom. 1 p. 84.

Τάρνη, πόλις Ἀχαΐας. ὁ οἰκήτωρ Τάρνιος. καὶ Τάρνια ἔργα.

Τάρπη, πόλις Ἰταλίας. καὶ Ταρπαῖον ὄρος. καὶ ἐθνικὸν Ταρπαῖος ὡς Ῥωμαῖος. τριγενές.

Τάρρα, πόλις Λυδίας. [ἀφ' ἧς Λεύκιος ὁ γραμματικός.] ἑτέρα Κρήτης, ἐν ᾗ Ταρραῖος Ἀπόλλων τιμᾶται. ἔστι καὶ ἄλλη πόλις Τάρρα παρὰ τὸν Καύκασον, Κρητῶν ἄποικος. Λούκιος δ' ἦν ἀπὸ Τάρρας τῆς Κρητικῆς πόλεως· φέρεται δὲ τούτου τὰ περὶ παροιμιῶν τρία βιβλία ἄριστα καὶ περὶ γραμμάτων καὶ τεχνικὰ γλαφυρώτατα. τὸ θηλυκὸν ἐπὶ τῆς χώρας Ταρραία.

Ταρρακῖνα, πόλις Ἰταλίας. Διονύσιος ιε' Ῥωμαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Ταρρακῖνος.

Ταρράκων, πόλις δυσμικωτέρα τῆς Ταρρακωνησίας χώρας. ὁ πολίτης Ταρρακωνήσιος. τὸ ἐθνικὸν Ταρρακωνίτης, ὡς Ἀσκάλων Ἀσκαλωνίτης καὶ Μάρων Μαρωνίτης καὶ Καύκων Καυκωνίτης.

Ταρραχίνη, πόλις Ἰταλίας. Φλέγων ὀλυμπιάδι ρπά. ὅτι παιδίον ἐκ δούλης γενόμενον τῇ ἐνάτῃ καὶ τεσσαρακοστῇ τῆς γενέσεως τὸν προσαγορεύσαντα ἀντιπροσαγορεῦσαι, ἐφ' οἷς τοὺς μάντεις προαγορεῦσαι ὄλεθρον. τὸ ἐθνικὸν Ταρραχῖνος.

Ταρσήιον, πόλις πρὸς ταῖς Ἡρακλείαις στήλαις. Πολύβιος τρίτῳ. τὸ ἐθνικὸν ἔδει Ταρσηίτης ἢ Ταρσηιώτης. νῦν δὲ κατὰ τὸ ἐπιχώριον Ταρσηῖνοι λέγονται.

---

1. *Τάρνη*] Eustath. ad Il. p. 270, 33: *τὰ δὲ σχόλια γράφουσιν — ὅτι ἦν καὶ Τάρνη τις πόλις Ἀχαΐας.* 5. *ἀφ' ἧς Λεύκιος ὁ γραμματικός* seclusi. 6. *Ἀπόλλων Ταρραῖος* RV. 8. *Τάρρης* libri. 10. *ἐθνικὸν* R. [*καὶ*] *ἐπὶ* X. 12. *Ταρρακηνά* libri. *ιε'* RV, *πεντεκαιδεκάτῳ* A. 13. *Ταρρακῖνος* H, *Ταρρακηνός* libri. 15. *Ταρρακονήσιος* RV. 18. *Ταρραχίνη*] Tota haec sectio non Stephano, ut equidem opinor, sed interpolatori debetur. *ρπά* RV, *ἑκατοστῇ ὀγδοηκοστῇ πρώτῃ* A. 20. *ὅτι τὸν προσαγορευθέντα* RV. *προαγορεῦσαι* X, *προσαγορεῦσαι* libri. 22. *Ταρσήιον*] Non diversam esse a Tartesso suspicatur B. at ex Polyb. 3, 24. in Libyca ora sitam fuisse conicias. 23. *τρίτῳ*] 24, 2. 24. *Ταρσήϊνοι* Salmasius, *Ταρσηνοί* A, *Ταρσῖνοι* RV.

Ταρσός, ἐπισημοτάτη πόλις Κιλικίας, ἣν διὰ τοῦ ε ἔλεγον **Τερσόν** παρὰ τὸ τερσανθῆναι, ὅ ἐστιν ἀναξηρανθῆναι. τῶν γὰρ ὑδάτων κατὰ τὴν πρώτην σύστασιν προχωρούντων εἰς τὸ νῦν πέλαγος φασὶν ἀναφανθῆναι πρῶτα τὰ Ταυρικὰ ὄρη. Διονύσιος δὲ ὁ Θρᾶξ ἐν τῷ περὶ Ῥόδου ἀπὸ τῆς τοῦ Βελλεροφόντου πτώσεως· μέρος γάρ τι τοῦ ποδὸς ταρσὸν καλεῖσθαι, τῆς ἐκείνου χωλείας ὑπόμνημα ποιουμένων τῶν ἀρχαίων. Ἀλέξανδρος δὲ ὁ πολυίστωρ διὰ τὸ τὸν Πήγασον ἵππον ἐκεῖ τὸν ταρσὸν κλάσαντα καὶ Βελλεροφόντην ἐν τῷ Ἀληΐῳ πεδίῳ πλανηθῆναι. ἄλλοι δέ φασι διὰ τὸ μετὰ τὸν κατακλυσμὸν τοὺς τόπους τούτους τῆς Κιλικίας πρώτους ἀναφανῆναι καὶ ἀναξηρανθῆναι, διὸ καὶ τὴν πόλιν **Τερσίαν** ὀνομασθῆναι. Ἐρατοσθένης δέ [φησι τὴν κλῆσιν τῇ πόλει εἶναι ἀπὸ Διὸς Τερσίου τοῖς ἐκεῖ καλουμένου. οἱ δέ φασι] **Τερσὸν** διὰ τὸ πρότερον τῶν καρπῶν χλωρῶν φθειρομένων ἐν τῷ παρακμάζειν τούτους πρώτους συναγαγόντας τερσᾶναι καὶ εἰς τὸν χειμῶνα ἀποθέσθαι τὴν τροφήν. ἐκ ταύτης ἐγένετο Ἑρμογένης ὁ τὴν ῥητορικὴν γεγραφώς. **Θαρσός** δὲ ἐκαλεῖτο καὶ Θαρσεῖς οἱ Κίλικες, ὡς Ἰώσηπος ἐν ἀρχαιολογίᾳ. ἐκαλεῖτο δὲ καὶ **Κρανία** ἀπὸ κρανίου. ἐκλήθη δὲ καὶ **Ἱερά**. ἐκλήθη δὲ καὶ **Ἀντιόχεια** ἀπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς. ἔστι δ' ἄποικος Ἀργείων, κτίσμα Σαρδαναπάλλου. ταύτην διαρρεῖ ποταμὸς Κύδνος μέσος, ψυχρός τε καὶ καθαρός. ὁ πολίτης Ταρσεύς ὡς Ἁλικαρνασσεύς. Ἐρατοσθένης δὲ καὶ Ταρσηνόν φησιν. ἔστι δὲ καὶ **Ταρσός** ἄλλη τῆς Βιθυνίας. τὸ ἐθνικὸν ταύτης Τάρσιος καὶ Ταρσία. Δημοσθένης ἐν δευτέρῳ

---

3. μετὰ? 4. πρῶτον R. 5. Θρὰξ Pr. cf. Lobeck. Paral. p. 541. 9. κλάσαι? 12. καὶ post διὸ om. R. 13. 14. φησι τὴν — οἱ δέ φασι add. H ex Eustathio ad Dion. 861. apud quem sequentia partim rectius scripta ita habentur: Τερσὸν τὰ πρῶτα διὰ τοῦ ε στοιχείου ὀνομασθῆναι τὴν πόλιν διὰ τὸ τοὺς ἐκεῖ πρώτους συναγαγόντας καρπὸν χλωρὸν τερσῆναι, ὅ ἐστι ξηρᾶναι, καὶ εἰς χειμῶνος ἀποθέσθαι τροφήν. 15. χλωρῶν add. PpRV. 17. τὴν om. RV. 19. ἀρχαιολογίᾳ] 1, 7. 22. Σαρδαναπύλου libri. 23. τε καὶ καθαρός om. R. 24. Ἀλικαρνασεύς V.

Βιθυνιακῶν Τάρσειαν διὰ τῆς ει διφθόγγου τὴν πόλιν οἶδε. τὸ ἐθνικὸν Τάρσειος. [ἔστι καὶ χωρίον Βιθυνίας Ταρσὸς λεγόμενον.] καὶ Τάρσα κώμη ἐπὶ τῷ Εὐφράτῃ, ὡς Κουάδρατος ἐν τρίτῳ Παρθικῶν „ἀπὸ δὲ Σαμοσάτων κατὰ ῥοῦν ἰόντι ὅσον σταδίους ἑκατὸν πεντήκοντα Τάρσα κώμη πολυάνθρωπος ᾠκεῖτο ἄνω τοῦ ποταμοῦ σταδίους πεντεκαίδεκα". τὸ ἐθνικὸν Ταρσηνός.

Τάρταρος. Κράτης τὸν ὑπὸ τοῖς πόλοις ἀέρα παχύν τε καὶ ψυχρόν τινα καὶ ἀφώτιστον, Ὅμηρος δὲ τόπον εἶναι συνέχοντα τοὺς περὶ Κρόνον καὶ ὑπὸ γῆν ὄντας. λέγεται δὲ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. ὁ οἰκήτωρ Ταρτάριος, καὶ διὰ τῆς ει διφθόγγου παρ' Εὐριπίδῃ ἐν Εὐρυσθεῖ σατυρικῷ. καὶ τὸ κωμικὸν Ταρταρίτης. λέγεται καὶ παρὰ τὸ ταράσσειν ταρταρίζειν τὸ ταράσσεσθαι.

Ταρτησσός, πόλις Ἰβηρίας, ἀπὸ ποταμοῦ τοῦ ἀπὸ τοῦ Ἀργυροῦ ὄρους ῥέοντος, ὅστις ποταμὸς καὶ κασσίτερον ἐν Ταρτησσῷ καταφέρει. τὸ ἐθνικὸν Ταρτήσσιος καὶ Ταρτησσία καὶ Ταρτησσίς. καὶ οὐδετέρως „Ταρτήσσιον ὄλβιον ἄστυ".

Τάρφαρα, οὐδετέρως, πόλις τῆς εὐδαίμονος Ἀραβίας. ὁ πολίτης Ταρφαρηνός, ὡς Ζόαρα Ζοαρηνός, Αὔαρα Αὐαρηνός, ὡς Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ.

Τάρφη, πόλις Λοκρῶν. Ὅμηρος „Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα". λέγουσι δ' αὐτὴν ἀπὸ τῆς περὶ Φαρύγας κρήνης. οἱ δὲ καὶ αὐτὴν καὶ τὸν τόπον διὰ τὴν τῆς ὕλης πυκνότητα· τὰ πυκνὰ γὰρ τάρφεα Ὅμηρος λέγει „βαθείης τάρφεσιν ὕλης". καὶ τὸ ἐθνικὸν Ταρφαῖος, ὡς Τύμφη Τυμφαῖος.

---

1. Θυνιακῶν V. 2. Τάρσιος R. ex artis regula debebat Ταρσεύς. nisi Τάρσειος ipse Demosthenes ausus est. 4. Σαμοσσατῶν R, Σαμοσατῶν AV. καὶ ταροῦ R. 8. πολλοῖς V. 9. Ὅμηρος] Il. 8, 479. 14. ταράσσων R. ταρταρύζειν V. 15. ἀπὸ τοῦ om. RV. 16. κασσίτηρον RV. 18. ὄλβιον om. R. 20. Ταρφηνός R. 21. ἐν om. R. 22. Ὅμηρος] Il. 2, 533. 23. παρὰ RV. 25. Ὅμηρος] Il. 5, 555. 26. καὶ om. RV. 26. 27. Στύμφη Στυμφαῖος ante H.

Ταρχία, πόλις Σικελική. Φίλιστος ἑβδόμῳ Σικελικῶν. τὸ ἐθνικὸν Ταρχιάτης, καὶ Ταρχιανός τῷ τύπῳ τῆς χώρας.

Ταρχώνιον, πόλις Τυρρηνίας, ἀπὸ Τηλέφου παιδὸς Τάρχωνος. ὁ πολίτης Ταρχωνῖνος, [ὡς Ὦρος ἐν β΄ περὶ ἐθνικῶν,] ὡς Ἀσσώριον Ἀσσωρῖνος, ἢ Ταρχωνιεύς ὡς Ἱππωνιεύς.

Ταῦα, πόλις Αἰγύπτου. ὁ πολίτης Ταυίτης, ὡς Ὦρος ἐν β΄ περὶ ἐθνικῶν.

Ταύακα, πόλις Σικελίας. Φίλιστος ὀγδόῳ. τὸ ἐθνικὸν Ταυακῖνος ὡς Ἐρυκῖνος.

Ταΰγετον, ὄρος τῆς Λακωνικῆς. Ὅμηρος „ἢ κατὰ Τηΰγετον περιμήκετον ἢ Ἐρύμανθον". λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς καὶ οὐδετέρως. ἀπὸ Τηϋγέτης τῆς μητρὸς Εὐρώτα. τὸ ἐθνικὸν Ταϋγέτιος.

Ταυλάντιοι, Ἰλλυρικὸν ἔθνος. Εὐφορίων δὲ μετὰ τοῦ ν̄ Ταυλαντίνους αὐτούς φησι. παρὰ τούτοις ἐκ μέλιτος οἶνον γίνεσθαί φησιν Ἀριστοτέλης ἐν θαυμασίοις. λέγεται καὶ οὐδετέρως Ταυλάντιον καὶ Ταυλαντίς θηλυκῶς.

Ταυρασία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ταυρασῖνος ὡς Πλακεντῖνος, καὶ Ταυρασιανός.

Ταυρική, νῆσος μεγάλη καὶ λίαν ἐπίσημος καὶ πολλὰ ἔχουσα ἔθνη καὶ περικλείουσα τῇ θέσει τὴν Μαιῶτιν λίμνην. ἧς οὐ πολὺ διεστῶσα ἡ Ἀλωπεκία ἐστὶ μικρά. τῇ δὲ Ταυρικῇ δύο παράκεινται νῆσοι, Φαναγόρα καὶ Ἑρμώνασσα. λέγεται δὲ Ὄσιριν ἐκεῖ ζεύξαντα βοῦς ἀρόσαι τὴν γῆν. διὰ οὖν τὸ ζεῦγος τοῦ ταύρου τὸ ἔθνος κληθῆναι. ὁ οἰκήτωρ

---

3. *Τηλέφου*] Vide schol. Lycophr. 1243. 4. *Ταρχώνιος* R. 4. 5. *ὡς Ὦρος ἐν β΄ περὶ ἐθνικῶν* add. R. videntur e sequentibus repetita esse, quam ob causam seclusi. 5. *ὡς* om. R. *Ταρχονιεύς* RV. *ὡς*] *ἢ* R. *Ἱππονιεύς* RV. 10. *Ὅμηρος*] Od. 6, 103. 16. *οἶνος* V. *θαυμασίοις*] c. 21. 18. *Ταυραν$^{\sigma}$ία* R, *Ταυρανία* AV. *Ταυραν$^{\sigma}$ῖνος* R, *Ταυρανῖνος* AV. 19. *Ταυρανιανός* libri. 20. *νῆσος* — 23. *Ἑρμώνασσα*] Haec non Stephani videntur esse verba, sed scriptoris alicuius quo usus est. 21. *τὴν λίμνην τὴν Μαιῶτιν* RV. 22. *οὐ* X, *τὸ* R, om. APpV. *Ἀλωπεκεία* AV, *Ἀλωπεκείας* R. 24. *δὲ*] *καὶ* R.

Ταυρικός ὡς Ἀττικός. τινὲς Τάναϊν, οἱ δὲ Ἀλωπεκίαν, οἱ δὲ Μαιῶτιν αὐτήν φασι.

Ταυρίσκοι, ἔθνος περὶ τὰ Ἄλπεια ὄρη. λέγονται καὶ Ταυρῖνοι, ὡς Πολύβιος τρίτῳ. Ἐρατοσθένης Τερίσκους αὐτούς φησι διὰ τοῦ ε, οἳ καὶ Ταῦροι λέγονται.

Ταυρόεις, πόλις Κελτική, Μασσαλιητῶν ἄποικος. [οἱ πολῖται Ταυροέντιοι.] Ἀρτεμίδωρος ἐν πρώτῳ γεωγραφουμένων φησὶν ὅτι ταυροφόρος ἦν ἡ ναῦς ἡ διακομίσασα τοὺς τὴν πόλιν κτίσαντας, οἳ ἀπορριφέντες ἀπὸ τοῦ στόλου τῶν Φωκαέων καὶ προσενεχθέντες αὐτόθι ἀπὸ τοῦ ἐπισήμου τῆς νεὼς τὴν πόλιν ὠνόμασαν. τὸ ἐθνικὸν Ταυροέντιοι.

Ταυρομένιον, πόλις Σικελίας. ὁ πολίτης Ταυρομενίτης καὶ Ταυρομένιος.

Ταυροπόλιον, ἐν Σάμῳ Ἀρτέμιδος ἱερόν. Στράβων ιδ'.

Ταυρόπολις, πόλις Καρίας. τὸ ἐθνικὸν Ταυροπολίτης.

Ταῦρος, ὄρος διὰ μέσης Ἀσίας διῆκον, διότι ταύρους οἱ παλαιοὶ πάντα ὅσα μεγάλα καὶ βίαια ἐπωνόμαζον. ἢ προτομῇ ταύρου τὰ πρὸς τῇ θαλάσσῃ αὐτοῦ ἀπείκασε. τὸ ἐθνικὸν Ταυριανός πλεονασμῷ τοῦ ι, ὡς Ζυγιανός.

Ταύχειρα, πόλις Λιβύης, θηλυκῶς, καὶ οὐδετέρως ὡς Στάγειρα. ἀπὸ Ταυχείρας τῆς Αὐτάνδρου θυγατρός. λέγεται

---

1. *Τάναϊν* BH, *Ταύναϊν* libri. *Ἀλωπέκειαν* libri. 3. *παρὰ* R. 4. *τρίτῳ*] c. 60, 8. 5. *Ταῦροι* Salmasius, *Τρῶοι* libri. vide, quem H affert, Cluverum de Vindel. c. 2. *ἐλέγοντο* R. 6. *Μασσαλιωτῶν* W, nescio quam ob causam. ceterum si vera sunt quae in sequentibus tradit Artemidorus, nescio an scribendum sit: *πόλις Κελτική Μασσαλιητῶν, [Φωκαέων] ἄποικος.* cf. Strabo 4 p. 184. 6.7. *οἱ πολῖται Ταυροέντιοι* abundant. 7. *Ἀρτεμίδωρος* Heynius ad Apollod. vol. 1 p. 432, *Ἀπολλόδωρος* libri. 9. *ἀπορριφέντες* Heynius explicat disiectos. malim *ἀπορρυέντες.* 11. *Ταυρῖνοι* V. 12. *Ταυρομένειον* R. 14. *ἐν Σάμῳ*] Imo in Icaria insula prope Samum. vide quem affert Strab. 14 p. 639. 17.18. *πρὸς τὸ μὴ* R. 18. *ἀπείκασαν?* an *ἀπείκασται?* 19. *τοῦ ᾱ* X. 21. *Στάγειρα* H, *Τάγειρα* libri. *Ταυχείρας* Salmasius, *Ταγείρας* libri.

δὲ νῦν Ἀρσινόη. ὁ πολίτης Ταυχείριος, καὶ Ταυχέριος καὶ Ταύχερος καὶ Ταυχερίτης. καὶ Ἀρσινοΐτης ἀπὸ τῆς Αἰγυπτίας.

Τάφος, πόλις Κεφαλληνίας, νῦν δὲ Ταφιοῦσσα. „ἔστι καὶ νῆσος ἀπὸ τριάκοντα σταδίων Ταφιὰς καλουμένη". καὶ ἑτέρα. οἱ πολῖται Τάφιοι. τῆς δὲ Ταφιούσσης Ταφιουσσαῖος, ὡς Σκοτουσσαῖος Πιθηκουσσαῖος.

Ταφόσιρις, πόλις Αἰγύπτου, ἐν ᾗ λέγεται Ὄσιρις τεθάφθαι.

Τάφραι, καὶ Τάφρη ἑνικῶς, χώρα ταφρευθεῖσα περὶ τὴν Μαιῶτιν λίμνην ὑπὸ δούλων ταῖς δεσποίναις συμμιγέντων κατὰ τὸν πολυχρόνιον πόλεμον τῶν Σκυθῶν, τῶν δεσποτῶν πολεμούντων τοῖς Θρᾳξὶν ἢ τοῖς ἐντὸς Ἴστρου, ὡς Καλλίστρατος ἐν τρίτῳ. ταύτην τὴν χώραν κατοικῆσαι Σατορχαίους. οἱ οἰκοῦντες Σατορχαῖοι.

Ταχεμψώ, νῆσος Αἰθιοπίας πρὸς τῇ Λιβύῃ. τὸ ἐθνικὸν Ταχεμψίτης τῷ τύπῳ τῆς χώρας.

Τεανόν, πόλις Ἰταλίας, ὡς Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν Τεανός.

Τέβερις, ποταμὸς Ἰταλίας, ἔνθα ἡ Ῥώμη καὶ ἡ τῶν Λατίνων ἐστὶ χώρα, ὡς Ἀπολλόδωρος.

Τεγέα, πόλις Ἀρκαδίας. „καὶ Τεγέην εἶχον καὶ Μαντινέην ἐρατεινήν" Ὅμηρος. καὶ Παυσανίας ἢ „Μαντινεὺς καὶ

---

1. *Ἀρσινόη* R, *Ἀρσινόν* PV, *Ἀρσινών* A. 2. *Ταύχερος*] An *Ταυχερία*? cf. Anall. Alex. p. 291. nisi praestat delere *καὶ Ταύχερος*. *Ἀρσινοΐτης* R, *Ἀρσινόντης* AV. 3. *Κεφαληνίας* RV. *Ταφίουσα* R, *Ταφίουσσα* AV. 3. 4. *ἔστι — καλουμένη*] Haec imperite ex nescio quo scriptore, cuius verba Stephanus integra attulerat, excerpta sunt et de eadem insula intelligenda, quam modo Cephalleniae civitatem appellavit. 5. *οἱ πολῖται* om. R. *Ταφιούσης Ταφιουσαῖος* R. 6. *κοτουσσαῖος* V. *Πιθηκουσαῖος* R, *Πιθηκουσσαῖος* AV. 7. *Ταπόσιρις* supra. *Ἴσιρις* R. 9. *Τάφρη*] *Τάφροι* RV. 10. *λίμνην* om. V. 11. *τῶν δεσποτῶν* om. R. 15. *Ταχομψώ* H. 16. *Ταχεμψίτης* a paronymo *Τάχεμψος*, ut *Βοῦτος* a *Βουτώ*. nisi scribendum *Ταχεμψοΐτης*. 18. *Τεανίτης*? an *Τεανῖνος*? 19. *πόλις* V. 21. 22. *Μαντινίην* libri. 22. *Ὅμηρος*] Il. 2, 607. *ἢ*] c. 3, 4.

Τεγεάτης καὶ Μαίναλος Τεγέαν κτίζουσι καὶ Μαντίνειαν". Λέπιδος δ' ἐν ἱστορίας ἐπιτομῆς πρώτῳ περὶ Λακεδαιμονίων οὕτω φησί „χρᾷ δ' αὐτοῖς ἡ Πυθία ἐπ' Ἀρκαδίᾳ ὧδε

Ἀρκαδίην μ' αἰτεῖς. μέγα μ' αἰτεῖς, οὔ τοι δώσω.
πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔ τι μεγαίρω.
δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι.

ἐχρῶντο δὲ καὶ πάλιν, καὶ ἀφικνεῖται αὐτοῖς τάδε

ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
καὶ τύπος ἀντίτυπος καὶ πῆμ' ἐπὶ πήματι κεῖται.
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα,
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάρροθος ἔσσῃ".

ἔστι καὶ Τεγέα ἐν Κρήτῃ ὑπὸ Ταλθυβίου κτισθεῖσα. ὁ πολίτης Τεγεάτης ὡς Ἐλεάτης, καὶ θηλυκὸν Τεγεᾶτις. ἦν δὲ καὶ μελοποιὸς Ἀνύτη Τεγεᾶτις. λέγεται καὶ Τεγεάς ὡς Ἰλιάς. ὀξύνεται. ὡς Σοφοκλῆς.

Τέγεστρα, οὐδετέρως, πόλις Ἰλλυρίας πρὸς τῇ Ἀχυληίᾳ, [ἀπὸ Τεγέστρου.] Ἀρτεμίδωρος δ' ἐν ἐπιτομῇ τῶν ἕνδεκα Τέργεστρον αὐτὴν καὶ κώμην οἶδεν „ἀπὸ Τεργέστρου κώμης καὶ τοῦ μυχοῦ ἐπὶ τὸν Ἀδρίαν στάδιοι ͵εκέ". ὁ πολίτης Τεγεστραῖος.

---

1. *Τεγεώτης* libri. *Μέναλος* ante X. 2. *Λέσπιδος* R. *ἱστορίαις* R. *ἐπιτομῇ* V. 5. *ἔασσιν* R. 6. *οἵ σ' ἀποκωλύσουσιν* RV, ut est apud Herod. 1, 65, *ἧς τ' ἄπο κωλύσουσιν* A. *οὔ τοι* R. 7. *ποσσὶ κρότον* libri, *ποσσίκροτον* Herodotus. 9. *Ἀρκαδίη* R. 10. *κρατερῆς* RV, *κρατερῶς* A. 12. *φυσίζωος* R. 13. *Τεγέης* R, *Τεγέαις* APpV. *ἔσσῃ* R, *ἔσῃ* AV. 16. *Ἀνύτη* Leopardus, *Αὐγὴ* libri: nam *Ἀκύτη*, quod ex Pp affertur, Salmasii coniecturam esse suspicor, quem non dubium est *Ἀνύτη* voluisse. nescio igitur an Stephanus scripserit: *ἦν δὲ καὶ μελοποιὸς Ἀνύτη* [*Τεγεᾶτις. καὶ Αὔγη*] *Τεγεᾶτις*. 16. 17. *Τεγεάς ὡς Ἰλιάς ὀξυτόνως, Σοφοκλῆς*? Sophoclis memoria spectat, opinor, ad Aleadas fabulam, in qua mater Telephi *Τεγεάς* dicebatur. 19. *ἀπὸ Τεγέστρου* om. libri, addidi ex Eustathio ad Dion. 382.

Τεγησσός, πόλις Κύπρου. Διονύσιος ἐν Βασσαρικῶν τρίτῳ. τὸ ἐθνικὸν Τεγήσσιος καὶ Τεγησσεύς.

Τεγύρα, πόλις Βοιωτίας, ἐν ᾗ Ἀπόλλωνά φασι γεννηθῆναι. Σῆμος δ' ὁ Δήλιος „τὴν Ἀπόλλωνος γένεσιν οἱ μὲν ἐν Λυκίᾳ, οἱ δ' ἐν Δήλῳ, οἱ δ' ἐν Ζωστῆρι τῆς Ἀττικῆς, οἱ δὲ ἐν Τεγύρᾳ τῆς Βοιωτίας φασίν". ὅθεν καὶ Τεγυρήιος Ἀπόλλων. Καλλισθένης ἐν τρίτῳ τῶν Ἑλληνικῶν εἶναι μαντεῖά φησι „τὸ μὲν Ἰσμήνιον ἐν Θήβαις, τὸ δὲ Τροφώνιον ἐν Λεβαδείᾳ, τὸ δὲ ἐν Ἄβαις λεγόμενον ἐν Φωκεῦσι, τὸ δὲ κυριώτερον ἐν Δελφοῖς, ὅ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ". τὸ ἐθνικὸν Τεγυρεύς. καὶ Τεγύρειος, καὶ ἰωνικῶς Τεγυρήιος.

Τεῖρια, πόλις Λευκοσύρων. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Τειριεύς ὡς Στειριεύς.

Τειχιόεις, φρούριον πλησίον τῆς Τραχῖνος. τὸ ἐθνικὸν Τειχιοέντιος, ὡς Ταυρόεις Ταυροέντιος.

Τειχιόεσσα, πόλις Μιλησίας. τὸ ἐθνικὸν Τειχιόεις καὶ θηλυκὸν Τειχιόεσσα.

Τεῖχος, φρούριον Ἀχαΐας. ὁ οἰκήτωρ Τειχίτης, ὡς τοῦ Γορδίου τείχους Γορδιοτειχίτης.

Τέκμων, πόλις Θεσπρωτῶν. ὁ πολίτης Τεκμώνιος.

Τεκτόσαξ, ὡς Ἄτραξ Ἄσφαξ, βαρυτόνως. Τεκτόσαγες, ἔθνος Γαλατικόν. εὕρηται καὶ **Τεκτοσάγης** εὐθεῖα καὶ Τεκτο-

---

8. *Τροφωνίου?* 9. *Λεβαδείᾳ* RV, *Λεβαδίᾳ* X, *Λεβίᾳ* A. 9. 10. *κυριώτατον?* 11. *ἐθνικὸν* V, si recte varietatem indicavit B, *κτητικὸν* AR. *Τεγύρειος* B, *Τεγύριος* libri. ante *Τεγύρειος* excidit fortasse *κτητικόν*. 14. *ὡς*] *καὶ* RV. 15. *Τραχῖνος* X, *Τραχίνης* AV, *Τρηχίνης* R. scribendum videtur *Τρηχινίης* sive *Τρηχῖνος*. suspicor enim Hecataei haec verba esse. 16. 17. *Τειχιοέντιος — Μιλησίας* add. RV. 17. *πόλις*] Imo *κώμη* teste Archestrato apud Athen. 7 p. 320 a. ex quo loco situs vici intelligitur. *Τειχιοῦς* appellatur Athen. 8 p. 351 a. cll. 7 p. 325 d. *Τειχιόεις* X, *Τειχιοεύς* AR, *Τειχιονεύς* V. exspectabam *Τειχιοέσσιος*, et *Τειχιοεσσία* pro *Τειχιόεσσα*. 21. *Τεκτώνιος* R. 22. *βαρυτόνως* add. RV. cf. ad p. 140, 22. 23. prius *καὶ* add. R.

σάγαι· ὡς γὰρ Καππάδοκος Καππαδόκης, οὕτω Τεκτόσαγος Τεκτοσάγης.

Τελαμών, πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Τελαμώνιος ὡς Καλυδώνιος.

Τελάνη, πόλις ἀρχαιοτάτη Συρίας, ἣν ᾤκει Νίνος πρὸ τῆς Νίνου κτίσεως. τὸ ἐθνικὸν Τελαναῖος καὶ ἐπιχωρίως Τελανηνός.

Τελέθριον, ὄρος τῆς ἐν Εὐβοίᾳ Οἰχαλίας. Στράβων δεκάτῃ. οἱ οἰκήτορες Τελεθριεῖς ὡς Σουνιεῖς.

Τέλμερα, πόλις Καρίας. τὸ ἐθνικὸν Τελμερεύς. Τερμίλην δ' ἑξῆς παραθήσομαι, ἑτέραν ἔχουσαν γραφήν, τὴν αὐτὴν οὖσαν ὡς οἶμαι.

Τελμησσός, πόλις Καρίας, ὡς δὲ Φίλων καὶ Στράβων, Λυκίας. ἔστι γὰρ ἀμφοτέρων ὅριον μετὰ Δαίδαλα. ὁ πολίτης Τελμησσεύς. καὶ δρᾶμα Ἀριστοφάνους Τελμησσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμησσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ „πῶς ἂν

---

1. *Καππάδοκος* et *Τεκτόσαγος* RV, *Καππάδοξ* et *Τεκτόσαξ* A. 8. *Οἰχαλίας*] Oechalia vetustum Chalcidis nomen fuisse creditur, Telethrius autem mons in Histiaeotide situs erat. fortasse igitur *Ἐλλοπίας* scribendum est, quo ducit etiam Strabonis quem affert locus 10 p. 445: *Ἐλλοπίαν κτίσαι λέγεται χωρίον ἐν τῇ Ὠρείᾳ καλουμένῃ τῆς Ἱστιαιώτιδος πρὸς τῷ Τελεθρίῳ ὄρει.* 10. 11. *Τερμίλην*] *Τερμέραν* H. an *Τρεμίλην*? hanc enim infra memorat. 11. *ἔχουσι* ante X. 13. *Τελμισσός* libri et hic et in sequentibus constanter, quam formam probasse videtur Herodianus, nisi fallit Arcad. p. 77, 13. genuina scriptura est *Τελμησσός*, eamque etiam Stephanum secutum esse vel ex eo intelligitur, quod *Τελμήσσιος* comparat cum *Λυρνήσσιος*. ceterum hunc articulum multo olim fuisse locupletiorem ex iis apparet quae scripsit noster s. v. *Γαλεῶται*, ubi quae in fine sectionis importuno loco leguntur, *φασὶ δὲ — ἱερόν*, ex hoc ipso loco in illum translata esse scita est observatio Vngeri Elect. crit. p. 16. quam supra commemorare neglexi. *καὶ* X, *ἢ* libri. an: *ὡς Φίλων, ἢ ὡς Στράβων Λυκίας*? *Στράβων*] 14 p. 665. 14. *ἀμφοτέρων* X, *ἀμφότερα* libri. 16. *τετρασύλλαβον* R. *αὐτὸς ἐν αὐτῷ* pro *ὁ αὐτὸς ἐν τῷ αὐτῷ* dixit non quidem Stephanus, at epitomator eius etiam s. v. *Χρυσαορίς* aliisque locis. *πῶς* M, *ὡς* libri.

τις ἂν οὖν, ἢ τί ποιήσας, ὦ Τελεμησσῆς;" καὶ πάλιν „φέρε δὴ τοίνυν, ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ Τελεμησσῆς". ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος. τὸ θηλυκὸν Τελμησσίς ὡς βασιλίς. καὶ Τελμήσσιος ὡς Λυρνήσσιος, καὶ θηλυκὸν Τελμησσιάς, ὡς τοῦ Ἑλικώνιος τὸ Ἑλικωνιάς. ἔστι καὶ ἄκρα Λυκίας οὕτω λεγομένη Τελμησσιάς, ὡς Ἀρτεμίδωρος ἐν δεκάτῳ γεωγραφουμένων.

Τέλφουσα, πόλις Ἀρκαδίας, ἀπὸ νύμφης λεγομένης Τελφούσης, θυγατρὸς Λάδωνος. ὁ οἰκήτωρ Τελφούσιος. τὸ θηλυκὸν Τελφουσία. Λυκόφρων „δίκης ἐάσει τάρροθος Τελφουσία". ἔστι καὶ Βοιωτίας Τελφούσιον. Στράβων ἐνάτῃ. Ἔφορος δὲ Τιλφωσαῖον ὄρος ἐν Ἀλαλκομενίᾳ. „Πίνδαρος

---

1. ἢ τί M, ἦτι V, ἤτι R, ὅτι A. ὦ Τελεμησσεῖς Bergkius, ὡς Τελεμισσεῖς RV, ὡς Τελμισσεῖς A. ante haec excidit aliquid e. c. πείσειεν ἄν. nisi forte versus ita scribendus est: πῶς ἄν τις ἂν οὖν [ταῦτ' εἰδεί]η; τί ποιήσας; ὦ Τελεμησσῆς. quadrisyllabae huius nominis formae exempla habentur etiam in Catal. trib. no. 79. ubi est ΤΕΛΕΜΗΣ ... et no. 132. ubi ΤΕΛΕΜΗΣΣΙΟΙ. non igitur metri causa ab Aristophane inventa est. 2. Τελμισσεῖς A, Τελμισσεῖς RV. 3. καταληκτόν V. 6. Λυρνήσιος R. 7. Ἑλικών R. 8. Τελμισιάς R. 10. Τέλφουσσα libri. aut Τέλφουσα aut Τελφοῦσσα scribendum erat. Θάλπουσα eadem dicitur supra p. 306, 5. Θέλπουσα Pausan. 8, 25, 3. Τιλφωσαῖος a Τίλφωσα dixit Callim. apud Tzetz. ad Lyc. 153: τὴν μὲν ὅ γ' ἐσπέρμηνεν Ἐρινύϊ Τιλφωσαίῃ, ubi Bentleius sine causa Τελφουσσαίῃ scripsit. Τιλφῶσσα Ἐρινύς est apud schol. Soph. Ant. 127. et fons Τιλφῶσσα apud Athen. 2 p. 41 e. Τιλφωσσαῖον fuit etiam Thessaliae locus, infra nostro memoratus, si lectio sana est. similiter variant Κήλουσα (Κηλοῦσσα) et Κήλωσα (Κηλῶσσα), quod nymphae montisque nomen est in Sicyonia, quorum illud legitur apud Xenoph. Hell. 4, 7, 7. et pro Κήγλουσα reddendum est Pausan. 2, 12, 5. Κηλῶσσα autem apud Strab. 8 p. 382. 11. Τελφούσης simplici σ et hic et in sequentibus R, Τελφούσσης AV. 12. Λυκόφρων] vs. 1040. 13. Τελφούσιον R, Τελφούσσιον AV. ἐνάτῃ] p. 410. ubi codd. fluctuant inter Τιλφώσιον et Τιλφούσιον. 14. Τιλφωσαῖον M, Τιλφωσέων libri. τὸ Τιλφωσαῖον est apud Demosth. F. L. p. 374

δὲ καὶ Κηφισίδα καλεῖ ταύτην". ἔστι καὶ Βοιωτίας **Τίλφωσα** *κρήνη καὶ ὄρος, ἀπὸ Τιλφούσης. Ἡρωδιανὸς δὲ* **Τιλφῶσσα** *φησίν.*

Τελχίς, *πόλις Αἰθιοπίας πρὸς τῇ Λιβύῃ. τὸ ἐθνικὸν τῷ μὲν ἔθει τῆς χώρας Τελχίτης, τῷ δὲ κοινῷ χαρακτῆρι Τελχίνιος, ἀπὸ τῆς γενικῆς, ἐπειδὴ καὶ ἡ Κρήτη* **Τελχινία** *ἐλέγετο καὶ οἱ Κρῆτες Τελχῖνες. λέγονται καὶ τελχῖνες θηλυκῶς αἱ ὑπὸ πληγῆς εἰς θάνατον καταφοραί.* **Τελχινία** *δὲ καὶ ἡ Σικυὼν ἐκαλεῖτο. καὶ τὸ ἐθνικὸν Τελχίνιος.*

Τέμβριον, *πόλις Φρυγίας. Χάραξ δὲ* **Τύμβριον** *αὐτήν φησι. Μένανδρος δὲ* **Τεμβρίειον** *φησὶν ὡς Γορδίειον. τὸ ἐθνικὸν Τεμβριεύς.*

Τέμβρος, *πόλις Κύπρου, ἐν ᾗ τετίμηται Ὑλάτης Ἀπόλλων. τὸ ἐθνικὸν Τέμβριος.*

Τεμένεια, *πόλις Φρυγίας πρὸς τῇ Λυκαονίᾳ. τὸ ἐθνικὸν Τεμενεύς.*

Τέμενος, *τόπος Σικελίας ὑπὸ τὰς Ἐπιπολὰς πρὸς ταῖς Συρακούσαις. ὁ οἰκήτωρ Τεμενίτης καὶ θηλυκῶς διὰ τοῦ ῑ. ἔστι καὶ* **Τεμενίτης** *λόφος ἐν τῇ Θρᾴκῃ πρὸς τῇ Τριβαλλῶν.*

Bekk. an *Ἀλαλκομενίῳ*? sed *Ἀλαλκομενία* est etiam infra s. v. *Ὕαντες*. sequentia Strabonis l. l. p. 411 verba sunt de lacu Copaide, quem Pindarum Cephisida appellasse dicit; ex quo intelligitur Stephanum totum Strabonis locum apposuisse, epitomatores autem omnia mirum in modum turbasse. *Πίνδαρος*] Vide Schneidewini Philol. 1 p. 425. 1. *Κηφισίδα* RV, *Κηφησίδα* A. *Τίλφωσα* M, *Τίλφωσσα* libri. 2. *ὄρος* [*Τιλφώσιον*] *ἀπὸ*? *Τιλφούσης*] *Τιλφούσσης* W. malim *Τιλφώσης*. 2. 3. *Τίλφωσσα* libri. 4. *τὸ* om. R. 7. alterum *καὶ* om. R. 11. *Ἀλέξανδρος*? *φησὶν* om. R. *Γορδίειον* B, *Γόρδιον* R, *Γόρδειον* V, *Γόρδειαν* A. 13. *Τέμβρος*] Memorat Nonnus Dion. 13, 445. qui ut solet Dionysii Bassarica secutus est. ex Dionysio cognitam habuit Stephanus, qui eundem etiam in ceteris Asiaticis civitatibus, ab uno Nonno memoratis, auctorem secutus esse videtur. *Ἡλιάτης* X, operarum vitio. 14. *τὸ* om. R. 15. *Τεμένεια*] Memorat Nonnus 13, 513. vide ad *Τέμβρος*. 17. *Ἐπιπολλὰς* V. 18. *Συρακόσσαις* RV. 19. *Τριβαλλῶν* M, *Τριβαλλῷ* libri.

Τεμέση, πόλις Ἰταλίας. Ὅμηρος „ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον". ὁ πολίτης Τεμεσαῖος.

Τέμμιξ, ἔθνος πρῶτον οἰκῆσαν ἐν Βοιωτίᾳ. Λυκόφρων „Ἄρης παλαιᾶς γέννα, Τεμμίκων πρόμοι". τὸ θηλυκὸν Τεμμικία παρὰ τῷ αὐτῷ „ὃν Βομβύλεια κλιτὺς ἡ Τεμμικία". καὶ θηλυκῶς Τεμμικίς. καὶ Τεμμίκειος τὸ κτητικόν· Μενέλαος δὲ διὰ τοῦ ῑ „Τεμμίκιον ἄστυ" ἐν πρώτῳ Θηβαΐδος φησίν.

Τένδηβα, πόλις Καρίας ἀρχαία. τὸ ἐθνικὸν Τενδηβεύς.

Τενέα, κώμη Κορίνθου, ἀπὸ Τένου τοῦ Κύκνου. κεῖται μεταξὺ Κορίνθου καὶ Μυκηνῶν. τὸ ἐθνικὸν Τενεάτης. λέγεται καὶ Τενέα ἡ χώρα.

Τενέβριον, ἀκρωτήριον, καὶ κώμη *Τενεβρία* Ἰβηρίας. ὁ κωμήτης Τενεβριανός, ὡς Πολτυμβριανός Μεσημβριανός.

Τένεδος, νῆσος τῶν Σποράδων, ὡς Ἑκαταῖος, ἐν Ἑλλησπόντῳ. ἀπὸ Τένου καὶ Ἀμφιθέας ἢ Ἡμιθέας, τῶν Κύκνου παίδων, οἱονεὶ Τενούεδος. ἐκαλεῖτο δὲ *Λεύκοφρυς*. ὁ πολίτης Τενέδιος, ὡς Ἀράδιος Ῥόδιος. ἔστι καὶ πόλις *Τένεδος* πρὸς τῇ Λυκίᾳ. Ἀπολλόδωρος δὲ Παμφυλίας αὐτὴν εἶναί φησι. καὶ παροιμία „Τενέδιος αὐλητής" ἐπὶ τῶν τὰ ψευδῆ μαρτυρούντων. τὸν γὰρ αὐλητὴν ἡ Φυλονόμη πρὸς Κύκνον ἤγαγε, μαρτυροῦντα ὅτι Τένης αὐτὴν ἤθελε βιάσασθαι. ἔστι καὶ ἑτέρα παροιμία „Τενέδιος πέλεκυς" ἐπὶ τῶν ἤτοι πικρῶς ἢ καὶ μᾶλλον συντόμως ἀποκοπτόντων τὰ ζητήματα καὶ τὰ

---

1. *Τεμέσση* R. Ὅμηρος] Od. 1, 184. 2. *Χαλκίδ'* R. 3. *Λυκόφρων*] vs. 644. 4. *Ἀρῆς* AV. *Τεμικῶν* R. 5. *τῷ αὐτῷ*] vs. 786. 6. *καὶ Τεμμίκιος* R. 7. *φησίν* add. R. 8. *Τένβηδα* R. *ἀρχαία* om. R. 9. *Τένου* R, *Τέννου* AV. 10. *Μυκηνῶν* M, *Μηκύνων* R, *Μυκήνης* AV. 13. *κωμίτης* R. *ὡς* om. R. *Ποτιμβριανός* R. 14. 15. *ἐν Ἑλλησπόντῳ*] Cf. schol. Il. *ν'*, 33: *Τένεδος κεῖται μέση τριῶν πελαγῶν, Αἰγαίου Ἑλλησπόντου καὶ μέλανος κόλπου, διὸ καὶ Τρίοδος ὑπ' ἐνίων καλεῖται.* 16. *Τενούεδος* R, *Τεννούεδος* AV. 17. *Ἀράδιος* RV, *Ἀρκάδιος* A. 18. *πρὸς τῇ Λυκίᾳ*] Apud schol. Pindari Nem. 11 argum. p. 510: *Τένεδος δέ ἐστι καὶ τῆς Λιβύης καὶ τῆς Τροίας*, fortasse *Λυκίας* scribendum. 20. *Φυλονόμη* RV, *Φιλονόμη* A. 21. *Τένης* R, *Τέννης* AV.

ἄλλα πράγματα. καί φησιν Ἀριστείδης καὶ ἄλλοι τὸν ἐν Τενέδῳ Ἀπόλλωνα πέλεκυν κρατεῖν διὰ τὰ συμβάντα τοῖς περὶ Τένην. ἢ μᾶλλον, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Τενεδίων πολιτείᾳ, ὅτι βασιλεύς τις ἐν Τενέδῳ νόμον ἔθηκε, τὸν καταλαμβάνοντα μοιχοὺς ἀναιρεῖν πελέκει ἀμφοτέρους. ἐπειδὴ δὲ συνέβη τὸν υἱὸν αὐτοῦ καταληφθῆναι μοιχόν, ἐκύρωσε καὶ περὶ τοῦ ἰδίου παιδὸς τηρηθῆναι τὸν νόμον, καὶ ἀναιρεθέντος εἰς παροιμίαν περιῆλθε τὸ πρᾶγμα ἐπὶ τῶν ὠμῶς πραττομένων. διὰ τοῦτό φησι καὶ ἐπὶ τοῦ νομίσματος τῶν Τενεδίων κεχαράχθαι ἐν μὲν τῷ ἑτέρῳ μέρει πέλεκυν ἐπὶ δὲ τοῦ ἑτέρου δύο κεφαλὰς εἰς ὑπόμνησιν τοῦ περὶ τὸν παῖδα παθήματος. ἔστι καὶ ἄλλη παροιμία „Τενέδιος ξυνήγορος" ὁ ἀπότομος καὶ σκληρός. Ἀπολλόδωρος δὲ ἐν νεῶν καταλόγῳ φησὶν ὅτι τοὺς μὲν τῆς Παμφυλίας Τενεδεῖς, τοὺς δὲ τῆς νήσου Τενεδίους. καὶ θηλυκῶς Τενεδία.

Τέντυρις, πόλις Αἰγύπτου καθαρτικὴ τῶν κροκοδείλων. ὁ πολίτης Τεντυρίτης. λέγεται καὶ Τέντυρα ἡ πόλις, ὡς Ἀλέξανδρος ἐν τρίτῳ Αἰγυπτιακῶν.

Τεράψη, νῆσος πρὸς Καρχηδόνα οὐ μεγάλη. τὸ ἐθνικὸν Τεραψαῖος.

Τερβητία, πόλις Σικελίας. οἱ πολῖται Τερβητῖνοι, ὡς Πλακεντῖνοι ἀπὸ Πλακεντίας. Φλέγων ἐν Ὀλυμπιάδων ιε΄.

Τέργις, πόλις ἐν Λιβύῃ πρὸς τῇ Αἰθιοπίᾳ. τὸ ἐθνι-

---

1. τὸν Salmasius, τῶν libri. 2. περὶ om. V. 3. Τέννην libri. 6. ἐκύρωσε δὲ καὶ RV. 7. τηρηθῆναι τὸν νόμον om. R. 8. περιῆλθε M, πραρῆλθε R, ἐλθεῖν A, εἶλθε V. cf. ad p. 250, 4. 9. διὰ τό φησι R. νομίσματος] V. Eckhel D. N. 2, 1488. 10. χαράχθαι V. 14. Τενεδεῖς] Vide p. 10, 8. 16. Τέντυρις V, Τεντυρίς AR. καθαιρητικὴ H. voluit καθαιρετική. forsan φθαρτική. de Tentyritis v. Strab. 17 p. 814: οὗτοι πάντα τρόπον ἀνιχνεύουσι (τοὺς κροκοδείλους) καὶ διαφθείρουσιν αὐτούς. Plin. NH. 8, 25, 38: quin et gens hominum est huic belluae adversa in ipso Nilo Tentyritae. cf. Sext. Emp. Hypotyp. p. 20, 1: οἱ Τεντυρῖται τῶν Αἰγυπτίων οὐ βλάπτονται ἄνω κάτω τῶν κροκοδείλων. κροκοδύλων R.

κὸν Τεργίτης, ὡς τῆς Λέπτις Λεπτίτης. [οὕτως καὶ ὁ φιλόσοφος Κορνοῦτος ἐχρημάτιζε Λεπτίτης.]

Τερηδών, πόλις ἐπὶ τῇ Ἐρυθρᾷ. τὸ ἐθνικὸν Τερηδόνιος, ὡς Ἀνθηδόνιος Καρχηδόνιος.

Τέρινα, πόλις Ἰταλίας καὶ ποταμὸς ὁμώνυμος, κτίσμα Κροτωνιατῶν, ὡς Φλέγων. ἐκαλεῖτο δὲ καὶ μεγάλη Ἑλλάς. ὡς Ἀπολλωνίδης ὁ Νικαεὺς ἐν τῷ περὶ παροιμιῶν. τινὲς δὲ νῆσον αὐτήν, εἰς ἣν ἐξεβράσθη Λίγεια ἡ Σειρήν, ὡς Λυκόφρων „Λίγεια δ' εἰς Τέριναν ἐκναυσθλώσεται". ὁ πολίτης Τεριναῖος.

Τέρμερα, πόλις Λυκίας, ἀπὸ Τερμέρου. ὁ πολίτης Τερμερεύς. Ἡρόδοτος δὲ Τερμίλας αὐτοὺς καλεῖ ἐν τῷ πρώτῳ. ὁ δὲ χρησμὸς ὁ περὶ αὐτῶν Τερμιλέας αὐτούς φησι.

Τερμησσός, πόλις Πισιδίας. ἔστι καὶ ἄλλη ταύτης

---

1. 2. οὕτως — Λεπτίτης add. PpRV. seclusi ut aliena ab h. l. 2. ἐχρημάτισε V. 3. Ἐρυθρᾷ M, Ἐρυθραίᾳ libri. Teredon in Babylonia sita erat ad mare rubrum. v. Strab. 2 p. 88 et 16 p. 765. Aelian. AH. 5, 14. et quem H affert Abydenum apud Euseb. PE. 9, 41. Ἐρυθράν omisso θάλασσαν dixit etiam Babrias fab. 115, 7. 6. μεγάλη Ἑλλάς] Id prorsus incredibile. Stephanus de inferiore parte Italiae, in qua sita erat Terina, locutus esse eamque magnam Graeciam appellari dixisse videtur. ac fortasse aut Scymnum Per. 303 sqq. adhibuerat: μεγάλη δ' ὕστερον Ἑλλὰς προσαγορευθεῖσα — ἑλληνικὰς γοῦν παραθαλαττίους ἔχει πόλεις, Τέριναν πρῶτον, ἣν ἀπῴκισαν Κροτωνιᾶται, aut quem Scymnus sequi solet Ephorum. Apollonides autem Terinam propter proverbium commemoraverat, quod servavit Zenobius 4, 35: θᾶττον ὁ τόκος Ἡρακλείτω τῶ Τεριναίω τρέχει, ut haec recte emendavit Finckhius. ceterum verba ὡς Φλέγων — Ἑλλάς om. V. 8. 9. Λυκόφρων] vs. 726, ubi Τέρειναν editur. Τέρινον R. 11. Τέρμερα] Τέρμερον dicit Philippus in libro de Caribus apud schol. Eurip. Rhes. 505: Τέρμερον καὶ Λύκον Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν. τοῦτον (leg. τούτων) δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὠνομάσθαι. 12. πρώτῳ] c. 173. 13. ὁ δὲ χρησμὸς — φησι om. R. αὐτὸν V. Τερμιλέας V, Τερμίλας R, Τερμελέας A, Τελμερέας H. 14. Τερμησσός R, Τερμισσός AV. illam veram scripturam esse docent numi. vid. Spanhem. P. N. vol. 1 p. 563 sqq. et Wessel. ad Diod. Sic. 18, 45.

ἄποικος καὶ αὐτὴ Πισιδίας, λεγομένη μικρά, ὡς ἡ προτέρα μείζων. τὸ ἐθνικὸν Τερμησσεύς.

Τετράπολις τῆς Ἀττικῆς, ἔχουσα δήμους καὶ πόλεις τέτταρας, Οἰνόην Προβάλινθον Τρικόρυνθον Μαραθῶνα. Ἀνδροτίων δὲ Τετραπόλιδός φησι διὰ τοῦ δ. αὕτη πρότερον ἐκαλεῖτο Ὑττηνία. οἱ οἰκήτορες Τετραπολεῖς καὶ Τετραπολῖται, ὡς Φαβωρῖνος ἐν πρώτῳ παντοδαπῆς ὕλης ἱστορικῆς.

Τετραχωρῖται, οἱ Βεσσοί, ὡς Στράβων ἑβδόμη. οὗτοι λέγονται καὶ Τετράκωμοι.

Τευθίς, πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν πατρωνυμικῶς Τευθίδης.

Τευθρανία, Μυσίας πόλις, ἀπὸ Τεύθραντος. ὁ Τεύθρας δὲ τὴν Αὔγην ἔγημε καὶ τὸν Τήλεφον ἐπαιδοποιήσατο. τὸ ἐθνικὸν Τευθράνιος, ὡς τῆς Παρρασίας Παρράσιος. λέγεται καὶ Τευθράντιος, Εὐριπίδης Λικυμνίῳ „Τευθράντιον δὲ σχῆμα Μυσίας χθονός", τὸ θηλυκὸν Τευθραντίς, ἀπὸ τῆς Τεύθραντος γενικῆς.

Τευκροί, ὀξυτόνως, οἱ Τρῶες, ἀπὸ Τεύκρου τοῦ Σκαμάνδρου καὶ Ἰδαίας νύμφης. λέγεται καὶ Τευκρὶς θηλυκῶς ἡ Τροία, καὶ Τεύκριον.

Τευμησσός, ὄρος Βοιωτίας. Ὅμηρος ἐν τῷ εἰς Ἀπόλλωνα ὕμνῳ „εἰς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην".

---

2. *Τευμησσεύς* ex corr. R, *Τευμισσεύς* AV. 4. *Τρικόρυθον* libri, quam scripturam unice probant H et Meursius. *Τρικόρυνθος* genuinam esse docet gentilicium *Τρικορύσιος* antepenultima producta apud Arist. Lys. 1031. compara *Προβάλινθος* et *Προβαλίσιος*, *Ὄλυνθος* et *Ὀλύσιος*, alia. apud Strab. 8 p. 383, quem noster transscripsit, editur *Τρικόρυθος*, at unus codex *Τρικόρινθος*. 6. *Τετραπολιεῖς*? ita a *πόλις* formatur *πολιεύς*. cf. s. v. *Ἀκρόπολις*. 8. *ἑβδόμη*] p. 318. ubi Tetrachoritarum memoria excidit. memorantur item a Polyaeno Strat. 4, 4, 1. praeterea apud Strabonem *Βέσσοι* editur, contra praeceptum Herodiani. v. Arcad. p. 76, 12. 12. *Τεύθραν* R. 13. *Αὐγὴν* libri. 14. *Παρρασίας* R, *Παρασίας* AV. *Παρράσιος* H, *Παράσιος* AR, *Παρασίου* V. 15. *Λικυμνίῳ* Salmasius, *Λικυμνίᾳ* AV, *Λημνίᾳ* R. 22. *ὕμνῳ*] vs. 224. *εἰς — λεχεποίην* libri post *Βιθυνιακῶν* habent. *Μυκαλισσὸν* V, *Μυκαλησὸν* AR.

ἄστυ, ὡς Δημοσθένης ἐν τρίτῳ Βιθυνιακῶν. ἐκλήθη δ' οὕτως, ὡς Ἀντίμαχος πρώτῳ Θηβαΐδος

οὕνεκά οἱ Κρονίδης, ὅσ[τε] μέγα πᾶσιν ἀνάσσει,
ἄντρον ἐνὶ σκηνῇ τευμήσατο, τόφρα κεν εἴη
Φοίνικος κούρη κεκυθμένα, ὄφρα ἑ μή τις
μηδὲ θεῶν ἄλλος γε παρὲξ φράσσαιτό κεν αὐτοῦ.

οἱ κατοικοῦντες Τευμήσσιοι, καὶ Τευμησσία ἡ ἀλώπηξ ἀπὸ τοῦ ὄρους, καὶ τὸ οὐδέτερον Τευμήσσιον. καὶ τὸ ἐκ τόπου Τευμησσόθεν, καὶ τὸ εἰς τόπον Τευμησσόνδε. Ἀντίμαχος ἐν πρώτῳ Θηβαΐδος.

Τεύτλουσα, νῆσος Ἰωνίας. Θουκυδίδης ή. τὸ ἐθνικὸν Τευτλουσαῖος ἢ Τευτλούσσιος.

Τεύωχις, πόλις Αἰγυπτία. ἔστι καὶ λίμνη ὁμώνυμος. ὁ πολίτης Τευωχίτης.

Τέως, πόλις Ἰωνίας. ἔστι δὲ μέση Ἰωνίας, ὡς Ἡρόδοτος ἐν πρώτῃ. ἣν πρῶτον ἔκτισεν Ἀθάμας, ὅθεν Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων. ἐκλήθη δὲ ἀπὸ τῆς Ἀθάμαντος θυγατρὸς Ἀρᾶς. σκοπουμένου γὰρ τοῦ Ἀθάμαντος ἔνθα ἱδρύ-

---

1. *ἄστυ*] Demosthenes dixisse videtur *Τευμήσσιον ἄστυ*, eoque spectat, opinor, quod infra dicit scriptor: *καὶ τὸ οὐδέτερον Τευμήσσιον*. 2. Antimachi versus cum reliqua huius tmematis parte om. V. 3. ὅστε vel ὅς δὴ Schellenbergius, ὅσπερ Hermannus, ὅς libri. *πᾶσιν* H, *πάντων* libri. 4. *ἐνὶ σκηνῇ* R, *ἐνὶ σκιῇ* AP^r, *ἐν ἐσχατιῇ* Hermannus. an *ἐνὶ στείνει?* 5. *κούρη* R, *κούρα* AP^r. *κεκυθμένα* R, *κεκευθμένα* AP^r, *κεκυθημένη* Hermannus. *ὄφρα ἑ μή τις* Hermannus, *ὅς ῥα ἓ μῆτις* R, *ὅς ῥα μητις* P^r, *ὅς ῥα .. μή τις* A, *ὢς ἄρα μῆτιν* Vngerus El. crit. p. 25. quem vide etiam Parad. Theb. p. 156. 6. *παρεφράσσαιτό κεν αὐτοῦ* P^r, *πάριξ φράσαι τό κεν αὐτοῦ* A, *πάρος ἒξ φράσαι τὸ* R, *παρὲξ αὐτοῦ γε φράσαιτο* Hermannus. 7. *Τευμήσιοι καὶ Τευμησία* libri. 8. *Τευμήσειον* libri. 8.9. *Τευμησόθεν* R. 11. *Τεύτλουσα* R, *Τεύτλουσσα* AV. *ἢ* R, om. A. locus est 8, 42 ubi *Τεύτλουσσα* editur, quod aut *Τεύτλουσα* aut *Τευτλοῦσσα* scribendum erat. qua de re supra dictum. 12. *Τευτλουσαῖος* R, *Τευτλουσσαῖος* AV. 13. *Τεύωχις*] Hoc tmema, quod libri post *Τέως* habent, huc transposuit X. 15. inter *Ἰωνίας* et *ἔστι* lacuna trium literarum R. 16. *ἐν* om. RV. *πρώτῃ*] c. 142. *πρῶτον* RV, *πρώτην* A, *πρότερον* H ex Strabone 14 p. 633. ex quo haec transscripta sunt.

σει τὸν λαόν, ἀθύρουσα οἷα δὴ παῖς ἐκ λίθων οἰκίαν δειμαμένη ἔλεγεν „ἕως σὺ χῶρον ἐσκόπεις, τέως ἐγὼ πόλιν σοι ἐδειμάμην". καὶ διὰ τοῦτο ἡ πόλις οὕτως ὠνομάσθη. τὸ ἐθνικὸν Τήιος. ἔστι γὰρ πρῶτον Τέιος καὶ Τεῖος καὶ ἰωνικῶς Τήιος. ἀφ' οὗ „Πρωταγόρας ὁ Τήιος". καὶ Σκυθῖνος ἰάμβων ποιητὴς Τήιος. καὶ θηλυκῶς Τηία. ἔστι καὶ ἑτέρα πόλις ἐν Δυρβαίοις τῆς Σκυθίας, ἐν ᾗ λέγουσι λίμνην ἰχθύων ἔχουσαν πλῆθος, ἀφ' ὧν εὐδίας γινομένης ἔλαιον ἐπιπολάζει τοσοῦτον, ὅσον ἀρύεσθαι αὐτὸ ταῖς χερσὶν εἰς σκάφος καὶ χρῆσθαι αὐτῷ.

Τήλανδρος, πόλις Καρίας. καὶ Τηλανδρία ἄκρα. Ἀλέξανδρος δ' ὁ πολυίστωρ οὐδετέρως τὴν πόλιν Τήλανδρον καλεῖ ἐν πρώτῳ Λυκιακῶν. καὶ Τηλάνδρειαν τὴν αὐτήν· τὸ ἐθνικὸν Τηλανδρεύς. τοῦ δὲ Τηλάνδρου Τηλάνδριος τὸ ἐθνικόν.

Τηλεβοΐς, μοῖρα τῆς Ἀκαρνανίας, ἀπὸ Τηλεβόου, ἣ πρότερον Ταφίων ἐκαλεῖτο. οἱ οἰκήτορες Τηλεβόαι. ἔστι καὶ Τηλεβόας ποταμὸς πρὸς ταῖς πηγαῖς τοῦ Τίγρητος.

Τηλέφιος δῆμος καὶ Τηλέφου κρήνη Λυκίας. Μέναιχμος γάρ φησιν ὅτι „ἀπὸ ἑπτὰ σταδίων Πατάρων Τηλέφου κρήνη δείκνυται, διὰ τὸ Τήλεφον ἀπονίψασθαι ἐκεῖ τὸ τραῦμα, θολερὰν δὲ εἶναι. ἔστι καὶ δῆμος Τηλέφιος". τὸ ἐθνικὸν Τηλέφιος ἢ Τηλεφιεύς.

Τῆλος, νῆσος τῶν Κυκλάδων μία, ἀπὸ Τήλου οἰκιστοῦ.

---

1. *λαόν* PpRV, *ναόν* A. recte *λαόν*. oppido enim, non templo condendo locum quaerebat Athamas, ut sequentia docent. de Athamante Tei conditore cf. Pausan. 7, 3, 6. Strabon. l. l. et schol. Plat. ed. Bekk. p. 335, ex quo intelligitur Stephanum sua Pherecydi debere. 1. 2. *δειμαμένη οἰκίαν* R. 3. *οὕτως ἡ πόλις* RV. 4. *Τέιος*] *Τώιος* R. *ἰωνικὸν* R. 5. *ὁ* addit R. sunt Eupolidis verba. v. Com. graec. vol. 2 p. 490. 7. *Δυρβαίοις* Salmasius, *Διρβαῖς* libri. sequentia e Ctesia adumbrata sunt. v. Photium Bibl. p. 46, 19. 9. *ὅσον* RV, *ὅσσον* A. an *ὡς ἄν*? 12. *Τηλάνδρειαν* RV, *Τηλανδρίαν* A. 13. *Τηλάνδριος*] Ita Catal. trib. no. 30. 39. 56. 15. *Ταφῖ* R. *ἔστι* om. R. 16. *Πίγρητος* R. 17. 18. *Μέναιχμος* Salmasius, *Μενέμαχμος* V, *Μενέμαιχνος* A, *Μενέμαχος* R. 19. *δείκνυται κρήνη* R. 20. *καὶ* RV, *δὲ* A. 22. *μία* add. RV.

ἐκαλεῖτο δὲ καὶ Ἀγαθοῦσσα, ὡς Ἰάσων. τὸ ἐθνικὸν Τήλιος. Ἀνδροτίων ἕκτῳ Ἀτθίδος.

Τημένιον, χωρίον Μεσσήνης, ἐν ᾧ τέθαπται Τήμενος. οἱ οἰκήτορες Τημενιεῖς ὡς Ἠλιεῖς.

Τῆμνος, πόλις τῆς Αἰολίδος. ὁ Μαλαὸς γὰρ ἔλαβε χρησμόν, ὅπου ἂν ὁ τοῦ ἅρματος ἄξων διατμηθῇ πόλιν κτίσαι. καὶ διατμηθέντος τοῦ ἄξονος κτίζει. ὁ πολίτης Τημνίτης.

Τήνειον, πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Τηνειεύς ὡς Σουνιεύς καὶ Σιγειεύς.

Τῆνος, νῆσος Κυκλάς, ἀπὸ οἰκιστοῦ Τήνου. ἐκλήθη καὶ Ὑδρόεσσα διὰ τὸ κατάρρυτον εἶναι, καὶ Ὀφιοῦσσα. Ἀριστοτέλης ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων φησὶν ὅτι ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα ἔχον, ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥαδίως. καὶ Ἀθήναιος ἐν δευτέρῳ δει-

---

1. *Ἀγάθουσα* R. 2. *ἕκτῳ* om. V. 3. *Μεσήνης* V, *λερήνης* ex *μεσήνης* corr. R. in quo residet umbra veri. Stephanum scripsisse opinor: *Τημένιον, χωρίον [Ἀργείων, πλησίον] Λέρνης.* cf. Pausan. 2, 38: *ἐκ Λέρνης δὲ ἰοῦσιν ἐς Τημένιον.* et mox: *μνῆμά ἐστι Τημένου τιμὰς ἔχον παρὰ Δωριέων.* Strabo 8 p. 368: *τῶν δ' Ἀργείων αἵ τε Πρασιαὶ καὶ τὸ Τημένιον ἐν ᾧ τέθαπται Τήμενος, καὶ ἔτι πρότερον τὸ χωρίον, δι' οὗ ῥεῖ ποταμὸς ἡ Λέρνη καλουμένη. τὸ δὲ Τημένιον ἀπέχει τοῦ Ἄργους ἓξ καὶ εἴκοσι σταδίους.* 4. *Τημενεῖς* R. 5. *Τῆμνος*] Mire corruptum legitur hoc nomen apud Diogenem Laert. 5, 5, 84: *Διογένης Ἐρυθραῖος, πολιτογραφηθεὶς ἐν τῇ Μνῷ.* *ὁ Μαλαὸς* M, *Ὅμαλλος* libri, quod inauditum Graecis nomen est, ferendum tamen illud, si scriptum esset *Ὅμαλος*, quemadmodum *Ὁμαλίων* est in titulo Iasensi apud Boeckh. C. I. no. 2671, 8. at rectius videtur quod reposui *ὁ Μαλαός*. Malaus enim simul cum Cleua et Doro Cymen aliasque Aeolicas civitates coloniis auxisse perhibetur. v. Strabon. 13 p. 582 et 621. 6. *ὁ* om. R. *διατμηθείη?* 11. *Ὑδρόεσσα* R, *Ὕδρουσσα* AV, *Ὑδροῦσα* Eustath. ad Dion. 529. *κατάρρυτος* R. *Ὀφίουσσα* libri. 12. *ἀκουσμάτων*] c. 193. 12. 13. *ἐν Τήνῳ τῇ νήσῳ* Pb, *ἐν Τήνῳ τήνην* R, *ἐν Τήνῳ τήνη* PaV, *ἐν τῇ νήσῳ* A. 13. *φασὶν εἶναι φιάλιον σύγκραμα (σύγκρημα* Pa*) ἔχον* PaRV, *φασὶ φιάλων σύγκραμα εἶναι* A. cf. Eustathius ad Dion. l. l.: *καὶ φιάλιον δέ ποτε ἐν αὐτῇ (Τήνῳ) ἀνακεῖσθαι σύγκραμα ἔχον, ἐξ οὗ πάνυ ῥαδίως πῦρ ἀνήπτετο.* ut nunc haec scripta sunt, etiam apud Aristotelem editur. 14. *δευτέρῳ*] p. 43 c.

πνοσοφιστῶν περὶ αὐτῆς ὅτι ἐν Τήνῳ τῇ νήσῳ κρήνη ἐστίν, ἧς τὸ ὕδωρ οἴνῳ οὐ μίγνυται. ἔστι καὶ πόλις Λακωνικὴ μία τῶν ἑκατὸν Τῆνος λεγομένη. ὁ πολίτης Τήνιος, καὶ τὸ θηλυκὸν Τηνία, ἀφ' οὗ καὶ Ἤριννα Τηνία ποιήτρια. λέγεται καὶ Τηνεύς.

Τιβαρηνία, χώρα πρὸς τῷ Πόντῳ, πρόσοικος Χάλυψι καὶ Μοσσυνοίκοις. τὸ ἐθνικὸν Τιβαρανοί καὶ Τιβαρηνοί, καὶ τὸ θηλυκὸν Τιβαρηνίς. Ἔφορος ἐν πέμπτῳ φησὶν ὅτι „Τιβαρηνοὶ καὶ τὸ παίζειν καὶ τὸ γελᾶν εἰσιν ἐζηλωκότες καὶ μεγίστην εὐδαιμονίαν τοῦτο νομίζουσιν. ὅμοροι δὲ τούτοις Χάλυβες καὶ τὸ τῶν Λευκοσύρων ἔθνος".

Τίβειον, τόπος Φρυγίας, ἀπὸ Τιβίου τινός. ἐκ τούτου καὶ Τιβίους τοὺς δούλους καλοῦσι.

Τιβεριάς, πόλις τῆς Ἰουδαίας πρὸς τῇ Γεννησαρίτιδι λίμνῃ. ἐκτίσθη δὲ ὑπὸ Ἡρώδου. ἐκ ταύτης ἦν Ἰοῦστος ὁ τὸν Ἰουδαϊκὸν πόλεμον τὸν κατὰ Οὐεσπασιανοῦ ἱστορήσας. ὁ πολίτης Τιβεριεύς. Ἰουλιανὸς δὲ ὁ βασιλεὺς Τιβεριοπολίτας ἐπέγραψε, καὶ δῆλον ὡς τῆς πόλεως καλουμένης Τιβεριουπόλεως. τὸ θηλυκὸν Τιβεριάς.

Τίβυρις, πόλις Ἰταλίας. Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων „ἔστι δ' ἐν μεσογείῳ καὶ Τίβυρα πόλις Ἑλληνὶς τὴν ἀρχὴν γεγονυῖα, ἀπέχουσα ἀπὸ Ῥώμης σταδίους ρμζ'".

---

1. *ἐν Τήνῳ τῇ νήσῳ* GDindorfius, *ἐν Τήνῳ τήνη* RV, *ἐν τῇ νήσῳ* A, *ἐν Τήνῳ* Athenaei codices. 4. *Ἥρινα* R, *Ηρινα* AV, *Ἤριννα* X. cf. ad Delect. Anth. graec. p. 132. 6. *ἀρχὴ βιβλίου β'* ante *Τιβαρηνία* add. Pp. *Τιβαρηνία* X, *Τιβαρνία* R, *Τιβαρανία* AV. 7. *Μοσσονοίκοις* RV. *Τιβαρανοί* V, *Τιβάρνιοι* R, *Τιβαράνιοι* A, *Τιβαρήνιοι* X. cf. s. v. *Βόσπορος*. v. Lobeck. Path. p. 199, 16. et Kramer. ad Strab. vol. 1 p. 197. 8. *τὸ* om. V. 12. *Τίβειον τόπος* V, *Τίβειον ὄρος* A, *Τίβιον τόπος* R, quae si vera est scriptura, hoc tmema post *Τιβεριάς* transponendum.
12.13. *Τιβίου* et *Τιβίους* R, *Τιβείου* et *Τιβείους* AV. 14. *Γεννησαρίτιδι* H, *Γεννεσιρίτιδι* X, *Κεννεσιρίτιδι* AV, *Κενεσιριτίδι* R. 20. *Τίβερις* V. *τῆς* ante *Ἰταλίας* add. R. post *Ἰταλίας* excidisse videtur: *λέγεται καὶ Τίβυρα*, vel: *ἣν Τίβυρα λέγει*. 21. *ἐν μέσῳ* R.

τὸ ἐθνικὸν Τιβυρτῖνος. Νικάνωρ δ' ὁ Ἑρμείου Τίβουρα ταύτην καλεῖ, καὶ τὸ ἐθνικὸν Τιβουρῖνον, ὃ καὶ ἀναλογώτερον. „ἐν ᾗ Τιβουρίνιον τέμενος". αὕτη Πολυστέφανος ὠνομάζετο πρότερον.

Τίγγις, πόλις Μαυρουσίας. ὁ πολίτης ἔδει Τιγγίτης, ὡς Μεμφίτης Ζελείτης. Μαρκιανὸς δὲ Μαυριτανίαν αὐτὴν λέγει. Τιγγιτανός οὖν τὸ ἐθνικὸν καὶ θηλυκὸν Τιγγιτανή. „εἰσὶ δὲ ἀπὸ Τίγγεως στάδια ὀγδοήκοντα".

Τιγρανόκερτα, οὐδετέρως, πόλις πρὸς Ἀρμενίαν, ἀπὸ Τιγράνου βασιλέως Ἀρμενίας. Κοδάρατος ἐνάτῳ „καὶ ᾤκισε τὰ Τιγρανόκερτα. τὸ δ' ἐστὶ τῇ Παρθαίων φωνῇ Τιγρανούπολις". τὸ ἐθνικὸν Τιγρανοκέρται.

Τιθοραία, πόλις Βοιωτίας, ἀπὸ νύμφης Τιθοραίας,

---

2. *Τιβουρῖνον* R, *Τιβουρῖνος* AV. 3. *Τιβουρίνιον τέμενος*] Tiburni lucum dicit Horat. Carm. 1, 7. malim vero *Τιβουρῖνον*. videntur enim haec verba exemplum esse ethnici *Τιβουρῖνος*. *Πολυστέφανος*] Non Tiburis id nomen erat, sed Praenestae, ut constat e Strab. 5 p. 238. 5. *Τίγγις* RV, *Τίγγιος* A. *Τεγγίτης* V. 6. *Ζελείτης* male comparatur et corruptum videtur. fortasse *Ζηλίτης* scribendum cll. Strab. 17 p. 827: *εἰς τὴν ἐκτὸς θάλατταν πλέουσιν ἀπὸ Λιγγὸς πόλις ἐστὶ Ζῆλις*. *Μαριτανίαν* RV. *αὐτὴν* ineptum est. suspicor *διττὴν* et locum ita suppleo: *Μαυριτανίαν διττὴν λέγει, [τὴν μὲν Τιγγιτανὴν τὴν δὲ Καισαρησίαν.] Τιγγιτανός οὖν?* ita demum intelligitur quid *οὖν* sibi velit. cf. quae supra leguntur p. 437: *Μαυριτανίαι δύο, ἡ μὲν Τιγγιτανὴ ἡ δὲ Καισαρησία, ὡς Μαρκιανὸς ἐν τῷ περίπλῳ*. 8. *εἰσὶ — ὀγδοήκοντα*] Locus incerti scriptoris a Stephano fortasse eo consilio allatus, ut declinationis rationem ostenderet. 9. *Τιγρανίκερτα* ante X. *πόλις οὐδετέρως* libri. Memno et *οὐδετέρως* dixit et *θηλυκῶς* apud Phot. bibl. p. 238, 7 et 239, 3. 10. *ᾤκισε* M, *ᾤκησε* libri. cf. Plinius NH. 6, 11: a Tigrane conditum, unde et nomen accepit quasi Tigranis civitas; nam certa orientis lingua urbem sonat. 11. *Τιγρανίκερτα* R. 12. *Τιγρανόκερτοι* V. 13. *Τιθωραία* R. Pausaniae libri summopere variant in huius nominis scriptura, aliis *Τιθορέα* aliis *Τιθοραία* praebentibus. eadem apud eundem scriptorem inconstantia in gentilicii scriptura, quae fluctuat inter *Τιθοραιεύς Τιθορεεύς Τιθορεύς*, quarum cum postremam non modo Bacidis oraculum apud Paus. 9, 17, 5. sed etiam inscriptionum fides (vide

ως Παυσανίας ι'. ἐνταῦθα Ζῆθος καὶ Ἀμφίων ἐτάφησαν. ὁ πολίτης Τιθοραιεύς. ἔστι δ' ἐν τῇ ἄκρᾳ Παρνασσοῦ.

Τίθρας, δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Τιθράσιος. ἐκ τόπου Τιθραντόθεν, εἰς τόπον Τιθραντάδε, ἐν τόπῳ Τιθραντοῖ.

Τιθρώνιον, Φωκικὴ πόλις. τὸ ἐθνικὸν Τιθρωνιεύς.

Τίκινος, πόλις Ἰταλίας περὶ Ῥαούενναν καὶ ποταμὸς ὁμώνυμος. τὸ ἐθνικὸν Τικίνιος.

Τιλαταῖοι, ἔθνος Θρᾴκης. Θουκυδίδης δευτέρᾳ.

Τιλφωσσαῖον, χωρίον Θετταλίας. τὸ ἐθνικὸν Τιλφωσσαῖος ὁμοίως.

Τίμυρα, πόλις περὶ Ἰσαυρίαν. καὶ ποταμὸς Ἰνδός. τὸ ἐθνικὸν Τιμυραῖος.

Τιμώνιον, φρούριον Παφλαγονίας. τὸ ἐθνικὸν Τιμωνίτης καὶ τὸ θηλυκὸν Τιμωνῖτις.

Τίνδιον, πόλις Λιβύης. ὁ πολίτης Τινδανός. ἐχρῆν δὲ Τινδιεὺς ὡς Σουνιεύς· ἀλλὰ μᾶλλον ἀπὸ τοῦ Τίνδα Τινδανός. τοῦ δὲ Τίνδα τὸ Τίνδιον. ἔστι καὶ Τίνδη Θρᾴκης Χαλκιδικὴ πόλις. τὸ ἐθνικὸν Τινδαῖος.

Τῖος, πόλις Παφλαγονίας τοῦ Πόντου, ἀπὸ Τίου ἱερέως τὸ γένος Μιλησίου, ὡς Φίλων. Δημοσθένης δ' ἐν Βιθυνιακοῖς φησι κτιστὴν τῆς πόλεως γενέσθαι Πάταρον ἑλόντα Παφλαγονίαν, καὶ ἐκ τοῦ τιμᾶν τὸν Δία Τῖον προσαγορεῦσαι.

Schubartum et Walzium vol. 3 p. 648) optime tueatur, *Τιθοραιεύς* autem vel *Τιθορεεύς* in nullo adhuc titulo repertum sit, non dubium videri potest, quin unice probandum sit *Τιθορέα*, ad quam rectissime revocari posse trisyllabam gentilis formam *Τιθορεύς*, alio loco docebitur. interim vide Lobeck. Paral. p. 27. *Τιθεραίας* R. 1. *ι'* (32, 8) R, *ἐννάτῳ* A, om. V. 2. *τῷ* V. *Παρνασοῦ* R. 6. *Τιθρωνιεύς* B, *Τιθρωνεύς* libri. 8. *Τικίνιος* Salmasius, *Τικινός* A, *Τικηνός* RV. 9. *δευτέρᾳ*] c. 96. 10. *Θετταλίας*] Imo *Βοιωτίας*. vide ad p. 613, 10 et 14. 12. *Ἰνδικός* B, *Σιδῶνος* H, Tamyram a Strab. 13 p. 756. memoratum intelligens. 17. *ὡς Σουνιεύς* om. V. 18. *τοῦ δὲ Τίνδα*] *Τίνδιον* dicit paronymum esse *τοῦ Τίνδα*. 19. *Τινδαῖος*] Ita in Catal. trib. no. 68.

μέμνηται καὶ Μένιππος ἐν Παφλαγονίας περίπλῳ „ἀπὸ Ψύλλης χωρίου ἐς Τίον πόλιν καὶ ποταμὸν Βίλαιον στάδιοι ϟ'". [καί] „οἱ πάντες ἀπὸ Ἡρακλείας ἐς Τίον πόλιν καὶ ποταμὸν Βίλαιον στάδιοι τό". καὶ πάλιν „οἱ πάντες ἀπὸ Τίου εἰς Ἄμαστριν στάδιοι σκ'". Στράβων ἐν τῷ δωδεκάτῳ οὐδετέρως καὶ τρισυλλάβως τὸ Τίειον *φησί. καὶ τὸ ἐθνικὸν ἀπὸ τῆς Τίου Τιανός, ὡς ἀπὸ τῆς Κίου Κιανός. λέγεται δὲ καὶ Τιανεύς.*

Τιπανίσαι, *ἔθνος παρὰ τὸν Καύκασον. Ἑκαταῖος Εὐρώπῃ.*

Τίριζα, *πόλις Παφλαγονίας. τὸ ἐθνικὸν Τίριζοι. Κτησίας δὲ Τιριζιβανοὺς αὐτούς φησιν ἐν τῷ δευτέρῳ „ἐκ δὲ τῶν Ὀδρυσῶν εἰς Τιριζιβανοὺς οἰκοῦντας ἐν Πα[φλαγονίᾳ]".*

Τίρσαι, *πόλις Μυγδονίας τῆς ἐν Μακεδονίᾳ, ἀπὸ Τίρσης, μιᾶς τῶν γυναικῶν [Γρασ]τοῦ παιδὸς Μύγδονος, ὡς Θεαγένης φησί. τὸ ἐθνικὸν Τιρσαῖος.*

Τίρυνς, *πόλις τῆς Πελοποννήσου „οἳ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν". ἀπὸ Τίρυνθος τῆς Ἄλω θυγατρός,*

---

1. *Μένιππος*] Menippi citationes totidem verbis leguntur in Marciani Epit. Artem. ed. Mill. p. 125 sq. 2. *ἐς Τίον πόλιν καὶ ποταμὸν* Pp, *ἐς Τίον πόλις καὶ ποταμὸς* V, *ἐστίον πόλις καὶ ποταμὸς* AR. *Βίβλαιον* R, *Βίλλαιον* Marcianus, om. V. ϟ' Marcianus, ϛ' PpRV, *τριακόσιοι* A. cf. in *Ψύλλα* et Millerum ad Marc. p. 186. 3. *καί* add. M. *ἐς Τίον* R, *ἐς τὴν* Pp, *ἐστίον* A. 3. 4. *πόλιν καὶ ποταμὸν* PpR, *πόλις καὶ ποταμὸς* AV. 4. *Βιλλίον* cod. Marciani. *τό* RV, *τριακόσιοι ἑβδομήκοντα* A. 5. *σκ'* Marcianus, *κ'* RV, *εἴκοσι* A. *τῷ* add. RV. *δωδεκάτῳ*] p. 542. 8. *δὲ* add. R. 9. *Τιπάνισσαι* libri. *Τιπενίσης* apud Etym. M. p. 15, 1. *αὔκασον* V. 12. *δὲ* add. R. *Τιριζιφανοὺς* X, errore operarum, qui Salmasio Holstenio aliisque imposuit. 13. *Ὀδρυσσῶν* libri. *Παφλαγονίᾳ* Salmasius, *Πα...* libri. 15. *γυναικῶν*] Scribendum videtur *θυγατέρων*. *Γραστοῦ* M, *τοῦ* libri. cf. s. v. *Παρθενόπολις, Μακεδονίας πόλις, ἀπὸ τῶν θυγατέρων Γραστοῦ τοῦ Μύγδονος παιδός, ὡς Θεαγένης ἐν Μακεδονικοῖς.* adde in *Γρηστωνία*. 17. *Τῖρυνς?* *οἳ δ' Ἄργος*] Hom. Il. 2, 559. 18. *ἀπὸ Τίρυνθος τῆς Ἄλω θυγατρός*] Neque *Ἄλως* aliunde cognitus nec *Τίρυνς* mulieris nomen est. itaque vide an *Ἄλω* ex *Ἀλξ̄* i. e. *Ἀλ-*

ἥ τις Ἀμφιτρύωνος ἦν ἀδελφή. ἐκαλεῖτο δὲ πρότερον Ἁλιεῖς, διὰ τὸ πολλοὺς Ἑρμιονέων ἁλιευομένους οἰκεῖν αὐτοῦ. τὸ ἐθνικὸν Τιρύνθιος καὶ Τιρυνθιάς τὸ θηλυκὸν καὶ Τιρυνθίς. τὸ ἐκ τόπου Τιρυνθόθεν, εἰς τόπον Τίρυνθόνδε. ὤφειλε δὲ Τίρυνθάδε ὡς πρὸς αἰτιατικήν.

Τισία, ὡς Ἀσία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Τισιάτης ὡς Ἀσιάτης, καὶ Τισιᾶτις θηλυκόν.

Τῖσις, πόλις Αἰγύπτου, ἣν ἔκτισε Τῖσις. ὁ πολίτης Τισίτης.

Τίσσαι, χωρίον Σικελίας. Φίλιστος ἐνάτῳ. τὸ ἐθνικὸν Τισσαῖος.

Τιτακίδαι, δῆμος τῆς Ἀντιοχίδος φυλῆς, ἀπὸ Τιτακοῦ τοῦ προδόντος Ἀφίδνας τοῖς Διοσκούροις. ὁ δημότης Τιτακίδης ὁμοφώνως. καὶ τὰ τοπικὰ ἐπιρρήματα ὡσαύτως.

Τίτανα, χωρίον τῆς Σικυωνίας. λέγεται καὶ ἑνικῶς

καίου corruptum sit, post Τίρυνθος autem patris matrisque nomina exciderint. Alcaeus pater fuit Amphitryonis. aliter haec scripta habuit Eustathius ad Hom. l. l.: καλεῖται Τίρυνς ἀπὸ Τίρυνθος ἀδελφοῦ Ἀμφιτρύωνος, quae e Stephano derivata esse docent sequentia: ἐκαλεῖτο δὲ πρότερον Ἁλιῆς (leg. Ἁλιεῖς) διὰ τὸ πολλοὺς ἁλιευομένους οἰκεῖν ἐκεῖ. 1. ἀδελφοῦ V. ἐκαλεῖτο δὲ πρότερον Ἁλιεῖς] Non Tiryns, sed Tirynthii exules, postquam novas sedes in Hermionensium agro occuparunt, Ἁλιεῖς appellati sunt. v. Ephorum apud nostrum p. 73, 12. 2. Ἑρμιονέων per compendium R, Ἑρμιονέας AV. 4. Τίρυνθόνδε] Non colligam hinc etiam Τίρυνθος dictum fuisse, quam formam praeter Tzetzen ad Hesiod. Scut. 81. libri habent Apollodori Bibl. 2, 4, 18. et in argumentum Stheneboeae Euripidis intulit Welckerus Trag. 2 p. 778. ubi veram rationem monstrat codicis scriptura Τίρυν^{θ}. itaque unus restat Hesiodus Scut. 81: ἦλθε λιπὼν Τίρυνθον ἐυκτίμενον πτολίεθρον, ubi recte codd. Τίρυνθα. cf. Lobeck. Paral. p. 167. 5. ὡς παρὰ? 8. Τίσις vulgo. 10. Τίσσας V. 12. τῆς om. R. 14. ἐπιρρήματα om. R. ὡσαύτως i. e. ἐκ Τιτακιδῶν ἐν Τιτακιδῶν εἰς Τιτακιδῶν. 15. Τιτάνη, χωρίον Σικυωνίας. [ἔστι καὶ Τίτανα πόλις Θετταλίας]. λέγεται? ut hodie scriptum est, in suo epitomes exemplari repperit etiam Eustathius ad locum Homeri. de Titane Sicyonia cf. Pausan. 2, 11, 3.

Τιτάνοιό τε λευκὰ κάρηνα". τὸ ἐθνικὸν Τιτάνιος καὶ Τιτανία. νῦν δὲ Τευτάνιον καλεῖται.

Τιταρών, πόλις Θεσσαλίας, ἣν Τίταρον Λυκόφρων φησί. τὸ ἐθνικὸν Τιταρώνιος. ἔστι καὶ Τιταρήσιος ποταμὸς Θεσσαλίας. τὸ ἐθνικὸν ὁμοφώνως Τιταρήσιος.

Τιτωνεύς, ὄρος .... Διονύσιος Γιγαντιάδος πρώτῳ. ὁ οἰκήτωρ Τιτωνεύς.

Τλῆτες, ἔθνος Ἰβηρικὸν περιοικοῦν τοὺς Ταρτησσίους. Θεόπομπος τεσσαρακοστῷ πέμπτῳ.

Τλῶς, πόλις Λυκίας, ἀπὸ Τλῶ τοῦ Τρεμίλητος καὶ Πραξιδίκης νύμφης. τὸ ἐθνικὸν διχῶς καὶ Τλωεὺς καὶ Τλωίτης. ἔστι καὶ Τλῶς Τλωός τὸ ἐθνικόν, ἀλλὰ καὶ Τλώιος. ἔστι καὶ ἄλλη Τλῶς πόλις Πισιδίας. τὸ κτητικὸν Τλωικός καὶ Τλωική.

Τνυσσός, πόλις Καρίας. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Τνυσσεύς τῷ τύπῳ τῆς χώρας.

Τολέριον, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Τολερῖνος.

Τολιστόβιοι, ἔθνος Γαλατῶν ἑσπερίων μετοικησάντων ἐκ τῆς Κελτογαλατίας εἰς Βιθυνίαν. Ἐρατοσθένης δ' ἐν πρώτῳ Γαλατικῶν Τολιστοβωγίους αὐτούς φησι.

---

1. *Τιτάνοιό τε λευκὰ κάρηνα*] Hom. Il. 2, 735. 3. *Λυκόφρων*] vs. 904. 5. *Θετταλίας* R. 6. *ἀρχὴ βιβλίου νβ'* ante *Τιτωνεύς* add. R, *ἀρχὴ βιβλίου β'* Pp. *Τίτων* Bachmann. ad Lycophr. 1406. 7. *οἰκιστὴς* R. 8. *Τλῆτες* i. e. *Γλῆτες*. *Ταρτησίους* R. 10. *Τρεμίλητος* Salmasius, *Μίλητος* R, *Μήλητος* PpV, *Μιλήτου* A, *Τρεμύλου* X. cf. s. v. *Κράγος· ἀπὸ Κράγου Τρεμίλητος υἱοῦ*, ubi nil mutandum. idem nomen restitui in Panyasidis versibus s. v. *Τρεμίλη*, ubi ipse Stephanus parisyllaba forma usûs est. 12 et 13. *Τλώς* libri. cf. Lobeck. Paral. p. 87. nomen hoc leviter corruptum legitur apud Etym. M. p. 741, 53: *Κῶς καὶ Γλῶς ὀνόματα ἡρώων*. non *Γλῶς* enim, sed *Τλῶς* a Lyciis pro heroe colebatur. v. Exercit. philol. in Athen. 1 p. 53. 13. *Πισιδίας* R, *Σιδίας* AV. 15. *Τνύσσος* libri. 18. *Τολιστόβοιοι*? 19. *εἰς* RV, *ἐς* A. 20. *Τολιστοβογίους* R. cf. Kramerus ad Strab. vol. 1 p. 292.

Τολοφών, πόλις Λοκρῶν τῶν Ὀζολῶν. τὸ ἐθνικὸν Τολοφώνιος. Θουκυδίδης τρίτῃ.

Τόμαρος, ὄρος Δωδώνης, ὅ τινες *Τομοῦρον* καὶ τοὺς κατοικοῦντας Τομούρους. οἱ δὲ *Τμάρος*, οὗ τὸ ἐθνικὸν Τμάριος.

Τομεύς, πόλις πρὸς τῇ Ὀδησσῷ. Στράβων ἑβδόμῃ. ὠνομάσθη δὲ οὕτως διὰ τὸ Ἄψυρτον τὸν Αἰήτου υἱὸν ὑπὸ Μηδείας καὶ Ἰάσονος ἐν τῇ φυγῇ ἐκεῖ κατατμηθῆναι. ἔστι καὶ *Τομαῖον* ὄρος παρὰ τὸ Κορυφάσιον τῆς Πύλου, ἐοικὸς σμίλῃ. ὁ πολίτης Τομίτης, καὶ Τομῖτις τὸ θηλυκόν. ὤφειλε δὲ ὡς Ἀταρνείτης διὰ διφθόγγου γράφεσθαι.

Τόμισα, χωρίον διορίζον Καππαδοκίαν ἀπὸ τοῦ Ταύρου. τὸ ἐθνικὸν Τομισηνός τῷ τύπῳ τῆς χώρας καὶ Τομισεύς.

Τόξιοι καὶ Τοξιανοί, ἔθνος Ταυρικόν. Ἡρωδιανὸς ἑβδόμῃ.

Τόπαζος, νῆσος Ἰνδική. τὸ ἐθνικὸν Τοπάζιος. Ἀλέξανδρος ὁ πολυίστωρ φησὶν ὡς εὑρίσκεσθαι καὶ ἐν τῇ τῶν Τοπαζίων νήσῳ λίθον ὁμώνυμον τῇ νήσῳ, [καὶ] ὅμοιον εἶναι τῇ χροιᾷ τῇ τοῦ νέου ἐλαίου. διὰ τοῦ ξ δ' ἐγράφετο πρότερον.

Τορέται, ἔθνος Ποντικόν. Ἀπολλόδωρος δευτέρῳ περὶ γῆς.

Τόρρηβος, πόλις Λυδίας, ἀπὸ Τορρήβου τοῦ Ἄτυος. τὸ ἐθνικὸν Τορρήβιοι καὶ θηλυκὸν Τορρηβίς. „ἐν δὲ τῇ

---

1. *ἀζόλων* V. 2. *τρίτῃ*] c. 101. 4. *Τομούρους*] Hinc *Τομουριάς* formatur, quod reddendum Orpheo Argon. 1061. ubi quod vulgo legitur *Τομαριὰς ἔκλαγε φηγός*, metro inimicum est. *Τμάρος* H, *Τμάρας* libri. 6. *ἑβδόμῃ*] p. 318. 7. *Αἰείτου* V. 8. *Ἰάσωνος* V. 12. *Τόμισσα* libri. *τοῦ* add. R. 16. *Τόπαζος* Salmasius, *Τοπάζιος* libri. v. Plinii NH. 37, 8. *Τόπαζα* dicitur Epiphanio de gemm. ed. Petav. p. 226: *λίθος τοπάζιον ἐρυθρὸς τῷ εἴδει ὑπὲρ τὸν ἄνθρακα. γίνεται δὲ ἐν Τοπάζῃ πόλει τῆς Ἰνδίας.* 17. 18. *ἐν τῇ τῶν Παζίων* Pp, *ἐν τῇ Τοπαζίων* V. 18. *καὶ* add. Salmasius. *εἶναι* add. PpRV. 20. 21. *περὶ γῆς* PRV, *περιηγήσεως* A. 22. *Τορρηβός?* *ἀπὸ Τορύβου* R. 23. *Τορήβιοι* R. *Τορυβεῖς* R.

Τορρηβίδι ἐστὶν ὄρος *Κάριος* καλεόμενον καὶ τὸ ἱερὸν τοῦ *Καρίου* ἐκεῖ". „*Κάριος* δὲ *Διὸς* παῖς καὶ *Τορρηβίας*", ὡς *Νικόλαος* τετάρτῳ, „ὃς πλαζόμενος περί τινα λίμνην, ἥ τις ἀπ' αὐτοῦ *Τορρηβία* ἐκλήθη, φθογγῆς *Νυμφῶν* ἀκούσας, ἃς καὶ *Μούσας Λυδοὶ* καλοῦσι, καὶ μουσικὴν ἐδιδάχθη καὶ αὐτὸς τοὺς *Λυδοὺς* ἐδίδαξε. καὶ τὰ μέλη διὰ τοῦτο *Τορρήβια* ἐκαλεῖτο".

Τορτόμιον, πόλις μεταξὺ *Συρίας* καὶ *Ἀρμενίας*. τὸ ἐθνικὸν *Τορτόμιος* ὡς *Βυζάντιος*.

Τορώνη, πόλις *Θρᾴκης*, ἀπὸ *Τορώνης* τῆς *Πρωτέως* ἢ *Ποσειδῶνος* καὶ *Φοινίκης*. ἔστι καὶ ἄλλη Τορώνη μετὰ *Τροίαν* κτισθεῖσα. ὁ πολίτης *Τορωναῖος*. ἔστι καὶ ἄλλη πόλις *Σικελίας* Τόροννα διὰ δύο ν̅ν̅ καὶ δύο ο̅ο̅. λέγεται καὶ *Τορωναϊκὸς* κόλπος. οὕτως δὲ καλεῖται ἀπὸ τοῦ *Καναστραίου* ἕως τῆς *Δέρρεως*.

Τουρδητανία, χώρα τῆς *Ἰβηρίας*, ἣ καὶ Βαιτικὴ καλεῖται παρὰ τὸν *Βαῖτιν* ποταμόν. οἱ οἰκοῦντες *Τουρδητανοὶ* καὶ *Τουρδοῦλοι*. *Ἀρτεμίδωρος* δὲ Τουρτυτανίαν αὐτὴν καλεῖ καὶ *Τούρτους* τοὺς οἰκήτορας καὶ *Τουρτυτανούς*.

1. *Κάρυος* R. *καλεόμενον* RV, *καλούμενον* A. haec si, quod suspicor, Hecataei verba sunt, praeterea *ἐστὶ οὖρος* et *ἱρὸν* scribendum. *τὸ* add. R. 4. *Τορυβία* R. *ἀκούσας* lGronovius, *ἀκοῦσαι* libri. 5.6. *αὐτὸς τοὺς* Hermannus Opusc. 2 p. 290, *αὖ τοὺς* Buttmannus, *αὐτὸς* PpR, *αὐτοὺς* AV. 6. *καὶ* add. PpRV. *ἐδίδαξε καὶ τὰ μέλη. διὰ τοῦτο Τορρηβία* ante Hermannum. 10.11. *ἢ Ποσειδῶνος* X, *καὶ Ποσειδῶνος* libri, *καὶ τοῦ Ποσειδῶνος* H, qui voluit, opinor, *τοῦ* sine *καί*. Torona Eustathio ad Dion. 327 Protei filia, Tzetzae ad Lycophr. 116 Protei uxor. 12. *Τορωναῖος* R, *Τηρωναῖος* V, *Τορρωναῖος* A. 13. *Τόροννα* W, *Τορόννη* H, *Τόρροννα* AV, *Τόρωνα* R. *δύο* ν̅ν̅ RV, *δύο* ν̅ A. *καὶ δύο* ο̅ο̅ RV, *καὶ τὰ δύο* ο̅ *μικρά* A. 13.14. *Τορωναϊκὸς* PpRV, *Τορωναῖος* A. 14. *οὗτος* libri, *οὕτω* X. 16. *Τουρδιτανία* AV, *Τουδιτανία* R. *χώρας* R. 17. *παρὰ* R, *περὶ* AV. cf. Strab. 3 p. 139: *καλοῦσι δ' ἀπὸ μὲν τοῦ ποταμοῦ Βαιτικήν, ἀπὸ δὲ τῶν οἰκούντων Τουρδητανίαν, τοὺς δ' ἐνοικοῦντας Τουρδητανούς τε καὶ Τουρδούλους.* *Βαῖτιν* R, *Βαίτην* AV. *Τουρδιτανοί* libri. 18. *Τούρδιλον* Pr, *Τούρδιλοι* V. 19. *Τυρτυτανούς* APpV, *Τυρτανούς* R, *Τουρτουτανούς* X.

Τραγασαί, χωρίον ἐν ἠπείρῳ, ἀπὸ Τραγάσου, οὗ εἰς χάριν ὁ Ποσειδῶν ἁλὸς πῆξιν ἐποίησεν, ὅθεν Τραγασαῖοι ἅλες, ὡς Ἑλλάνικος ἐν πρώτῳ Λεσβιακῶν. ἀφ' οὗ καὶ τὸ πεδίον Ἀλήσιον καλεῖται. ὁ οἰκήτωρ Τραγασαῖος. Ἀριστοφάνης Ἀχαρνεῦσι.

Τραγία, νῆσος πρὸς ταῖς Κυκλάσιν, ὅθεν ἦν Θεογείτων ὁ περιπατητικός, Ἀριστοτέλους γνώριμος. ἔστι [καὶ] πόλις ἐν Νάξῳ, ἐν ᾗ Τράγιος Ἀπόλλων τιμᾶται. Εὔπολις διὰ τοῦ ε̄ γράφει καὶ πληθυντικῶς *Τραγέαι*. τὸ ἐθνικὸν Τραγεάτης ὡς Τεγεάτης.

Τράγιλος, πόλις μία τῶν ἐπὶ Θρᾴκης πρὸς τῇ χερρονήσῳ καὶ Μακεδονίᾳ. ἐκ ταύτης ἦν Ἀσκληπιάδης ὁ τὰ τραγῳδούμενα γράψας ἐν ϛ̄ βιβλίοις. ὁ πολίτης Τραγιλεύς.

Τραλλία, μοῖρα τῆς Ἰλλυρίας. λέγονται καὶ Τράλλοι, καὶ Τράλλεις παρὰ Θεοπόμπῳ. λέγεται καὶ *Τραλλική* καὶ *Τράλλα*. ἔστι καὶ *Τράλλιον* Βιθυνίας, ἣ καθήκει πρὸς τὸν Ἀστακηνὸν κόλπον. τὸ ἐθνικὸν τούτου Τράλλιοι.

Τράλλις, πόλις Λυδίας πρὸς τῷ Μαιάνδρῳ ποταμῷ, ἡ πρότερον [λεγομένη] *Πολυάνθεια* διὰ τὸ πολλὰ ἄνθη ἐκεῖ πεφυκέναι. ἐκαλεῖτο καὶ *Ἐρυμνά*. τὸ ἐθνικὸν Τραλλιανός.

---

1. *Τραγασαί* R, *Τράγασσαι* V, *Τράγασαι* A. *χωρίον* R, *χώρα* AV. *ἐν ἠπείρῳ*] v. Epimetrum II. 2. *ἁλὸς* PpR, *ἁλὴς* V, *ἁλῶν* X, om. A. *Τραγασαῖοι* Salmasius, *Τράγασοι οἱ* libri. 3. *ἐν* om. R. 4. *Ἀλήσιον* M, *Ἄλσιον* libri. 5. *Ἀχαρνεῦσι*] vs. 853. 6. *Τραγαία* libri. *Τραγία* literarum ordo postulabat: ac scribitur ita apud Thuc. 1, 116. et apud Plutarch. Per. 25. ubi est *Τραγίαι*. 7. *καὶ* add. X. 8. 9. *Εὔπολις διὰ τοῦ ε̄. γράφεται καὶ πληθυντικῶς* R. 9. *Τραγέαι* Pp, *Τραγέται* R, *Τραγεταί* AV, unde fortasse rectius *Τραγεαί* scribas quam *Τραγέαι*. 11. *Τράγιλος* eadem quae infra *Τρώγιλος* dicitur. 15. *Τράλλεις* V et dubitanter Lobeck. Paral. p. 70, *Τράλλες* libri. *Τράλλεις* vocat noster s. v. *Βῆγις* et *Βόλουρος*. *Τραλλικὴ δὲ καὶ* Salmasius, *Τρωαλικίδα καὶ* AR, *Τρωαλικία καὶ* V. 19. *λεγομένη* om. RV. *Πολυάνθεια* RV, *Ἄνθεια* A. cf. Plinius NH. 5, 29: Trallis, eadem Euanthia et Seleucia et Antiochia dicta. consimile Praenestae nomen fuit *Πολυστέφανος*. 20. *Εὐρυμνά* errore typographico X.

Τράμπη, πόλις Ἰωνίας. τὸ ἐθνικὸν Τραμπαῖος, ὡς Λάμπη Λαμπαῖος.

Τραμπύα, πόλις τῆς Ἠπείρου πλησίον Βουνίμων. ὁ πολίτης Τραμπυεὺς καὶ Τραμπυάτης.

Τρανσαλπῖνοι, ἔθνη Κελτῶν πέραν τῶν Ἄλπεων· τὸ γὰρ τράνς σημαίνει τὸ πέραν.

Τράπεζα, πόλις Ἀρκαδίας ἐγγὺς Τρικολώνων. οἱ πολῖται Τραπεζεῖς.

Τραπεζοῦς, πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ, Σινωπέων ἄποικος. ἐκαλεῖτο καὶ *Οἰζηνίς*. ἐν ταύτῃ μέλι ἀπὸ τῆς πύξου φησὶν Ἀριστοτέλης γίνεσθαι ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων βαρύοσμον, ἀφ' οὗ τοὺς φαγόντας ὑγιαίνοντας μὲν ἐξίστασθαι, τοὺς δ' ἐπιλήπτους εὐθέως ἀπαλλάττεσθαι. ἔστι καὶ Ἀρκαδίας πόλις *Τραπεζοῦς*, ἀπὸ Τραπεζοῦντος παιδὸς Λυκάονος, ὡς Παυσανίας ὀγδόῳ. ἔστι καὶ ἄλλη πλησίον τοῦ Ἀραβικοῦ κόλπου. ὁ πολίτης Τραπεζούντιος ὡς Σελινούντιος, καὶ ἡ χώρα Τραπεζουντία. λέγεται καὶ Τραπεζούσιος ὡς Ἀμαθούσιος.

Τραύαλα, πόλις Λυκίας. τὸ ἐθνικὸν Τραυαλεύς.

Τραυχένιοι, ἔθνος περὶ τὸν πόντον τὸν Εὔξεινον, ὅμορον Σίνδοις.

---

1. *πόλις Ἰωνίας* RV, *Ἰωνίας πόλις* A. 3. *Τράμπεια* V. *Βουλίμων* vel *Βουλίνων* Salmasius. cf. s. v. *Βούνειμα*. 4. *Τραμπύτης* V, *Τραμπυέτης* AR. 6. *τράν* PpRV. *τὸ* add. RV. 7. *Τρικολώνων* H, *Τρικολώνου* libri. non diversa autem Trapeza ab ea quam infra memorat Arcadiae urbe *Τραπεζοῦς*. 10. *Οἰζηνίς*] Huius nominis rationem nemo dum, quoad sciam, reddidit, nec potest reddi, si recte sentio. vide igitur an *Ἀζηνίς* scribendum sit, sive Arcadicam Trapezuntem in Azanum ditione sitam cum Pontica confudit scriptor, sive Ponticam ita appellatam dicas propter Azanes, qui simul cum Trapezuntiis Arcadia relicta a Ponticis hospitio excepti sunt. cf. Pausan. 8, 3, 3. 11. *θαυμασίων*] c. 17. 13. *ἐπιπλήκτους* Aristoteles. 15. *ὀγδόῳ*] c. 3, 3. 19. *Τραύαλα* et mox *Τραυαλεὺς* H, *Τράβαλα* et *Τραβαλεύς* libri. 20. *Τραυχένιοι* aut corruptum est aut tmema hoc post *Τραυσοί* transponendum. *παρὰ* R. 21. *Σινδοῖς* libri.

Τραυσοί, πόλις Κελτοῦς. ἔθνος οὓς οἱ Ἕλληνες Ἀγαθύρσους ὀνομάζουσι.

Τράφη, πόλις πρὸς τῷ Πόντῳ. τὸ ἐθνικὸν Τραφαῖος.

Τράφεια, πόλις Βοιωτίας, πολλὰ θρέμματα ἔχουσα. τὸ ἐθνικὸν Τράφιος ἢ Τραφιεύς.

Τραχεῖα. οὕτως ἡ Ἰσαυρία πᾶσα. Στράβων τεσσαρεσκαιδεκάτῃ „Κιλικίας δὲ τῆς ἔξω Ταύρου ἡ μὲν λέγεται τραχεῖα ἡ δὲ πεδιάς. τὸ τοπικὸν Τραχεώτης. ἀρχὴ δ' αὐτῆς ἀπὸ Κορακησίου, ἡ πεδιὰς δὲ ἀπὸ Σόλων καὶ Ταρσοῦ μέχρι Ἰσσοῦ". καί ἐστι τὸ ταύτης τοπικὸν ἔτι καὶ νῦν Πεδιανοί, ὀφεῖλον Πεδιεῖς ὡς Σουνιεῖς.

Τραχίς, πόλις Θεσσαλίας ὑπὸ τὴν Οἴτην, ὑπὸ Ἡρακλέους κτισθεῖσα καὶ ὀνομασθεῖσα οὕτως διὰ τὴν τραχύτητα. ὁ πολίτης Τραχίνιος καὶ Τρηχίνιος καὶ Τραχιναῖος.

Τρεμιθοῦς, κώμη Κύπρου. καλοῦνται Τρεμιθούσιοι καὶ Τρεμιθοπολῖται. φασὶ δ' ὅτι ἐπιβάσης Ἀφροδίτης εἰς

---

1. *Κελτῶν* X, *Γετῶν* H. *Κελτῶν* si verum est, sequenti voci praefigendum *καί*. 3. *Τράφη* eadem, ut existimat H, quae supra *Τάφραι* vel *Τάφρη*. 4. *Τραφία* malim propter gentilicia, quae *Τράφειος ἢ Τραφειεύς* scribebat Salmasius. 6. *Τραχεῖα*] *Ῥαχεῖσα* R. *Στράβων*] p. 668. ubi priora ita leguntur: *τῆς δὲ Κιλικίας*. sequentia pessime ex Strabone transscripta sunt. 8. *τὸ τοπικὸν Τραχειώτης. ἀρχὴ δ' αὐτῆς ἀπὸ Κορακησίου ἡ πεδιάς. ἀπὸ δὲ Σόλων* A, *τὰ τοπικὰ* (*τὸ τοπικὸν* V) *Τραχειώτης. ἀρχὴ δὲ αὐτῆς ἀπὸ Κορακησίου ἡ πεδιὰς τὸ τοπικὸν Τραχειώτης. ἀπὸ δὲ Σόλων* RV. correxit X. *μέχρι* R, *μέχρις* AV. 11. *ὤφειλον δὲ Πεδιεῖς* V. 13. *καὶ* om. R. *οὕτως* add. V. 14. *Τρηχίνιος καὶ Τραχιναῖος* X, *Τριχίνιος καὶ Τραχιναῖος* AR, *Τριχίνιος καὶ Τριχίνιος* Pp. pro *Τραχιναῖος* paulo melius esset *Τραχινιαῖος*, quod ad *Τραχινία* revocari posset. levis est suspicio Casauboni ad Strab. 9 p. 423. 15. *Τερμιθοῦς*] *Τρεμινθοῦς* P[a], *Τρεμίθοῦς ἢ* R, quod significare videtur *Τρεμιθοῦς ἢ Τρεμινθοῦς* cf. ad p. 223, 9. videtur utrumque dictum fuisse. gentilicia libri optimi per $\bar{\nu}$ scripta efferunt. „S. Spiridion *Τρεμιθούντων* (sic) episcopus vocatur apud Metaphrasten" H. idem affert schol. Nicandri Ther. 844: *τρέμιθος ὁ λεγόμενος τερέβινθος*. *Τρεμιθούσιοι*] *Τρεμινθούσιοι* RV. 16. *Τρεμινθοπολῖται* V, *Τρεμίθοπολῖται* R. quod recte formatum

τὸν τόπον διὰ τὴν παρουσίαν τῆς δαίμονος ὑπὸ τρόμου διασαλευθῆναι, διὸ καὶ Τρεμιθοῦντα κληθῆναι. ἐμοὶ δὲ δοκεῖ ἀπὸ τῶν περὶ τὸν τόπον πεφυκυιῶν τερεβίνθων ἃς Τύπριοι τρεμίθους καλοῦσιν ὠνομάσθαι, ὥσπερ πλείστας ἄλλας ἀπὸ τῶν ἐν αὐταῖς πλεοναζόντων φυτῶν, ἐν μὲν τῇ Ἀττικῇ Ῥαμνοῦντα, ἐν δὲ τῇ Πελοποννήσῳ Κυπάρισσον καὶ Θρύον, καὶ Ἐλαίας.

Τρεμίλη. ἡ Λυκία ἐκαλεῖτο οὕτως ἀπὸ Τρεμίλου, ὡς Πανύασις

ἔνθα δ' ἔναιε μέγας Τρεμίλης καὶ ἔγημε θύγατρα,
νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσιν,
Σίβρῳ ἐπ' ἀργυρέῳ ποταμῷ παρὰ δινήεντι·
τῆς δ' ὀλοοὶ παῖδες Τλῶος Ξάνθος Πίναρός τε
καὶ Κράγος, ὃς κρατέων πάσας ληίζετ' ἀρούρας.

οἱ κατοικοῦντες Τρεμιλεῖς. Ἀλέξανδρος „τελευτήσας τὰς δὲ

---

gentilicium foret, si primitivum esset *Τρεμιθόπολις* vel *Τρεμινθόπολις*. nunc vereor ne error subsit, ita ille fortasse corrigendus: *Τρεμιθο[ύντιοι οἱ] πολῖται*. quem Goltzius numum affert *ΤΡΕΜΙΘΟΠΟΛΙΤΩΝ* inscriptum, non dubium mihi quin ipse finxerit homo vanus. *ἀποβάσης?* 3. *τερεβίνθων* Salmasius, *τερμίνθων* libri. 4. *τερμίνθους* RV. *ὥσπερ* RV, *ὡς καὶ* A. *πλείστας ἄλλας* M, *πλεῖστα ἀλλὰ* RV, *πλεῖσται ἄλλαι* A. 6. *Θρίον* V. 7. *Ἐλαίας* R, *Ἑλλαίας* V. *Ἐλαία* A. plurali usus est quoniam plures urbes *Ἐλαία* dicebantur. 8. *Τρεμίλη*] Anton. Lib. 35: *τὴν δὲ γῆν Τρεμιλίδα λεγομένην Λυκίαν μετωνόμασεν (Ἄρτεμις) ἀπὸ τῶν καθηγησαμένων λύκων*. nominis rationem explicare conatus sum Exercit. phil. in Athen. 1 p. 53. *Τρεμίλου*] Vide ad *Τλῶς*. 10. *ἔνθα δ' ἔνναιε* V, *ἔνθα δ' ἔρρεε* R. *Τρεμίλης, καὶ* (vel *ὅς*) *ἔγημε* M, *Τρεμύλιος καὶ ἔγημε* A, *Τρεμύλος καὶ ἔγημε* V, *Τρεμύλος καὶ ἄγει με* R. *θύγατρα*] Fortasse *γυναῖκα*. 12. *Σίμβρῳ* R. an *ποταμῷ βαθυδινήεντι?* cf. Anall. Alex. p. 368. 13. *Τλῶμος* AR, *Τμῶος* V, corr. X. *Ξάνθος Πίναρός τε* Salmasius, *Ξάνθος τε Πίναρος* libri. 15. *οἱ κατοικοῦντες Τρεμιλεῖς*] Haec in hunc locum transtulit M, cum in libris legantur l. 8. ante *ἀπὸ Τρεμίλου*. *Ἀλέξανδρος*] In secundo libro Lyciacorum, ut colligas ex iis quae leguntur s. v. *Κράγος*. *δὲ* quod AV post *Ἀλέξανδρος* habent, delendum esse indicat R, in quo est *δέ*. om. P. *τελευτήσας τὰς δὲ* RV, *τελευτήσας τούσδε* P, *τελευτήσας τούτους δὲ* A. an *τελευτήσαντος δὲ?*

τοὺς Τρεμιλέας Λυκίους Βελλεροφόντης μετωνόμασεν". Ἑκαταῖος Τρεμίλας αὐτοὺς καλεῖ ἐν τετάρτῳ τῶν γενεαλογιῶν.

Τρῆρος, χωρίον Θρᾴκης, καὶ **Τρῆρες** Θρᾴκιον ἔθνος. λέγεται καὶ τρισυλλάβως παρὰ Καλλίνῳ τῷ ποιητῇ „Τρήρεας ἄνδρας ἄγων". Θεόπομπος Τρᾶρας αὐτοὺς καλεῖ.

Τρῆχις, πόλις Αἰγύπτου, ὡς Θῶνις Σάϊς. τὸ ἐθνικὸν Τρηχίτης.

Τριβαλλοί, ἔθνος Ἰλλυρικόν. Ἀριστοφάνης Ὄρνισιν „ὄνομα δὲ τούτοις τῶν θεῶν τῶν βαρβάρων τί ἐστι; μανθάνω. Τριβαλλοί".

Τριζοί, ἔθνος πρὸς νότον τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπῃ.

Τριῆρες, ἔθνος, ἀπὸ Τριήρου τοῦ Ὀβριάρεω παιδὸς καὶ Θρᾴκης, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς.

Τριήρης, πόλις Συρίας. ὁ πολίτης Τριηρίτης.

Τρίκαλον καὶ **Τρίκαλα**, οὐδετέρως, πόλις Σικελῶν. Φίλιστος. τὸ ἐθνικὸν Τρικαλῖνος καὶ Τρικαλίνη θηλυκῶς.

Τρικάρανον, φρούριον τῆς Φλιασίας. Θεόπομπος πεντηκοστῷ πέμπτῳ. τὸ ἐθνικὸν Τρικαρανεύς ὡς Τρικολωνεύς, τῆς αὐτῆς χώρας ἀμφότερα.

---

1. *Τρεμιλέας* RV, *Τρεμιλέους* A, om. Pp. *Λυκὶξ* PR. *μετωνόμασεν* RV, *ὠνόμασεν* APp. 2. *Τρεμέλας* V. *τῶν* add. V. 4. *Καλλίνῳ τῷ* RV, *κιω̄* et *καλλίνω* Pp, *Καλλιμάχῳ* A. *Τρίρεας* R. 5. *ἄνδρας — καλεῖ* libri habent l. 7. post *Τρηχίτης*, transposuit X. 6. *Τριχίς* libri, *Τρηχίς* vel potius *Τρῆχις* postulabat ordo literarum. *Θωνίς Σαΐς* libri. 7. *Τριχίτης* libri.
8. *Ὄρνισιν*] vs. 1528 sq. verba negligenter exscripta sunt.
8. 9. *μανθάνω Τριβαλλοί* R, *μαραθωνοτριβαλλοί* A, *μανθωνοτριβαλλοί* V. 11. *νότου* V. 12. *Τριῆρες*] Non diversi a Treribus. *Τριῆρος?* *Ὀμβριάρεω* libri. 12. 13. *παιδὸς καὶ Θρᾴκης* R, *καὶ Θρᾴκης παιδός* AV. 14. *Τριήρεις* V. *Τριηρίτης* R, *Τριηρήτης* AV. 15. *Σικελῶν* M, *Σικελίας* X, *Σικέων* libri. 17. *Τρικάρανον* M, *Τρικάρανα* X, *Τρίκαρα* A, *Τρίκαραν* RV. Suidas: *Τρικάρανον φρούριόν ἐστι τῆς Ἀργείας οὕτω καλούμενον.* atque ita etiam Xenoph. Hell. 7, 2, 1. 18. *τὸ* add. RV. *ὡς* M, *καὶ* libri. verba *ὡς Τρικολωνεύς — ἀμφότερα* om. X, credo quod Tricaranon Phliasiae, Tricolonos autem infra Arcadiae fuisse dicit scriptor. at haec levis ratio est. Achaiae et Arcadiae fines parum certi et discreti.

Τρίκκη, πόλις Θεσσαλίας, ἀπὸ Τρίκκης τῆς Πηνειοῦ θυγατρός. τὸ ἐθνικὸν Τρικκαῖος.

Τρικόλωνοι, πόλις Ἀρκαδίας, ἀπὸ Τρικολώνου παιδὸς Λυκάονος. τὸ ἐθνικὸν Τρικολωνεύς.

Τρικόρυνθον, οὐδετέρως Δίδυμος καὶ Διόδωρος, Διονύσιος ἀρσενικῶς, Εὐφορίων θηλυκῶς. ἔστι δὲ δῆμος τῆς Αἰαντίδος φυλῆς. ὁ δημότης Τρικορύσιος, καὶ θηλυκὸν Τρικορυσία. Ἀριστοφάνης ἐν Λυσιστράτῃ „οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;" καὶ Τρικορυνθόθεν καὶ Τρικόρυνθόνδε καὶ Τρικορυνθοῖ.

Τριναχρία, ἡ Σικελία, παρὰ τὸ τρεῖς ἔχειν ἄκρας. τὸ ἐθνικὸν Τριναχριεύς. Καλλίμαχος δ' Αἰτίων α' Τρινάχριον πόντον φησίν. ἐκλήθη δ' οὕτως ἢ ὅτι τρεῖς ἄκρας ἔχει ἢ ὅτι θρίνακί ἐστιν ὁμοία. πολλὰ δὲ ἀπὸ τῆς ὁμοιότητος χωρία προσηγόρευται, Λυρνησσός Βρεντέσιον Σαρδώ. Σίβυλλα δὲ [διὰ τὸ] Τρίναχον [βούκολον] τὸν Ποσειδῶνος Σικελίας ἄρξαι,

Τριναχίης νήσου, ἣν ἔκτισε Τρίναχος ἥρως,
υἱὸς ποντομέδοιο Ποσειδάωνος ἄνακτος.

ὕστερον *Σικανία* ἐκλήθη ἀπὸ Σικανοῦ.

Τρινεμεῖς, δῆμος τῆς Κεκροπίδος φυλῆς. Διόδωρος καὶ Δίδυμος Τρινεμεῖς ἀναγράφουσι τὸν δῆμον, Καλλίμαχος

---

1. *Τριάκη* et mox *Τριάκης* V. 2. *Τρικαῖος* R, *Τριακαῖος* V. 5. *Τρικόλυνθον* RV, *Τρικόρυθον* Meursius. sed vide supra ad p. 618, 4. 8. *ἐν* add. V. *Λυσιστράτῃ*] vs. 1032. 9. *Τρικορυνθόθεν*] *Τρικορινθόδε* R. 10. *Τρικορυνθιοῖ* A, *Τρικορύνθιοι* R, *Τρικορίνθιοι* V. 12. *Τριναχριεύς* RV, *Τριναχρεύς* A. *Καλλίχαμος* R. 15. *Λυρνησσός* R, *Λυρνησός* AV. Lyrnessi nomen cuius rei similitudinem indicet mihi non compertum. *Βρεντέσιον* M, *Βρεντήσιον* H, *Βρεντίσιον* R, *Βρεντήσειον* A. ad rem cf. s. v. *Βρεντέσιον*. *Σαρδώ*] Quae a soleae similitudine *Ἰχνοῦσσα* et *Σανδαλῶτις* vel *Σανδαλώτη* dicebatur. 16. *διὰ τὸ* add. M. et ita legit Eustathius ad Dion. 467: *Σίβυλλα δέ φησιν ἀπὸ Τρινάκου* (*Τριναχοῦ* Bernhardy) *βουκόλου κληθῆναι εἰποῦσα „ἣν ἔκτισε Τριναχὸς ἥρως"*. *Τρίναχρον* libri. *βούκολον* add. ex Eustathio. 17. *Τριναχίης* H, *Τριναχρίης* RV, *Τριναχριεῖς* A. *Τρίναχος* (*Τριναχός* Bernhardy) Eustathius, *Τρίναχρος* libri. 18. *Ποσειδῶνος* AV, *Ποσειδωάνος* R. 19-21. *ὕστερον σιτρινεμιεῖς δῆμος* —

Ἑκάλῃ Τρινέμειαν. ὁ δημότης Τρινεμεύς. τὸ τοπικὸν Τρινεμέαθεν, εἰς τόπον Τρινεμῆνδε, ἐν τόπῳ Τρινεμεᾶσι.

Τρίνησσα, τόπος Φρυγίας. Θεόπομπος Ἑλληνικῶν τετάρτῳ. τὸ ἐθνικὸν Τρινησσαῖος.

Τρίοδος, τόπος τρεῖς ὁδοὺς ἔχων. ἀπὸ τριόδου Λυκηίδος. ἀπ' αὐτοῦ τριοδίτης, ὡς τοπίτης χωρίτης, καὶ θηλυκὸν τριοδῖτις. οὕτω γὰρ ἡ Ἑκάτη. αὕτη καὶ ἐνοδία ἐκλήθη, ὅτι ἐν τῇ ὁδῷ εὑρέθη ὑπὸ Ἰνάχου, τριοδῖτις δὲ ὅτι ἐν ταῖς τριόδοις τετίμηται.

Τριόπιον, πόλις Καρίας, ἀπὸ Τριόπου τοῦ πατρὸς Ἐρυσίχθονος. λέγεται καὶ Τριοπία. Ἑλλάνικος δὲ καὶ Τρίοπά φησιν αὐτὸν ἀπὸ τοῦ Τρίοψ. τὸ ἐθνικὸν Τριόπιος [καὶ Τριοπίτης] καὶ Τριοπῖτις τὸ θηλυκὸν καὶ Τριοπηίς, ὡς ἀπὸ τοῦ Τριοπεύς. καὶ τὸ κτητικὸν Τριοπικός. Τριοπικὸν ἱερόν. Ἡρόδοτος πρώτῃ.

ἀναγράφουσι τὸν δισκανία ἐκλήθη ἀπὸ Σικανοῦ συμ   Καλλίμαχος R, ὕστερον σιτρηνεμεῖς δῆμος — ἀναγράφουσι σικανία δὲ ἐκλήθη ἀπὸ Σικανοῦ συμ   Καλλίμαχος V, ὕστερον τρινεμεῖς δῆμος — ἀναγράφουσι τὸν δῆμον. ἐκλήθη ἀπὸ Σικανοῦ   Καλλίμαχος A, ὕστερον ἐκλήθη ἀπὸ Σικανοῦ * Τρινεμεῖς, δῆμος — ἀναγράφουσι τὸν δῆμον, Καλλίμαχος X. in συμ quid lateat nondum repperi.
1. ἐκάλει PpRV. τρινέμει RV, quorum V post τρινέμει quinque literarum lacunam indicat. τὸ τοπικὸν] τὸ ἐκ τόπου? 2. Τρινεμεῖνδε R. fortasse Τρινέμειάνδε vel Τρινεμειάνδε. Τρινεμεᾶσι R, Τρινεμεάσι AV. 3. Τρίνεσσα V. ποταμὸς R. an igitur πόλις? 5. ποταμὸς R. 5. 6. ἀπὸ τριόδου Λυκηίδος (Λυκεΐδος V) om. R. videntur hae esse laciniae verborum ex nescio quo scriptore allatorum, qui trivium in vicinia Lycei commemoraverat. mirum viros doctos Τρίοδος pro nomine proprio habuisse. 6. ἀπ' αὐτοῦ] αὐτόθεν V. 7. ἐνοδία] Cosmas in Maii Spicil. Rom. 2 p. 1458: τὴν Ἑκάτην οἱ μὲν εἶναι λέγουσι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν Σελήνην, οἱ δὲ ᾠδικήν τινα θεόν. leg. ὁδικήν.
8. ἱδρύθη? Ἰνάχῳ R, νάχω V. τοῖς V. 10. Τριόπου] Τριόπης RV. 10. 11. Ἐρισίχθονος RV. 12. φασιν R. Τρόπιος R. 12. 13. καὶ Τριοπίτης add. Salmasius. 13. Τριοπηίς Salmasius, Τριοπιίς libri. 14. Τροπιεύς V. Τροπικός et Τροπικὸν V. 15. πρώτῃ] c. 144.

Τριποδίσκος καὶ *Τριποδίσκοι*, κώμη τῆς Μεγαρίδος. λέγεται καὶ *Τριποδίσκη*. Ἡρωδιανὸς δωδεκάτῃ. ὁ κωμήτης Τριποδίσκιος. Καλλίμαχος δ' ἐν Αἰτίων ... πόλιν αὐτὴν εἶναί φησι.

Τρίπολις, πόλις Φοινίκης, διὰ τὸ ἐκ τριῶν πόλεων ἔχειν ἀποικίας, Ἀράδου Τύρου καὶ Σιδῶνος. ὁ πολίτης Τριπολίτης. ἔστι καὶ ἑτέρα Μακεδονίας καὶ ἄλλη Περραιβίας καὶ ἄλλη Καρίας, ἡ νῦν *Νεάπολις*, Μεσσηνίας καὶ Ἀρκαδίας καὶ Ἠπείρου, καὶ ἄλλη Ποντική.

Τριπόλισσοι, ἔθνος Θεσπρωτικόν, οὓς καὶ *Τριπολισσίους* καλεῖ Ῥιανὸς ἐν τῷ πεντεκαιδεκάτῳ.

Τρίσπλαι, ἔθνος Θράκιον. Ἑκαταῖος Εὐρώπῃ.

Τριταία, πόλις Ἀχαΐας. Στράβων ὀγδόῃ. ὁ πολίτης Τριταιεύς.

Τρίτεια, πόλις Τρωική, Ἀρισβαίων κτίσμα. ὁ πολίτης Τριτειεύς. ἔστι καὶ ἄλλη μεταξὺ Φωκίδος καὶ Λοκρῶν τῶν Ὀζολῶν. ἔστι καὶ Ἀχαΐας ἄλλη διὰ δύο ττ.

---

1. κωμήτης V, κωμίτης R, πολίτης A. 2. Τριποδίσκη] Hinc supple Arcadium p. 107, 15. 3. δ' αἰνετιῶν V, γ' Αἰτίων H, α' Αἰτίων alii. debebant certe Αἰτίων α', ut constanter Stephanus. indicavi igitur lacunam. 7. ἔστιν ἑτέρα RV. Περραιβίας RV, Περαιβίας A. 8. κάπολις V. Μεσσηνίας V, Μεσηνίας AR. 11. τῷ add. R. 13. Ἀχαΐας om. V. ὀγδόῃ] p. 341. 14. Τριτανεύς V. 16. Τριταιεύς V. καὶ ἄλλη] Haec non Τρίτεια dicta esse videri potest, sed Τριταία. Thucyd. 3, 101 enim Τριταιέας vocat, quod ad Τρίτεια revocari non potest. at eiusdem oppidi cives Herodoto 8, 33 audiunt Τριτέες, quod ad Τρίτεια spectat; itaque etiam apud Thucydidem Τριτέας scribendum videtur, qua gentilicii forma usus est etiam poeta apud Hesychium: Τριτῆες γενεήν· οἱ ἀπὸ τῶν Τριτέων πόλεως κύνες, ἥ ἐστι πλησίον Φωκίδος, ex quo versus initio etiam mensura nominis ad Τρίτων (Pausan. 7, 22, 8) referendi intelligitur. 17. δύο τ̄ W. sed vide p. 403. urbem dicit eandem quae supra Τριταία. vitiosae scripturae per duplex τ̄ vestigium superest in Τριτταιεύς gentilicio apud Polyb. 28, 6. ceterum haec verba ἔστι — ττ̄ in marginem reicienda puto.

Τρίτη, πόλις περὶ τὰς Ἡρακλείους στήλας. ἡ χρῆσις ἐν τῷ περὶ Σάλμυκα κεῖται.

Τρίτωνος, πολίχνιον Μακεδονίας. τὸ ἐθνικὸν Τριτώνιος.

Τριφυλία, ἡ Ἦλις. λέγονται καὶ Τρίφυλοι παρὰ τὸ οἰκισθῆναι ἀπὸ τριῶν φυλῶν ἢ ἀπὸ τριῶν πυλῶν ἢ ἀπὸ Τριφύλης τῆς Κλυτίου μητρός. ὁ οἰκήτωρ Τριφύλιος, καὶ θηλυκὸν Τριφυλίς ὡς Παμφυλίς.

Τριχώνιον, πόλις Αἰτωλίας. ὁ πολίτης Τριχωνιεύς, ὡς Δουλιχιεύς. καὶ Τριχόνιος εὕρηται διὰ τοῦ ο μικροῦ. λέγεται καὶ Τριχωνήιος. ἔστι καὶ Τριχωνίτης καὶ θηλυκὸν Τριχωνῖτις.

Τροία, χώρα Ἀσίας, ἡ πρότερον *Ἰδαία*, εἶτα *Τευκρίς*, εἶτα *Τροία* ἀπὸ Τρωός κατὰ Βοιωτούς, ἢ μᾶλλον ὡς βοιωτιακόν, ὡς Ἡρωδιανός. τὸ ἐθνικὸν Τρώς, ὁμόφωνον τῷ κτιστῇ, ὡς Ἀχαιός Δαναός Σικελός. τὸ θηλυκὸν Τρωίς καὶ Τρωιάς. ἢ παρὰ τὸ Τρώιος Τρωιάς, ὡς Λέσβιος Λεσβιάς. ἔστι καὶ Τρῴα θηλυκῶς. [καὶ Τρωίς καὶ Τρωιάς.] καὶ Τρωικόν τὸ κτητικόν. καὶ Τρωίη. εἰσὶ καὶ ἄλλαι Τροῖαι. ἐν Ἀττικῇ κώμη, ἥ τις νῦν *Ξυπετή* δῆμος καλεῖται. ἔστι καὶ πόλις ἐν Κεστρίᾳ

---

2. *Σαμύκλα* ante H. 5. *ἀπὸ τριῶν* R, *ἀπὸ τῶν τριῶν* A. 6. 7. *Τριφυ* (λ) *καὶ θηλυκὸν Τριφυλοῖς* V. 10. *Τριχωνήιος*] Hac forma cum epicus poeta usus esse videatur, nescio an rectius sit *Τριχονήιος*. 13. 14. *ἀπὸ Τρωός — ὡς Ἡρωδιανός*] Troiae nomen ad *Τρώς* revocatum proprie esse debebat *Τρῴα*. Boeoticum autem est *οι* dicere pro *ῳ*, ut in *γελοῖος αἰδοῖος* multisque aliis. hinc est quod *Τροία βοιωτικὸν ὄνομα* dicitur etiam ab Etym. M. p. 770, 14. Herodiano contra *Τροία* ionicum fuisse videtur: *ἢ μᾶλλον, ὡς χλοιός, ἰακόν*. ita enim fere corruptissima verba *ὡς βοιωτιακόν*, quae V omittit, corrigenda videntur, quamquam pro *χλοιός*, quod Dorienses et Attici *χλῳός* dicebant, fortasse aliud nomen Herodianus posuerat. 15. *Τρωάς* W. 16. 17. *ἢ παρὰ — καὶ Τρωιάς* om. R. postrema seclusit M. 17. *Τρῳά?* *Τρωικός* Salmasius. 18. *καὶ Τρωική* X. *Ἀττικῷ* V. 19. *Ξυπετί* V, *Ξυπέτη* R, *Ξυπετῇ* A. vide Strab. 13 p. 604. *ἐν Κεστρίᾳ*] Epiroticam Troiam praeter Virgil. Aen. 3, 349. et Varronem apud Servium ad Virg. l. l. memorat Dionysius Halic. 1, 51. in cod. Vatic: *δηλοῖ δὲ καὶ ὡς Βουτρωτὸν τῶν Τρώων παρουσίαν*

τῆς Χαονίας. ἔστι καὶ τῆς Αἰγύπτου πόλις· ὁ πολίτης Τρωίτης. ἔστι καὶ Τρωίτης ποταμὸς καὶ Τρωικὸν ὄρος Αἰγύπτου. ἔστι καὶ Τροία πρὸς τῷ Ἀδρίᾳ τῆς Βενετίας, καὶ ἄλλη Λατίνων.

Τροιζήν, πόλις Πελοποννήσου, ἀπὸ Τροιζῆνος τοῦ Πέλοπος. ἐκαλεῖτο δὲ Ἀφροδισιάς καὶ Σαρωνία καὶ Ποσειδωνιάς καὶ Ἀπολλωνιάς καὶ Ἀνθανίς. τὸ ἐθνικὸν Τροιζήνιος καὶ Τροιζηνία, καὶ Τροιζηνίς, καὶ οὐδέτερον Τροιζήνιον. ἔστι καὶ ἄλλη Τροιζὴν ἐν Μασσαλίᾳ τῆς Ἰταλίας, ἣν Χάραξ Τροιζηνίδα χώραν φησί.

Τροκμοί, ἔθνος Γαλατικόν. ἐκαλοῦντο δὲ καὶ Τροκμηνοί.

Τρόπις, νῆσος .... Ἀρτεμίδωρος ἐν δευτέρῳ γεωγραφουμένων.

Τρῦχαι, πόλις Εὐβοίας. Λυκόφρων δὲ μεταφράσας Τρύχαντα καλεῖ. τὸ ἐθνικὸν Τρυχεύς, τοῦ δὲ Τρύχαντος Τρυχάντιος.

Τρώγιλος, χωρίον ἐν Σικελίᾳ. ἔστι καὶ [χώρα] Μακε-

λόφος τις, ᾧ ποτε στρατοπέδῳ ἐχρήσαντο, Τροία καλούμενος.
1. *Αἰγύπτου πόλις*] Haec *Τρῶις* dicta videtur. *πόλεος* V. 2. *ὄρος* om. V. 3. *πρὸς τὸ* V. *Ἀδρίᾳ* R, *Ἀδριάτῃ* AV. 5. *Τροίζην* et mox *Τροίζηνος* R. 6.7. *Ποσειδωνιάς*] *Ποσειδωνία ἢ Ποσειδωνίας* Eustath. ad Hom. p. 287, 12. 7. *Ἀνθανίς* dicta Troezen non ab Anthe illo, qui Halicarnassi conditor exstitit, ut putabat H, sed ab Neptuni filio, de quo cf. Pausan. 2, 30, 8. *τὸ ἐθνικὸν* RV, *καὶ τὸ ἐθνικὸν* A. 8. *καὶ* [*τὸ θηλυκὸν*] *Τροιζηνία* Pp, i. e. ut opinor Salmasius. *Τροιζηνιάς* pro *Τροιζηνία* V. 9. *Τροίζην* R. *ἐν Μασσαλίᾳ τῆς Ἰταλίας*] Eustathius ad Hom. p. 287, 13: *ἐν Ἰταλίᾳ Μασσαλιωτικῇ*. possis *τῆς Γαλατίας* pro *τῆς Ἰταλίας*, sed non necessarium. 11. *Τρόκμοι* libri, ut apud Ptolem. 5, 4, 9. et Strab. 4 p. 187. aliisque locis, contra admonitionem Herodiani. v. Arcad. p. 58, 17. ubi *Τρωκμοί* scriptum est. 12. indicavi lacunam. 15. *Τρίχαι* vulgo. *Λυκόφρων*] vs. 374: *σπίλοι τε καὶ Τρυχαντὰ καὶ τραχὺς Νέδων*, ubi Stephanum legisse videri *κὰτ Τρύχαντα* monuit Hermannus Opusc. vol. 5 p. 240. *μεταπλάσας?* 15. *Τρίχαντα* V. 17. *Τρυχάντειος?* 18. *χωρίον* Cluverus, *χώρα* libri. *χώρα* suppositis punctis delendum esse monet R. recte, si *Τρώγιλος* Macedonica eadem est quae supra *Τράγιλος*.

δονίας. τὸ ἐθνικὸν Τρωγίλιος καὶ Τρωγιλία. ἔστι καὶ Τρωγιλία τῆς Μυκάλης, ἣ λέγεται καὶ Τρωγίλιον.

Τρῳάς, ἡ χώρα τοῦ Ἰλίου, ἣ ἐκαλεῖτο Τευκρὶς καὶ Δαρδανία καὶ Ξάνθη. τὸ ἐθνικὸν Τρῳαδεύς. ἐντεῦθεν ἦν καὶ „Ἡγησιάναξ γραμματικός, γράψας περὶ τῆς Δημοκρίτου λέξεως βιβλίον ἓν καὶ περὶ ποιητικῶν λέξεων. ἦν δὲ Τρῳαδεύς".

Τύανα, πόλις μέση Κιλικίας καὶ Καππαδοκίας „ὑποπεπτωκυῖα τῷ Ταύρῳ τῷ κατὰ τὰς Κιλικίας πύλας". οἱ πολῖται Τυανεῖς ὡς Ἀδανεῖς. λέγεται καὶ Τυανίτης καὶ Τυανῖτις θηλυκόν. ἐκαλεῖτο δὲ Θόανα καὶ κατὰ παραγραμματισμὸν Τύανα, ὡς Ἀρριανός. ἔστι καὶ Τύανα πόλις Αἰγύπτου, ἣ μᾶλλον ἀναλογεῖ τὸ Τυανίτης διὰ τὴν Αἰγυπτίων χώραν.

Τύδερτα, πόλις Τυρρηνική, οὐδετέρως. τὸ ἐθνικὸν Τυδερτῖνος.

Τυῆνις, πόλις Κόλχων, ἀπὸ Τυηνίδος ποταμοῦ. τὸ ἐθνικὸν Τυηνίτης.

Τυλησσός, ὄρος Ἰταλίας. τὸ τοπικὸν Τυλήσσιος. Λυκόφρων „ἄλλοι δὲ πρῶνας δυσβάτους Τυλησσίων".

Τύλις, πόλις Θρᾴκης τοῦ Αἵμου πλησίον. καὶ κλίνεται Τύλεως. τὸ ἐθνικὸν Τυλίτης ὡς Μεμφίτης.

Τυμέναιον, ὄρος περὶ Φρυγίαν. οἱ κατοικοῦντες Τυμεναῖοι.

Τύμηνα, κώμη Λυκίας. ἐκλήθη δὲ ἀπό τινος τράγου

2. *Τρωγίλιος* H, cll. Strab. p. 636. 3. *Τρωϊάς* vulgo. 4. *Τρῳαδεύς*] *Τρῳαδήσιος* novitia forma est apud Anonymum de Theodori rebus ap. Maium Spicil. Rom. 2 p. 18. 7. 8. *ὑποπεπτωκυῖα — πύλας*] Strabonis verba 12 p. 537. 8. *Κιλικίας* PpV, *Κιλικίους* AR. 9. *λέγονται* V. 10. 11. *παραγραμμισμὸν* V. 11. *Ἀρριανός*] Peripl. P. E. p. 6. 12. 13. *Αἰγυπτίων* M, *Αἰγυπτίαν* W, *Αἰγύπτιον* libri. *διὰ τὸν Αἰγύπτιον χαρακτῆρα* Salmasius. idem significat editum. 16. *Τυῆνις*] Supra *Πυῆνις*. 17. *Τυηνῖτις* R. 18. 19. *Λυκόφρων*] vs. 993. ubi Tzetzes: *Τυλλήσιον ὄρος καὶ πόλις καὶ δρυμὸς ἐν Ἰταλίᾳ*. cf. Boeckh. ad C. I. vol. 2 p. 17. 19. *ἄλλους* R. *Τυλησίους* Lycophro. 20. *καὶ* om. R. 24. *Τύμηνα* RV, *Τύμηννα* A. *ἐκλήθη*] Haec ex Alexandri Lyciacis desumpta videntur.

οὕτως ὀνομαζομένου, ὃς ἀπαλλασσόμενος ἀπὸ τοῦ αἰπολίου ἤρχετο τὸν πώγωνα βεβρεγμένος, ᾧ κατακολουθήσαντες εὗρον πηγὴν ἔν τινι λόχμῃ. καὶ ταύτην καὶ τὸ χωρίον οὕτω καλέσαι. τὸ ἐθνικὸν Τυμηνεύς, ὡς Πιναρεύς Παταρεύς· χαίρουσι γὰρ οἱ Λύκιοι τῷ τύπῳ τούτῳ.

Τύμης, Τύμητος, πόλις Λιβύης. τὸ ἐθνικὸν Τυμήσιος, ὡς Φαγρήσιος Μαγνήσιος.

Τυμνησσός, πόλις Καρίας, ἀπὸ Τυμνησσοῦ ῥάβδου· Ξάνθιοι γὰρ τὴν ῥάβδον τυμνίαν λέγουσιν. ὁ πολίτης Τυμνησσεύς, ὡς Ἀλέξανδρος ἐν πρώτῳ Λυκιακῶν.

Τύμνος, πόλις Καρίας. ὁ πολίτης Τύμνιος. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας δευτέρῳ.

Τύμφη, ὄρος Θεσπρωτικόν. καὶ Τυμφαία πόλις. τὸ ἐθνικὸν Τυμφαῖος καὶ θηλυκῶς Τυμφαία. καὶ κτητικὸν Τυμφαϊκόν. καὶ Τυμφαιίς ὡς Ἀχαιίς.

Τύμωλος. οὕτως ὁ Τμῶλος κατὰ ποιητικὸν μετασχηματισμόν.

Τύνης, Τύνητος, πόλις Σικελίας. τὸ ἐθνικὸν [Τυνήσιος, καὶ] Τυνησαῖος ὡς Φαγρησαῖος Γυμνησαῖος Ἀδρυμησαῖος.

---

3. ἐκάλεσαν X. 4. Τιμηνεύς V. Πιναρεύς H, Πραρεύς libri. nisi malis Πλαρασεύς. 6. Τύμης eadem quae infra Τύνης. 7. Φαγρήσιος H, Σφαγήσιος A, Φραγήσιος R, Φαγήσιος V. 8. Τυμνησσός V, Τυμνισσός AR. Τυμνησοῦ RV, Τυμνισσοῦ A. delendum hoc aut verba ἀπὸ Τυμνησσοῦ ῥάβδου ex pluribus contracta sunt. Stephanum dixisse suspicor Tymnessum urbem alios a Tymnesso conditore, alios a τυμνία i. e. ῥάβδος appellatam esse credere. 9. 10. Τυμνησσεύς V, Τυμνισσεύς AR. 10. ὁ pro ὡς V. 13. Θεσπρωτῶν RV. Τυμφία RV, Τυμφαία A. 15. καὶ] τῆς RV. 16. ὁ Τάμυλος καὶ κατὰ V. 16. 17. μετασχηματισμὸν PpR, σχηματισμόν A. 18. πόλις [Λιβύης, ἀντικρὺ] Σικελίας? 18. 19. Τυνήσιος καὶ add. M. 19. Τυνησαῖος] Salmasius Τυνήσιος, et ad eandem rationem cetera exempla immutari voluit. Φαγρησαῖος disertim noster suo loco commemorat s. v. Φάγρης. τὸ ἐθνικὸν Φαγρήσιος. λέγεται καὶ Φαγρησαῖος. unde colligi potest, etiam ceterorum nominum duplex fuisse gentilicium in ιος et αιος. Φαγρησαῖος RV, Φρυγησαῖος A.

Τύπαιον, ὄρος Ἤλιδος. Παυσανίας Ἠλιακῶν α΄.

Τυπανέαι, πόλις Τριφυλίας. τὸ ἐθνικὸν Τυπανεάτης ὡς Φενεάτης.

Τύρας, πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ. καὶ ἔδει παρὰ τὸν Τύραν Τυράτην εἶναι τὸ ἐθνικόν. ἔστι καὶ Τυρίτης ἀπὸ τοῦ *Τύρις*. ὁ δὲ πολυίστωρ τὸν ποταμὸν καὶ τὴν πόλιν Τύραν, τοὺς δὲ πολίτας Τυρανούς. ἐκαλεῖτο δ' *Ὀφιοῦσσα*.

Τυρακῖναι, πόλις Σικελίας, μικρὰ μὲν εὐδαίμων δ' ὅμως. τὸ ἐθνικὸν Τυρακιναῖος καὶ Τυρακιναία θηλυκόν. Τυρακὴν δὲ αὐτὴν Ἀλέξανδρος ἐν Εὐρώπῃ καλεῖ.

Τυριτάκη, πόλις Πόντου. τὸ ἐθνικὸν Τυριτακαῖος καὶ Τυριτακηνός τῷ συνήθει τύπῳ.

Τυρμένιοι, Σκυθικὸν ἔθνος ναυτικώτατον. ἑρμηνεύονται δὲ φυγάδες.

Τυρμίδαι, δῆμος Οἰνηίδος φυλῆς. ὁ δημότης Τυρμίδης. τὰ τοπικὰ ἐκ Τυρμιδῶν εἰς Τυρμιδῶν ἐν Τυρμιδῶν.

Τυρόδιζα, πόλις Θρᾴκης μετὰ Σέρριον. Ἑλλάνικος δὲ

---

1. α΄] c. 6, 7. ubi *Τυπαῖον*. 2. *Τριφυλιάτης* V. 3. ὡς *Τενεάτης*? non enim *Φενέα* dicitur, sed *Φενεός*. 5. *περὶ* V. *εἶναι. τὸ ἐθνικόν ἐστι* R. 7. *Τυραννούς* V. 8. *Ὀφύουσα* V. 9. *Τυρακῖναι*] Haec Cluvero Sic. ant. 2, 13 p. 388. eadem esse videtur quae Diodoro Sic. 12, 29. dicitur *Τιρακίη*. idem admonet Plinii NH. 3, 8. qui memorat Tiracienses (codd. Hard. Triracienses), quos Diodorus *Τιρακίους* appellat. si recte nomen scriptum est apud Stephanum, articulus hic ante *Τύρας* transponendus est. 9. 10. *μικρὰ μὲν εὐδαίμων δ' ὅμως* videntur chorographi qui versibus scripsit, e. c. Apollodori, verba esse. 10. *τὸ ἐθνικὸν* V, *τὰ ἐθνικὰ* AR. *θηλυκῶς* R. 10. 11. *Τυρακὴν* R, *Τυράκηνον* V, *Τυράκινον* Salmasius. 12. *Τυριτάκη* V, *Τυριδάκη* R, *Τυριτιτάκη* A. 13. *Τυρητακηνός* V. 15. *δὲ* om. RV. 16. *Ἠνηίδος* V. 17. *τὸ τοπικὸν* libri. *ἐς* V. 18. *Τυρρέδιζα* R, *Τυρέδιζα* AV. *Τυρόδιζα* postulabat ordo literarum, eamque formam posuisse Stephanum, etiam sequentia docent. nec aliam habet Catal. trib. no. 8. 33. 138. *μετὰ*] Ne tentes *κατά*, vide ad p. 274, 11.

Τυρόριζαν αὐτήν φησιν ἐν Περσικῶν δευτέρῳ. τὸ ἐθνικὸν ἔδει Τυροδιζαῖος ὡς Γαζαῖος. νῦν δὲ Τυροδιζηνοί λέγονται, ὡς Κρατερὸς ἐν θ' περὶ ψηφισμάτων.

Τύρος, νῆσος ἐν Φοινίκῃ, ἀπὸ Τύρου τοῦ Φοίνικος. ἔστι καὶ *Τύρος* τῆς Λακωνικῆς καὶ νῆσος πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ, ἣν Ἀρτεμίδωρος *Τύλον* διὰ τοῦ λ καλεῖ. ἔστι καὶ πόλις Ἰνδίας καὶ Λυδίας καὶ Πισιδίας. Ἀρριανὸς δὲ τὰ *Ἄναθα* Τύρον καλεῖ. τὸ ἐθνικὸν Τύριος καὶ Τυρία θηλυκὸν καὶ τὸ οὐδέτερον Τύριον. καὶ τὸ κτητικὸν Τυριακός ὡς Ῥοδιακός. ἐκλήθη δὲ καὶ *Παλαίτυρος* καὶ τὸ ἐθνικὸν Παλαιτύριος.

Τυρρηνία, χώρα πρὸς τῷ Ἀδρίᾳ, ἀπὸ Τυρρηνοῦ. ἔστι καὶ *Τυρρηνία* πόλις, ἣ λέγεται καὶ *Τυρρηνή*. καὶ Τυρρηνοί οἱ πολῖται. καὶ Τυρσηνὴ θάλασσα καὶ Τυρσηνίς. καὶ κτητικὸν Τυρσηνικός καὶ Τυρσηνική καὶ Τυρσηνικόν. λέγονται καὶ Τυρρηνοί οἱ Ἀδριᾶται, ἀπὸ Τυρρηνοῦ ... κατὰ Δωρίδα διάλεκτον, ἀφ' οὗ κατὰ ἀφαίρεσιν καὶ γράμματος προσθέσει τύραννος ἐκλήθη.

Τύρσητα, πόλις Σαυνιτῶν. Φίλιστος ἑνδεκάτῳ. τὸ ἐθνικὸν Τυρσητῖνος.

Τύσκλος, πόλις Ἰταλίας. λέγεται καὶ *Τυσκλανόν*. τὸ ἐθνικὸν Τυσκλανός.

Τυφρηστός, πόλις τῆς Τραχῖνος ὀνομασθεῖσα ἀπὸ τῆς τέφρας Ἡρακλέους ἢ ἀπὸ Τυφρηστοῦ υἱοῦ Σπερχειοῦ. τὸ ἐθνικὸν Τυφρήστιος. καὶ τὸ οὐδέτερον Παρθένιος „Τυφρήστιον αἶπος". λέγεται καὶ ὄρος ἀρσενικῶς *Τυφρηστός*.

---

1. *Τυρόρριζαν* V. formam *Τυρόριζα* fortasse ex vitioso sive Hellanici sive Herodiani codice recepit. 2. *ἔδει* M, *δεῖ* libri. 3. *Κρατῖνος* R. *θ'* ex *Γ* correctum R, *γ'* V, *τρίτῳ* A. unice verum esse *θ'* alio loco demonstrabitur. 7. *Ἰνδίας* R, *Ἰνδικὴ* AV. *Πησιδίας* V. 9. alterum *τὸ* add. V. 10. *Πάλτυρος* R. 12. *Τυρρήνη* V. 14. *λέγεται* R. 15. *ἀπὸ Τυρηνοῦ* V. indicavi lacunam. excidisse videtur *καὶ Τυρρανός*. 16. *προσθέσει* R, *πρόσθεσιν* A. 17. *Τυρρανός* V. 18. *Τυρσητία*? vide supra *Σητία*. *Σαυνιτῶν* X, *Ταυνιτῶν* AR, *Ταυνιστῶν* V. 21. *Τυσκλανοί* V. 24. *Πάρθιος* V. 24. *Τυφρίστιος* et mox *Τυφρίστιον* R. 25. *αἶπος* Salmasius, *ἔπος* libri. cf. Anall. Alex. p. 289. *λέγεται* add. RV. *Τυφριστός* V.

Τύχη, πόλις Σικελίας πλησίον Συρακουσῶν. Ἔφορος ἐν δωδεκάτῳ νῆσον Τυχίαν φησίν. ἔστι δὲ καὶ Τυχαῖον ὄρος μεταξὺ Ἐρετρίας καὶ Βοιωτίας. τὸ ἐθνικὸν τῆς Τύχης Τυχαῖος.

Ὑαία, πόλις Λοκρῶν τῶν Ὀζολῶν. τὸ ἐθνικὸν Ὑαῖος. Θουκυδίδης τρίτῃ.

Ὕαμεια, πόλις Μεσσήνης, τῶν πέντε μία. ὁ πολίτης Ὑαμίτης ἢ Ὑαμείτης διὰ διφθόγγου.

Ὑάμιον, πόλις Τρωική. τὸ ἐθνικὸν Ὑάμιος ὡς Βυζάντιος, καὶ Ὑαμιεύς ὡς Δουλιχιεύς.

Ὑάμπολις, πόλις Φωκίδος. ὁ οἰκήτωρ Ὑαμπολίτης.

Ὕαντες, ἔθνος περὶ Ἀλαλκομένιον. λέγονται καὶ Ὑάντειοι. καὶ Ὑάντιος καὶ Ὑαντία, καὶ Ὑαντῖνοι καὶ Ὑαντίνη θηλυκῶς. ἔστι καὶ Ὑαντία πόλις Λοκρῶν.

Ὑάπεια, πόλις Φωκίδος, ἀπὸ Ὑάπου. ὁ πολίτης Ὑαπεύς.

Ὕασις, πόλις Λιβύης. λέγεται καὶ Ὄασις καὶ ὁ πολίτης Ὀασίτης, ὁ ποιητὴς Σωτήριχος ὁ καὶ τὰ πάτρια γεγραφὼς αὐτοῦ. ὁ πολίτης Ὑασίτης.

Ὕβα. οὕτως ὁ δῆμος τῆς Λεοντίδος φυλῆς. τινὲς δὲ τὸν δῆμον Ὑβάδαι λέγουσι. τὰ τοπικὰ ἐξ Ὑβαδῶν εἰς Ὑβαδῶν ἐν Ὑβαδῶν.

Ὑβέλη, πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Ὑβελίτης.

Ὕβλαι τρεῖς πόλεις Σικελίας, ἡ μείζων ἧς οἱ πολῖται Ὑβλαῖοι, ἡ μικρὰ ἧς οἱ πολῖται Ὑβλαῖοι Γαλεῶται Μεγαρεῖς.

---

1. ἐν τῇ R. 4. Ὑαία] Hoc urbis nomen ex Thucyd. 3, 101. ubi οἱ Ὑαῖοι memorantur, ipsum finxisse Stephanum intellexit H. τῶν add. R. 5. τρίτῃ] c. 101. 6. Μεσήνης R. 7. ἢ R. 11. παρὰ R. Ἀλαλκομένιον H, Ἀλαλκομενίαν libri. 11.12. Ὑάντειοι RV, Ὑάντιοι A. 17. ὁ καὶ H, καὶ ὁ libri. τὰ πάτρια] Haec non comparent in recensu carminum Soterichi apud Suidam. 18. αὐτοῦ add. RV. 20.21. Ὑβάδω ter R, Ὑβάδων AV. 22. παρὰ R. Λιβύῃ B, sine causa. 25. Ὑβλαῖοι om. X.

ἡ δὲ ἐλάττων Ἡραία καλεῖται. ἔστι καὶ πόλις Ἰταλίας. τὴν δὲ Ὕβλαν, ἀπὸ Ὕβλου τοῦ βασιλέως, διὰ τὸ πολλὰς Ὕβλας καλεῖσθαι τῶν Σικελῶν πόλεων τοὺς ἐνοικοῦντας ἐκάλουν Μεγαρέας. μία δὲ τῶν Ὑβλῶν Στύελλα καλεῖται, ὡς Φίλιστος τετάρτῳ Σικελικῶν.

Ὑγασσός, πόλις Καρίας, ὡς Βουβασσός Κρυασσός. τὸ ἐθνικὸν Ὑγάσσιος ὡς Βουβάσσιος. λέγεται καὶ Ὑγάσσειον πεδίον διὰ διφθόγγου, ἀφ' οὗ καὶ Ὑγασσεύς.

Ὑδάρκαι, ἔθνος Ἰνδικὸν ἀντιταξάμενον Διονύσῳ, ὡς Διονύσιος Βασσαρικῶν τρίτῳ.

Ὕδη, πόλις Λυδίας, ἐν ᾗ ᾤκει Ὀμφάλη δυναστεύουσα Λυδῶν, Ἰαρδάνου θυγάτηρ, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. Ὅμηρος διὰ τοῦ λ „σκυτοτόμων ὄχ' ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων". τὸ ἐθνικὸν Ὑδαῖος. Μαιάνδριος δ', ὃν Νικάνωρ παρατίθησιν ἐν μετονομασίαις, τὴν αὐτὴν Ὕδην καὶ Σάρδεις φησίν.

Ὑδισσός, πόλις Καρίας, ἀπὸ Ὑδισσοῦ παιδὸς Βελλεροφόντου καὶ Ἀστερίας θυγατρὸς Ὑδέου, ὡς Ἀπολλώνιος Καρικῶν τετάρτῳ. ἐξ ὧν ἐγεννήθη Ὕδης, ἐξ οὗ καὶ ἡ πόλις Ὑδισσός. ὁ πολίτης Ὑδισσεύς, ὡς αὐτὸς Ἀπολλώνιός φησιν.

Ὕδρα, νῆσος Λιβύης περὶ Καρχηδόνα, ὡς Ἔφορος πέμπτῳ. τὸ ἐθνικὸν Ὑδραῖος ἢ Ὑδράτης.

---

1. *Ἡραία* Cluverus, *Ἥρα* libri. 1. 2. *τὴν δὲ* om. Pr, *ἡ δὲ* E. Millerus. 2. *Ὕβλα* Pr et Millerus, *Ὕλαν* (*ὕλην* V) PRV. *Ὕλου* PRV. *διὰ τὸ* PRV, *διὰ τοῦτο* A. 3. 4. *ἐκάλουν Μεγαρέας* RV, *Μεγαρέας ἐκάλουν* AP. 4. *Στύελλα* Cluverus, *Τίελλα* AV, *Τίελα* R. 6. *Ὕγασσος* libri. *Βουβασσός* (vulgo *Βούβασσος*) eadem quae supra *Βυβασσός*. *Κρύασσος* B, *Καρύασσος* libri. 8. *καὶ* add. V. 12. *Ἰορδάνου* ante H. 13. *Ὅμηρος*] Il. 7, 221. 14. *Μαιάνδριος* vel *Μαίανδρος* M, *Νέανδρος* R, *Λέανδρος* AV. vide Exerc. phil. ad Athen. spec. 2 p. 15. *ὃν ἰκάνωρ* R, *ὁ Νικάνωρ* AV. 17. *Ὑδισσός*] Rectius puto *Ὑδησσός*. 18. *Ὑδαίου* R, *Ὑδέως* Salmasius. 19. *Ὕδης* R, *Ὕδις* AV, *Ὑδισσός* Salmasius. 20. *Ὑδησσός* R. 21. *παρὰ* R. 22. *Ὑδράτης*] Libyco typo magis conveniret *Ὑδρίτης*.

Ὑδραμία, πόλις Κρήτης, ὡς Ξενίων ὁ τὰ Κρητικὰ γράψας. οἱ πολῖται Ὑδραμιεῖς ὡς Μεγαρεῖς.

Ὑδρέα, νῆσος πρὸς τῇ Τροιζῆνι. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν Ὑδρεάτης· οὕτω γὰρ ἐχρημάτιζεν Εὐάγης Ὑδρεάτης κωμῳδίας ποιητής, ὡς Διονύσιος εἰκοστῷ τρίτῳ τῆς μουσικῆς ἱστορίας „ἦν δ' ὁ Εὐάγης ποιμήν τις ἀγράμματος δηλαδὴ καὶ τῆς ἄλλης παιδείας ἄπειρος, ποιητὴς δ' ἀγαθὸς κωμῳδιῶν".

Ὕδρηλα, πόλις Καρίας. Ἐρατοσθένης τριακοστῷ τρίτῳ Γαλατικῶν. τὸ ἐθνικὸν Ὑδρηλεύς.

Ὑδροῦς, φρούριον .... ἀρσενικῶς. Θεόπομπος τριακοστῷ ἐνάτῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Ὑδρούντιος ὡς Σελινούντιος. ἔστι καὶ πόλις Ἰταλίας. τὸ ἐθνικὸν Ὑδρουσαῖος καὶ Ὑδρούσιος.

Ὑηττός, κώμη Βοιωτίας, ἀπὸ Ὑηττοῦ ἀνδρὸς Ἀργείου. λέγεται καὶ ἀρσενικῶς. ὠνόμασται δ' οὕτως διὰ τὸ καθύεσθαι σφοδροῖς ὄμβροις. τὸ ἐθνικὸν Ὑήττιος ὡς Ὑμήττιος. τινὲς δὲ τὴν Ἀσπληδόνα Ὑηττὸν ἐκάλεσαν.

Ὑθμῖται, ἔθνος πρὸς Λιβυρνοῖς καὶ Συωπίοις, ὥς φησιν Ἑκαταῖος Εὐρώπῃ.

Ὕκαρον, φρούριον Σικελίας, ὡς Φίλιστος Σικελικῶν πρώτῳ. Ἀπολλόδωρος δ' ἐν δευτέρῳ χρονικῶν πόλιν λέγει αὐτὴν τὰ Ὕκαρα. μέμνηται τῆς λέξεως καὶ Θουκυδίδης.

---

2. *Μεγαρεῖς* parum apte comparatur cum *Ὑδραμιεῖς*. forsan *Μακαριεῖς*, quod ut a *Μακαρία* formatur, ita *Ὑδραμιεύς* ab *Ὑδραμία*. 3. *Ὑδραῖα* R, *Ὑδρεία* H. debebat *Ὕδρεια*. 6. *ἱστορεῖ* R. de Dionysii *ἱστορίᾳ μουσικῇ* vide quae dicta sunt in Hist. com. p. 16 et 608. 9. *πόλις* H, *τῆς* libri. 11. indicavi lacunam. 13. *Ὑδρουσαῖος καὶ Ὑδρούσιος* R, *Ὑδρουσσαῖος καὶ Ὑδρούσσιος* A, *Ὑδρουσσαῖος καὶ Ὑδρούσιος* V. 14. *Ὑήττου* libri. 16. *ὡς* om. V. 17. *Ὕηττον* libri. 18. *Σιωπίοις* V. 20. *Ὕκκαρον* libri. v. Exerc. phil. in Athen. spec. 1 p. 27. *φρούριον* RV, *πόλις* A. 22. *Ὕκαρα* RV, *Ὕκκαρα* A. *τῆς λέξεως*] Nunquam ita noster de urbis populive nomine. *Θουκυδίδης*] 6, 21. sequentia verba *Ὕκκαρα* (*Ὕκαρα* recte RV) *δὲ πόλισμά ἐστι τῆς Σικελίας* aut ex Thucydideis, *Ὕκαρα πόλισμα Σικανικόν*, detorta sunt, aut interpolatori debentur. contra hoc loco eorum aliqua olim lecta

Ὕκαρα δὲ πόλισμά ἐστι τῆς Σικελίας. ἔνθεν φασὶ γενέσθαι καὶ Λαΐδα τὴν ἑταίραν. τὸ ἐθνικὸν Ὑκαρεύς καὶ κτητικὸν Ὑκαρικός.

Ὑλαία, χώρα Ποντική, Ἀβική λεγομένη τουτέστιν ὑλαία. Ἀλέξανδρος ἐν τῷ περὶ Πόντου.

Ὕλαμοι, πόλις Λυκίας, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν δευτέρῳ περὶ Λυκίας. εἶτα Διονύσιός φησι Τούβεριν καὶ Τέρμεριν δύο ἀδελφὰς γῆμαι καὶ γεννῆσαι δέκα ἄρρενας ἑκάτερον. Ὑλάμους δὲ τοὺς καρπούς φασι. τὸ ἐθνικὸν Ὑλαμίτης.

Ὕλη, πόλις Κύπρου, ἐν ᾗ Ἀπόλλων τιμᾶται Ὑλάτης. Λυκόφρων „καὶ Σέτραχον βλώξαντες Ὑλάτου τε γῆν". ἔστι καὶ πόλις Λοκρῶν τῶν Ὀζολῶν, ἧς τὸ ἐθνικὸν Ὑλαῖος. δῆλον δ' ὅτι καὶ Βοιωτίας ἦν ἡ Ὕλη. Ὅμηρος „οἵ τ' Ἐλεῶν' εἶχον ἠδ' Ὕλην καὶ Πετεῶνα". εἰρῆσθαι δ' αὐτὴν ἀπὸ Ὕλης τῆς Θεσπιέως, ἢ ὅτι ὑλώδης ἐστί. καὶ Ὕλη χωρίον μεταξὺ τῆς Σαβίνων καὶ Ῥωμαίων πόλεως.

Ὑλλάριμα, πολίχνιον Καρίας ὕπερθε Στρατονικείας, ὅθεν ἦν Ἱεροκλῆς, ὁ ἀπὸ ἀθλήσεων ἐπὶ φιλοσοφίαν ἀχθείς. ὁ πολίτης Ὑλλαριμεύς.

Ὑλλεῖς, ἔθνος Ἰλλυρικόν, ἀπὸ Ὕλλου τοῦ Ἡρακλέους καὶ Μελίτης τῆς Αἰγαίου τοῦ ποταμοῦ, ὡς Ἀπολλώνιος

---

fuisse suspicor, quae nunc non suo loco posita habemus s. v. Εὐκάρπεια p. 285, ubi quae inde a lin. 10: ἔστι καὶ Εὐκαρπία usque ad lin. 13: ἐν ἐπιστολῇ scripta sunt, pariter atque ultima articuli verba: δυνατὸν δὲ etc. ex margine illata esse veri simile est.

1. Ὕκαρα RV, Ὕκκαρα A. ἔνθα R. 2. Ὑκκαρεύς et mox Ὑκκαρικός libri. 4. Ὑλαία H, Ὑλέα libri. Ὕβλα dicitur Scymno Per. 805. ubi recte libri: τοὺς τὴν λεγομένην Ὕβλαν οἰκοῦντας Σκύθας. quod male attentavi. ὑλέα R. 6. Ὕλαβοι ante X. 7. Τούμεριν R. 8. Τέρμερον? cf. p. 617, 11. τοὺς καρπούς Salmasius, τοὺς ρ̄ πούς libri. 11. Λυκόφρων] vs. 448. Σέτραχον R, Σέτροχον AV, Σάτροχον Pp, Σάτραχον apud Lycophronem editur, ubi Par. Σέτραχον. cf. Anall. Alex. p. 280. κλώσαντες Ὑλάτῳ τέγην RV, κλώσαντες ὑλατωτέγην A. corr. ex Lycophrone. 12. Ὀζόλων RV. 13. Ὅμηρος] Il. 2, 500. 15. ὑλώδη. ἔστι καὶ R. 17. ὑπὲρ θεστρατονικίας ante H. 21. Αὐγέου R. Ἀπολλόδωρος R.

τετάρτῳ Ἀργοναυτικῶν. ἔστι καὶ πόλις Ὕλλη. τὸ ἐθνικὸν Ὑλλεύς καὶ θηλυκὸν Ὑλληΐς, ὡς αὐτός φησι, καὶ παρὰ Καλλιμάχῳ Ὑλλίς Ὑλλίδος, ἀπὸ Ἀργείας μιᾶς τῶν νυμφῶν. ἢ ἀπὸ Ὕλλου [τοῦ Ἡρακλέους] καὶ Δηιανείρας. ἔστι δ' ὡς Φῶκος Φωκεύς, Αἴολος Αἰολεύς, οὕτως Ὕλλος Ὑλλεύς. Ἀπολλόδωρος [Ὕλλους τούτους γράφει λέγων] ἐν τῷ περὶ γῆς δευτέρῳ

ὑπὲρ δὲ τοὺς Ὕλλους Λιβυρνοί καί τινες
Ἴστροι λεγόμενοι Θρᾷκες.

καὶ τὸ θηλυκόν

Ὑλλὶς πρόκειται χερρόνησος ἡλίκη
μάλιστα Πελοπόννησος, ὥς φασι . . .
. . . . πεντεκαίδεκα
πόλεις ἔχουσα παμμεγέθεις οἰκουμένας.

ἔστιν **Ὑλλίς** καὶ φυλὴ Ἄργους καὶ Δωριέων καὶ Τροιζηνίων. ὁ φυλέτης Ὑλλεύς. Χάραξ θ' „καὶ Παμφύλιοι καὶ Ὑλλεῖς".

Ὑλλούαλα, δῆμος Καρίας. Ἀπολλώνιος έ Καρικῶν „Κᾶρες δὲ τὸν τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, Ὑλλούαλαν ὠνόμασαν καὶ ἕδος ἐνταῦθα ἐδείμαντο Ἀπόλλωνος. καὶ

---

1. *τετάρτῳ*] vs. 538. *Ὕλη* R. 2. *ὡς αὐτός φησι*] Haec verba in hunc locum traduxi, cum in libris post *πόλις Ὕλλη* legantur. nihil de Hylla urbe Apollonius. *Ὑλλῆας* autem commemorat 4, 524 et 527. et feminino *Ὑλληΐς* utitur ib. 535 et 562. 2. 3. *Καλλιμάχῳ Ὑλλίς, ἀπὸ Ὑλλίδος Ἀργείας, μιᾶς τῶν νυμφῶν?* 3. *Ὑλίς* R. 4. *τοῦ Ἡρακλέους* add. X. 5. *Φωκός* libri. 6. *Ὕλλους τούτους γράφει λέγων* add. H ex Eustath. ad Dion. 384. 10. *καὶ τὸ θηλυκὸν Ὕλλις. πρόκειται* libri. distinxi haec sic ut *Ὑλλὶς* cum sequente Apollodori testimonio coniungerem; ita servari poterat librorum lectio *ἡλίκη*, male a criticis in *Ὑλλική* transformata. *Ὑλλὶς* et *ἡλίκη* agnoscit item Eustathius l. l.: *τούτων δὲ πρόκειται χερρόνησος Ὑλλίς, ἡλίκη μάλιστα Πελοπόννησος, ιε' πόλεις οἰκουμένας ἔχουσα παμμεγέθεις*. ubi fallitur, ut equidem opinor, Bernhardy. mox indicavi lacunam. ceterum confer quae dixi ad Scymnum p. 29.
12. *Πελοποννήσου* libri. 16. *Πάμφυλοι* H. 18. *Κᾶρες*] *Κάρης* ante Salmasium. 19. *ὠνόμασαν* RV, *ὠνόμασε* A. *ἐδείμαντο Ἀπόλλωνος* RV, *ἐδείματο Ἀπόλλωνι* A.

νῦν ἔτι παρὰ τὸν θεὸν δῆμός ἐστιν Ὑλλούαλα λεγόμενος". ἄλα γὰρ οἱ Κᾶρες τὸν ἵππον ἔλεγον, ὡς καὶ πρότερον εἴρηται.

Ὑμηττός, ὄρος τῆς Ἀττικῆς. τὸ ῡ μακρὸν καὶ βραχύ. ὁ οἰκήτωρ Ὑμήττιος.

Ὕοψ, πόλις ἐν Ἰβηρίᾳ χερρονήσου. Ἑκαταῖος Εὐρώπῃ „μετὰ δὲ Ὕοψ πόλις, μετὰ δὲ Λεσυρὸς ποταμός". τὸ ἐθνικὸν Ὑόπιος ἀπὸ τῆς γενικῆς.

Ὕπαιπα, πόλις Λυδίας, κτισθεῖσα ὑπὸ τὸ παρακείμενον ὄρος, [ὑπὸ] τὸ Αἶπος. τὸ ἐθνικὸν Ὑπαιπηνός. καλλίστας ἔχειν γυναῖκας τὴν πόλιν, δῶρον Ἀφροδίτης.

Ὑπαιλόχιοι, ἔθνος Μολοσσικόν. Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν.

Ὕπανα, πόλις τῆς Τριφυλίας, ὡς Πολύβιος τετάρτῳ. τὸ ἐθνικὸν Ὑπανεύς.

Ὕπανις, ποταμὸς καὶ πόλις μεταξὺ τοῦ Πόντου καὶ τῆς Μαιώτιδος λίμνης. Ἀλέξανδρος δ' ὁ πολυίστωρ φησὶν ὅτι ὁ Ὕπανις διχῇ σχιζόμενος τὸ μὲν ἓν μέρος εἰς τὴν Μαιῶτιν λίμνην βάλλει, τὸ δ' ἕτερον εἰς τὸν Πόντον. Ἡρόδοτος δ' ἐν τετάρτῳ καὶ κρήνην τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι καὶ ἄποτον ποιεῖν τὸν ποταμόν. τὸ ἐθνικὸν Ὑπανίτης ὡς Ταναΐτης.

Ὑπάτη, πόλις Αἰνιάνων. λέγεται δὲ καὶ Ὕπατα. ἔστι καὶ χώρα πλησίον Σαγγάρου ποταμοῦ. τὸ ἐθνικὸν Ὑπαταῖος καὶ Ὑπαταία καὶ Ὑπατεύς.

---

1. *παρὰ τὸν θ͞ν* R, *περὶ τὸν θ͞ν* V, *περὶ τὸ ἕδος* Pp, quae Salmasii coniectura esse videtur. si quid mutandum, malim *περὶ τὸν νεών*. 2. *πρότερον*] Vide s. v. *Ἀλάβανδα*. 3. *τὸ ῡ μακρὸν*] Longa syllaba ubi opus erat, fuerunt qui *Ὑμμητός* scriberent, ut est apud Hesychium et in cod. Gorl. Luciani vol. 3 p. 180 ed. Iacob. cf. Exercitt. phil. in Athen. spec. 1 p. 8. pro *μακρὸν* R habet *μικρόν*. 7. *Ὑόπιος* H, *Ὕοπος* libri. 8. *ὑπὸ* seclusi. 10. *γυναῖκας καὶ τὴν* R. 13. *τετάρτῳ*] c. 77. 79. 18. *Ἡρόδοτος* (4, 52 et 8) H, *Μητρόδωρος* AR, *μρόδωρος* V. 21. *Ταναΐτης* vel *Τανίτης* Salmasius, *Παναΐτης* libri. 22. *Αἰνειάνων* R. 23. *Σαγγάρου* RV, *Σαγγαρίου* A. de trisyllaba forma v. Miller. ad Marc. p. 184.

Ὑπερασία, πόλις [Ἀχαΐας], ἧς τὸ ἐθνικὸν Ὑπερασιεύς. Φλέγων κγ' ὀλυμπιάδι.

Ὑπερβόρεοι, ἔθνος. Πρώταρχος δὲ τὰς Ἄλπεις Ῥίπαια ὄρη οὕτω προσηγορεῦσθαι, καὶ τοὺς ὑπὲρ τὰ Ἄλπεια ὄρη κατοικοῦντας πάντας Ὑπερβορέους ὀνομάζεσθαι. Καλλίμαχος δὲ τοὺς αὐτούς φησιν εἶναι τοῖς Ἀριμασποῖς. Δαμάστης δ' ἐν τῷ περὶ ἐθνῶν, ἄνω Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμασπούς, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δὲ μήποτε αὐτὰ ἐκλείπειν· ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν. καὶ ἄλλοι ἄλλως. Ἑλλάνικος δὲ *Ὑπερβόρειοι* γράφει διὰ διφθόγγου.

Ὑπερδέξιον, χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερδέξιος καὶ Ὑπερδεξία Ἀθηνᾶ. ὡς οὖν ἀπὸ τοῦ Βυζαντίου Βυζάντιος, οὕτως παρὰ τὸ Ὑπερδέξιον Ὑπερδέξιος τὸ ἐθνικόν. Νικόλαος δὲ πληθυντικῶς *Ὑπερδεξίους* φησίν.

Ὑπερησία, πόλις τῆς Ἀχαΐας. „οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν". Ὅμηρος. κακῶς δὲ Θέων *Ὑπέρειαν* αὐτὴν καλεῖ. Ὑπέρεια γὰρ πηγὴ Μεσηίδος. καὶ πόλις Σικελική. ὠνομάσθη δὲ ἀπὸ Ὑπέρητος τοῦ Λυκάονος υἱοῦ. τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς, καὶ θηλυκὸν Ὑπερησίς παρ' Ἡσιόδῳ. Θεόπομπος δὲ Ὑπερασιεῖς φησι διὰ τοῦ ᾱ. ἀπὸ δὲ τῆς Ὑπερείας τῆς κρήνης Ὑπερηιάς θηλυκὴ εὐθεῖα, ἀφ' ἧς τὴν Ὑπερηιάδος ἢ Ἀρεθούσης.

---

1. *Ὑπερασία* eadem quae infra *Ὑπερησία*. *Ἀχαΐας* om. libri. 2. *κγ'* RV, *εἰκοστῷ τρίτῳ* A. *ὀλυμπιάδι* R, *ὀλυμπιάδος* AV. Phlegon de Icario Hyperasiensi dixerat. v. Eusebius Chron. 1 p. 144: *εἰκοστῇ τρίτῃ· Ἰκάριος Ὑπηριεσσιεὺς (Ὑπερασιεὺς) στάδιον.* 4. *ὑπὲρ* Cluverus, *ὑπὸ* libri. *Ἄλπεια* M, *Ἄλπεα* R, *Ἄλπαια* A, *καίπαια* V. 5. 6. *Καλλίμαχος* Ruhnkenius ad Callim. Del. 291, *Ἀντίμαχος* libri. 6. 7. *Δαμαστὴς* vulgo. 9. *δὲ μήποτε αὐτὰ* RV, *δ' αὐτὰ μήποτε* A. 10. *ἐκλείπειν* M, *ἐλλείπειν* libri. 11. *δὲ* om. R. 13. *Ὑπερδέξιοι* R. 18. *Ὅμηρος*] Il. 2, 573. 23. *θηλυκὴ* ex *θηλυκὸν* corr. R, *θηλυκῶς* AV. *εὐθεῖα* RV, *ἡ εὐθεῖα* A. 24. *Ὑπερηιάδα ἢ Ἀρέθουσαν* Pp, quae Salmasii

Ὕπιος, ποταμὸς καὶ πόλις ὑπὸ τὴν Ποντικὴν Ἡράκλειαν, ὡς Δομίτιος Καλλίστρατος ἐν ἕκτῳ τῶν περὶ Ἡρακλείας. λέγεται καὶ ἀρσενικῶς καὶ θηλυκῶς. ἔστι καὶ Ὕπια ὄρη αὐτόθι, ὡς Νύμφις ἐν πρώτῳ [περὶ] Ἡρακλείας. καὶ τοὺς κατοικοῦντας ἐν τοῖς ὄρεσι τούτοις Μυσούς φασι. τὸ ἐθνικὸν Ὑπιανός ὡς Κίος Κιανός, Τίος Τιανός, καὶ Ὑπιανή.

Ὑποθῆβαι. τινὲς οὕτως φασὶ τὰς Ποτνίας τῆς Βοιωτίας κεκλῆσθαι. οἱ δὲ πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον, ὡς τὴν Ὑποχαλκίδα καλοῦσι διὰ τὸ ὑπὸ τὸ ὄρος τὴν Χαλκίδα κεῖσθαι. πολλοὶ δὲ καὶ μετὰ προθέσεως τόποι, Ἐπικνημίδιοι Ὑπερβόρεοι Παραποτάμιοι Προποντὶς Παρωκεανῖται.

Ὑποχαλκίς, πόλις Αἰτωλίας. Ἑκαταῖος Εὐρώπῃ. τὸ ἐθνικὸν ὁμοίως τῷ ἁπλῷ Ὑποχαλκιδεύς.

Ὑρία, χώρα πλησίον Αὐλίδος. ἦν δὲ καὶ πρότερον πολίδιον. Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσιαῖς. ἔστι δ' ἡ μὲν Ὑρία πρὸς τὸν Εὔριπον, αἱ δ' **Ὑσιαὶ** τῆς Παρασωπίας ὑπ' αὐτὸν τὸν Κιθαιρῶνα κείμεναι. ὁ κτίσας Ὑριεύς. ὁ πολίτης Ὑριάτης. ἔστιν **Ὑρία** καὶ ἡ κατὰ Ἰσαυρίαν Σελεύκεια, ᾗ παραρρεῖ ὁ

---

coniectura esse videtur. fort. ἀφ' ἧς τό „Ὑπερηΐδος ἢ Ἀρεθούσης", cll. Hom. Iliad. ζ' 457 Μεσσηΐδος ἢ Ὑπερείης. an „Ὑπερηιάδος τ' ἀρεθούσης"? ut sint verba poetae qui ἀρέθουσα de fonte perenni dixerit ἐπιθετικῶς, ut Choerilus apud Herod. dict. mon. p. 13, 7: περὶ κρήνας ἀρεθούσας. cf. ad p. 116, 12. 2. ἕκτῳ] α' R. 3. ἔστι om. R. 4. περὶ add. H. 6. ὡς Κίος — Ὑπιανή in RV post Βοιωτίας κεκλῆσθαι detrusa sunt. καὶ Ὑπιανή add. RV. 7. Ὑποθῆβαι R, Ὑποθῆκαι AV. 9. ὀνομαστέον R. 11. τόπου V. Ὑποβόρεοι R, Ὑποβόρεωι V. Περιποτάμιοι libri. 12. Προποντεῖς RV. 13. Ὑποχαλκεῖς R. Ἑκαταῖος Εὐρώπῃ Pinedo, κατὰ Εὐρώπην V, κατ' Εὐρώπην AR. 15. χωρία V. an χωρίον? 15. 16. ἦν δὲ καὶ πρότερον πολίδιον] Strabonis verba 9, p. 404. 16. ὑλοίας pro Ὑρίᾳ V. 17. Ὑσιαῖς Valcken. Diatr. p. 62, Ὑσίᾳ libri. Ὑρίας V. 18. ἡ δ' Ὑσία V. 19. 20. τινυρία pro ἔστιν Ὑρία R. 20. καὶ ἡ κατὰ Ἰσαυρίαν Σελεύκεια Eustath. ad Hom. p. 264, 42, καὶ κατὰ Ἰσαυρίαν Σελεύκειαν ARV, καὶ κατὰ Ἰσαυρίας Σελεύκεια Pp.

Καλύκαδνος, ὃν Καλυδνόν τινες καλοῦσιν. ἔστιν ʽ*Υρία πρὸς τῇ Ἰαπυγίᾳ, Κρητῶν κτίσμα.* ʽ*Ηρόδοτος ἑβδόμῃ. τὸ ἐθνικὸν* ʽ*Υριεύς.*

ʽ*Υρκανία, πόλις Θρᾴκης. τὸ ἐθνικὸν* ʽ*Υρκάνιος, ὡς Παρράσιος Ἀλβάνιος. καὶ* ʽ*Υρκανιάτης ὡς Κυδωνιάτης. ἔστι καὶ* ʽ*Υρκανία κώμη τῆς Παλαιστίνης πλησίον τῆς Ἰουδαίας, ἀπὸ* ʽ*Υρκανοῦ τοῦ ἐξάρχου τῶν Ἰουδαίων. ἔστι καὶ* ʽ*Υρκάνιον πεδίον τῆς Λυδίας, ὡς Ἐρατοσθένης ἐν πέμπτῳ Γαλατικων.*

ʽ*Υρκανοί, ἔθνος προσεχὲς τῇ Κασπίᾳ θαλάσσῃ. λέγεται καὶ* ʽ*Υρκάνιος καὶ* ʽ*Υρκανία καὶ* ʽ*Υρκανίς, ἐξ οὗ τὸ „εἰς* ʽ*Υρκανίδα λίμνην", ὡς Ἀλέξανδρος ἐν Ἀσίᾳ.*

ʽ*Υρμίνη, πόλις τῆς Ἤλιδος. „ὅσσον ἐφ'* ʽ*Υρμίνη καὶ Μύρσινος ἐσχατόωσα". Μενέλαος δὲ τετάρτῳ Θηβαϊκῶν* ῞*Υρμιναν διὰ τοῦ ᾱ φησί. τὴν δ'* ʽ*Υρμίνην Ἐχεφυλίδας φησὶ τὰς νῦν* ʽ*Ορμίνας,* ʽ*Ορμίνας δὲ καὶ τοὺς Ἐπειοὺς καλεῖσθαι.* ῞*Ορμιναι δὲ δύο.*

ʽ*Υρνήθιον, χωρίον ἐν Ἐπιδαύρῳ ἀπὸ* ʽ*Υρνηθοῦς τῆς Τημένου θυγατρός. Παυσανίας δευτέρῳ περιηγήσεως. τὸ ἐθνικὸν* ʽ*Υρνηθιάς, ὡς Βιθυνιάς τοῦ Βιθυνίου.*

ʽ*Υρτακός, ἢ καὶ* ʽ*Υρτακῖνος, πόλις Κρήτης. ὁ πολί-*

---

1. *Καλίκαδνος* R. *Καλύδιόν* V. 1. 2. *πρὸς τὴν Ἰαπυγία* V. 2. *ἑβδόμῃ*] c. 170. 5. *Παράσιος* RV. *Ἀλβάνιος* B, ʽ*Υλβάνιος* RV, ʽ*Υρβάνιος* A. ʽ*Υρκανίτης* V. 7. ʽ*Υρκανίου* V. 10. *ἐς* libri. 12. *ὅσσον*] Hom. Il. 2, 616. ʽ*Υρμίνην* libri. 13. *Μύρτωνος ἐσχατόωσσαν* AV, *Μύρτονον ἐσχατόεσσαν* R, corr. ex Homero. 14. *Ἐχεφυλίδας* Pinedo, *Ἐχεφυλίδα* libri. vide supra p. 594, 20. *Ἐχεφυλλίδας* schol. Platon. ed. Bekk. p. 380. 15. ʽ*Ορμινεῖς?* ita dici potuerunt Epei ab Hormina vel Hyrmina Epei filia, v. Pausan. 5, 1, 6. *Ἐπειοὺς* X, *Αἰπειοὺς* libri. 15. 16. ῞*Ορμιναι δὲ δύο*] Eustath. ad Hom. p. 304, 14: *ὁ δὲ τὰ ἐθνικὰ ἐκθέμενος* ʽ*Υρμίνας δύο εἶναί φησιν ἀπὸ* ʽ*Υρμίνης, τὰς ὕστερον διὰ τοῦ ō κληθείσας.* 17. ʽ*Υρνίθιον* et mox ʽ*Υρνιθοῦς* libri. quam scripturam falsam esse docet Argolicae tribus nomen ʽ*Υρνάθιοι* apud Boeckhium Inscr. no. 1130. 18. *δευτέρῳ*] c. 28, 30. 19. ʽ*Υρνιθίας* libri. praeterea malim: *τὸ ἐθνικὸν* [ʽ*Υρνηθιεύς καὶ*] ʽ*Υρνηθιάς. Βιθυνιάς* R, *Βιθυνίας* AV. *Βιθυνίου*] *Βιθυνία* RV. 20. *ἢ* H, *ἢ* libri.

της Ὑρτακῖνος. Πολύβιος δὲ τὸ θηλυκὸν Ὑρτακίνη ἀπὸ τοῦ Ὑρτακῖνος ἐθνικοῦ. ἀπὸ Ὑρτάκου δὲ Ὑρτάκιος.

Ὑσαεῖς, νῆσος μικρὰ καὶ μεγάλη Αἰθιόπων. Ἑκαταῖος περιηγήσει Αἰγύπτου. οἱ νησιῶται Ὑσαῗται, ὡς Ὀασῖται.

Ὕσβη, πόλις Λυδίας. τὸ ἐθνικὸν Ὑσβαῖος καὶ Ὑσβίτης.

Ὑσία, πόλις Βοιωτίας, καὶ ἑνικῶς καὶ πληθυντικῶς, περὶ ἧς Θουκυδίδης τρίτῃ. ἄποικος Ὑριέων, κτίσμα Νυκτέως τοῦ Ἀντιόπης πατρός. ἔστι καὶ ἄλλη, Παρθυαίων βασίλειον. Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων. τὸ ἐθνικὸν Ὑσιεύς. ἔστι καὶ Ἀργείας κώμη Ὑσία, ὡς Θουκυδίδης. Χάραξ δ' αὐτὴν πόλιν λέγει ἐν ἐνάτῳ Ἑλληνικῶν. οἱ ἐξ αὐτῆς Ὑσιᾶται λέγονται, καὶ θηλυκῶς Ὑσιᾶτις. ἔστι καὶ Ἀρκαδίας πόλις, ὡς Φερεκύδης πρώτῳ. ἔστι καὶ Ῥυσία πόλις Βοιωτίας.

Ὕσκανα, πόλις Ἰλλυρίδος, οὐδετέρως. Πολύβιος ή. τὸ ἐθνικὸν Ὑσκανεύς, ὡς Ἀδανεύς Τυανεύς.

Ὑστάσπαι, ἔθνος Περσικόν. Νέστωρ δ' ἐν τῇ πρώτῃ τῆς Ἀλεξανδριάδος...

Ὕτεννα, πόλις Λυκίας. ὁ οἰκήτωρ Ὑτεννεύς.

Ὕψηλις, κώμη Αἰγύπτου. οἱ κωμῆται Ὑψηλῖται. εἰσὶν **Ὑψηλῖται** καὶ κατοικία Θρᾴκης.

Ὑψοῦς, πόλις Ἀρκαδίας, ὡς Παυσανίας ὀγδόῳ.

Ὑώπη, πόλις Ματιηνῶν, προσεχὴς τοῖς Γορδίοις. Ἑκαταῖος Ἀσίᾳ „ἐν δὲ πόλις Ὑώπη· οἱ δ' ἄνθρωποι ἐσθῆτα φορέουσιν οἵην περ Παφλαγόνες". τὸ ἐθνικὸν Ὑωπηνός τῷ

---

2. Ὑρτακοῦ? an supra Ὕρτακος? 3. Ὑσαΐς? 4. Ὑασῖται R. 5. Ὑβαῖος V. 7. ὁ ante Θουκυδίδης add. A, om. RV. τρίτῃ] c. 24. sequentia ἄποικος — πατρός Strabonis sunt 9 p. 404. Ὑρέων ante H. 10. Ἀργεία ante H. Θουκυδίδης] 5, 83: Ὑσιὰς χωρίον Ἀργείας λαβόντες. 12. θηλυκὸν R. Ὑσεᾶτις R. Ἀρκαδόπολις (i. e. Ἀρκάδων πόλις) RV. 13. Ὑσία X. 15. Δανεύς ante H. 16. τῇ α' RV, πρώτῳ A. 17. Ἀλεξιανδριάδος V, Ἀλεξανδρειάδος AR. 19. κωμῖται RV. 21. ὀγδόῳ] c. 3, 3. 22. Μαστιηνῶν X. 24. Ὑωπινός V.

ἐπιχωρίῳ τύπῳ. εἰ δὲ καθ' ἡμᾶς, Ὑωπεὺς ὡς Σινωπεύς, καὶ Ὑωπίτης ὡς Σινωπίτης.

Φαβία, πόλις Κελτογαλατῶν, κτίσμα Φαβίου στρατηγοῦ Ῥωμαίων. Ἀπολλόδωρος ἐν δευτέρῳ χρονικῶν. τὸ ἐθνικὸν Φαβιάτης καὶ Φαβιανός.

Φαβεντία, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Φαβεντῖνος ὡς Πλακεντῖνος.

Φάγρης, πόλις Θρᾴκης. Ἑκαταῖος Εὐρώπῃ καὶ Θουκυδίδης δευτέρᾳ. τὸ ἐθνικὸν Φαγρήσιος. λέγεται καὶ Φαγρησαῖος.

Φαγρώριον, πόλις, ὡς Ἀλέξανδρος ὁ πολυίστωρ ἐν Αἰγυπτιακοῖς. ἐξ οὗ σύνθετον Φαγρωριόπολις καὶ Φαγρωριοπολίτης.

Φαίαξ καὶ Φαιακία, ἀπὸ Φαίακος. Ἑλλάνικος Ἱερειῶν α' „Φαίαξ ὁ Ποσειδῶνος καὶ Κερκύρας τῆς Ἀσωπίδος, ἀφ' ἧς ἡ νῆσος Κέρκυρα ἐκλήθη, τὸ πρὶν Δρεπάνη τε καὶ Σχερία κληθεῖσα". τὸ θηλυκὸν Φαιακίς. οἱ ἐνοικοῦντες Φαίακες.

Φαιστός, πόλις Κρήτης, ὀξυτόνως. τὸ γὰρ βαρύτονον κύριον. ἐκτίσθη ὑπὸ Φαίστου τοῦ Ῥοπάλου, Ἡρακλέους παιδός. ὁ πολίτης Φαίστιος καὶ Φαιστία καὶ Φαίστιον καὶ Φαιστιάς. ἔστι τῆς Φαιστιάδος καὶ ὁ καλούμενος Λισσής. Ὅμηρος „ἔστι δέ τις Λισσὴς αἰπειά τε εἰς ἅλα πέτρη. ἔστι καὶ Ἀχαΐας, ὡς Ῥιανὸς ἐν Ἀχαϊκῶν τρίτῳ. τὸ ἐθνικὸν ὁμοίως Φαίστιος. ἔστι καὶ ἀπὸ τοῦ Φαιστῖνος Φαιστίνιος. ἔστι καὶ ἄλλη Φαιστὸς Πελοποννήσου ἡ πρότερον Φρίξα καλουμένη.

Φάκιον, πόλισμα Θεσσαλίας. Θουκυδίδης δ'. τὸ ἐθνικὸν Φακιεύς, ὡς Κάλλιον Καλλιεύς.

---

1. οἱ pro εἰ Haasius ad Leon. Diac. p. 231 c. 5. καὶ Salmasius, ὡς libri. 9. δευτέρᾳ] c. 99. Φαγρησαῖος] Vide supra p. 641, 19. 10. Φαγρωρίον πόλις, [πόλις Αἰγύπτου,] ὡς? 13. Φαιακεία V. 16. θηλυκὸν M, ἐθνικὸν libri. 17. Κρήτης om. R. 20. Λησσής R. 21. Ὅμηρος] Od. 3, 293. 22. Ῥιανὸς X, Ῥαϊνὸς libri. 23. Φαιστῖνος] Itaque etiam Φαιστῖνος haec urbs dicebatur, ut Ὑρτακῖνος paronymum est τῆς Ὑρτακός. 24. Φαῖστος libri. Φρῖξα? 25. δ'] c. 78.

Φάκουσα, κώμη μεταξὺ Αἰγύπτου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Στράβων ιζ΄. Ἑκαταῖος δὲ Φακόεσσαι καὶ Φακοέσσαις φησί. καὶ *Φάκουσαι* νῆσοι καὶ *Φάκαιοι*. τὸ ἐθνικὸν Φακούσιος.

Φαλαισίαι, πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ. τὸ ἐθνικὸν Φαλαισιεύς.

Φαλάκραι, ἄκρα τῆς Ἴδης, ἥ τις οὐκ ἔχει ζῶν φυτὸν διὰ τὴν χιόνα καὶ τὸν κρύσταλλον, ἀλλ' ἐψίλωται. καὶ πάντα δὲ τὰ ἐψιλωμένα ὄρη ἐλέγετο Φαλάκραι. ὁ ἐκ τόπου Φαλακραῖος. Λυκόφρων „στερρὰν κύβηλιν ἢ Φαλακραῖον κλάδον". καὶ θηλυκῶς „Φαλακραῖαι κόραι". καὶ οὐδέτερον. ἔστι καὶ κώμη Λιβύης *Φαλάκραι*. ἔστι καὶ *Φάλακρον* ἀκρωτήριον Κορκύρας, ὡς Ἀρτεμίδωρος ἐν πέμπτῳ γεωγραφουμένων φησί.

Φάλανθος, ὄρος καὶ πόλις Ἀρκαδίας. Παυσανίας ὀγδόῳ. ἀπὸ Φαλάνθου. τὸ ἐθνικὸν Φαλάνθιος, ὡς Ἀκάνθιος Ὀλύνθιος.

Φάλαννα, πόλις Περραιβίας, ἀπὸ Φαλάννης τῆς Τυροῦς θυγατρός. Λυκόφρων „Γόννον Φάλανναν ἠδ' Ὀλοσσόνων γύας". Ἑκαταῖος ἱστοριῶν α΄ *Ἱππίαν* αὐτὴν καλεῖ. καὶ Ἔφορος *Φάλαννον* αὐτὴν καλεῖ ἐν τῷ θ΄. ἔστι καὶ ἑτέρα Κρήτης, ἀφ' ἧς ἦν Φανιάδης ὁ περιπατητικός. ὁ πολίτης Φαλανναῖος καὶ Φαλανναία τὸ θηλυκόν.

---

1. *Φάκουσα* R, *Φάκουσαι* V, *Φάκουσσα* A. 2. ιζ΄] p. 805: ἡ δὲ ἀρχὴ τῆς διώρυγος τῆς ἐκδιδούσης εἰς τὴν Ἐρυθρὰν ἀπὸ κώμης ἄρχεται Φακκούσης (sic). δὲ om. R. 2. 3. *Φάκουσσαι καὶ Φακούσσαις* (*Φακούσσας* V) libri. 3. *Φακοῦσαι* RV, *Φακοῦσσαι* A. 4. *Φακούσιος* RV, *Φακούσσιος* A. 5. *Φαλαίσια* libri. ὀγδόῳ] 35, 3. 7. *Φάλακραι* V. alias τὰ *Φάλακρα*. vide ad p. 245. ζῶν φυτὸν R, ζώφυτον AV. 8. κρύσταλλον R, κρύσταλον AV. 10. Λυκόφρων] vs. 1170. στενὰν κυβίλην καὶ libri, correctum ex Lycophrone. 11. Φαλακραῖαι κόραι] Lycophr. 24. 11. 12. ἔστι κώμη V. 12. Λιβύης Φαλάκραι] Vide ad p. 244, 14. 13. *Κορκύρας* V, *Κερκύρας* AR. ἐν om. V. 14. 15. ὀγδόῳ] c. 35, 9. 15. 16. Ὀλύνθιος (Ὀλβύθιος V) Ἀκάνθιος RV. 17. *Φάλανα* et mox *Φαλάνης* R. 17. 18. *Τυροῦς* Müller. Orchom. p. 255, *Τύρου* libri. 18. Λυκόφρων] vs. 906. *Γόνον* libri. *Φαλάνναν* R, *Φαλάννας* A. 20. καὶ om. RV.

Φαλάνναια, πόλις Κρήτης. ὁ πολίτης Φαλανναιεύς, ὡς τοῦ Ἥραια Ἡραιεύς.

Φάλαρα, πόλις Θετταλίας πλησίον Λαμίας. τὸ ἐθνικὸν Φαλαρεὺς ὡς Μεγαρεύς.

Φαλάσαρνα, πόλις Κρήτης, ἀπὸ Φαλασάρνης. ὁ πολίτης Φαλασάρνιος, ὡς Ξενίων φησίν.

Φάλγα, κώμη μέση Σελευκείας τῆς Πιερίας καὶ τῆς ἐν Μεσοποταμίᾳ. Ἀρριανὸς ἐν ι' Παρθικῶν. ἡ δὲ φάλγα γλώσσῃ τῇ ἐπιχωρίῳ τὸ μέσον δηλοῖ. τὸ ἐθνικὸν Φαλγηνός καὶ Φαλγαῖος, ὡς Ἐδεσσηνός καὶ Ἐδεσσαῖος καὶ Καρρηνός καὶ Καρραῖος, τὸ μὲν κατὰ λόγον τὸ δὲ κατὰ τὸ ἐπιχώριον.

Φαλέριον, ὡς Βυζάντιον, πόλις Τυρρηνίας. τὸ ἐθνικὸν Φαλέριος.

Φάληρον, δῆμος καὶ ἐπίνειον τῆς Ἀττικῆς. Παυσανίας πρώτῳ περιηγήσεως Ἑλλάδος. καὶ πληθυντικῶς τὰ Φάληρα. Ξενοφῶν ἱππαρχικῷ. ἀπὸ γὰρ Φαλήρου Φαληρεῖς ὀνομάζονται οἱ Ἀθηναῖοι. λέγεται δὲ καὶ ὁ δῆμος καὶ ὁ δημότης Φαληρεύς. λέγεται καὶ Φαληραῖος καὶ θηλυκῶς Φαληρίς. τὰ τοπικὰ Φαληρόθεν Φάληρόνδε καὶ Φαληροῖ. καὶ Φαληρικόν. ἔστι καὶ πόλις ἐν Ὀπικοῖς, εἰς ἣν ἐξεβράσθη Παρθενόπη ἡ Σειρήν, ἣ καλεῖται Νεάπολις. ἔστι καὶ Θετταλίας ἄλλη πρὸς τῇ Οἴτῃ, ἣν Ῥιανὸς διὰ τοῦ ᾱ γράφει Φάλαρον λέγων καὶ Φάληρον διὰ τοῦ η̄.

Φαλίσκος, πόλις Ἰταλίας, ἄποικος Ἀργείων. καὶ Φαλίσκοι οἱ οἰκήτορες.

---

1. Φαλανναῖα V. Φαλαννεύς V. 2. Ἡραία X, Ἥρα libri. 8. παρθενικῶν R. 9. ἐπιχωρίᾳ R. 10. Ἐδεσηνός καὶ Ἐδεσαῖος RV. 12. ὡς Βυζάντιον] Voluit sine dubio ut Βυζάντιος a Βυζάντιον, ita Φαλέριος dici a Φαλέριον. Φαλέριον codices Strabonis 5 p. 266 habent, ubi Kramerus Φαλέριοι. 15. πρώτῳ] c. 1, 2. 16. ἱππαρχικῷ] c. 3, 1. ubi est Φαληροῖ, ex quo apparet haec verba aut post Φαληροῖ transponenda aut in marginem reicienda esse. 17. οἱ om. R. 18. θηλυκῶς om. R. 19. καὶ ante Φαληροῖ add. R. 24. Φαλίσκον Strabo 5 p. 226.

Φαλώρη, πόλις Θετταλίας. ταύτην Ῥιανὸς *Φαλώρειαν* καλεῖ. τὸ ἐθνικὸν Φαλωρεύς καὶ Φαλωρείτης ὡς Μαρωνείτης.

Φαλωριάς, πόλις Λοκρίδος. ὁ πολίτης Φαλωριεύς ὡς Ὀρθωσιεύς Ἀφροδισιεύς.

Φαμιζών, κώμη τῆς Ἀμισίας καὶ νοτιωτέρα Ἀμισοῦ, ἧς οἱ κωμῆται Φαμιζωνῖται. ἡ χώρα Φαμιζωνῖτις. ἣ Νεάπολις λέγεται. οὕτως γὰρ Πομπήιος ταύτην ὠνόμασεν.

Φαναγόρεια, πόλις, ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίᾳ. ἡ νῆσος *Φαναγόρη* καὶ *Φαναγόρεια*. ἔστι καὶ ἐμπόριον τὰ *Φαναγόρεια* οὐδετέρως. τὸ ἐθνικὸν ἐχρῆν Φαναγορεύς ὡς Ἀλεξανδρεύς τῷ πλείονι λόγῳ. ἐκράτησε δ' ὅμως Φαναγορείτης.

Φάναι, ἀκρωτήριον τῆς Χίου, ἀπὸ τοῦ ἐκεῖθεν ἀναφανῆναι τῇ Λητοῖ τὴν Δῆλον. οἱ οἰκήτορες Φαναῖοι καὶ Φαναία τὸ θηλυκόν. ἔστι καὶ *Φάνα* ἑνικῶς πόλις Ἰταλίας.

Φανοτεύς, πόλις Φωκίδος. Θουκυδίδης τετάρτῳ. λέγεται καὶ *Φανότη* καὶ *Φανότεια*. οἱ πολῖται Φανοτεῖς, ὡς Δελφοί καὶ Θούριοι, τῷ οἰκιστῇ παραπλησίως. τινὲς *Πανόπειάν* φασιν.

Φάραθος, πόλις τῆς Γαλιλαίας. Ἰώσηπος πέμπτῳ

---

1. malim Φαλώρεια, πόλις Θετταλίας. ταύτην Ῥιανὸς Φαλώρην καλεῖ. cf. Anall. Alex. p. 100. Φαλώρειαν M, Φαλωρίαν libri. 2. Φαλωρείτης ὡς Μαρωνείτης R, Φαλωρίτης ὡς Μαρωνίτης AV. 4. Ἀφροδίτης V. 5. Φαμειζών R, Φαμαζών V. Φαζημών est apud Strab. 12 p. 560: μετὰ μὲν οὖν τὴν Ἀμισηνῶν μέχρι τοῦ Ἅλυος ἡ Φαζημωνῖτις ἔστιν, ἣν Πομπήιος μεγαλόπολιν (corrigunt Νεαπολῖτιν) ὠνόμασε, κατὰ Φαζημῶνα (φαμηζῶνα cod. i.) κώμην ἀποδείξας τὴν κατοικίαν καὶ προσαγορεύσας Νεάπολιν. ubi v. Kramerum. Ἀμισίας M, Ἀμασίας RV, Ἀμισείας A. Ἀμίσου vulgo. 6. κωμῖται ante X. 7. ταῦτα RV. 9. Ἀσίας V. Φαναγόρια V. 15. 16. Ἰταλίας καὶ Φανοτεύς libri, corr. X. pro Ἰταλίας scribendum videtur Αἰτωλίας cll. Pausan. 10, 18, 1. ubi Φάνα κώμη. 16. τετάρτῳ] c. 89. 18. Θούριοι R, Θούρειοι AV. 18. 19. Πανόπειαν H, Πανότειαν libri. 20. πέμπτῳ] c. 89.

Ἰουδαϊκῆς ἀρχαιολογίας. τὸ ἐθνικὸν Φαραθονίτης καὶ θηλυκῶς.

Φαραί, πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ Ἀφαρητιάδαι. ἔστι καὶ Ἀχαΐας. εἰσὶ καὶ διὰ τοῦ η Φηραί. ὁ πολίτης Φηραῖος. εἰσὶ καὶ Φαραὶ Βοιωτίας. τὸ ἐθνικὸν Φάρης Φάρητος. ἔστι δ' ἄλλη Κρήτης, ἄποικος τῆς ἐν Μεσσήνῃ, ὡς Φίλων. τὸ ἐθνικὸν τῆς Μεσσηνίας Φαραΐτης, ὡς Θῆβαι Θηβαΐτης καὶ Συκαὶ Συκαΐτης. τῆς δ' ἐν Ἀχαΐᾳ Φαραιεῖς λέγονται. καὶ δῆλον, ὡς παρὰ τὸ Φαραῖος Φαραιεύς Κρηταῖος Κρηταιεύς Κωπαῖος Κωπαιεύς. καὶ κτητικὸν Φαραϊκός ἀπὸ τοῦ Φαραῖος.

Φαράν, πόλις μεταξὺ Αἰγύπτου καὶ Ἀραβίας. τὸ ἐθνικὸν Φαρανίτης. καὶ κτητικὸν Φαρανιτικὸν ὄρος.

Φάρβαιθος, πόλις Αἰγύπτου. ὁ πολίτης Φαρβαιθίτης.

Φάρβηλος, πόλις Ἐρετριέων. τὸ ἐθνικὸν Φαρβήλιος.

Φᾶρις, πόλις τῆς Λακωνικῆς. Ὅμηρος „Φᾶριν τε Σπάρτην τε πολυτρήρωνά τε Μέσσην". οἱ πολῖται Φαρῖται, ὡς Πανσανίας, καὶ Φαριάτης ὡς Σπαρτιάτης.

Φαρκηδών, πόλις Θεσσαλίας. Θεόπομπος δὲ θ' Φιλιππικῶν Φαρκαδόνα διὰ τοῦ ᾱ φησίν. ὁ πολίτης Φαρκηδόνιος ὡς Χαλκηδόνιος. καὶ Φαρκηδονίς καὶ Φαρκηνίς.

Φαρμακοῦσσαι, δύο νῆσοι πλησίον Σαλαμῖνος. ἔστι

---

1. Ἰουδαϊκῆς om. RV. Φαραθοΐτης? Φαραθώ enim vocatur urbs Iosepho, quod etiam Stephano reddendum videtur, nisi is scripsit Φαραθών et Φαραθωνίτης. 1. 2. θηλυκόν R. 3. Μεσήνης R. Ἀφαρητιάδαι X, Ἀφαριτιάδαι A, Φαρητιάδαι V, Φαριτιᾶδαι R, Φηρητιάδαι Pinedo cll. Iliad. 2, 763 et 23, 376. 4. 5. εἰσὶ καὶ — Φηραῖος om. V. 6. Μεσήνῃ et mox Μεσηνίᾳ R. 8. Φαραιεῖς X, Φαρῆς V, Φαρεῖς AR. 10. Κοπαῖος Κοπαιεύς ante X. 13. καὶ ante Φαρανιτικὸν add. V. Φαρανητικὸν ὄρος R, Φαρανιτικὸς ὄρος B, Φαρανητικὸς ὄρος AV. 15. τὸ ἐθνικὸν Φαρβήλιος add. RV. 16. πόλις Λακωνική RV. 16. 17. Ὅμηρος (Il. 2, 582) — Μέσσην, quae A post Σπαρτιάτης habet, huc transponit R. 18. Πανσανίας] 3, 2, 6. 20. Φαρκακαδόνα καὶ διὰ V. 21. Φαρκηνίς suspectum. 22. Φαρμακοῦσσα A, Φαρμακοῦσα RV.

καὶ ἄλλη ὑπὲρ Μίλητον, ἐν ᾗ Ἄτταλος ἀνῃρέθη. τὸ ἐθνικὸν Φαρμακουσσαῖος ἢ Φαρμακούσσιος.

Φαρνάκεια, χώρα καὶ πόλις Ποντικὴ προσεχὴς τῇ Τραπεζοῦντι. τὸ ἐθνικὸν Φαρνακεύς ἀπὸ τοῦ Φάρνακος, ὡς Ἀντίοχος Ἀντιοχεύς, Σέλευκος Σελευκεύς. ἔστι καὶ Φρυγίας Φαρνάκιον, ὡς Ἀλέξανδρος περὶ Φρυγίας τρίτῳ.

Φάρος, νῆσος ἐν τῷ Ἀδρίᾳ, ποταμὸν ὁμώνυμον ἔχουσα. ἔστι δὲ κτίσμα Παρίων, ὡς Ἔφορος εἰκοστῷ ὀγδόῳ. ἔστι καὶ πόλις Ἰλλυρίας, ὡς Πολύβιος γ'. τὸ ἐθνικὸν Φάριοι. ἔστι καὶ νῆσος ἡ πρὸς τῇ Ἀλεξανδρείᾳ, ἐφ' ἧς ὁ Σωστράτου τοῦ Δεξιφάνους πύργος ὁμωνύμως λεγόμενος. Φάρος γὰρ ὁ πρωρεὺς Μενελάου ἐν τῇ νήσῳ δηχθεὶς ὑπὸ ὄφεως ἐτάφη. Φάρος δὲ καὶ ἡ Ἀλεξάνδρεια ἐκαλεῖτο. τὸ ἐθνικὸν Φάριος καὶ Φαρία καὶ Φάριον. ἔστι καὶ πόλις Περραιβική. ἐθνικὸν τὸ αὐτό.

Φαρούσιοι, ἔθνος Λιβυκόν. μέμνηται αὐτῶν Διονύσιος καὶ Ἀρτεμίδωρος.

Φάρσαλος, πόλις Θεσσαλίας, ἀπὸ Φαρσάλου τοῦ Ἀκρισίου. τὸ ἐθνικὸν Φαρσάλιος καὶ Φαρσαλίς καὶ Φαρσαλία. ἔστι καὶ Παμφυλίας πόλις. λέγεται καὶ Φαρράλιος διὰ δύο ρρ, ὡς Μυρρίνη καὶ κόρρη καί „ἐπὶ κόρρης".

Φαρύγαι, πόλις Λοκρίδος, ἣν Ὅμηρος Τάρφην καλεῖ. οἱ μὲν ἀπὸ τῆς ἐν Φαρύγαις κρήνης Τάρφης τοὔνομα, οἱ δὲ ἀπὸ τοῦ πυκνοῦ τῆς ὕλης ταύτας κεκλῆσθαι. οἱ πολῖται Φαρυγαῖοι, ὡς δῆλον ἐκ τῆς Φαρυγαίας Ἥρας.

---

1. Μιλήτου V. τὸ om. RV. 2. Φαρμακούσαιος R. 3. Φαρνακία libri. 6. τρίτῳ om. V. 7. πόλιν? 8. Παρίων PpRV, Φαρίων A. 9. γ'] c. 19, 12. 10. ἐφ' ἧς RV, ἐφ' ᾗ A. 11. ὁμώνυμος ante X. γὰρ R, δ' AV. 13. Φάρος] Herodianus dict. mon. p. 36, 28: οὕτω (Φάρος) γὰρ ὁ Μενελάου πρωρεύς ἐκαλεῖτο. paullo aliter Orus apud Etym. M. 788, 17. Φάρειος et mox Φάρειον R. 14. ἔστι om. R. Πεῤῥαιβική ante X. 16. Λιβυκὸν ἔθνος RV. 18. ἀπὸ om. RV. 22. αρυται V. Ὅμηρος] Il. 2, 533. 23. οἱ] ἡ R. Φαρήταις V. κρήνης add. PpRV.

Φασαηλίς, πόλις τῆς Ἰουδαίας, ὑπὸ Ἡρώδου κτισθεῖσα τοῦ πρώτου βασιλέως τῆς χώρας, τῷ ὀνόματι τοῦ ἀδελφοῦ, ὡς Ἰώσηπος ἐν α' τοῦ πρὸς Ῥωμαίους πολέμου. τὸ ἐθνικὸν Φασαηλίτης, ὡς αὐτὸς ἐν τῇ αὐτῇ.

Φάσηλις, πόλις Παμφυλίας, ἡ πρότερον Πιτύουσα καὶ ὕστερον Φάρσαλος. ὁ πολίτης Φασηλίτης. Θεοδέκτης δ' ἦν γένος Φασηλίτης, υἱὸς Ἀριστάνδρου, κάλλει διαφέρων, ὃς ἐποίησε τραγῳδίας ν' καὶ ῥητορικὰς τέχνας καὶ λόγους ῥητορικοὺς ἐπῶν καί. ἀπέθανε δ' Ἀθήνησι, καὶ ἐπιγέγραπται δὲ αὐτῷ ἐλεγεῖον τόδε

Ἥδε χθὼν κόλποισι Φασηλίτην Θεοδέκτην
κρύπτει, ὃν ηὔξησαν Μοῦσαι Ὀλυμπιάδες...
ἐν δὲ χορῶν [τραγικῶν] ἱεραῖς τρισὶ καὶ δέχ' ἁμίλλαις
ὀκτὼ ἀκηράτους ἀμφεθέμην στεφάνους.

Ἡρωδιανὸς δὲ μόνος νῆσόν φησι καὶ προπαροξύνεσθαι. τὸ μέντοι ἀγγεῖον οἱ ἀπ' Ἀλεξανδρείας ὀξύνουσιν.

Φασηλοῦσσαι, δύο νῆσοι Λιβύης πλησίον Σίριος ποταμοῦ. Ἑκαταῖος περιηγήσει Λιβύης. οἱ νησιῶται Φασηλουσσαῖοι ὡς Σκοτουσσαῖοι.

Φᾶσις, πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν

---

1. *ὑπὸ* M, *ἀπὸ* libri. 3. *ἐν α'*] c. 16. *Ῥωμαίων* ante X. 5. *Πιτύουσα* RV, *Πιτύουσσα* A. 6. *Φάρσαλος*] Fortasse *Φάσιλις*. Salmasius *Φάσηλος*. 8. *ῥητορικὴν τέχνην*? cll. Eustath. ad. Dion. 855: *ποιήσας τέχνην ῥητορικὴν καὶ λόγους ἀγαθοὺς γράψας καὶ τραγῳδίας ν'.* *λόγους* om. R. 8. 9. *ῥητορικοὺς*] Fort. *ρ'*. 9. *καί* add. R. in eo latet numerus versuum. possis *κ.* ad *ἐπῶν* v. Ritschel. Bibl. Alex. p. 101. fallitur Ruhnkenius Hist. crit. Orat. p. 83. in *ἐπῶν* orationum numerum latere existimans. 9. *δὲ* add. R. 11. *Φασιλήτην* R. 13. *ἐν δὲ χορῶν τραγικῶν ἱεραῖς τρισὶ* Tyrwhittus, *ἐν δὲ χθὼν ἱεραῖς τρίς* R, *ἐν δὲ χθὼν τρεῖς* V, *ἐν δὲ χθών ἱεραῖς τρεῖς* A. *δέκα ἁμίλλαις* R. 14. *ἀγηράντους* Ruhnkenius, *ἀκηρασίους* alii. sufficit fortasse *ἀκηραίους*. 15. *δὲ* om. V. *μόνον* R. *νῆσον*] Vide ad p. 181, 3. 16. *ἀπ' Ἀλεξανδρείας* M, *ἐπ' Ἀλεξανδρείας* libri. 17. *Φασήλουσσαι* libri. *νῆσοι δύο* RV. 17. 18. *πλησίον Σίριος — Λιβύης* om. V. 18. 19. *Φασηλουσαῖοι ὡς Σκοτουσαῖοι* R.

Κόλχοις. ἐκτίσθη δὲ ὑπὸ Μιλησίων. τὸ ἐθνικὸν ἔδει Φασίτης ὡς Ὀασίτης Μεμφίτης, ἢ Φασιάτης πλεονασμῷ τοῦ ᾱ, ὡς καὶ λέγεται. τὸ ἐθνικὸν Φασιάτης. καὶ Φασιατικός καὶ Φασιανός, ὡς Ἀριστοφάνης ἐν Ὁλκάσι, καὶ Φασιανή θηλυκὸν καί „Φασιανὸν νάπος" οὐδετέρως. ἔστι καὶ ἄλλος ποταμὸς Φᾶσις ἐν τῇ Ταπροβάνῃ.

Φάσταια, πόλις ἐν Σάκαις. τὸ ἐθνικὸν Φασταῖος καὶ Φασταιεύς διὰ τὸν τύπον.

Φαντία, πόλις Τρωική, κτίσμα Κυμαίων. καὶ Φαντεῖς, ὡς Νεανδρεῖς, τὸ ἐθνικόν.

Φεά, πόλις τῆς Ἠλείας. Ὅμηρος διὰ τοῦ ῑ „Φιᾶς πὰρ τείχεσσι". τὸ ἐθνικὸν Φεαῖος.

Φελεσσαῖοι, ἔθνος ὅμορον τοῖς Ὀμβρικοῖς πρὸς τῇ Ἰαπυγίᾳ, ὡς Εὔδοξος ἕκτῳ.

Φελλεύς, ὄρος τῆς Ἀττικῆς. τάχα δ' οὐ μόνης τῆς Ἀττικῆς, ἀλλὰ παντός του τόπου ἔχοντος ἐπιπολῆς μὲν πέτραν, ὑπὸ ταύτης δὲ γῆν λιπαρὰν πρὸς ἐλαιοφυτίαν. τὸ τοπικὸν φελλείτης ἂν εἴη, ὡς τοῦ Ἀταρνεύς Ἀταρνείτης.

Φελλός, πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίᾳ. Ἀλέξανδρος ὁ πολυίστωρ ἐν τῷ περὶ Λυκίας Φελλὸν καὶ Ἀντίφελλον Λυκίας εἶναι λέγει. ὁ πολίτης Φελλίτης καὶ Ἀντιφελλίτης, ὡς Ἀλέξανδρος ἐν τῇ εἰρημένῃ καὶ Πολύχαρμος.

---

1. Μιλησίων V. 3. τὸ κτητικὸν Φασιάτης καὶ Φασιανικός H. rectius τὸ θηλυκὸν Φασιᾶτις, καὶ Φασιατικός, sive malis καὶ [κτητικὸν] Φασιατικός. sed κτητικὸν saepissime omittitur. 4. ὡς add. RV. 5. Φασιανὸν νάπος tragici poetae verba esse videntur, fortasse Sophoclis in Colchidibus. 6. Φᾶσις om. V. 7. Φασταῖα R, Φασταία A. 8. διὰ τὸν τύπον] Haec parum apta hoc loco. 9. Φάντεια scribendum esse ostendit gentilis forma Φαντεύς. sed Φάντεια quoque corruptum est, quemadmodum litterarum ordo docet, qui Φάστεια vel simile quid postulat. 11. Φεά pro Φέα V et Eustath. ad Il. p. 671, 18. Ὅμηρος] Il. 7, 135. Φιᾶς R, Φειᾶς AV. 15. Φελλάς ante X. 16. παντὸς τοῦ libri. ἐπὶ πολλῆς V. 16. 17. πέτρας libri. 17. ὑπὸ Santenius apud Ruhnk. ad Tim. p. 270, ὑπὲρ libri. πρὸς R, καὶ πρὸς AV. ἐλαιοφυτείαν V. 22. 23. Φελείτης καὶ Ἀντιφελλείτης V.

Φενέβηθις, πόλις Αἰγύπτου. τὸ ἐθνικὸν τῷ συνήθει χαρακτῆρι Φενεβηθίτης. οὕτως γὰρ Ὡραπόλλων ὁ φιλόσοφος ἐχρημάτιζεν.

Φενεός, πόλις Ἀρκαδίας „οἳ Φενεόν τ' ἐνέμοντο καὶ Ὀρχομενόν". λέγεται καὶ ἀρσενικῶς [καὶ θηλυκῶς.] ἔστι δ' ἡ πόλις τῆς Ἀζανίας. ὁμορεῖ δὲ ἐκ τῶν πρὸς βορρᾶν μερῶν τῇ Κλειτορίᾳ, ἐν δὲ τῷ πρὸς ἄρκτους Αἰγείροις καὶ Πελλήνῃ, ταῖς Ἀχαϊκαῖς πόλεσι. κεῖται δὲ ὑπὸ τὸ ὄρος τὴν Κυλλήνην. ὁ πολίτης Φενεεύς καὶ Φενεάτης καὶ Φενεαῖος καὶ θηλυκῶς Φενεαία καὶ Φενεαῖον. τὸ κτητικὸν Φενεατικός καὶ Φενεατική καὶ Φενικός καὶ Φενική.

Φεραί, πόλις Θεσσαλίας „οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηίδα λίμνην". ἀπὸ Φέρητος τοῦ Κρηθέως ἢ Φερᾶς τῆς Αἰόλου θυγατρός. ὁ πολίτης Φεραῖος καὶ Φεραία. εἰσὶ καὶ ἄλλαι Φεραὶ ἀρχαῖαι τῶν νῦν Φερῶν ἀπέχουσαι στάδια ὀκτώ. εἰσὶ καὶ ἄλλαι Ἰαπυγίας καὶ Αἰτωλίας καὶ Παρθυαίων. ἔστι καὶ διὰ τοῦ η „Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον". τὸ ἐθνικὸν Φηραῖος.

Φερεντῖνος, πόλις Σαυνιτῶν ἐν Ἰταλίᾳ. τὸ ἐθνικὸν Φερεντανός. λέγεται καὶ Φερέντιοι, ὡς Διονύσιος ιζ' τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας.

---

2. χαρακτῆρι. καὶ Φενεβηθίτης ante H. Φενεβηνθίτης RV. Ὡραπόλλων PpR, ὥρα πολλῶν A. 3. ἐχρήματιζε R, ἐχρηματίζετο AV. 4. οἳ Φενεόν] Hom. Il. 2, 605. 5. καὶ θηλυκῶς addidi ex Eustathio ad Hom. p. 301, 15. 6. βορρᾶν V, βορᾶν AR. 7. Κλειτορίᾳ H, Κλιτορίᾳ libri. ἐκ δὲ τῶν? Αἰγείρᾳ? 7. 8. Πελλήνῃ ταῖς Salmasius, Πεληνίταις libri. 8. ὑπὲρ libri. 9. Φεναιεύς R. 9. 10. θηλυκὸν Φενεαῖα R. 11. Φενικός] Vide Exerc. philol. ad Athen. 2 p. 2. 12. οἵ τε Φερὰς] Hom. Il. 2, 711. 13. Κριθέως V et Eustath. ad Hom. l. l. 15. ἀρχαῖα V. 16. Παρθυαίων καὶ Αἰτωλίας V. 17. Φηράς τε ζαθέας] Hom. Il. 9, 151. 18. τὸ om. V. ἐθνικῶν V. Φεραῖος ante H. 19. Φερεντῖνον Strabo 5 p. 226. Etruriae civitas, Φερέντιον Samnitium, idque hic scriptum oportuisse docent gentilia. 20. Φερεντανός M, Φρεντανός V, Φερετανὸς R, Φερεντηνός A. Φερέντιοι RV, Φερέντιος A.

Φηγαιά, δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Φηγαιεύς. ἔστι καὶ ἄλλος δῆμος τῆς Πανδιονίδος φυλῆς οἱ *Φηγαιεῖς*. ὁ δημότης Φηγαιεύς. τὰ τοπικὰ ἐκ Φηγαιέων εἰς Φηγαιέων ἐν Φηγαιέων.

Φήγεια, πόλις Ἀρκαδίας, ἀπὸ Φηγέως βασιλέως, ὡς Χάραξ Ἑλληνικῶν δ'. Φηγεὺς δ' ὁ ἀδελφὸς τοῦ Φορωνέως ἔκτισε πόλιν Φήγειαν, ἣ πρὶν *Ἐρύμανθος* ἐκαλεῖτο, ὕστερον δὲ *Ψωφίς* ὠνομάσθη, ὡς ἐροῦμεν, ἀπὸ τῆς μητρός..... οἱ πολῖται Φηγεῖς.

Φηγοῦς, δῆμος Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Φηγούσιος. τὰ τοπικὰ Φηγουντόθεν Φηγοῦντάδε Φηγοῦντι.

Φημίαι, πόλις τῆς Ἀρναίας, ἀπὸ Φημίου τοῦ Ἄμπυκος. Ἑλλάνικος ἐν πρώτῃ Δευκαλιωνείας. τὸ ἐθνικὸν Φημιαῖος καὶ Φημιεὺς καὶ Φημιάτης, ὧν οἱ τύποι εὕρηνται.

Φθειροφάγοι, ἔθνος ... Στράβων ἑνδεκάτῃ.

Φθία, πόλις καὶ μοῖρα Θετταλίας. Παρμενίσκος δὲ χώραν αὐτήν φησι καὶ οὐ πόλιν· οὐκ ὀρθῶς. ἐκλήθη δὲ ἀπὸ Φθίας γυναικὸς ἢ Φθίου Ποσειδῶνος καὶ Λαρίσης. Στράβων δὲ εἰς τέσσαρα διαιρεῖ τὴν Θετταλίαν, Φθιῶτιν [Ἑστι]αιῶτιν Θετταλιῶτιν Πελασγιῶτιν. ὁ πολίτης Φθιώτης καὶ Φθιῶτις

1. *Φηγαία* libri. 3. 4. *Φηγαιέων* ter Salmasius, *Φηγαίων* libri; nisi malis *Φηγαιῶν*. *ἐκ Φηγαιέων* om. V. 7. *Φήγαιαν* V. 8. *ἀπὸ τῆς μητρός*] Excidit *Ἐχέφρονος καὶ Προμάχου*. cf. Pausan. 8, 24, 2: *ἐπιτραφέντες δὲ αὐτόθι* (in urbe Phegia) *Ἐχέφρων καὶ Πρόμαχος Ἡρακλέους τε ὄντες καὶ τῆς γυναικὸς τῆς Σικανῆς* (cui Psophis nomen) *μετέθεντο τῇ Φηγίᾳ τὸ ὄνομα Ψωφῖδα ἀπὸ τῆς μητρός*. 9. *Φηγειεῖς* Salmasius. 10. 11. *Φηγούσιος* RV, *Φηγούσσιος* A. 11. *Φηγοῦντι* M, *Φηγουντίσι* A, *Φηγουντίωσι* V, *Φηγουντι* R cum compendio in ultima, quo incertum est utrum *σι* an *ως* indicetur. fuit fortasse *Φηγοῦντι ὡς Ἐ[λαιοῦντι]*, quo ducit scriptura V. 13. *ἐν* add. RV. *Δευκαλιωνίας* V. *Φημιαῖος* Salmasius, *Φημαῖος* libri. 15. *Φθειροφάγοι* ante X. *ἑνδεκάτῃ*] p. 492. 17. *Φθίας* Salmasius, *Φθίου* libri. 18. *Λαρίσσης* libri. *Στράβων*] 9 p. 430. omnia haec *Στράβων* — *Πελασγιῶτιν* in marginem releganda videntur. 19. *Θετταλίαν* R, *Θεσσαλίαν* AV. *Ἑστιαιῶτιν* X, *αἰῶτιν* libri. 20. *Φθιώτης*] *Φθιότης* R.

τὸ ϑηλυκόν, καὶ Φϑιωτικός καὶ Φϑῖος, ἀφ' οὗ Φϑῖοι καὶ Φϑῖες. εὕρηται καὶ Φϑιάς ϑηλυκῶς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ „Φϑιὰς ὅμως".

Φϑίρ, ὄρος Καρίας. οἱ κατοικοῦντες Φϑῖρες καὶ Φϑιριάς ϑηλυκῶς.

Φιά, πόλις τῶν περιμάχων Μεσσηνίοις καὶ Λάκωσιν. Ὅμηρος „Φιᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεϑρα". τὸ [δὲ] ἐϑνικὸν [ταύτης] Φιεύς καὶ Φιάτης καὶ Φιαῖος.

Φιγάλεια, πόλις Ἀρκαδίας. Ῥιανὸς ἐν ε΄ Μεσσηνιακῶν „τὴν μὲν ἀνήγετ' ἄκοιτιν ἐπὶ κραναὴν Φιγάλειαν". μετωνομάσϑη δὲ Φιάλεια δίχα τοῦ γ ἀπὸ Φιάλου τινός. ἔστι καὶ Φιάλεια Βιϑυνίας. τὸ ἐϑνικὸν τῆς προτέρας Φιγαλεύς καὶ Φιγαλείτης.

Φιδήνη, πόλις Ἀλβανῶν. τὸ ἐϑνικὸν Φιδηναῖος. ἔοικε καὶ Φίδηνα λέγεσϑαι ὡς Ῥάβεννα, καὶ Φιδηνάτης ὡς Ῥαβεννάτης· οὕτω γὰρ Χάραξ ιβ' κέχρηται Φιδηνάτης.

Φίκειον, ὄρος Βοιωτίας, καὶ διὰ διφϑόγγου καὶ διὰ βραχέος τοῦ ι. τὸ ἐϑνικὸν ἀμφοτέρων Φικειεύς, ὡς Βουδιεύς Ῥοιτειεύς Αἰγιεύς Σουνιεύς.

---

1. καὶ Φϑιωτικός add. R. 1. 2. Φϑῖες καὶ Φϑῖοι εὕρηνται V. pro Φϑῖες Papius Φϑιεῖς. cf. Lobeck. Paral. p. 83. 2. 3. Ἀνδρομάχῃ] vs. 119. 4. Φϑίρ scripsi ex Eustath. ad Hom. p. 368, 7, Φϑίρα libri. vide Exercitt. phil. ad Athen. 1 p. 22 et Lobeck. Paral. p. 76. Φϑῖρες καὶ om. V. 5. ϑηλυκὸν R. 6. Φία libri. τῶν] τῆς R, τοῖς V. περιμάχων V et Eustath. ad Hom. p. 679, 18, περὶ μάχην AR, περιμαχήτων W. 7. Ὅμηρος] Il. 7, 135. Φιᾶς R, Φίας A. Φειᾶς apud Homerum. cf. supra in Φεά. τείχεσιν Ἰορδάνου V. 8. δὲ et ταύτης add. Eustathius. 9. Φιγαλέα libri. Μεσηνιακῶν RV. de Rhiani versu cf. Anall. Alex. p. 194. 10. Φιγαλέαν V, Φιγαλέαν AR. 14. Φιδίνη V. 15. Ῥάβηνα et Ῥαβηνάτης? vide p. 542, 5. 16. Χάρεξ R. ιβ' add. RV. Φιδηνάτης abundat. 17. Φίκειον Pr. 18. τοῦ om. V. ἀμφοτέρων V, ἀμφότερον R, om. APr. sequentia fortasse sic scribenda: Φικειεύς ὡς Βουδειεύς Ῥοιτειεύς, [καὶ Φικιεύς ὡς] Αἰγιεύς Σουνιεύς. Φικιεύς PrV, Φικεύς R, Φικειεύς [καὶ Φικιεύς] H. Βουδειεύς X, Βουδιεύς APrV, Βουδεύς R. 19. Ῥοιτιεύς PrRV. Αἰγιεύς M, Ἀγιεύς V, Ἀργιεύς APrR.

Φίλα, πόλις Μακεδονίας, κτίσμα Δημητρίου τοῦ Ἀντιγόνου παιδός, τοῦ Γονατᾶ καλουμένου, ὃς ἀπὸ τῆς τούτου μητρὸς Φίλας ἐπὶ τοῦ Πηνειοῦ ἔκτισε πόλιν Φίλαν. ἔστι καὶ νῆσος ἐν Αἰγύπτῳ, Ἡρόδοτος τετάρτῃ „ἐπὶ ποταμὸν τὸν μέγαν, ᾧ οὔνομα Τρίτων ἐστίν· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα". τὸ ἐθνικὸν Φιλαῖος, τῆς νήσου δὲ Φιλάτης.

Φιλαδέλφεια, πόλις Λυδίας, Ἀττάλου κτίσμα τοῦ φιλαδέλφου. ἔστι δὲ τῆς Κεκαυμένης, ὑπὸ Μυσῶν καὶ Λυδῶν κατεχομένης· Στράβων ιβ'. ἔστι καὶ ἑτέρα τῆς Αἰγύπτου. καὶ τρίτη τῆς Συρίας ἐπιφανὴς πόλις, ἡ πρότερον Ἄμμανα, εἶτ' Ἀστάρτη, εἶτα Φιλαδέλφεια ἀπὸ Πτολεμαίου τοῦ φιλαδέλφου. ὁ πολίτης Φιλαδελφεύς. τὸ δὲ Φιλαδελφηνός ἐπιχώριον. οὕτω γὰρ Ἰώσηπος κ' τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Φιλαΐδαι, δῆμος τῆς Αἰγηίδος φυλῆς, ἀπὸ Φιλαίου τοῦ Αἴαντος υἱοῦ καὶ Λυσιδίκης τῆς Κορώνου τοῦ Λαπίθου. ὁ δημότης Φιλαΐδης. τὰ τοπικὰ ἐκ Φιλαϊδῶν εἰς Φιλαϊδῶν ἐν Φιλαϊδῶν.

Φιλέας, χωρίον Βυζαντίου. τὸ ἐθνικὸν Φιλεάτης. τινὲς δὲ Φιλίαν, ἄλλοι δὲ Φινέαν γράφουσιν.

Φιληνόριον, πόλις ἐν Ἀρναίᾳ χώρᾳ τῆς Βοιωτίας, ἀπὸ Φιλήνορος τοῦ Αἰτωλοῦ. τὸ ἐθνικὸν Φιληνόριος.

---

2. τούτου add. R. 3. Φίλαν [λεγομένην] B. 4. τετάρτῃ] c. 178. ubi Φλά scribitur. 4. 5. ἐπὶ ποταμὸν τὸν μέγαν RV, ἐπὶ τὸν ποταμὸν τὸν μέγαν A, ἐπὶ ποταμὸν μέγαν Herodotus. 5. τῷ Herodotus. οὔνομα RV, ὄνομα A. ἐκδιδοῖ δὲ οὗτος Herodotus, ἐκδιδόντα V, ἐκδιδόντος AR. 6. τὸ om. RV. 7. Φιλίτης B. 8. κτίσμα X, κτίστου libri. 9. δὲ RV, καὶ A. 10. κατεχομένης R, κατεχομένη AV. ιβ'] p. 579. 14. κ'] c. 1. 15. τῆς om. RV. 16. Λυσιδίκης Schubartus, Λυσίδης AR, Λυγίδης V. Λαμπίθου V. 17. τὸ τοπικὸν libri. 19. Βυζάντιον RV. an Βυζαντίων? 20. Φιλίαν RV, Φιλέαν A. Φιλίας dicitur Scymno Per. 723. Βυζαντίων χώρα Φιλία καλουμένη. ubi vide quae dicta sunt p. 43. Φιλέας est apud Nicetam Chon. ed. Bonn. p. 750, 20. δὲ om. RV. 21. Ἐρναία V. 22. Αἰτωλοῦ] Αἰολέως Müllerus Orchom. p. 392.

Φίλιπποι, πόλις Μακεδονίας, οἱ πρότερον Κρηνίδες. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ἕνδεκα „καὶ πόλις Φίλιπποι τὸ παλαιὸν Κρηνίδες. τοῖς δὲ Κρηνίταις πολεμουμένοις ὑπὸ Θρᾳκῶν βοηθήσας ὁ Φίλιππος Φιλίππους ὠνόμασεν". ἔνθεν ἦν Ἄδραστος ὁ περιπατητικὸς φιλόσοφος, Ἀριστοτέλους μαθητής. ἐκλήθησαν *Φίλιπποι* καὶ αἱ Θῆβαι Θεσσαλίας καὶ Γόμφοι Θεσπρωτίας. ὁ πολίτης Φιλιππεύς, Φιλιππηνός δὲ παρὰ Πολυβίῳ.

Φιλιππόπολις, πόλις Μακεδονίας, Φιλίππου τοῦ Ἀμύντου κτίσμα ἐν τῷ Ἕβρῳ. τὸ ἐθνικὸν Φιλιπποπολίτης.

Φιλομήλειον, πόλις τῆς μεγάλης Φρυγίας. Στράβων δωδεκάτῃ. τὸ ἐθνικὸν Φιλομηλεύς, ὡς Δορυλαεύς Κοτυαεύς.

Φίλυρες, ἔθνος πρὸς τῷ Πόντῳ, ἀπὸ Φιλύρας τῆς μητρὸς Κρόνου. τὸ θηλυκὸν Φιλυρίς καὶ Φιλυρηίς πλεονασμῷ τοῦ η. δύναται καὶ ἀπὸ τοῦ Φιλύρη Φιλυρίτης εἶναι.

Φιλωτέρα, πόλις περὶ τὴν Τρωγλοδυτικήν, Σατύρου κτίσμα. Ἀπολλόδωρος δὲ *Φιλωτερίδα* καλεῖ. ἔστι καὶ κοίλης Συρίας *Φιλωτέρα*, ὡς Χάραξ ἐν ὀγδόῳ χρονικῶν. τὸ ἐθνικὸν ταύτης Φιλωτέριος, διὰ τό τινας καὶ *Φιλωτερίαν*

---

1. *Κρηνῖδες* V. 3. *Κρινίδες* V. *Κρινήταις* V. 7. *Γόμφη* V. 10. *ἐν τῷ Ἕβρῳ* H, *ἐν τῷ Εὔρῳ* AR, *ἐν τῷ ἄρῳ* V. pusillum vitium immanem errorem Salmasii genuit *Ἑκαταῖος Εὐρώπῃ* coniectantis. *τὸ* om. RV. 11. *Φιλομήλιον* libri. *Φιλομίλιον* scribitur apud Cinnam. Hist. 2, 5. 12. *δωδεκάτῃ*] p. 577. ubi item legitur *Φιλομήλιον*, pro quo Stephanum in suo codice *Φιλομήλειον* scriptum repperisse docet gentilicii comparatio cum *Δορυλαεύς* et *Κοτυαεύς*. *Φιλομηλιεύς* V. *Δορυλαεύς* R, *Δορυαλεύς* AV. 13. 14. *τῆς μητρὸς [Χείρωνος, γυναικὸς δὲ] Κρόνου?* vide Apollon. Rh. 4, 1235. Apollod. Bibl. 1, 2. ibique Heynium. 15. *Φιλυρείτης* R, *Φιλυρήτης* AV. 16. *παρὰ* R. 19. *Φιλωτερίαν*] Apud Polyb. 5, 70. vitiose editur *Φιλοτερία*. nomen urbi inditum a Philotera, Ptolemaei secundi sorore. cf. Strab. 14 p. 769. adde schol. Theocrit. Id. 17, 121. *ὅτι πολλοὺς ναοὺς ἱδρύσατο ὁ Φιλάδελφος. καὶ Λύκος δ' ἐν τῷ περὶ Νέστορος φησὶν οὕτως „ᾠκοδόμησε δὲ καὶ τοῖν γονέοιν ἀμφοτέροιν παμμεγέθη ναὸν καὶ ταῖς ἀδελφαῖς Ἀρσινόῃ καὶ Φιλωτέρᾳ"*. ita enim haec emendavit Letronnus Journal des Savans 1841 p. 335 sqq. ac nescio an eandem compellet Calli-

αὐτὴν εἰρηκέναι. τῆς δ' Αἰγυπτίας Φιλωτερίτης, διὰ τὸ σύνηθες τοῦ ἐπιχωρίου τύπου.

Φίνειον, τόπος τοῦ Πόντου, κτίσμα Φινέως. τὸ ἐθνικὸν Φινειεύς, ὡς Σίγειον Σιγειεύς.

Φινόπολις, πόλις πρὸς τῷ Πόντῳ, ἀπὸ Φινέως. τὸ Φινοπολίτης.

Φλάνων, πόλις καὶ λιμὴν περὶ τὴν Ἄψυρτον νῆσον. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ιά „μετὰ δὲ τὴν Ἄλωον λιμήν ἐστι Φλάνων καὶ πόλις Φλάνων, καὶ πᾶς ὁ κόλπος οὗτος Φλανωνικὸς καλεῖται". ἀπὸ οὖν τῆς γενικῆς Φλάνων Φλανωνίτης, ὡς Νάρβων Ναρβωνίτης.

Φλέγρα, πόλις Θρᾴκης, ἣν Εὔδοξος μετὰ ταῦτα Παλλήνην φησὶ κληθῆναι. ὁ πολίτης Φλεγραῖος καὶ Φλεγραία καὶ Φλεγραῖον. ἔστι καὶ Φλεγρός καὶ Φλέγρα. Λυκόφρων.

Φλεγύα, πόλις Βοιωτίας, ἀπὸ Φλεγύου τοῦ Ἄρεος καὶ Χρυσῆς παιδός. ὁ πολίτης Φλεγύας καὶ Φλεγυεύς. λέγεται δὲ ἡ χώρα Φλεγυαντίς, ὡς ἀπὸ περιττοσυλλάβου γενικῆς τῆς Φλεγύαντος. ἔστι δὲ τοῦ Φλεγύας καὶ Φλεγύης εὐθεῖα καὶ Φλέγυς.

Φλιοῦς, πόλις Πελοποννήσου, ἡ πρότερον **Ἀραιθυρέα** καὶ **Ἀράντεια**, ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ Χθονοφύλης.

---

machus apud Hephaest. p. 49: *Φιλωτέρα, ἄρτι γὰρ οἱ (ἁ) Σικελὰ μὲν Ἔννα.* in huius honorem quae celebrabantur solennia *Φιλωτέρεια* dicebantur, quod *Φιλωταίρεια* vitiose scriptum est apud Theodosium ed. Göttl. p. 69. 3. *Φίνιον* V. 7. *παρὰ* RV. 8. *Ἄλον* R. *Ἀλοῦον* dicitur Ptolem. 3, 1, 28. *λιμήν* X, *λίμνη* AR, *λήμνη* V. 10. *Φλανωνιτικὸς* Salmasius. *τῆς Φλάνωνος γενικῆς?* 11. *Νέβρων Νεβρωνίτης* ante H. 13. *φησὶ* om. R. 14. *Φλεγρός*] Nonne *Φλεγρεύς?* *Φλέγρα*] Scripsisse videtur *Φλεγράς*, idque ipsum hinc restituerim Lycophr. 1404. ubi hodie legitur: *τῷ πᾶσα Φλέγρας αἶα δουλωθήσεται.* similiter ab *Ἴσσα* formatur *Ἰσσάς* p. 339, 17. 17. *Φλεγυαντίς* V. 18. *τῆς Φλεγύαντος* add. RV. hac forma usus est Euripides apud schol. Apoll. Rh. 3, 62. 20. *Ἀραιθυραία* R. cf. schol. Apoll. Rh. 1, 115: *πόλις Πελοποννήσου ἡ Ἀραιθυρέα ἐν ὁρίοις τῆς Σικυῶνος κειμένη, ἡ νῦν ὀνομαζομένη Φλιοῦσα (Φλιοῦς?) ἀπὸ Φλιοῦντος τοῦ Διονύσου καὶ Χθονοφύλης.* 21. *Ἀραντία* H, ut supra suo loco scribitur.

Παυσανίας δὲ ἀπὸ Φλίαντος ὡς μαρτυρεῖ καὶ τὸ ἐθνικὸν Φλιούντιος ἢ Φλιούσιος. Φιλήτας δέ φησι

Φλιοῦς γὰρ πόλις ἐστί, Διωνύσου φίλος υἱός
Φλιοῦς ἣν αὐτὸς δείματο λευκολόφος.

ὠνόμασται δὲ παρὰ τὸ φλεῖν, ὅ ἐστιν εὐκαρπεῖν. Λακεδαιμόνιοι δὲ τῶν μηνῶν ἕνα Φλιάσιον καλοῦσιν, ἐν ᾧ τοὺς τῆς γῆς καρποὺς ἀκμάζειν συμβέβηκεν. ὤφειλε δὲ ἀπὸ τῆς Φλιοῦντος Φλιούσιος, πλεονασμῷ δὲ τοῦ ᾱ Φλιάσιος. καὶ Τίμων ὁ περὶ σίλλων γεγραφὼς Φλιάσιος ἐχρημάτιζε. τὸ θηλυκὸν Φλιουντία καὶ Φλιουντίς.

Φλυγόνιον, πόλις Φωκίδος. λέγεται καὶ θηλυκῶς **Φλυγονία**. ὁ πολίτης Φλυγόνιος καὶ Φλυγονιεύς.

Φλυεῖς, δῆμος τῆς Κεκροπίδος φυλῆς. ὁ δημότης Φλυεύς καὶ Φλυῆθεν. τὰ τοπικὰ Φλυᾶθεν Φλυάζε Φλυῆσιν.

Φοιβία, πόλισμα Σικυωνίων. τὸ ἐθνικὸν Φοίβιος ἢ Φοιβιανός.

Φοινίκαιον, ὄρος Κορίνθου. Ἔφορος ἐννεακαιδεκάτῳ. τὸ ἐθνικὸν Φοινικαῖος.

Φοινίκη, ἡ χώρα, ἀπὸ τῆς Φοίνικος γενικῆς, ὡς Κρής Κρητός Κρήτη, Λίβυς Λίβυος Λιβύη. ὁ δὲ Φοῖνιξ ἦν Ἀγή-

---

1. Παυσανίας] 2, 12, 6. ὡς μαρτυρεῖ add. RV. verba haec cum sequentibus τὸ ἐθνικὸν Φλιούντιος ἢ Φλιούσιος post Χθονοφύλης transponenda videntur. 3. γὰρ add. RV. Διωνύσου Salmasius, τοῦ Διονύσου libri. φίλος R, φιλ A, φίλης V. 4. δείματο RV, ἐδείματο A. 6. Φλιάσιον] Φλυήσιος dicitur Hesychio. 7. τῆς Φλιοῦντος] γενικῆς add. A, om. RV. 9. σέλλων ante X. 9. Φλυάσιος V. ἐχρημάτιζε RV, ἐχρημάτισε A. 9. 10. Φιλουντία καὶ Φιλουντίς RV. 14. Φλυῆθεν] Φλυή demum hunc vocat Arcadius p. 103, 26. et Grammaticus Crameri AO. vol. 1 p. 427. καὶ Πλυή. ἔστι δὲ δῆμος Αἰολικός, ubi leg. Φλυή et Ἀττικός. Φλυά, a quo Φλυᾶθεν formatur, vocat Suidas, ubi Φλυία editur. plerisque Φλυεῖς dicitur, ex quo Φλυεία corruptum videtur apud Photium et Etymol. M. p. 795, 40. denique Phlyeus est apud Senec. Hipp. 28. Φλυᾶθεν] Φλυάθω V, Φλύαθεν AR. Φλύαζε libri. 16. πτόλισμα V. Φοίβιος Salmasius, Φοιβίας AP[b], Φοιβία P[a]RV. forsan [Φοίβιος καὶ] Φοιβία.

νορος παῖς ἢ Ποσειδῶνος καὶ Λιβύης. ἐκαλεῖτο δὲ πρότερον Ῥαββώθη καὶ Κολπίτης. τὸ ἐθνικὸν τῷ ὀνόματι τοῦ οἰκιστοῦ Φοῖνιξ, καὶ Φοινίκιος. τὸ κτητικὸν Φοινικικός. ἔστι καὶ Φοῖνιξ οὐ πολὺ ἀπέχων Ῥόδου. καὶ ποταμός ἐστι Φοῖνιξ.

Φοινικοῦς, πόλις Κρήτης. ἔστι καὶ νῆσος πρὸς τῇ Λυκίᾳ. ἔστι καὶ Φοινικοῦς λιμήν. Θουκυδίδης ὀγδόῃ. τὸ ἐθνικὸν Φοινικούντιος καὶ Φοινικούσιος, ὡς Σελινούντιος καὶ Σελινούσιος.

Φοινικοῦσσαι, δύο νῆσοι ἐν τῷ Λιβυκῷ κόλπῳ πρὸς τῇ Καρχηδόνι, ὡς Ἑκαταῖος περιηγήσει Λιβύης. οἱ νησιῶται Φοινικουσσαῖοι. ἔστι καὶ πόλις Φοινίκων τῶν ἐν Συρίᾳ Φοινικοῦσσαι, ὡς αὐτὸς ἐν Ἀσίᾳ.

Φοιτίαι, πόλις Ἀκαρνανίας, ἀπὸ Φοιτίου τοῦ Ἀλκμέωνος τοῦ Ἀμφιαράου. Πολύβιος τετάρτῳ. λέγεται καὶ Φοίτιον. καὶ τὸ ἐθνικὸν Φοιτιεύς καὶ Φοίτιοι, ὡς Ἑλλάνικος ἐν τοῖς Τρωικοῖς.

Φολέγανδρος, νῆσος τῶν Σποράδων, ἀπὸ Φολεγάνδρου τοῦ Μίνωος. „ἣν Ἄρατος σιδηρείην ὀνομάζει διὰ τὴν τραχύτητα".

---

1. παῖς ἢ Salmasius, παῖς καὶ AV, καὶ R. 2. Ῥαββώθη RV, Ῥαββώθιν A. 3. Φοινικός V. 4. ἀπέχον RV, quo recepto supplendum καὶ Φοῖνιξ, [φρούριον Καρίας,] οὐ πολὺ ἀπέχον Ῥόδου. vide Strab. 14 p. 652 et Nicephor. Brev. hist. p. 36. ποτός R. 6. λιμήν H, λίμνη libri. ὀγδόῃ] c. 34. 7. Φοινικούσιος R, Φοινικούσσιος AV. 7. 8. Σελινούντιος καὶ Σελινούσσιος AV, Σελινούσιος καὶ Σελινούντιος R. 9. Φοινικοῦσαι V. 10. 11. οἱ οἰκοῦντες Φοινικουσαῖοι R. 11. 12. Φοινικοῦσαι R. 13. 14. Ἀλκμέωνος PpRV, Ἀλκμαίωνος A. 14. τετάρτῳ] c. 63, 7. καὶ διελθὼν τὴν Ἀκαρνανίαν ἧκε τῆς Αἰτωλίας πρὸς τὴν καλουμένην πόλιν Φοιτείας (Φοιτίας). 15. καὶ Φοίτιοι] Adde tertiam gentilicii formam Φοιτιᾶνες ex titulo apud Boeckh. no. 1793 c. quam comparant cum Ἀκαρνᾶνες Ἀζᾶνες Ἀτιντᾶνες Εὐρυτᾶνες Αἰνιᾶνες, quibus adde Ἀθαμᾶνες Καρβάν Κυλικρᾶνες Ἀρκτᾶνες Ἰάν, et paulo rariora ex nostro Δωριάν p. 253, Δυμᾶνες p. 240, Ἐγγελᾶνες p. 260, Λυκάν p. 420, 17, fortasse etiam Φρικᾶνες s. v. Φρίκιον. 18. Μίνωνος ante X. 18. ἣν — τραχύτητα Strabonis verba 10 p. 484. σιδηρίην libri.

ὁ πολίτης Φολεγάνδριος καὶ Φολεγανδρῖνος καὶ οὐδέτερον Φολεγανδρῖνον.

Φολόη, πόλις Ἀρκαδίας, ἀπὸ Φόλου τοῦ Κενταύρου. το ἐθνικὸν Φολοεύς, ὡς Λευκονοεὺς Ἀντινοεὺς Μεροεύς.

Φόρβας, πόλις τῶν ἐν Θεσσαλίᾳ Ἀχαιῶν. τὸ ἐθνικὸν Φορβάντιος, ἐπειδὴ Φορβάντιον ὄρος Τροιζῆνος.

Φορίεια, κώμη Ἀρκαδίας. τὸ ἐθνικὸν Φοριαεύς, ὡς Ἔφορος ἐν τῇ ϛ' τῶν ἱστοριῶν.

Φόρουννα, πόλις Θρᾴκης. Πολύβιος ἐνάτῳ. τὸ ἐθνικὸν Φορουνναῖος, ὡς Κυνναῖος Πελινναῖος Φαλανναῖος.

Φοροβρεντάτιον, πόλις Λιβύης. τὸ ἐθνικὸν Φοροβρεντατηνός.

Φοῦνδα, ὡς Νῶλα, πόλις Ἰταλίας. οἱ πολῖται Φουνδανοί, Διονύσιος πεντεκαιδεκάτῳ Ῥωμαϊκῆς ἀρχαιολογίας.

Φουρνίτα, πόλις Λιβύης. οἱ οἰκήτορες Φουρνιτανοί. Φλέγων ιέ τῶν Ὀλυμπιάδων.

Φράασπα, Μηδίας πόλις. Κουάδρατος Παρθικῶν τετάρτῳ. τὸ ἐθνικὸν Φραασπηνός κατὰ τὸ ἔθος τῆς χώρας.

Φράγγοι, ἔθνος Ἰταλίας τῶν Ἀλπείων ὀρῶν ἐγγύς. Παρθένιος ὁ Φωκαεὺς πρώτῳ.

Φράδα, πόλις ἐν Δράγγαις, ἣν Ἀλέξανδρος Προφθασίαν μετωνόμασεν, ὡς Χάραξ ἐν ἕκτῳ χρονικῶν.

Φρατρία, ἐξ ἧς οἱ φράτορες λέγονται, οἱ ἐκ τῆς αὐτῆς φρατρίας ὄντες, ὅ ἐστι τρίτον φυλῆς, ἣν τινες τριττὺν λέγου-

---

4. *Λευκονοεύς* RV, *Λευκωνοεύς* A. *Ἀντινοεύς* H, *Αὐτονοεύς* libri. *Μεριεύς* ante X. 5. *Φόρβας* Salmasius, *Φορβαί* libri. 6. *Φορβάντειος* et *Φορβάντειον*? 7. *Φοριειεύς* H. fort. *Φοριεύς*. 8. *ἐν τῇ ϛ'* RV, *ἐν ἕκτῳ* A. 9. *Φάρουνα* V. 10. *Φορουναῖος* V. *Κυνναῖος* M, *Οὐνναῖος* AV, *Σουναῖος* R, *Ὀνναῖος* Salmasius ab *Ὄννη*. at requiritur nomen in *ᾱ*. 11. *Φοροβεντάντιον* V. 11. 12. *Φοροβεντατηνός* V. 15. *Φουρνῖτα*? 16. *τῶν* add. R. 17. *Μηδείας* V. 18. *Φρασπηνός* V. *κατὰ τῆς χώρας* R. 19. *Ἀλπείων* M, *Ἀλπαίων* RV, *Ἀλπέων* A. possis etiam *Ἄλπεων*. 19. 20. *Παρθένιος*] V. Anall. Alex. p. 265. 21. *φρατρία* RV, *φατρία* A, qui hanc sectionem supra post *Φαντία* habet. *φράστορες* V. 21. 22. *ἐκ τῆς αὐτῆς φρατρίας* RV, *ἐκ τῆς φατρίας*

σιν. ἐλέγετο δὲ φράτηρ καὶ φράτωρ. ἀλλὰ τὸ μὲν φράτηρ ἀρχαῖον μετὰ τῆς αὐτοῦ κλίσεως, θάτερον δὲ νεώτερον. λέγεται καὶ φράτριον τόπος ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνάγονται. λέγεται καὶ φρατρίζειν τὸ εἰς αὐτὴν συνιέναι. καὶ μετὰ τοῦ ᾱ φρατριάζειν, ὅπερ σύνηθες τοῖς Ἀττικοῖς. φρατριάζειν δ᾽ ἔλεγον τὸ ἐν τῷ φρατρίῳ εὐωχεῖσθαι, ὅ ἐστι τὸ τῆς φρατρίας ἔθος. [καὶ κίνημα τοῖς Ῥωμαίοις καὶ τοῖς τούτων ἱστορικοῖς.] ἀλλὰ καὶ φρατριεῖς ἐκαλοῦντο οἱ ἐν αὐτῷ συνιόντες. ἐλέγοντο δὲ καὶ φρᾶτραι καὶ φᾶτραι· ἀλλ᾽ οὐ συνᾴδει τῷ φρατριεύς. ὡς γὰρ Ὑρία Ὑριεύς Ὑσία Ὑσιεύς, οὕτως φρατρία φρατριεύς.

Φρέαροι, δῆμος Ἀθήνησι τῆς Λεοντίδος φυλῆς, ἀπὸ Φρεάρου Ἀθήνησιν ἐπισήμου ἥρωος. ὁ δημότης Φρεάριος. τὰ τοπικὰ Φρεαρόθεν Φρέαρόνδε Φρεαροῖ.

Φρέγελλα, πόλις Ἰταλίας, ἣ τὸ μὲν ἀρχαῖον ἦν Ὀπικῶν, ἔπειτα Οὐολούσκων ἐγένετο. τὸ ἐθνικὸν Φρεγελλανός, ὡς Διονύσιος ις΄ τῆς Ῥωμαϊκῆς ἀρχαιολογίας καὶ ἄλλοι πλεῖστοι.

Φρεντανόν, πόλις Ἰταλίας. τὸ ἐθνικὸν Φρεντανοί. Στράβων πέμπτῃ.

τῆς αὐτῆς A. τρίτον R, τρίτης AV. τριττὺν] τρίτὴν V. 1. φράτηρ] Vide Com. graec. fr. vol. 1 p. 218. 2. κλίσεως X, κλήσεως libri. 3. φράτριον RV, φάτριον A. 3.4. συνάγονται R, συνήγοντο A, συνάγοντες V. 4. φρατρίζειν RV, φατρίζειν A. cf. Harpocr. p. 131, 12 et 182, 17. αὐτὴν R, ταὐτὸν A. 5. φρατριάζειν RV, φατριάζειν A. τοῖς om. V. 5.6. φρατριάζειν δ᾽ RV, φατριάζειν A. 6. φρατρίῳ RV, φατρίῳ A. εὐωχεῖσθαι H, εὔχεσθαι libri. 7. φρατρίας RV, φατρίας A. 7.8. καὶ κίνημα — ἱστορικοῖς interpolatoris esse videntur. 8. φρατριεῖς RV, φατριεῖς A. αὐτῇ V. 9. φράτραι καὶ φάτραι libri. 10. συνάγει R. φρατριεύς RV, φατριεύς A. 11. φατριεύς R. 12. Φρέαροι RV, Φρέαρροι A. fort. Φρέαρον. 13. Φρεάριος RV, Φρεάρριος ubique A. cf. Keilii Spec. Onom. gr. p. 102. 14. Φρεαρόθεν Φρεαρόνδε R, Φρεαρρόθεν Φρεαρρόνδε Φρεαρροῖ AV. 17. ις΄ Cluverus, ϛ΄ R, ἕκτῳ A. τῆς add. R. 18. Φρεντανόν et mox Φρεντανοί W, Φορεντανόν et Φορεντανοί libri, quorum A hanc sectionem post Φόρβας habet. 19. πέμπτῃ] p. 241.

Φρής, Φρητός, Φρῆτες, ἔθνος Λιβυκόν, ὡς Ἡρῳδιανὸς ιδ'.

Φρίκιον, ὄρος ὑπὲρ Θερμοπυλῶν Λοκρικόν, ἀφ' οὗ Φρίκανες καὶ Φρικανεῖς οἱ αὐτόθι οἰκήσαντες Αἰολεῖς, ὡς Ἑλλάνικος ἐν ἱερειῶν Ἥρας β'. καλεῖται καὶ Φρικωνίς ἡ Λάρισα καὶ Φρικωνῖτις. ἔδει οὖν Φρικιεύς καὶ τὸ θηλυκὸν Φρικιάς. ἐκλήθη δὲ ἀπὸ Φρικίου τοῦ Κενταύρου, ὃν ἀπέκτεινεν Ἡρακλῆς. οἱ οἰκοῦντες Φρικωνέες καὶ Φρικωνεῖς. καλεῖται καὶ *Φρίκειον*, ὃ καὶ *Δρίος* ὠνομάζετο. λέγεται καὶ Φρικωνία καὶ Φρικωνίτης καὶ Φρικωνιάτης. κεῖται δὲ παρὰ Παρμένοντι τῷ Βυζαντίῳ ἐν τῷ πρώτῳ ἰάμβων.

Φρίξα, πόλις .... „ἡ δὲ Φρίξα κεῖται μὲν τῆς Ὀλυμπίας ἀπέχουσα στάδια λ̄". Φερεκύδης δὲ Ἀρκαδίας αὐτὴν γράφει. τὸ ἐθνικὸν Φριξαῖος.

Φρίξος, πόλις Λυκίας. ἔστι καὶ *Φρίξου λιμὴν* παρὰ τῷ στόματι τοῦ Πόντου ἐν τῇ Χαλκηδονίᾳ περαίᾳ, περὶ οὗ Νύμφις ἐν ά περὶ Ἡρακλείας τάδε φησίν .... τὸ ἐθνικὸν Φρίξιος, εἰ μή τις τῷ ἔθει τῆς Λυκιακῆς τῆς ἐκεῖ Φριξεύς εἴποι τὸ ἐθνικόν.

Φρουρεντανοί, ἔθνος Ἰταλίας. Ἀρτεμίδωρος τετάρτῳ γεωγραφουμένων.

Φρυγία, δύο χῶραι. Στράβων „Φρυγία τε γὰρ ἡ μὲν καλεῖται μεγάλη, ἧς ὁ Μίδας ἐβασίλευε, καὶ τῆς ἄλλης μέρος οἱ Γαλάται κατέσχον· ἡ δὲ μικρὰ ἡ ἐφ' Ἑλλησπόντῳ [καὶ ἡ]

---

1. *Φρητός* RV, *Φρητοί* A. 2. *ιδ'* RV, quod verum esse ostendit Arcadius p. 126, 11. *τετάρτῳ* A. 4. *Φρικᾶνες*? cf. ad p. 669, 15. an *Φρίκωνες*? 5. 6. *Λάρισσα* libri. 10. *Φρικωνίτης*] *Φρικωνῖτις* R. 11. *μένοντι* V. *τῷ* add. PV. *πρώτῳ ἰάμβων* X, *προτέρῳ ἰάμβῳ* libri. cf. Poes. choliamb. p. 147. 12. indicavi lacunam; excidit aut *Ἤλιδος* aut *Τριφυλίας*. sequentia incerti scriptoris verba sunt; post *κεῖται μὲν* excidisse videtur *ἐπὶ λόφῳ* vel simile quid. cf. Pausan. 6, 21, 6. et Stephan. s. v. *Μάκιστος*. 17. lacunam indicavit H. 18. *εἰ μή τις τῆς Λυκιακῆς τῷ ἔθει τῶν ἐκεῖ* (vel *τῷ ἐκείνων*) *Φριξεύς*? 22. *Στράβων*] 12 p. 571. 23. *καλεῖται* Strabo, *καλὴ καὶ* libri. *τῆς καλῆς* Pp. 24. *ἡ ἐπ'* R. *καὶ ἡ* e Strabone addita.

περὶ τὸν Ὄλυμπον, ἡ καὶ ἐπίκτητος λεγομένη". οἱ ἐξ ἑκατέρας λέγονται Φρύγες καὶ Μυσοί. λέγονται καὶ Βρίγες. τὸ ἐθνικὸν Φρύξ καὶ Φρύγιος καὶ Φρυγία ἄνθρωπος καὶ Φρύγιον, καὶ Φρυγικός κτητικὸν καὶ Φρυγική καὶ Φρυγικόν, καὶ φρυγίζειν καὶ φρυγιστί. ἔστι καὶ Φρυγία τόπος τῆς Οἴτης ἀπὸ τοῦ ἐκεῖ πεφρύχθαι τὸν Ἡρακλέα. ἔστι καὶ τὰ Φρύγια οὐδετέρως τόπος μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς. τὸ τοπικὸν Φρυγιεύς, ὡς Μέγαρα Μεγαρεύς.

Φυκοῦς, πόλις Λιβύης. κεῖται δὲ ὁ Φυκοῦς κατὰ τὸ Ταίναρον τῆς Πελοποννήσου. ὁ πολίτης Φυκούσιος, ἐπειδὴ καὶ Φυκουσία λίμνη. εἰσὶ καὶ Φυκοῦσσαι νῆσοι Λιβύης. ὀνομάζονται δὲ διὰ τὸ φύκων εἶναι πλήρεις. οἱ νησιῶται Φυκουσσαῖοι ἢ Φυκούσσιοι.

Φυλάκη, πόλις Θεσσαλίας. „οἳ δ' εἶχον Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα". ἀπὸ Φυλάκου τοῦ Δηιόνος. τὸ ἐθνικὸν δύναται μὲν διὰ περιφράσεως ἐκ Φυλάκης, εἴρηται δ' ὅμως Φυλακήσιος, ὡς Ἰθακήσιος. καὶ τὸ ἐκ τόπου ἐπίρρημα

---

2. *Βρίγες* Salmasius, *Φρίγες* A, *Φίγες* RV. 3. *Φρυγία ἄνθρωπος*] *Φρυγιανὸς ἄνθρωπος* Salmasius; sufficiebat *Φρυγιανός*, quod facili lapsu in *Φρυγία ἄνθρωπος* abire potuit. fortasse tamen nil mutandum: videtur enim probare voluisse *Φρύγιος* per omnia genera dici. itaque feminini generis exemplum affert *Φρυγία ἄνθρωπος*, mulier Phrygia, quod fortasse ex comico poeta ductum est compararique potest cum Antiphanis verbis *Κολχὶς ἄνθρωπος πάροινος* in Fragm. Com. gr. vol. 3 p. 80. ac confirmat hanc interpretationem, quod etiam possessivi tria genera affert. 4. *κτητικὸν Φρυγικός* RV, *Φρυγικός κτητικόν* A. 5. *τόπος*] *πόλις* V. de Phrygia Oetaea v. Hemsterhus. ad Luc. p. 112. adde Theophrastum H. P. 9, 10, 2. p. 759. et Aelium Promotum Ms apud Schneiderum: *σμῖλαξ ἐστὶ φυτὸν ἐν τῇ Καλαυρίᾳ φυόμενον καὶ ἐν τῇ Οἴτῃ, ὅπου Ἡρακλῆς, ὥς φασι, περιεκάη.* cf. Callimachus Dian. 159. *Φρυγίῃ περ ὑπ' ὀφρύϊ γυῖα θεωθείς.* ita enim scribendum, non ut voluit O. Müllerus. vide Anall. Alex. p. 129. not. 9. *τὸ* om. RV. 11. *Φυκοῦσαι* RV. 12. *εἶναι* om. RV. *πλήρης* R. 13. *Φυκουσαῖοι* RV. 14. *οἳ δ' εἶχον*] Hom. Il. 2, 695. 15. *Πύραμον* RV.

Ἡλιόδωρος ἐν Πρωτεσιλάῳ „Ἀργείων τελέεσσιν ὅσοι Φυλάκηθεν ἕποντο".

Φυλή, δῆμος Οἰνηΐδος φυλῆς. Ἀριστοφάνης Ἀχαρνεῦσι „πόθεν; ἀπὸ Φυλῆς ἔλαβον οἱ Βοιώτιοι". καὶ ἐν Πλούτῳ „μὴ μνησικακήσῃς εἰ σὺ Φυλὴν κατέλαβες". ὁ δημότης Φυλάσιος. τὰ τοπικὰ ἐκ Φυλῆς καὶ ἀπὸ Φυλῆς. καὶ ἐθνικῶς οἱ ἀπὸ Φυλῆς. Φυλήνδε Φυλῆσιν. ἔστι καὶ φυλὴ τὸ τρίτον εἶδος τῶν παρ' Ἕλλησι κοινωνιῶν. τὸ ἐθνικὸν φυλέτης, καὶ κτητικὸν φυλετικός φυλετική.

Φυλλίς, χώρα Θρᾴκης, Ἡρόδοτος ἑβδόμῃ „ἡ δὲ γῆ αὕτη περὶ τὸ Πάγγαιον ὄρος καλέεται Φυλλίς". ἔστι καὶ ποταμὸς Βιθυνίας **Φύλλις**, οὗ Φυλληΐς τὸ θηλυκόν. οἱ οἰκήτορες Φύλλιοι ἢ Φυλλιεῖς, ἀφ' οὗ τὸ θηλυκὸν Φυλληΐς.

Φύλλος, πόλις ἐν Θετταλίᾳ. Στράβων θ' [ἀρσενικῶς.] Ῥιανὸς δὲ Φύλλον θηλυκῶς λέγει ἐν θ' Θεσσαλικῶν „οἳ δ' ἄφαρ ὁπλισθέντες ἴσαν κραναὴν ποτὶ Φύλλον". οἱ οἰκοῦντες Φυλλεῖς.

---

1. 2. Φυλακῆθεν libri. 3. Ἀχαρνεῦσι] vs. 1023. 4. Πλούτῳ (1146) RV, Ἱππεῦσι A. 5. σὺ RV, σὴν A. 6. 7. ἀπὸ Φυλῆς. καὶ ἐθνικῶς οἱ M, ἀπὸ Φυλῆς. καὶ ἐνικῶς οἱ R, πληθυντικῶς οἱ ἀπὸ Φυλῆς A, om. V. 8. κοινωνικῶν ante H. 9. φυλετικὸν R. 10. Φύλλις Pp. ἑβδόμῃ] c. 113. 11. περὶ RV, παρὰ A. Πάγγκαιον R. 12. Φυλλίς libri. Φυλληΐς] Apoll. Rh. 2, 654: ἐπὶ προχοὰς Φυλληΐδας. 13. Φύλλιοι καὶ Φυλλιεῖς] Haec qua lege a Φυλλίς formentur non apparet; nec magis intelligitur quo pacto Φυλληΐς referri possit ad Φυλλιεῖς. itaque vide an pro Φυλλιεῖς scribendum sit Φυλλεῖς, totumque hoc, οἱ οἰκήτορες — Φυλληΐς, ad sequentem articulum de Phyllo pertineat, ubi verba οἱ οἰκοῦντες Φυλλεῖς, postquam superiora exciderant, ab interpolatore addita fuerunt. gentilicii Φύλλιος exemplum praebet Strabonis locus ad l. 14. allatus, in quo cum cod. A Φυλαίου habent, Φυλλίου reponendum videtur. fuit etiam Φυλλεῖος, ut docet temenicum Φυλλεῖον apud schol. Apoll. Rh. 1, 36. et Φυλλήιον ὄρος apud ipsum Apollonium. 14. Φυλλοῦς incertum an Φύλλους R, Φυλλους V, Φυλλοῦς A. scribendum erat Φύλλος; vulgato neque Strabo favet 9. p. 435: ὁ Φύλλος, ἔνθα Ἀπόλλωνος τοῦ Φυλλαίου ἱερόν, neque gentilicii forma Φυλλεῖς. post θ' addidi ἀρσενικῶς. 15. Ῥιανός — ἐν θ' om. V. θ' R, ἐννάτῳ A. 16. ὡπλισθέντες ἦσαν V.

Φῦλον, τὸ ἔθνος, ἀπὸ τῆς φυλῆς δηλονότι, ἢ ἀφ' οὗ ἡ φυλή. σύνθετον ἔμφυλος καὶ ἐμφύλιος, ὡς [Βοιωτὸς] Βοιώτιος καὶ κάπρος κάπριος καὶ Πάμφυλος Παμφύλιος. λέγεται καὶ φύλιος ἄνευ τῆς ἐν.

Φυσκία, πόλις Λυκίας ἐφ' ὑψηλοῦ ὄρους κειμένη. τὸ ἐθνικὸν Φύσκιος.

Φύσκος, πόλις Λοκρίδος, ἀπὸ Φύσκου τοῦ Αἰτωλοῦ [τοῦ] Ἀμφικτύονος τοῦ Δευκαλίωνος. ἔστι καὶ ἑτέρα *Φύσκος* πόλις τῆς Καρίας. ἔστι καὶ λιμὴν Ῥόδου. λέγεται καὶ ἀρσενικῶς ὁ Φύσκος. „Φύσκος δέ, ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί ..." Ῥιανὸς δὲ Φυσκέας αὐτοὺς καλεῖ. [λέγεται καὶ Φυσκεύς.] ἔστι καὶ ἄλλη Μακεδονίας, ἧς μέμνηται Θεαγένης ἐν Μακεδονικοῖς. καὶ τὸ ἔθνος Φύσκοι καὶ Λοκροί. ἔστι καὶ ποταμὸς *Φύσκος*, καθά φησι Σοφαίνετος ἐν Κύρου ἀναβάσει.

Φύταιον, πόλις Αἰτωλίας. Πολύβιος ἑνδεκάτῳ. τὸ ἐθνικὸν Φυταῖος.

Φύτειον, πόλις Ἥλιδος τῆς κοίλης, ἀπὸ Φυτέως λέγων αὐτὴν ὠνομάσθαι Ἴστρος δ' τῶν Ἠλιακῶν. τὸ ἐθνικὸν Φυτεάτης ὡς Γυθεάτης· ὁ γὰρ τύπος Ἀρκάσι συνήθης.

Φώκαια, πόλις Ἰωνίας. Ἡρόδοτος πρώτῃ. λέγεται καὶ Φωκαίη διὰ τοῦ η. ἐκλήθη δὲ διὰ τὸ πολλὰς ἀκολουθῆσαι φώκας τοῖς κτίσασιν. ὁ πολίτης Φωκαεύς καὶ Φωκαιεύς καὶ Φωκαΐτης καὶ θηλυκὸν Φωκαΐς. ἔστι καὶ ἄλλη πόλις τῆς Καρίας ἐν τῇ Μυκάλῃ. ἐθνικὸν τὸ αὐτό.

Φωκίς, χώρα περὶ τὸν Παρνασσόν. Ἑκαταῖος Εὐρώπῃ. ἀπὸ Φώκου τινός. οἱ κατοικοῦντες Φωκεῖς. καὶ Φωκικὸς

---

2. *Βοιωτός* add. H. 8. *τοῦ* add. M. 9. *πόλις* add. RV. *ἔστι καὶ λιμὴν Ῥόδου*] Imo *ἔστι δὲ λιμὴν Ῥοδίων*. 10. *ὁ Φύσκος*] *ὁ Φυσικός* add. PpRV. quae corrupta videntur ex *τὸ ἐθνικὸν Φύσκιος*. *ὁ Φύσκος δὲ* P. 11.12. *λέγεται καὶ Φυσκεύς* seclusi. 13. *καὶ τὸ ἐθνικὸν Φύσκοι, ὡς Λοκροί?* vide ad *Σητία* p. 365. 17. *λέγει* Salmasius. 18. *δ'* PRV, *δὲ τετάρτῳ* A. *Ἰλιακῶν* ante Salmasium. 18.19. *Φεάτης* V. 20. *Φώκεα* R. *πρώτῃ*] c. 142. 21. *Φώκη* H. verba haec, *λέγεται καὶ Φωκαίη διὰ τοῦ η*, om. R. 25. *Παρνασόν* V.

πόλεμος καὶ Φωκική. ἔστι γὰρ καὶ παροιμία „Φωκικὴ ἀπόνοια" ἐπὶ τῶν τὰ ἀναλγῆ βουλευομένων.

Φωριαμοί, τόπος Ἤλιδος, μεταξὺ Παρθενίου ... ἐπιτήδειος εἰς ἐνέδραν ἐν στενῷ κείμενος.

Φωρμανοί, πόλις Ἰταλίας. ἐθνικὸν τὸ αὐτὸ διὰ τὴν πρόληψιν τοῦ χαρακτῆρος.

Φωτίναιον, προπαροξυτόνως, πόλις Θεσσαλίας, ὡς Ἑκαταῖος περιηγήσει Εὐρώπης.

Χαβαρηνοί, ἔθνος. Εὔδοξος πρώτῳ γῆς περιόδου „ὀνομάζονται γὰρ καὶ Χαβαρηνοὶ οἱ περὶ Χαλύβων οἰκοῦντες, οἳ

---

1. *πόλεμος* om. RV. 3. *Ἤλιδος μεταξὺ* [*καὶ*] *Παρθενίου* H. quod probari non potest. nam Parthenias fluvius (hunc enim, non montem Parthenium dicit in Arcadiae et Argolidis confiniis situm) longius ab Elide urbe distat, quam qui hoc loco apte commemorari potuisset. itaque lacunam indicavi ita fortasse supplendam: *μεταξὺ Παρθενίου* [*τοῦ ποταμοῦ καὶ Ἀρκαδίας*,]. de Parthenia fluvio vide Strab. 8 p. 357. 7. *προπαροξυτόνως*] Herodiani, ut videtur, admonitio ex libro decimo tertio *τῆς καθόλου* petita. vide supra ad p. 2, 13. 9. *Χαβαρηνοί*] Huic sectioni in cod. R praemittuntur haec: *Χαραβηνοί* (sic) *ἔθνος. Εὔδοξος ά γῆς περιόδου. Χαδισία. πόλις Λευκοσύρων. Ἑκαταῖος ἐν Ἀσίᾳ. οἱ πολῖται Χαδίσιοι καὶ Χαδισία. Χαδραμωμῖται. ἔθνος παρὰ τὸν Ἰνδικὸν κόλπον. Μαρκιανὸς ἐν περίπλῳ αὐτοῦ. Χαζήνη. σατραπία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀριανὸς ιγ' Παρθικῶν. Χαιρέον. πόλις Αἰγυπτία. κατὰ ἔλλειψιν τοῦ πόλις. ἐθνικὸν Χαρεώτις ὡς Νικεώτης. Χαιρώνεια. πόλις πρὸς τοῖς ὅροις Φωκίδος. τὸ ἐθνικὸν Χαιρωνεύς, τὸ θηλυκὸν Χαιρωνίς, καὶ Χαιρωνικός καὶ Χαιρωνική. Χάλαιον. πόλις Λοκρῶν. τὸ ἐθνικὸν Χαλαῖος. Θουκυδίδης γ'. Χαλδία. χώρα τῆς Ποντικῆς. Μένιππος ἐν τῷ περίπλῳ τῶν δύο τόπων. Χαλάστρα. πόλις Θρᾴκης περὶ τὸν Θερμαῖον κόλπον. ἔστι καὶ λίμνη τῇ πόλει ὁμώνυμος. ἔστι δὲ καὶ πόλις ὡς ἀπὸ Χαλαστραῖος Χαλαστραία φησίν. ἡ μὲν παρὰ τὴν λίμνην Χαλαστραῖα, ἐν ᾗ τὸ λίτρον γίνεται.* quibus continuo subiiciuntur iidem articuli eodem ut in ceteris libris modo scripti. habemus igitur duorum epitomatorum excerpta, altera (R[a]) praeter ultimum de Chalastra articulum breviora, altera (R[b]) pleniora. utrorumque excerptorum consensum indicat simplex R. *Χαραβηνοί* R. *πρώτῳ* (*ά* R) om. V. 10. *δὲ* pro *γὰρ* R. *Χαλύβην* X, *Καλύβων* R, *Χαλίβων* V. malim [*τὴν*] *Χαλύβων* vel *Χαλυβίαν*. cf. schol. Apoll. Rh. 2, 373.

τῶν ξενικῶν γυναικῶν, ὧν ἴσως γένωνται κάριοι, [τοὺς] τίτθους ὠμοὺς ἐσθίουσι, τὰ δὲ παιδία κατευωχοῦσι".

Χαδισία, πόλις Λευκοσύρων. Ἑκαταῖος γενεαλογιῶν δευτέρῳ „ἡ δὲ Θεμισκύρη πεδίον ἐστὶν ἀπὸ Χαδισίης μέχρι Θερμώδοντος". Μένιππος δὲ *Χαδίσιον* κώμην καὶ ποταμὸν ἐν περίπλῳ τῶν δύο Πόντων φησίν „ἀπὸ τοῦ Λυκάστου εἰς κώμην καὶ ποταμὸν Χαδίσιον στάδια ἑκατὸν πεντήκοντα, ἀπὸ Χαδισίου ἐπὶ τὸν Ἶριν ποταμὸν στάδια ἑκατόν". οἱ πολῖται Χαδίσιοι καὶ Χαδισία τὸ θηλυκόν. Ἀπολλώνιος β' „νόσφι δ' ἀκοντο[βόλοι Χαδίσιαι]".

Χαδραμωτῖται, ἔθνος περὶ τὸν Ἰνδικὸν κόλπον, τῷ Πρίονι παροικοῦντες ποταμῷ, ὥς φησι Μαρκιανὸς ἐν τῷ περίπλῳ αὐτοῦ.

Χαζήνη, σατραπεία πρὸς τῷ Εὐφράτῃ τῆς Μεσοποταμίας. Ἀρριανὸς ἐν τρισκαιδεκάτῳ Παρθικῶν „ἐν ταύτῃ τῇ Ὀλβίᾳ καὶ τὰ πεδία τῆς Χαζήνης σατραπείου ἐπὶ μήκιστον ἀποτεταμένα".

Χαιρέου, πόλις Αἰγυπτία, κατ' ἔλλειψιν τοῦ πόλις. τὸ ἐθνικὸν Χαιρεώτης, ὡς Νικιώτης.

---

1. *τοὺς* om. libri. 1. 2. *τίθους* ante X. 2. *κατευωχοῦνται?* 4. *Θεμισκούρη* ante X. 6. 7. *ἀπὸ τοῦ — πεντήκοντα*] V. Marcianum epit. Artemid. p. 131 ed. Mill. 7. *πόλιν* pro *ποταμόν* R. 9. *β'*] vs. 1002. 10. *δάκοντο* libri. correxit et supplevit ex Apollonio H, nisi quod scripsit *Χαδήσιαι*. 11. *Χαδραμωμῖται* R. *παρὰ* R[a]. 12. *Πρίονι ποταμῷ*] cf. Ptolem. 6, 7, 10 et 13. *Πρίωνος ποταμοῦ ἐκβολαί*, ubi scribendum *Πρίονος*. nomen fluvio inditum videtur, quod serrae instar vicina rura quasi stringeret, quam in rem notabile est etiam Tiberim antiquitus Serram appellatum esse teste Servio ad Virgilii Aen. 8, 63. 12. 13. *ἐν τῷ περίπλῳ αὐτοῦ* add. Pp. 14. *σατραπία* R. 15. *ἐν τρίτῳ* V. 15. 16. *ἐνταῦθ' ἥ τε Ὀλβία?* Olbiam in his regionibus unus, si recte memini, nominat Arrianus. 16. *σατραπίου* RV, *σατραπείας* Salmasius. 18. *Χαιρέα* V. cf. schol. Nicandri Ther. 620: *Σχεδία πόλις Αἰγύπτου πλησίον τῆς Χεραίου.* leg. *Χαιρέου.* oppidi situm accurate indicat Procopius de Aedif. 6, 1. adde Wessel. ad Anton. p. 155. 19. *Νικιώτης* M, *Νικεώτης* libri. cf. s. v. *Νικίου*.

Χαιρώνεια, πόλις πρὸς τοῖς ὅροις Φωκίδος. Ἑκαταῖος Εὐρώπῃ „ἐν δὲ Χαιρώνεια πόλις τὰ πρῶτα". κέκληται ἀπὸ Χαίρωνος. Ἀριστοφάνης ἐν Βοιωτικῶν δευτέρῳ „λέγεται δ' οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα". τοῦτον δὲ μυθολογοῦσιν Ἀπόλλωνος καὶ Θηροῦς, ὡς Ἑλλάνικος ἐν δευτέρῳ ἱερειῶν Ἥρας...... „Ἀθηναῖοι καὶ [οἱ] μετ' αὐτῶν ἐπὶ τοὺς Ὀρχομενίζοντας τῶν Βοιωτῶν ἐπερχόμενοι καὶ Χαιρώνειαν πόλιν Ὀρχομενίων εἷλον". ἐκαλεῖτο δὲ ἡ πόλις καὶ Ἄρνη τὸ ἀρχαῖον. ὅθεν καὶ Ὅμηρος, ὡς ἔμοιγε δοκεῖ, τῇ ἀρχαιοτέρᾳ ἐχρήσατο ὀνομασίᾳ, καθότι Αἴγυπτον τὸν ποταμὸν εἶπεν, οὐ Νεῖλον· καὶ πανταχοῦ τοῖς ἀρχαιοτέροις ὀνόμασι κέχρηται. ὁ οἰκήτωρ Χαιρωνεύς καὶ τὸ θηλυκὸν Χαιρωνίς. καὶ κτητικὸν Χαιρωνικός καὶ Χαιρωνική. Ἀπολλόδωρος ἐν χρονικῶν δευτέρῳ „κατὰ τὴν μάχην, ὥς φασι, τὴν Χαιρωνικήν". μάτην δὲ τοῦτο διὰ τῆς ει διφθόγγου γράφει Ἀρκάδιος „τὸ τοπικὸν Χαιρωνική ὡς Μαντινική". ἐκ γὰρ τοῦ Χαίρωνος ἔστι Χαιρωνικός.

Χάλαιον, πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπῃ „μετὰ δὲ

---

2. *Κορώνεια* RV. *τὰ α'* RV, *τὸ πρῶτον* cum sequentibus coniunctum A. 3. *δευτέρῳ*] *β'* AR, *ε'* V. 5. *Θουροῦς* Wesseling. ad Hierocl. p. 643. cll. Plutarcho V. Syll. 17. 6. *ἱερείων* A, *ἱερεῖον* R. 6-8. *Ἀθηναῖοι — εἷλον*] Hellanici haec non esse apertum est. Theopompo coniectura probabili assignat Müllerus Orchom. p. 416. interim indicavi lacunam. 6. *οἱ* add. Müllerus. *μετ' αὐτῶν* RV, *μετ' αὐτοὺς* A. 7. *ἐπερχόμενοι* M, *ἐπ' Ὀρχομένοις* libri, *ἐφορμώμενοι* Müllerus. 8. *Ὀρχομενῶν* libri. 9. *Ὅμηρος*] Il. 2, 507. 9.10. *τῇ ἀρχαιοτέρᾳ ἐχρήσατο ὀνομασίᾳ* M, *ταῖς ἀρχαιοτέρας ἐχρήσατο ὀνομασίαις* libri. *ἐχρήσατο* RV, *ἐκτήσατο* A. 10. *Αἴγυπτον*] Od. 14, 258. *τὸν ποτέ* RV. 12. *κέχρηνται* R. *καὶ τὸ* RV, *τὸ* A. 13. *Χαιρωνική* R[a], *Χαιρώνικος* R[b]V, *Χαιρώνικα* A. 14.15. *Χερωνικήν* R. 16. *τὸ τοπικὸν Χαιρωνική ὡς Μαντινική*] Haec si Arcadii verba sunt, de quo non dubitandum videtur, necessario *Χαιρωνεική ὡς Μαντινεική* scribendum erit. ita nimirum scribebat Arcadius ad similitudinem gentilicii *Δεκελεικός* aliorumque. praeterea *κτητικὸν* malim pro *τοπικόν*. 16.17. *ἔστι γὰρ ἐκ τοῦ* V. 17. *Χαίρωνος* M, *Χαιρωνίς* AV, *Χαιρωίς* R.

Λοκροί· ἐν δὲ Χάλαιον πόλις, ἐν δὲ Οἰάνθη πόλις". τὸ ἐθνικὸν Χαλαῖος. Θουκυδίδης γ' „Μεσσαπίους καὶ Τριταιέας καὶ Χαλαίους καὶ Τολοφωνίους καὶ Ἰστίους καὶ Οἰανθίους".

Χαλάστρα, πόλις Θρᾴκης περὶ τὸν Θερμαῖον κόλπον. Ἑκαταῖος Εὐρώπῃ „ἐν δ' αὐτῷ Θέρμη πόλις Ἑλλήνων [Θρηίκων], ἐν δὲ Χαλάστρη πόλις Θρηίκων". Στράβων δ' ἐν ἑβδόμῃ Μακεδονίας αὐτὴν καλεῖ. ὠνόμασται δὲ ἀπὸ Χαλάστρης. ἔστι καὶ λίμνη τῇ πόλει ὁμώνυμος. ὁ πολίτης Χαλαστραῖος. Λυκόφρων „Θεσπρωτὸς ἄμφω καὶ Χαλαστραῖος λέων". ἔστι δὲ καὶ πόλις ὡς ἀπὸ Χαλαστραῖος Χαλαστραία φησίν. ἡ μὲν παρὰ τὴν λίμνην Χαλαστραῖα, ἐν ᾗ τὸ λίτρον γίνεται.

Χαλδαῖοι, οἱ πρότερον Κηφῆνες, ἀπὸ Κηφέως τοῦ πατρὸς Ἀνδρομέδας, ἀφ' ἧς καὶ τοῦ Περσέως τῆς Δανάης καὶ Διὸς Πέρσης, ἀφ' οὗ οἱ Κηφῆνες καὶ Χαλδαῖοι πρότερον [Πέρσαι] ἐκλήθησαν, ὡς εἴρηται ἐν τῷ περὶ Κηφηνίας. Ἑλλάνικος δέ φησιν ἐν πρώτῳ Περσικῶν οὕτω „Κηφέος οὐκέτι

---

1. *Οἰάνθη πόλις* H, *Οἰανθίπολοι* RV, *οἱ ἀνθήπολοι* A. 2. *Θουκυδίδης*] 3, 101. *Μεσσαπίους καὶ Τριταιέας* ex Thucydide repositum, *Μεταπίους καὶ Τριταίους* libri. 3. *καὶ Χαλαίους* om. R. *Κολοφωνίους* libri. *Οἰστίους* R. 4. *Χαλέστρα* ex R falso enotavit Passovius. 5. 6. *Θρηίκων* seclusit Salmasius. 6. *ἐν δὲ Χαλάστρη πόλις Θρηίκων* om. R. *ἑβδόμῃ*] p. 330. 7. *Χαλάστρης*] Ionica forma docet, opinor, haec ab Hecataei loco esse avulsa, in hunc fortasse modum conformando: *ἐν δὲ αὐτῷ Θέρμη πόλις Ἑλλήνων, ἐν δὲ Χαλάστρη πόλις Θρηίκων. ὠνόμασται δὲ ἀπὸ Χαλάστρης. ἔστι δὲ λίμνη τῇ πόλεϊ ὁμώνυμος.* 8. *καὶ* R[a], *δὲ* AR[b]V. *λίμνη* V, *λιμήν* AR. de lacu Chalastraeo vide Tafel. Thessalon. p. 279. 9. *Λυκόφρων*] vs. 1441. ubi hodie *Καναστραῖος* editur. *γένος* pro *λέων* V. 9-11. *ἔστι δὲ καὶ — γίνεται* add. R[a]. reliqui haec ut in codice leguntur, nisi quod in eo verba *καὶ πόλις* punctis circumdata sunt (*καὶ πολις*) et *Χαλαστραῖος* pro *Χαλαστραῖος* scriptum est. hinc suspiceris haec ita esse refingenda: *ἔστι δὲ ὡς ἀπὸ* [*Κανάστρας*] *Καναστραῖος. Χαλαστραία φησίν ... „ἡ μὲν παρὰ τὴν λίμνην* [*τὴν*] *Χαλαστραίαν, ἐν ᾗ τὸ λίτρον* (*νίτρον*) *γίνεται*". ut sint scriptoris alicuius verba. 13. *τῆς*] Malim *τοῦ*. 14. *Πέρσης* H cll. Herod. 7, 61, *Περσεύς* libri. 15. *Πέρσαι* add. H. 16. *οὕτω* RV, *ὅτι* A. *Κηφέος* R, *Κηφέως* A.

ζῶντος στρατευσάμενοι ἐκ Βαβυλῶνος ἀνέστησαν ἐκ τῆς χώρης καὶ τὴν γῆν ἔσχον .... οὐκέτι ἡ χώρη Κηφηνίη καλέεται, οὐδὲ οἱ ἄνθρωποι οἱ ἐνοικέοντες Κηφῆνες, ἀλλὰ Χαλδαῖοι". καὶ ἡ χώρα αὕτη πᾶσα νῦν Χαλδαϊκὴ καλεῖται. ἐκλήθησαν δὲ ἀπὸ Χαλδαίου τινός, ὡς Δικαίαρχος ἐν πρώτῳ τοῦ τῆς Ἑλλάδος βίου „τούτῳ δὲ συνέσει καὶ δυνάμει διάφορον γενόμενον τὸν καλούμενον Νίνον τὴν ὁμώνυμον αὐτῷ συνοικίσαι πόλιν. ἀπὸ δὲ τούτου τέταρτον ἐπὶ δέκα βασιλέα γενόμενον, ᾧ τοὔνομα Χαλδαῖον εἶναι λέγουσιν, ὅν φασι καὶ Βαβυλῶνα τὴν ὀνομαστοτάτην πόλιν περὶ τὸν Εὐφράτην ποταμὸν κατασκευάσαι, ἅπαντας εἰς ταὐτὸ συναγαγόντα τοὺς καλουμένους Χαλδαίους". λέγεται καὶ Χαλδαία χώρα. εἰσὶ δὲ καὶ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφοκλῆς Τυμπανισταῖς „Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος". οἱ μέντοι χαριέστεροι περὶ Βαβυλῶνα λέγουσιν οἰκεῖν αὐτούς, ὡς δέδεικται, μαντεῖον δ' ἔχειν αὐτοὺς παρὰ βαρβάροις, ὡς Δελφοὶ παρ' Ἕλλησιν.

Χαλδία, χώρα τῆς Ἀρμενίας. Μένιππος ἐν περίπλῳ τῶν δύο Πόντων „τὴν .... μέχρι τούτων τῶν βαρβάρων ἐστὶν

---

1. *χώρας* libri. 2. *γῆν* P^r, *Χωχὴν* Salmasius, *Χογὴν* ARV. in sequentibus plura excidisse apertum est, itaque lacunam indicavi. *Κηφήνη* V. *καλέεται* PpRV, *καλεῖται* A. 3. *οὐδὲ οἱ* R, *οἱ δ'* AV. *ἐνοικοῦντες* libri. 4. *καὶ ἡ — καλεῖται*] Nescio an haec quoque cum Hellanici loco coniungenda sint, quod si ita est, scribendum: *καὶ ἡ χώρη αὕτη πᾶσα Χαλδαϊκή*, verbis *νῦν* et *καλεῖται* omissis. 6. *τοῦτον* V. an *τούτων*? nisi *τούτῳ* ad patrem Nini spectat et post *γενόμενον* excidit *υἱόν*. 7. *νῆσον* V. *συνοικῆσαι* R. 8. *τέταρτος* R. 9. *Χαλδαῖοι* R. lacunam indicavit M. 11. *τοὺς [ἀπ' αὐτοῦ] καλουμένους*? 12. *Χαλα... λ^ε κὶ Χαλ..αχ^ω* R, *Χαλδ... λέγεται καὶ Χαλ....α χώρα* V. 13. *Σχολίδος* R. 14. 15. *χαριέστεροι* X, *χαριέστερον* libri. 16. *παρὰ βαρβάροις [ὀνομαστότατον,] ὡς Δελφοί*? 18. *Χαλδία*] Haec libri ante praecedentem articulum habent. 19. indicavi lacunam; in iis quae excidere Chaldiae nomen adfuerit necesse est. quae enim paullo post sequuntur verba *καὶ κατὰ Τιβαρηνίην* etc. vulgo cum Menippi loco coniuncta, Hecataei esse ex ionicis formis intelligitur. *βαρβάρων* R, *βάρων* AV.

ἡ Ποντικὴ βασιλεία". καὶ κατά „Τιβαρηνίην καὶ Χαλδίην καὶ Σαννικήν". οἱ ἐν ταύτῃ κατοικοῦντες Χάλδοι· οὕτως γὰρ ἐπεκράτησεν.

Χαλία, πόλις Βοιωτίας. Θεόπομπος μέ „τὴν δὲ Χαλίαν καὶ τὴν καλουμένην Ὑρίαν, ἥπερ ἐστὶν ἐφεξῆς ἐκείνης, τῆς Βοιωτίας ..." τὸ ἐθνικὸν Χάλιος ὁ αὐτός „ὕστερον δὲ οἱ Χαλκιδεῖς πολεμήσαντες Αἰολεῦσι τοῖς τὴν ἤπειρον ἔχουσι, Χαλίοις καὶ Βοιωτοῖς καὶ Ὀρχομενίοις καὶ Θηβαίοις".

Χαλισία, πόλις Λιβύης. Ἔφορος ἐν τῷ ε' „ἀναχθέντι δ' ἀπὸ τούτων πόλις ὀνομαζομένη Χαλισία". ἔστι καὶ ἄλλη πρὸς τῷ Πόντῳ, μία τῶν Ἀμαζόνων, ἧς οἱ οἰκήτορες Χαλίσιοι.

Χάλκεια, πόλις Λιβύης. ὁ πολυίστωρ ἐν Λιβυκῶν τρίτῳ, ὡς Δημοσθένης, ᾧ μεμφόμενος Πολύβιος ἐν τῷ δωδεκάτῳ ὧδε γράφει „ἀγνοεῖ δὲ μεγάλως καὶ περὶ τῶν χαλκείων· οὐδὲ γὰρ πόλις ἐστίν, ἀλλὰ χαλκουργεῖα". ἔστι καὶ Καρίας *Χάλκεια*, ἧς τὸ ἐθνικὸν Χαλκεάτης, ὡς Κρατερῷ δοκεῖ.

---

1. *Ποντικὴ ἡ βασίλεια* R. *καὶ κατὰ*] Fort. *Ἑκαταῖος* vel *καὶ Ἑκαταῖος*. *Τιβαρηνίην* H, *Τιβαρίην* libri. 2. *Σαννικήν* B, *Σινδικήν* Salmasius, *Σανδίκην* libri. cf. in *Χοιράδες* et ad *Μάκρωνες*. 3. *ἐπεκράτησαν* PpRV. cf. Eustath. ad Dion. 767: *χώρα δὲ Ἀρμενίας ἡ Χαλδία, ἧς μέχρις ἡ Ποντικὴ βασιλεία. τοὺς δὲ ἐκεῖσε Χάλδους λέγεσθαι ἐπικρατεῖ ἡ συνήθεια δισυλλάβως, οὐ Χαλδαίους*. 6. lacunam indicavit M. 7. 8. *ἔχουσι*, [*καὶ*] *Χαλίοις* Müllerus Orchom. p. 414. 8. *Χαλκείοις* R. *βοιωτεῖς*[οις] R, in quo aliud quid latere videtur quam *Βοιωτοῖς*. 9. *ἐν τῷ ε'* RV, *πρώτῳ* A. 11. *πρὸς τῷ Πόντῳ*] Eam dicit, quae supra *Χαδησία*. videntur postrema haec, inde ab *ἔστι καὶ ἄλλη*, in marginem releganda esse. *Ἀμαζονίδων* Salmasius. 12. *Χάλκεια* R, *Χαλκεῖα* A. horum prius sequebatur Alexander et si qui alii Chalceam urbis nomenesse existimabant, Polybius autem *χαλκεῖα* scribere debebat. 12. 13. *Λιβυκοῖς γ'* RV. 13. *ὡς*] *καὶ* W. *Δημοσθένης*] *Καλλισθένης* W, *Δημοχάρης* Carolus Müllerus. Schweighaeuserus Demosthenem intelligit *κτίσεων* auctorem, quod non improbo, sed ut post *Δημοσθένης* Timaei memoriam excidisse suspicer, cuius de Libya errores Polybium duodecimo libro exagitavisse constat ex Athen. 14 p. 651 d. 15. *οὐδὲ* M, *οὔτε* libri. *χαλκουργία* V. 16. *Χαλκεῖα* R, *Χαλκαῖα* V, *Χαλκαία* APr. *Χαλκεάτης* PrR, *Χαλκαιάτης* AV. *Χαλ-*

Χάλκη, πόλις Λιβύης. „μετὰ δ' αὐτὴν πόλις Φοινίκων Χάλκη". [ἔστι καὶ νῆσος.] Θουκυδίδης ὀγδόῃ „ἀπέπλευσεν εἰς Χάλκην, ἐντεῦθεν δ' εἰς Σάμον". Θεόφραστος δὲ *Χαλκίαν* αὐτὴν λέγει. ἔστι καὶ ἄλλη *Χάλκη* Λαρισαίας πόλις. λέγεται καὶ πληθυντικῶς *Χάλκαι*. Θεόπομπος πρώτῳ Φιλιππικῶν ... καὶ τρίτῳ „ἔτι συνεπολέμησεν ὡρμημένος ἐκ Χαλκῶν τῆς Λαρισαίας". βαρύνεται, ὡς Ἡρωδιανός φησι. τὸ ἐθνικὸν Χαλκαῖος καὶ Χαλκίτης.

Χαλκηδών, πόλις Βιθυνίας, ἡ πρὸς τῷ στόματι τοῦ Πόντου, καταντικρὺ τοῦ Βυζαντίου. ὁ πολίτης Χαλκηδόνιος. Στράβων „Χαλκηδόνιοι ἐπὶ τῆς περαίας ἱδρυμένοι πλησίον [οὐ] μετέχουσι τῆς εὐπορίας ταύτης". τὸ θηλυκὸν Χαλκηδονία καὶ Χαλκηδονίς. Στράβων ἐν δωδεκάτῃ „καλεῖται δὲ τὰ ἀριστερὰ τοῦ Πόντου [Θρᾳκικά], τὰ δ' ἐν δεξιᾷ Χαλκηδονίς". καὶ Μένιππος ἐν περίπλῳ Βιθυνίας „ἀπὸ ἱεροῦ Διὸς οὐρίου καὶ τοῦ στόματος τοῦ Πόντου ἀριστερὰν ἔχοντι τὴν ἤπειρον

κεᾶται dicuntur Catal. trib. no. 77. Χαλκειᾶται no. 42. Χαλκιᾶται no. 105 et ex Boeckhii coniectura no. 9. 18. 19. μετὰ δ' αὐτὴν (μετ' αὐτὴν R) πόλις Φοινίκων Χάλκη Hecataei verba esse videntur. 2. ἔστι καὶ νῆσος add. M. ὀγδόῃ (c. 44) H, ἕκτῃ vel ς' libri. 3. εἰς Σάμον RV, εἰς ἄμμον A. Χάλκιαν (ον superscr.) R, Χάλκιον AV. Chalcia praeter Theophr. HP. 8, 2, 9 dicitur etiam Strab. 10 p. 488. 4. ἔστι καὶ — πόλις huc transposuit M, cum in libris post Φοινίκων Χάλκη legantur. Λαρισσαίας libri. 4. 5. καὶ λέγεται καὶ RV. 6. lacunam indicavit M. ὡρμημένος V, ὁρμώμενος AR. 6. 7. τῆς Λαρισσαίας AV, τοὺς βλαρισσαίους R. 7. Ἡρωδιανός] Duodecimo τῆς καθολικῆς libro, ut docet Arcadius p. 106, 25: τὸ δὲ Χάλκη ἡ πόλις πρὸς διαστολὴν τοῦ χαλκῆ βαρύνεται. 8. Χαλκαῖος καὶ Χαλκίτης] Horum alterum, Χαλκίτης, ad Libycam urbem spectat. 11. Στράβων] 7 p. 320. ἱδρυσμένοι V, quod ex ἡδρασμένοι corruptum. 12. οὐ μετέχουσι Strabo, μετεχοῦ AV, μετέχον R. 13. Χαλκηδονίς] Χαλκηδόνες R. δωδεκάτῃ] p. 541. 13. 14. δὲ τὰ ἀριστερὰ Strabo, δ' ἀριστερὰ RV, δ' ἀριστερᾷ A. 14. Θρᾳκικά e Strabone additum. τὰ δ' ἐν δεξιᾷ Χαλκιδόνες RV, ἐν δεξιᾷ δὲ τὰ προσεχῆ Χαλκηδόνια Strabo. 15-683, 3. καὶ Μένιππος — Χαλκίτιδος νήσου aliena ab hoc loco sunt et interpolatori deberi videntur. 16. ἔχοντα et mox ἐπιπλέοντα ante X.

καὶ ἐπιπλέοντι εἰς Χαλκηδόνα τὴν πόλιν εἰσὶ στάδια ρκ', ἀπὸ δὲ ταύτης ἕως τοῦ Ἀκρίτου στάδια ξ". μέμνηται ὁ αὐτὸς καὶ τῆς Χαλκίτιδος νήσου. ἐκλήθη δὲ ἀπὸ Χάλκιδος τοῦ παρακειμένου ποταμοῦ, ὡς οἱ ἱστορικοὶ ἅπαντές φασι.

Χαλκητόριον, πόλις Κρήτης. ὁ πολίτης Χαλκητορεύς. Ἀπολλόδωρος τετάρτῳ χρονικῶν „μεθ' οὗ Χαρίδημος ἦν φυγὰς Χαλκητορεύς". Κρατερὸς δ' ἐν τῷ περὶ ψηφισμάτων Χαλκήτορας αὐτούς φησι.

Χαλκίς, πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπῃ „Χαλκὶς πόλις ἐστίν, ἣ πρότερον Εὔβοια προσηγορεύετο". ἐκλήθη δὲ ἀπὸ Κόμβης τῆς Χαλκίδος καλουμένης, θυγατρὸς Ἀσωποῦ. τινὲς δὲ Χαλκιδεῖς φασι κληθῆναι διὰ τὸ χαλκουργεῖα πρῶτον παρ' αὐτοῖς ὀφθῆναι. τὸ παλαιὸν δὲ Στύμφηλος προσηγορεύετο, νῦν δὲ Ἁλίκαρνα. [ἀλλὰ καὶ Ὑποχαλκὶς διὰ τὸ ὑποκεῖσθαι ὄρει λεγομένῳ Χαλκίδι.] μέμνηται δ' αὐτῆς καὶ

---

1. στάδια ρκ' R, ρα' V, ἑκατὸν εἴκοσιν A. 3. Χαλκίτιδος X, Χαλκήτιδος AV, Χαλκιδικῆς R. Χάλκιδος] Vide Com. graec. fr. vol. 2 p. 790. 4. παρακειμένου] Ita de fluvio noster etiam s. Εὐφράτης, et Etym. M. s. v. Ἀστυπάλαια p. 160, 27. add. Scymnus Per. 672. ὡς οἱ ἱστορικοὶ ἅπαντές φασιν] Haec et alia his similia non Stephanus scripsit, sed epitomator, ipsa scriptorum verba apponere pertaesus. 5. Χαλκητόρειον requiri videtur propter gentilicium Χαλητορεύς. Κρήτης] Καρίας Böckhius. ac sane Χαλκήτορας inter Cariae urbes Atheniensibus tributarias memorat Catal. trib. 11. 35. 44. 50. 115. 6. Ἀπολλόδωρος H, Ἀπολλώνιος libri. 7. Κρατέρων V. 10. προσηγορεύετο RV, προσηγορεύθη A. 11. Κωμωῆς AV, Κωμωΐς PpR, quod Κόμβης ex Eustath. ad Hom. p. 279, 7. scribendum esse monui ad Comic. graec. vol. 2 p. 870. 12. καχουργία PpRV. an χαλκουργίαν? 13. ὀφθῆναι R. fort. εὑρεθῆναι. Στύμφιλος RV. 13. 14. προσηγορεύετο R, προσηγόρευτο AV. 14. Ἁλικάρνα libri. 14-15. ἀλλὰ καὶ — Χαλκίδι] Seclusi haec ut importuno loco ex margine illata. spectant enim ad Chalcidem Aetolicam, quam tertio loco noster memorat. cf. Strab. 10 p. 451: ὑπὲρ δὲ τῆς Μολυκρείας Ταφιασσὸν καὶ Χαλκίδα, ὄρη ἱκανῶς ὑψηλά, ἐφ' (ὑφ') οἷς πολίχνια ἵδρυτο Μακυνία τε καὶ Χαλκίς, ὁμώνυμος τῷ ὄρει, ἣν καὶ Ὑποχαλκίδα καλοῦσι. adde Eust. ad Hom. p. 279, 1. verum etiam quae proxime antecedunt mihi suspecta sunt. quis enim unquam Stymphelum et Halicarnam Euboicae Chalcidis

ὁ ποιητής „Χαλκίδ' Ἐρέτριάν τε πολυστάφυλόν τ' Ἱστίαιαν". ὁ πολίτης Χαλκιδεύς, ὡς ἀπὸ τῆς Χαλκίδος γενικῆς, ὡς τοῦ Ἀρκάδος Ἀρκαδεὺς καὶ τῆς Τρῳάδος Τρῳαδεύς. καὶ τὸ θηλυκὸν ὁμώνυμον τῇ πόλει, ὡς Φωκὶς Λοκρίς, ἡ χώρα καὶ ἡ γυνή. Ἑλλάνικος ἱερειῶν Ἥρας δευτέρῳ „Θεοκλέης ἐκ Χαλκίδος μετὰ Χαλκιδέων καὶ Ναξίων ἐν Σικελίῃ πόλεις ἔκτισε". τὸ κτητικὸν Χαλκιδικόν. Ἀριστοφάνης Ἱππεῦσι „τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον"; καλοῦνται δὲ καὶ οἱ ἐν τῇ Κύμῃ τῆς Σικελίας Χαλκιδεῖς. οὗτοι δ' ἄποικοί εἰσιν ἐξ Εὐβοίας. ἔστι καὶ Χαλκιδικὸν ὄρος Σικελίας, ὡς Πολύβιος πρώτῳ „ἐκ τῶν Συρακουσίων ἐποιεῖτο τὴν πορείαν καὶ καταστρατοπεδεύσας ἐκ θατέρου μέρους περὶ τὸ Χαλκιδικὸν ὄρος καλούμενον". ἔστι καὶ β' Χαλκὶς πόλις Κορίνθου. γ' Αἰτωλίας, ἀφ' ἧς Ἀχελῷος ῥεῖ. Διονύσιος ὁ περιηγητής „νήσων τ' ἀλλάων, ὅσσας τ' ἀπὸ Χαλκίδος ἕρπων". δ' πόλις ἐν Συρίᾳ, κτισθεῖσα ὑπὸ Μονικοῦ τοῦ Ἄραβος. τὸ ταύτης ἐθνικὸν Χαλκιδηνός. [ε'] ἔστι καὶ πόλις Χαλκὶς ἐν Σκυθίᾳ, ἧς οἱ πολῖται Χαλκῖται [ἔστι] καὶ ἡ χώρα Χαλκῖτις, ὡς Ἑρμείας ἐν περιηγήσει. ς' καὶ πόλις Χαλκῖτις ἐν Μεσσαπίᾳ τῆς

---

nomina fuisse tradidit? itaque nescio an Ἀλίκυρνα scribendum sit et haec quoque ad Aetolicam Chalcidem pertineant. distinguit quidem Chalcidem ab Halicyrna Strabo 10 p. 459. nec quidquam de Stymphelo dicit: μετὰ τὸν Εὔηνον τὸ ὄρος ἡ Χαλκίς — εἶθ' ἡ Πλευρών, εἶθ' ἡ Ἀλίκυρνα κώμη. at potest in his Stephanus alios auctores secutus esse. 15. αὐτῆς M, αὐτοῦ libri. 1. ὁ ποιητής] Il. 2, 537. Ἐρέτριάν R, Ἐρετρίην V, Ἐρέτρειάν A. θ' Ἱστίαιαν X, τ' ἰταίαν R, τ' ἰτέαν A, τ' ἰτέην V. 5. ἱερείων A, ἱερεῖ R, ἐρεῖ V. Θεοκλῆς libri. 6. Ναξίαν RV. Σικελίῃ RV, Σικελίᾳ A. πόλιν R. an πόλις? 7. Ἱππεῦσι] vs. 237. τουτὶ δρῶ V. 8. Κύμῃ RV, κώμῃ A. 9. Σικελίας] Vide ad Σινόεσσα. 10. πρώτῳ] c. 11, 8. 11. Συρακιῶν R. 12. παρὰ R. 14. β' add. R. 15. Διονύσιος] vs. 496. Stephanus sine dubio etiam sequentem Dionysii versum addiderat: δίνῃς ἀργυρέῃς Ἀχελώιος ἀμφὶς ἑλίσσει. sed praeterea excidisse videntur ea de quibus ad p. 683, 14—15. dictum est. 16. 17. ἐνικὸν Χαλκηδηνός R. 17. ε' om. libri. σ̌υρίᾳ R. 18. ἔστι om. RV. 19. ς' M, ἔστι A, om. RV. Μεσαπίᾳ libri.

Ἰταλίας. ζ νῆσος ἔχουσα πόλιν ὁμώνυμον πρὸς τῇ Λέσβῳ, ἧς οἱ πολῖται Χαλκιδεῖς. ἔστι καὶ ἐν Ἄθῳ ἄλλη Χαλκίς, ὡς Εὔδοξος τετάρτῳ „μετὰ δὲ τὸν Ἄθω μέχρι Παλλήνης, ἣ ἐπὶ θάτερα πεποίηκε κόλπον βαθὺν καὶ πλατὺν Χαλκίδα ἐπονομαζόμενον".

Χαλκῖτις, νῆσος ἀντικρὺ Χαλκηδόνος, ἔχουσα χαλκοῦ μέταλλον. Ἀρτεμίδωρος ἐν ἑνδεκάτῳ γεωγραφουμένων „ἀπὸ δὲ τοῦ Ἀκρίτου παραπλεύσαντι [πρὸς] εὗρον στάδια ἑκατὸν δέκα ἄκρα κεῖται Ὑρὶς καλουμένη, καὶ νῆσος αὐτῇ παράκειται Πιτυώδης καὶ ἄλλη νῆσος καλουμένη Χαλκῖτις καὶ ἄλλη Πρῶτα λεγομένη· ἀπὸ δὲ ταύτης εἰς τὴν Χαλκῖτιν λεγομένην πόλιν στάδια τεσσαράκοντα". τὸ ἐθνικὸν Χαλκίτης, ὡς Προσωπίτιδος Προσωπίτης.

Χάλυβες, περὶ τὸν Πόντον ἔθνος ἐπὶ τῷ ποταμῷ Θερμώδοντι, περὶ ὧν Εὔδοξος ἐν πρώτῳ „ἐκ δὲ τῆς Χαλύβων χώρας ὁ σίδηρος ὁ περὶ τὰ στομώματα ἐπαινούμενος ἐξάγεται". τούτους Ὅμηρος Ἀλιζῶνάς φησιν ἐν τῷ μετὰ τοὺς Παφλαγόνας καταλόγῳ

αὐτὰρ Ἀλιζώνων Ὅδιος καὶ Ἐπίστροφος ἦρχον
τηλόθεν ἐξ Ἀλύβων, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.

ἤτοι τῆς γραφῆς μετατεθείσης ἀπὸ τοῦ „τηλόθεν ἐκ Χαλύβης", ἢ τῶν ἀνθρώπων πρῶτον Ἀλύβων λεγομένων ἀντὶ τοῦ Χαλύβων. λέγεται καὶ μετὰ τοῦ δ Χαλυβδικός τὸ κτητικόν. Λυκόφρων „Χαλυβδικῷ κνώδοντι". καὶ ἡ χώρα Χαλυβικὴ

---

1. ζ V, ἑβδόμη A, om. R. 2. Χαλκίς] Nullam hoc nomine in Chalcidice urbem fuisse monuit Boeckh. Staatshaushalt. d. Athen. vol. 2 p. 285. 6. Χαλκίτης ante H. Χαλκηδόνιος V. 7. μέταλον R. ἐν om. R. 8. περιπλεύσαντι V. πρὸς add. H. 9. αὕτη RV, ταύτῃ A. 10. Χαλκίτης RV. 14. παρὰ R. 15. Χαλύβων Pp, Χαλκοῦς A, Χαλοῦν R, Χαλκοῦν V. 16. στομώματα X, στόματα libri. λέγεται R. 17. Ὅμηρος] Il. 2, 856. 19. Ὀδῖος R. ἦρχον R, ἦλθον AV. 20. ἐκ Χαλύβων V. 21. ἤτοι] ἢ R. 22. ἢ add. R. 23. μετὰ τοῦ θ RV. 24. Λυκόφρων] vs. 1109. Χαλυβδικοῦ κνώδοντος R, Χαλυβδικοῦ κνώδοντα V. Χαλυβική RV, Χαλυβδική A.

λέγεται. καὶ Χάλυβοι παρ' Ἑκαταίῳ „Χαλύβοισι πρὸς νότον Ἀρμένιοι ὁμουρέουσι".

Χανδανάκη, πόλις Περσική. Ἑκαταῖος Ἀσίας περιηγήσει. τὸ ἐθνικὸν Χανδαναχηνός.

Χανδάνη, πόλις Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπῃ „ἐν δὲ Χανδάνη πόλις, μετὰ δὲ Πευκαῖοι".

Χαονία, μέση τῆς Ἠπείρου. οἱ οἰκήτορες Χάονες. Ἑλλάνικος ἱερειῶν Ἥρας τρίτῳ „Ἀμβρακιῶται καὶ οἱ μετ' αὐτῶν Χάονες καὶ Ἠπειρῶται". καὶ ὁ Πρόξενος δὲ καταλέγων αὐτούς φησι „Χάονες Θεσπρωτοί Τυμφαῖοι Παραυαῖοι Ἀμύμονες Ἄβαντες Κασσωποί". λέγεται καὶ Χαόνιος. Εὐφορίων χιλιάσι „Ζηνὸς Χαονίοιο προμάντιες ηὐδάξαντο". καὶ Χαονίη τὸ θηλυκόν. Ἀλέξανδρος ὁ Ἐφέσιος ἐν Ἀσίᾳ καὶ Λιβύῃ „οἱ δὲ κάτω Πελασγίδα Χαονίην". καὶ Χαονῖται, Λυκόφρων „τοῦ Χαονίτου νᾶμα Πολυανθέος δρέπων", ὡς ἀπὸ τοῦ Χάονος, ὡς Αὔσονος Αὐσονίτης ὁ αὐτός „τὸν Αὐσονίτην Πύραμον δομήσεται". καὶ ἐν κτητικῷ τύπῳ ὁ αὐτός „φθογγὴν ἐδώλων

---

1. οἱ ante *Χάλυβοι* add. V. *Χάλυβοι*] Vide ad Bion. 8, 4. 2. ὁμουρέουσι RV, ὁμοῦ ῥέουσι Pp, ὁμοῦ *ναίουσι* A. 3. *Χανδανάκη*] Hic articulus in libris post *Χανδάνη* infertur. 4. *Χανδαναχηνός* RV, *Χανδαχηνός* A. 5. *Ἰαπυγίας*] *πρὸς νότον* add. R. 7. *μέση*] *μεταξύ* R. 10. *Παραυαῖοι* H, *Τυμφαῖοι* libri. 10. 11. *Ἀμύμονες*] Iidem esse videntur qui supra *Ἄμυμνοι*, nisi id ipsum reponendum. 11. *Κασσωποί* M, *Κασωποί* libri. supra p. 376, 1. *Κασσωπούς* dedit R, *Κασσώπους* AV. 13. ὁ X, ὡς libri. *Ἀσίᾳ* RV, *Ἀσίῃ* A. mirum tamen Alexandri Asiam et Libyam citari, ubi Europam expectabas. 13. 14. *ἥδε κατιο Πελασγία Χαονίη* V, *ἡ δὲ κάτω Πελασγίδα καὶ Λιβύην Χαονίην* R. forsan *οἱ δὲ κάτωθε Πελασγίδα [ναιετάοντες] Χαονίην*. nisi *κάτω* ut alias ita etiam hic ex Hecataei nomine corruptum, Stephanus autem scripsit: *καὶ Χαονίη τὸ θηλυκὸν Ἀλέξανδρος ὁ Ἐφέσιος ἐν Ἀσίᾳ καὶ Λιβύῃ οἶδε. καὶ Ἑκαταῖος „Πελασγίδα Χαονίην".* *Λυκόφρων*] vs. 1046. ubi libri *Πολυάνθου* vel *Πολυάνθους*. 15. 16. *ὡς ἀπὸ τοῦ Χάονος* M, *καὶ ἀπὸ τοῦ Χάονος* RV, *καὶ ἀπὸ τοῦ Χάονος Χαονίτης* A. 16. ὁ *αὐτός*] vs. 593. ubi legitur *παρ' Αὐσονίτην Φυλαμὸν δωμήσεται*. 17. *κτητικῷ* RV, *κτητικοῦ* A. ὁ *αὐτὸς*] vs. 1320. *εἰδιώλων* libri.

Χαονιτικῶν ἄπο". *καὶ Χαονικός ὡς ἀπὸ τοῦ Χάονος. Ἑκαταῖος Εὐρώπῃ „ὁ δὲ κόλπος Κιρραῖος καὶ τὸ πεδίον ἐν τῇ Χαονικῇ". καὶ Χαονίς τὸ θηλυκὸν ὡς Αὐσονίς. λέγεται καὶ Χαονεύς.*

Χαράδρα, πόλις Φωκίδος οὐ πόρρω Λιλαίας. τὸ ἐθνικὸν Χαραδραῖος· ἐπάγει γὰρ ὡς Ἡρωδιανός „Χαραδραίοις".

Χάραδρος, λιμὴν καὶ ἐπίνειον Κιλικίας. Ἑκαταῖος Ἀσίᾳ „μετὰ δὲ Χάραδρος ποταμός".

Χαράκμωβα, πόλις τῆς νῦν τρίτης Παλαιστίνης, ἣν ἀναγράφει Πτολεμαῖος [ἐν] γεωγραφικοῖς ἐν έ βιβλίῳ ἐν ταῖς Ἀραβικαῖς τῆς εὐδαίμονος. Οὐράνιος δὲ ἐν τοῖς Ἀραβικοῖς·

---

1. *Χαονικός* M, *Χαονικῶν* libri. *ὡς* add. V. 2. *Κιραῖος* ante X. necdum tamen persanata sunt Hecataei verba. 5. *Χάραθρα* RV. 6. *ὡς* R, *ὁ* AV. *Χαραδραίοις* V, *Χαραδραίοις γάρ* AR. opportune H admonet Pausan. 10, 33, 3. qui commemorata Lilaea haec infert: *Χαράδρα δὲ εἴκοσιν ἀπωτέρω σταδίοις ἐστὶν ὑπὲρ ὑψηλοῦ κειμένη λόφου*, et mox: *Χαραδραίοις δὲ ἡρώων καλουμένων εἰσὶν ἐν τῇ ἀγορᾷ βωμοί.* apertum est et hunc et sequentem articulum, ab epitomatoribus miserum in modum et truncatos et perturbatos, ita fere redintegrandos esse: *Χαράδρα, πόλις Φωκίδος, οὐ πόρρω Λιλαίας. [Παυσανίας.] τὸ ἐθνικὸν Χαραδραῖος· ἐπάγει γάρ „Χαραδραίοις". Χάραδρος, λιμὴν καὶ ἐπίνειον Κιλικίας. [ἔστι καὶ ποταμός,] ὡς Ἡρωδιανὸς [καὶ] Ἑκαταῖος Ἀσίᾳ „μετὰ δὲ Χάραδρος ποταμός"*. nimirum Herodianus *Χάραδρον*, haud dubie ex Hecataeo, octavo *τῆς καθόλου* memoraverat, ut docet Arcad. p. 74, 26: *τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς κύρια ὄντα μετ' ἐπιπλοκῆς συμφώνου προπαροξύνεται, Μίνθρος, Ἔρυθρος, Χάραδρος ποταμός.* ex quo simul intelligitur non recte in Hecataei verbis pro *ποταμός* ab H coniectum esse *πόλις*. 9. *Χαράκωβα* V. 10. *ἐν* om. R. *γεωγραφικῶν*? an *γεωγράφος*? *έ*] c. 17. ubi male *Χαράκωμα* editur. 10. 11. *ἐν ταῖς Ἀραβικαῖς* R, *ἐν ταῖς Ἀραβικοῖς* V, *ἐν τοῖς Ἀραβικοῖς* A. 11. *τῆς εὐδαίμονος Οὐράνιος δὲ ἐν τοῖς Ἀραβικοῖς* add. R, quae cum in Aldino libro deessent, Vossius Hist. gr. 2, 14 p. 482 et Hudsonus Geogr. min. 3 p. 3. illam accuratae rerum Arabicarum descriptionis laudem ad Ptolemaeum pertinere arbitrati sunt. sed ne sic quidem locus integer est; nam cum Ptolemaeus Characmoba non Arabiae felicis urbibus adsignet, sed Petraeae, nescio an ita Stephanus scripserit: *βιβλίῳ ἐν ταῖς Ἀραβίας [τῆς πετραίας,] τῆς εὐδαίμονος δὲ Οὐράνιος ἐν τοῖς Ἀραβικοῖς.*

ἀξιόπιστος δὲ ἀνὴρ περὶ τὰ τοιαῦτα· σπουδὴν γὰρ ἔθετο ἱστορῆσαι ἀκριβῶς τὰ τῆς Ἀραβίας. καὶ Μωβουχάρακα φησίν. ὁ πολίτης τοῦ μὲν Χαράκμωβα Χαρακμωβηνός, ἐκ δὲ τοῦ Μωβουχάραξ Μωβοχαρακηνός, ἐπεὶ καὶ τοῦ Χάραξ Χαρακηνός, ὡς δείξομεν, καὶ τοῦ Μώαβα τὸ ἐθνικὸν Μωαβίτης. Γλαῦκος ἐν Ἀραβικῆς ἀρχαιολογίας τετάρτῳ „ἡσύχαζον δ' ἐν τούτοις Χαρακμωβηνοί".

Χάραξ Ἀλεξάνδρου, τόπος περὶ Κελαινὰς τῆς Φρυγίας, ἔνθα Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ἐστρατοπεδεύσατο. τὸ ἐθνικὸν Χαρακηνός. ἔστι καὶ Καρίας ἄλλη πόλις Χάραξ ἡ νῦν Τράλλις. ἔστι καὶ ἄλλος Χάραξ ἐμπόριον μέγιστον, ἐν τῷ τῆς Νικομηδείας κόλπῳ πλησίον αὐτῆς. τὸ ἐθνικὸν αὐτοῦ ὅμοιον. ἔστι καὶ ἄλλος τόπος τῆς Ποντικῆς.

Χαριμάται, ἔθνος πρὸς τῷ Πόντῳ. Παλαίφατος ἐν ἑβδόμῳ Τρωικῶν „Κερκετέων ἔχονται Μόσχοι καὶ Χαριμάται τοῦ Παρθενίου κρατέουσιν εἰς τὸν Εὔξεινον πόντον". καὶ Ἑλλάνικος ἐν κτίσεσιν ἐθνῶν καὶ πόλεων „Κερκετέων δ' ἄνω οἰκέουσι Μόσχοι καὶ Χαριμάται, κάτω δ' Ἡνίοχοι, ἄνω δὲ Κοραξοί".

Χαρισίαι, πόλις Ἀρκαδίας, ἀπὸ Χαρισίου παιδὸς Λυκάονος. Παυσανίας ὀγδόῳ „ὠνομάσθησαν δὲ [καὶ ἀπὸ Κρώμου Κρῶμοι καὶ Χαρισίαι Χαρίσιον ἔχουσαι οἰκιστήν]".

---

1. δ' ὁ pro δέ? 2. Μωβουχάρακα Pp, βοῦ χαράακα RV, Μωβουχάραξ A. 3. φασίν? ὁ om. RV. Χαράκωβας Χαρακωβηνός V. 4. Μοβοχαρακηνός R, Μωβουχαρακηνός AV. 5. δείξομεν. [δυνατὸν καὶ Χαρακμωβίτης, ἐπεὶ] καὶ τοῦ Μώαβα τὸ ἐθνικὸν Μωαβίτης? 6. Γλαῦκος] Haec post Χαρακμωβηνός transponenda. 6. 7. ἡσύχαζον δ' ἐν τούτοις] Imitatur Ephorum. v. Strab. 13 p. 623. 8. Ἀλεξάνδρου PpRV, Ἀλεξανδρείας A. 14. Χαριμᾶται R. Παλαίφατον V. 15. Τρωϊκῶν H, Τρωϊκῆς libri. Κερκεταίων libri, Κερκέται ὧν H. Ionice scripsisse Palaephatum etiam aliunde constat. 15. 16. Χαριμάται, [οἵπερ] τοῦ? 16. κρατοῦσι libri. 17. κτίσεσιν Salmasius, κτήνεσιν R, κτήσεσιν AV. 17. 18. Κερκεταίων et οἰκοῦσι libri. 19. 20. κάτω δ' Ἡνίοχοι καὶ Κοραξοί? cf. Scylax Peripl. 73—76. 20. Χαρίσιαι R, Χαρσίαι V. 21. ὀγδόῳ] c. 3, 4. 21. 22. καὶ ἀπὸ — οἰκιστήν suppleta sunt ex Pausania. 22. Χαρισία Χαρίσιον

Χαρμάνδη, πόλις πέραν τοῦ Εὐφράτου. Σοφαίνετος ἐν Κύρου ἀναβάσει „ἐπὶ δὲ ταῖς Βαβυλωνίαις πύλαις πέραν τοῦ Εὐφράτου ποταμοῦ πόλις ᾤκιστο ὄνομα Χαρμάνδη". τὸ ἐθνικὸν τῷ μὲν τῆς τέχνης λόγῳ Χαρμανδαῖος καὶ Χαρμανδίτης, ὡς Σιδίτης, τῷ δὲ τῆς χώρας ἔθει Χαρμανδηνός.

Χάρμις, πόλις ἐν Σαρδοῖ, κτίσμα Καρχηδονίων. τὸ ἐθνικὸν Χαρμίτης. Παυσανίας δέ φησι περὶ αὐτοῦ.

Χατραμωτῖτις, χώρα πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. οἱ πολῖται Χατραμωτῖται. Στράβων ἑκκαιδεκάτῃ „Γερραῖοι δ' εἰς τὴν Χατραμωτῖτιν". καὶ πάλιν „πρὸς ἕω μάλιστα Χατραμωτῖται". Οὐράνιος δ' ἐν πρώτῳ Ἀραβικῶν Χατραμώτας αὐτοὺς καλεῖ „καμηλοκόμοι Χατραμῶται Σαβαῖοι καὶ Ὁμηρῖται".

Χαττηνία, χώρα τρίτη Γερραίων. Πολύβιος ιγ' „ἔστι δ' ἡ Χαττηνία τἆλλα μὲν λυπρά, κώμαις δὲ καὶ πύργοις διεσκεύασται διὰ τὴν εὐκαιρον τῶν Γερραίων· οὗτοι γὰρ αὐτὴν νέμονται". ἔστι δὲ τῆς Ἐρυθρᾶς θαλάσσης. οἱ πολῖται Χαττηνοί, ὡς αὐτός „τούτοις μὲν γὰρ παρήγγειλε φείδεσθαι τῆς τῶν Χαττηνῶν χώρας".

Χαῦνοι, ἔθνος Θεσπρωτικόν. Ῥιανὸς τετάρτῳ Θεσσαλικῶν „Κεστρῖνοι Χαῦνοί τε καὶ αἰχήεντες Ἐλινοί".

ἔχουσα ante W. cf. Paus. 8, 35, 5: πόλεως Χαρισιῶν ὑπομνήματα. 1-3. Σοφαίνετος — πόλις om. RV. cf. Xenoph. Anab. 1, 5, 10. 3. ποταμοῦ add. R. 4. 5. Χαρμανδίτης ὡς Σιδίτης R, Χαρμανδίτης ὡς Σιδήτης A, Χαρμανδίτης ὡς Σινδίτης V, Χαρμανδήτης ὡς Σιδήτης W. Χαρμανδήτης non minus contra leges peccat quam Σιδίτης, in quo gentilicium latet nominis urbis trisyllabi in ανδη vel ινδη. 5. ἔθνει Χαρμαδηνός V. 6. Καρχηδονίων V, Καλχηδόνιον AR. 7. Παυσανίας] 10, 17, 9. ubi libri Καραλίν Κάρναλιν et Κάραριν habent. 8. Χατραματίτης RV, Χατραμωτίτης A. corr. H. 9. ἑκκαιδεκάτῃ (p. 768) W, ιέ RV, πεντεκαιδεκάτῃ A. 11. 12. Χατραμῶτας R, Χατραμωτάς AV. 12. φησί pro καλεῖ R. Σαββαῖοι ante H. 14. Χατηνία et hic et infra ante X. 16. διὰ τὴν PpRV, διὰ τὸ A. εὔκαιρον corruptum. 18. τούτοις add. RV. 20. Θεσπρωτῶν V. 20. 21. Θεσσαλωνικῶν V. 21. Κεστρηνοὶ libri. v. Anall. Alex. p. 188. Ἐλῃνοί V. Ἔλινοι est p. 267, 10.

Χαύων, χώρα τῆς Μηδίας. Κτησίας ἐν πρώτῳ Περσικῶν „ἡ δὲ Σεμίραμις ἐντεῦθεν ἐξελαύνει αὐτή τε καὶ ἡ στρατιὰ καὶ ἀφικνεῖται εἰς Χαύονα τῆς Μηδίας". τὸ ἐθνικὸν Χαύονες.

[*Χειμέρα*, πόλις Σικελίας. Ξενοφῶν Ἑλληνικῶν πρώτῳ „στρατεύοντες δ' ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας, Σελινοῦντά τε καὶ Χειμέραν". τὸ ἐθνικὸν Χειμεραῖος ὡς Ἱμεραῖος.]

Χειμέριον, ἄκρα Θεσπρωτίας. τὸ ἐθνικὸν Χειμεριεύς, ὡς Ἐλευθεριεύς Βιθυνιεύς Βουπρασιεύς.

Χελιδόνιοι, ἔθνος Ἰλλυρικόν. Ἑκαταῖος Εὐρώπῃ „Σεσαρηθίων πρὸς βορέω οἰκέουσι Χελιδόνιοι". εἰσὶ καὶ *Χελιδονίαι* πέτραι, ὧν πολλάκις ἐμνήσθημεν. · δύο δέ εἰσι κεκλημέναι ἡ μὲν Κορύδελα ἡ δὲ Μελανίππεια, ὡς Φαβωρῖνος ἐν τοῖς παντοδαποῖς.

Χελωνῖτις, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. τὸ ἐθνικὸν Χελωνίτης· προελήφθη γὰρ τὸ ἐθνικὸν ἐν τῷ πρωτοτύπῳ.

Χέμμις, πόλις Αἰγύπτου. Ἡρόδοτος „ἔστι καὶ Χέμμις πόλις μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ, ἐγγὺς τῆς Νέης πόλιος". φησὶ δ' ὁ αὐτὸς καὶ νῆσον εἶναι *Χέμμιν* ἐν αὐτῇ. ὁ πολίτης

---

1. *Χαύων* e *Χόανα* seu *Χόανα* corruptum esse parum probabili coniectura suspicatur Pinedo cll. Ptolem. 6, 2. apud Epiphanium Ancor. p. 116 d. inter Scythas et Gymnosophistas memorantur *Χίονες*, pro quo scribendum *Χαύονες*. *Μηδείας* R. 2. *αὐτὴ δὲ* R. 3. *Μηδείας* R. 5. *Χείμερρα* V, *Χείμερα* AR. apertum *Χειμέρα* ex *Ἱμέρα* corruptum esse. totum articulum eliminandum existimo ut imperiti et pessimo codice usi interpolatoris additamentum. *πρώτῳ*] 1, 37. 6. *στρατεύονται δ'* R. *στρατιαῖς αἴρουσιν* libri, corr. e Xenophonte. 7. 8. *Χείμεραν* AR, *Χείμερραν* V. 8. *Χειμερραῖος* V. 11. *Χελιδόνιοι* RV, *Χελιδόνιον* A. 11. 12. *Σεσαριθίων* R. 12. 13. *Χελιδονία* V, *Χελιδόνιαι* R. v. Lobeck. ad Aiac. p. 119. 14. *Κορύλεα* R. fortasse *Κορύλεια*. *Μελανίππεια* ante X. 16. *Χελωνῖται* R, *Χελωνίται* AV. 17. *προειλήφθη* libri. *ἐν* om. R. 18. *Ἡρόδοτος*] 2, 91. *ἔστι δὲ* Herodotus. *Χέμις* R. 19. *Νέης* Herodotus, *Νέας* libri. 20. *ὁ αὐτὸς*] 2, 156.

Χεμμίτης, νομὸς Χεμμίτης. κλίνεται δὲ διὰ τοῦ ε͞ω͞ς Χέμμεως. ἔστι καὶ Χέμβις νῆσος διὰ τοῦ β͞ ἐν Βουτοῖ, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου „ἐν Βουτοῖ περὶ τὸ ἱρὸν τῆς Λητοῦς ἐστι νῆσος Χέμβις οὔνομα, ἱρὴ τοῦ Ἀπόλλωνος· ἔστι δὲ ἡ νῆσος μεταρσίη καὶ περιπλέει καὶ κινέεται ἐπὶ τοῦ ὕδατος". ὁ νησιώτης Χεμβίτης καὶ Χέμβιος.

Χερρόνησος, πόλις ἐν τῇ κατὰ Κνίδον χερρονήσῳ, κατὰ Τριόπιον. ὁ πολίτης Χερρονήσιος. Αἰλιανὸς ἐν β' ἱστορικῆς διαλέξεως „Χερρονήσιοι δ' ἀπὸ Κνίδου". ἔστι β' πόλις ἐν τῇ Θρᾴκῃ Χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπῃ „ἐν δὲ αὐτοῖσι πόλις Χερσόνησος ἐν τῷ ἰσθμῷ τῆς χερσονήσου". καὶ τὸν πολίτην Χερρονήσιόν φησιν „Ἀψινθίοισι πρὸς μεσαμβρίην ὁμουρέουσι [Χερσονήσιοι. Ἡρόδοτος δέ] „Χερσονησῖται ἀπὸ τῶν πύργων ἐσημήναντο τοῖσι Ἀθηναίοισι τὸ γεγονός". τούτους καὶ ... Χερρονησίους λέγει. ὧν τὸ θηλυκὸν Εὐριπίδης „ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα". ἔστι καὶ γ' πόλις τῆς Ταυρικῆς. Ἡρόδοτος τετάρτῃ „νέμεται τὸ

---

1. *νομὸς Χεμμίτης* add. R. 2. *Χέμμις* RV. *τοῦ* om. R. *Βούτοις* libri. 3. *Βούτοι* V, *Βούτοις* AR. *παρὰ* R. *ἱερὸν* libri. 4. *Χέμις* V. *ὄνομα* libri. 5. *περιπλεῖ* libri, quorum A add. *ἐπὶ τοῦ ὕδατος*. *κινέεται* V, *κινεῖται* AR. 6. *Χεμβίτης καὶ Χέμβιος* M, *Χεμμίτης καὶ Χέμμιος* AR, *Χεμίτης καὶ Χέμιος* V. 7. *Χερρόνησος πλ ἐν κγ κνιδί χερρονήσῳ* R. legendum videtur: *Χερρόνησοι πολλαί· ἐν τῇ Κνιδίων χερρονήσῳ.* cf. supra p. 38, 9: *Αἰγαὶ πόλεις πολλαί* et p. 479, 7: *Νῦσαι πόλεις πολλαί,* aliisque locis. urbem Chersonesum in Cnidiorum peninsula geographi memorant nullam; at insulae nomen fuit ponte cum continenti iunctae, in qua pars Cnidi condita erat. v. Pausan. 5, 24, 7. 7. 8. *κατὰ Τριόπιον* Gavelius, *καὶ τρίπολις* libri. cf. s. v. *Χίος· κατὰ τὸ Τριόπιον ἐν τῇ χερρονήσῳ.* 8. *β'* (c. 33) M, *ά* RV, *πρώτῳ* A. 9. *ἔστι καὶ πόλις* R. 11. *Χερρόνησος* et mox *Χερρονήσου* (*Χερονήσου* R) libri. 12. *Χερρονήσιόν* om. RV. 12. 13. *μεσημβρίαν* libri. 13. *ὁμουρέουσι* ex corr. R, *ὁμορέουσι* AV. *Χερσονήσιοι. Ἡρόδοτος δέ* om. libri. Herodoti locus est 9, 118, ubi v. Wesselingum. 13. 14. *Χερρονησῖται* libri. 15. indicavi lacunam. excidisse videtur scriptoris nomen. 16. *Εὐριπίδης*] Hec. 8. *πλάκα* RV, *πλάκα σπείρει* A. 16. 17. *ἔστι πόλις γ' τῆς* RV. 17. *τετάρτῃ*] c. 99.

Ταυρικὸν ἔθνος μέχρι Χερσονήσου τῆς τρηχείης καλεομένης". τὸ ἐθνικὸν ταύτης Χερρονησίτης. δʹ Χερρόνησος κατὰ Κρήτην νῆσον ἔχουσα πολισμάτιον ὁμώνυμον. Ξενίων ἐν τῷ περὶ αὐτῆς με.. τὴν Κρήτην „κατὰ δὲ τὴν αὐτὴν πλευρὰν καὶ Χερρόνησος κεῖται πρὸς τῇ θαλάσσῃ μεταξὺ τῆς τε Κνωσοῦ καὶ τῆς Ὀ[λοῦντος]". οἱ πολῖται ὁμοίως Χερρονησῖται καὶ Χερρονήσιοι, ὡς αὐτός φησιν. ἔστιν εʹ πόλις Λιβύης Χέρρουρα καλουμένη, ὡς Ἀλέξανδρος ἐν Λιβυκῶν τρίτῳ „ἔχεται χερρόνησος ὄνομα Χέρρουρα". ὁ πολίτης Χερρούριος, ὡς τοῦ Ταύχειρα Ταυχείριος. ϛʹ Χερρόνησος ἡ πρὸς τῇ Κορίνθῳ. ἔστι καὶ ἄλλη ἄκρα Χερρόνησος ἐν Λυκίᾳ. καὶ ἄλλη πρὸς τὴν Κορωνιτῶν πόλιν. τὸ ἐθνικὸν τούτων Χερρονήσιος.

Χήν, πόλις τῆς Λακωνικῆς. ὁ πολίτης Χηνιεύς· οὕτω γὰρ Μύσων τῶν ἑπτὰ σοφῶν κριθέντων εἷς Χηνιεὺς ἐχρημάτιζεν. ἀλλὰ καὶ Χηνεύς, ὡς Πλάτων ἐν Πρωταγόρᾳ „τούτων τῶν ἀνδρῶν ἦν Θαλῆς καὶ Πιττακὸς καὶ Βίας καὶ Κλεόβουλος καὶ Σόλων ὁ ἡμέτερος καὶ Μύσων ὁ Χηνεὺς καὶ ἕβδομος ἐξ αὐτῆς τῆς Λακεδαίμονος Χίλων".

Χηνοβοσκία, πόλις Αἰγύπτου. Ἀλέξανδρος ἐν πρώτῳ Αἰγυπτιακῶν „ἀντικρὺ δὲ τοῦ Διοσπολίτου [νομοῦ] Χηνοβόσκιον, μηδὲν εἰς τὴν προσηγορίαν ἐμφέρουσα· νομὰς γὰρ

---

1. Χερρονήσου libri. 3. νῆσον H, νῆσος libri. 4. λγ̄ vel μν̄ incerto ductu R, μὲ Pp, μέσην V, μετὰ Salmasius. an λέγει, ut λέγει τὴν Κρήτην sit marginalis explicatio pronominis αὐτῆς? 5. πρὸς τῆς θαλάσσης RV. Κνωσσοῦ V. 6. Ὀ[λοῦντος] M, Ὀ[άξου] Salmasius, Ὀ[μφαλίου] H, Ὀ.... libri. Ὀλοῦντος verum esse ex Ptolem. 3, 16 (17), 3. intelligitur. 9. Χερρούρειος V. 10. ϛʹ Χερρόνησος M, ἡ Χερρηνός V, ἡ Χερνησσός AR, καὶ Χερρόνησος Pinedo. vide Thucyd. 4, 42. 43. 11. ἀληθῶς pro priore ἄλλη PpRV. 12. Κορωνιτῶν R, Κορωννίτην V, Κορρωνίτην A, Κερκινίτην H. at Anonymus Per. PE. ed. Huds. p. 7: ἀπὸ δὲ Χερσῶνος εἰς Κορονίτην ἢ Κερκινίτην (Κορωνῖτιν ἢ Κερκινῖτιν) λεγομένην. cf. s. v. Κορώνη. τούτων R, τούτου A. 13. Χήν X, Χῆνα libri. 14. Μυσῶν libri. 15. Πρωταγόρᾳ] p. 343. ubi locus paullo aliter scriptus est. 20. Διοπολίτου ante B. νομοῦ add. M. 20. 21. Χηνοβόσκιον V, Χηνοβοσκία H. Chenoboscium Antoninus Itin. p. 166. ubi vide Wesselingum.

χηνῶν οὐκ ἂν ἴδοι τις, ὑπερβάλλουσαν δὲ τὴν περὶ κροκοδείλους σπουδήν". τὸ ἐθνικὸν Χηνοβοσκιάτης.

Χήσιον, Ἰωνίας πολίχνιον, ὡς Ἀπολλόδωρος ἐν χρονικῶν πρώτῳ. ὁ πολίτης Χησιεύς, ὡς Ἴλιον Ἰλιεύς, Σούνιον Σουνιεύς. Ὧρος δ᾽ ἀρσενικῶς αὐτήν φησι, καὶ οὐδὲ πόλιν, ἀλλὰ τόπον.

Χίος, ἡ ἐπιφανεστάτη νῆσος τῶν Ἰώνων, ἔχουσα καὶ πόλιν ὁμώνυμον. Ἑκαταῖος Εὐρώπῃ „Χίος κατὰ Ἐρυθράς, ἐν δὲ πόλις Χίος". ἀπὸ Χίου τῆς Ὠκεανοῦ, ἢ ἀπὸ τῆς χιόνος τῆς ἐκεῖ γινομένης πολλῆς, ἢ ἀπὸ νύμφης τῆς Χιόνης. ἔστι καὶ ἑτέρα πόλις Καρίας Χίος [ὑπὸ τὸ ὄρος τὸ Πελινναῖον, ὡς Διονύσιος ὁ περιηγητής „καὶ Χίος ἠλιβάτοιο Πελινναίου ὑπὸ πέζαν". ἔστι καὶ ἄλλη] κατὰ τὸ Τριόπιον κειμένη ἐν τῇ χερρονήσῳ. καὶ δ' ἐν Εὐβοίᾳ. τὸ πρωτότυπον ὄνομα βραχὺ ἔχει τὸ ῐ, [τὸ δὲ ἐθνικὸν μακρόν,] ὡς τοῦ μῆτι „μῆτι δ᾽ ἡνίοχος", καὶ τοῦ Θέτι „πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν", καὶ τοῦ μάστι. Θουκυδίδης ὀγδόῃ „Χῖοι δὲ καὶ Ἐρυθραῖοι ἀποστῆναι καὶ αὐτοὶ ἕτοιμοι ὄντες". καὶ Ἡρό-

---

1. ἴδοι RV, ἴδῃ A. τις ὑπερβάλλουσαν R, τις ὑπαρχούσας βάλλουσαν A, τις ὑπάρχειν βάλλουσαν V, τις οὔσας ὑπερβάλλουσαν X. 1. 2. παρὰ κροκοδείλους RV, περὶ κροκοδείλου A. 7. καὶ ἔχουσα καὶ RV. 9. Χίου τοῦ H. fortasse recte, quamquam mulierum nomina in ο͞ς non sine exemplo sunt. v. Lehrs. Arist. p. 274. 10. τῆς Χιόνης M, τῆς Χιόνος libri. 11. πόλις Καρίας] Haec est illa quam paullo post κατὰ τὸ Τριόπιον κεῖσθαι dicit: quae vero sequuntur de monte Pelinnaeo ad Chium Ionicam pertinent, itaque aut loco suo mota sunt et l. 8 post πόλιν ὁμώνυμον transponenda, aut in marginem releganda. interim seclusi verba suspecta cum sequentibus ἔστι καὶ ἄλλη. 11. 12. Πελινναῖον H, Πελληναῖον libri. 12. 13. ὡς Διονύσιος — Πελινναίου add. PpRV. 12. Διονύσιος] vs. 535. 12. 13. Πελινναίου H, Πελληναίου libri. 13. μετὰ V. 14. δ' RV, τετάρτῃ A. aut γ' scribendum aut excidit memoria Chii prope Paraetonium sitae, quam habes apud Polyaen. 2, 28. 15. τὸ δὲ ἐθνικὸν μακρόν om. libri. 15. 16. ὡς τοῦ μῆτι μῆτι δ᾽ ἡνίοχος R, ὡς τοῦ μῆτι δ᾽ ἡνίοχος AV. locus Homeri est Il. 23, 318. 16. πάντα Θέτι] Hom. Il. 18, 407. 17. μάστῃ PpRV. cf. Hom. Il. 23, 500. ὀγδόῃ] c. 5.

δοτος πρώτῃ „Χῖοι μὲν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται". τὸ κτητικὸν Χιακός, ὡς τοῦ Ῥόδιος Ῥοδιακός, Σάμιος Σαμιακός. οὗτοι δὲ πρῶτοι ἐχρήσαντο θεράπουσιν, ὡς Λακεδαιμόνιοι τοῖς Εἵλωσι καὶ Ἀργεῖοι τοῖς Γυμνησίοις καὶ Σικυώνιοι τοῖς Κορυνηφόροις καὶ Ἰταλιῶται τοῖς Πελασγοῖς καὶ Κρῆτες Μνωίταις. ὅτι παρ' αὐτοῖς ἐγένετο πρῶτον μέλας οἶνος.

Χιτώνη. οὕτως ἡ Ἄρτεμις λέγεται, καὶ Χιτωνία, ὡς Παρμένων ὁ Βυζάντιος καὶ Ἐπίχαρμος ἐν Σφιγγί „καὶ τὸ τᾶς Χιτωνίας αὐλησάτω τίς μοι μέλος".

Χνᾶ. οὕτως ἡ Φοινίκη ἐκαλεῖτο, ὥσπερ Λᾶ ἡ Λακωνικὴ πόλις. τὸ ἐθνικὸν ταύτης Χνᾶος, ὡς τῆς Λᾶ Λᾶος.

Χοί, ἔθνος Βεχείρων ἐγγύς. Ἑκαταῖος ἐν Ἀσίᾳ „ἐς μὲν τοῦτο ἡ Βεχειρική, ἔχονται δ' αὐτῶν Χοί". καὶ πάλιν „μέχρι μὲν τούτων Χοί". καὶ πάλιν „Χοῖσι δὲ ὁμουρέουσι πρὸς ἥλιον ἀνίσχοντα Δίζηρες".

Χοιράδες, πόλις Μοσσυνοίκων. Ἑκαταῖος Εὐρώπῃ „Τιβαρηνοῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα Μοσσύνοικοι ὁμουρέουσι· ἐν δὲ αὐτοῖσι Χοιράδες πόλις". τὸ ἐθνικὸν Χοιραδεύς, ὡς

---

1. πρώτῃ] c. 142. κατὰ τὠυτὸ ex Herodoti editum, κατὰ ταὐτὸ R, κατ' αὐτὸ AV. 1. 2. δὲ λέγει R. 3. πρῶτον R. 4. Γυμνασίοις V, Γυμνῆσι Ruhnk. ad Tim. p. 215. editum tenet Eustath. ad Dion. 533. 5. Κορυνηφορίοις V. Πελασγοῖς] V. Niebuhr. Hist. rom. 1 p. 28. 6. Μνωΐταις Salmasius, δμωΐταις AV, δμωΐται R. cf. Müller. Dor. 2 p. 54. 8. 9. ὡς Παρμένων ὁ Βυζάντιος Salmasius, ὡς παρὰ μενίππῳ ὁ βυζάντιος libri. 9. ὡς pro ἐν V. 9. 10. τῆς Χιτωνίης AV, τῆς Χιτωνόης R. 10. αὐλησάτω R, αὐλήσατο A, αὐλίσατο V. 11. Χνά et mox Λά libri. cf. Herod. dict. sol. p. 8, 7. 12. Χνάος et mox Λά (Λᾶ R) Λάος libri. 13. Χοί R, Χοῖ A. 15. τούτων om. R. 16. Διζηρές A, Διζηνές RV, Βύζηρες H. 17. 18. Τιβαρηνοῖσι R, Τιβαροῖσι AV, quod secutus est Lobeck. Pathol. p. 198, 16. Τιβαρίην in Hecataei loco s. v. Χαλδία habent codices, ubi Τιβαρηνίην edidi praeeunte H. 18. Μοσσύνοικοι X, Μοσύνοικοι libri. ὁμουρέουσι RV, ὁμοῦ ῥέουσι A.

τῆς Ἀρκάδος Ἀρκαδεύς καὶ τῆς Χαλκίδος Χαλκιδεύς καὶ τῆς Τρῳάδος Τρῳαδεύς.

Χολαργός. οὕτω Δίδυμος καὶ Διόδωρος, Διονύσιος δὲ *Χολαργεῖς* καὶ πληθυντικῶς .... μαρτυρεῖ. ἔστι δὲ δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. ὁ δημότης Χολαργεύς.

Χολλεῖδαι, δῆμος τῆς Λεοντίδος φυλῆς. ὁ δημότης Χολλείδης. Διογένης δ' ὁ Λαερτιεὺς ἐν τρίτῳ φιλοσόφου ἱστορίας Χολλειδεύς φησι. τὰ τοπικὰ ἐκ Χολλειδῶν εἰς Χολλειδῶν ἐν Χολλειδῶν.

Χολοβητηνή, μοῖρα Ἀρμενίας. Ἀρριανὸς ἕκτῳ Παρθικῶν „Τιγράνης ἀρχόμενος ἄρχεται σατράπης. ἡ δὲ χώρα ἧς ἐπῆρχε Χολοβητηνὴ ὀνομάζεται". τὸ ἐθνικὸν ὁμοίως διὰ τὴν πρόληψιν τῆς ἐν τῷ πρωτοτύπῳ τούτου.

Χομψώ, νῆσος ἐν τῷ Νείλῳ, μέση Αἰθιοπίας καὶ Αἰγύπτου, ὡς Ἡρόδοτος δευτέρᾳ. τὸ ἐθνικὸν Χομψοΐτης, ὡς Σαβοΐτης.

Χορασμίη, πόλις πρὸς ἕω Πάρθων. Ἑκαταῖος Ἀσίας περιηγήσει „ἐν δὲ αὐτοῖσι πόλις Χορασμίη". αὐτοὶ δὲ Χοράσμιοι, ὡς αὐτός φησι „Πάρθων πρὸς ἥλιον ἀνίσχοντα Χοράσμιοι οἰκέουσι". καὶ Ἡρόδοτος τρίτῃ „Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι". καὶ πάλιν „τοῦτο τὸ πεδίον ἦν ποτε Χορασμίων".

Χορσία, πόλις Βοιωτίας. Παυσανίας ἐνάτῳ „ἐκ δὲ

---

1. Ἀρκάδος M, Ἀρκαδίας libri. cf. p. 684, 3. 3. Χόλαργος libri. 4. Χολαργεῖς M, Χολαργεῖ PpR, Χολάργη V, Χολάργοι A. lacunam indicant libri. 6. Χολλίδαι libri. τῆς om. R. 6. 7. ὁ δημότης Χολλείδης (Χολλίδης A) om. R. 7. τρίτῳ (§. 41) B, δευτέρῳ libri. 8. Χολλειδεύς R, Χολλιδεύς AV. 8. 9. Χολλειδῶν ter R, Χολλιδῶν AV. 10. 11. Παρθενικῶν V. 11. ἀρχόμενος ἄρχεται suspectum. 12. ἐπῆρχε RV, ὑπῆρχεν A. 13. τῆς] τὴν? 15. δευτέρᾳ] c. 29. ubi Ταχεμψώ editur. 17. Χορασμίη X, Χορασμίνη libri. Ἀσίης RV. 18. αὐτοῖσι R, αὐτοῖς AV. Χορασμίνη V. 19. 20. Πάρθων — οἰκέουσι om. R. 20. οἰκέουσι V, οἰκοῦσι A. τρίτῃ] c. 93. Παρθένιοι pro Πάρθοι V. 23. Χορσεία R. cf. Wessel. ad Diod. 16, 58. ἐνάτῳ] c. 24, 5.

Κυρτώνων ὑπερβάλλοντι τὸ ὄρος πόλισμά ἐστι Χορσίας". τὸ ἐθνικὸν Χορσιεύς.

Χορτασώ, πόλις Αἰγύπτου. ἀπὸ μέλλοντος ὁ σχηματισμός. ὡς γὰρ τοῦ καλύψω ἡ Καλυψώ, οὕτω καὶ τοῦ χορτάσω Χορτασώ. ἱστοροῦσι γὰρ Κλεοπάτραν εἰς πόλεμον μὴ ἔχειν σιτία, τοῖς δ' οἰκοῦσι τὸν τόπον τοσαύτην παρασχέσθαι τούτου τὴν ἀφθονίαν, ὥστε χορτάσαι πᾶσαν τὴν στρατιὰν καὶ ὄνομα τῇ πόλει παρ' αὐτῆς ἐντεῦθεν τεθῆναι.

Χρυσαορίς, πόλις Καρίας, ἡ ὕστερον Ἰδριὰς ὀνομασθεῖσα. Ἀπολλώνιος ἐν ἑβδόμῳ Καρικῶν „... καὶ πρώτη πόλις τῶν ὑπὸ Λυκίων κτισθεισῶν". τὸ ἐθνικὸν Χρυσαορεύς, ὡς αὐτὸς ἐν αὐτοῖς „Ταυροπολῖται μὲν συνεμάχουν [καὶ Χρυσαορεῖς] καὶ Πλαρασεῖς". ἔστι καὶ Χρυσαορεῖς δῆμος. Ἐπαφρόδιτος δὲ τὴν Καρίαν πᾶσαν Χρυσαορίδα λέγεσθαι.

Χρύση, βαρυτόνως, ἡ πόλις τοῦ Ἀπόλλωνος ἐγγὺς Λήμνου. Σοφοκλῆς Λημνίαις „ὦ Λῆμνε Χρύσης τ' ἀγχιτέρμονες

---

1. *ὑπερβάλλοντι* R, *ὑπερβάλλοντα* A, *ὑπερβάλοντο* V. *Χορσίας*] *Κορσεία* Pausanias, ubi aliquot libri *Κορσία*. 3. *ἀπὸ μέλλοντος* H, *ἀπὸ μὲν* PpV, *ἀ̄ μὲν* R, om. indicata lacuna A. 4. 5. *χορτάσω*] *χόρτου* PpRV. fortasse *τοῦ χόρτου* [*χορτάσω*] *Χορτασώ*. 5. *ἱστοροῦσι*] Alexander, opinor, in Aegyptiacis. 6. *τοὺς δ' οἰκοῦντας*? an in sequentibus *παραγενέσθαι*? prius tamen praefero. 7. *τούτου* X, *τούτοις* AV, *τούτοις τοις* R. aptius quam *τούτου* foret *τούτων*. at codicis R scripturam contemplanti fortasse [*σί*]*του* scribendum videbitur, quo errorum genere in codd. nostri scriptoris nihil frequentius. ita *προς* pro *κάπρος* scriptum est in *Ἀκραιφία*, *λύμους* pro *Σολύμους* in *Ἀκαμαντία*, *λησεύς* pro *Ἀκαλησεύς* in *Ἀκαλησσός*, *βου* pro *Μώβου* in *Χαράκμωβα*, *μωνασσαῖος* pro *Ἑρμωνασσαῖος* in *Ἑρμώνασσα*, *πουαχρη* pro *Ἵππου ἄκρη* in *Κύβος*, alio loco *γαρεύς* pro *Γαργαρεύς*. *πᾶσαν* add. R. 8. *ὄνος* R. *παρ' αὐτῆς* M, *παρ' αὐτῇ* AR, om. V. *τεθεῖναι* R. 9. *ὕστερον Ἰδριάς* H, *ὕστερον ἡ Ἀδριάς* RV, *ἡ ὕστερον Ἀδριάς* A. 10. *ἐν* add. R. 10. 11. *καὶ πρώτη* (*ᾱ* R) *πόλις τῶν* RV, *καὶ ά πόλις τὴν* A. 11. *κτισθεισῶν* M, *κτισθεῖσαν* AV, *κατὰ* R. 12. 13. *καὶ Χρυσαορεῖς* add. M. 13. *Πλαρασσεῖς* A, *Ταρασεῖς* R, *Πλαοσεῖς* V. *ἔστι* R, *ἔτι* AV. *δῆμος* M, *μες* (δη supra) R, *δὲ* AV. 14. *δὲ διὰ τὴν* V. 16. *Χρύσις* R.

πάγοι". καὶ ἐν Αἰχμαλώτισι „ταύτην ἐγὼ Κίλλαν τε καὶ Χρύσην [νέμω".] εἰσὶ καὶ ἄλλαι Χρῦσαι ὁμώνυμοι πόλεις καὶ τόποι πολλοί. περὶ Σκῦρον. καὶ τῆς Λεσβίας τόπος. καὶ περὶ Ἡφαιστίαν τῆς Λήμνου ἀκρωτήριον πρὸς Τένεδον βλέπον. καὶ ἐν Βιθυνίᾳ περὶ Χαλκηδόνα. καὶ τῆς Καρίας ἐν τῇ Ἁλικαρνασσίδι, Δώριον πεδίον. καὶ ἐν Ἑλλησπόντῳ πόλις μέση Ὀφρυνίου καὶ Ἀβύδου. ὁ πολίτης Χρυσεύς. ἔστι καὶ ἄλλη περισπωμένως λεγομένη νῆσος Ὠκεανῖτις, ἣν οὕτω καλεῖ Διονύσιος διὰ τὸ χρυσοῦ ἔχειν μέταλλα. ἔστι καὶ ἄλλη χερρόνησος τῆς Ἰνδικῆς, Μαρκιανὸς ἐν περίπλῳ „ἐν δὲ τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ χρυσῆ καλουμένη χερρόνησος".

Χρύσιππα, οὐδετέρως, πόλις Κιλικίας, ἀπὸ Χρυσίππου τοῦ κτίσαντος. τὸ ἐθνικὸν Χρυσιππανός, ὡς τῆς Ἀργύριππα Ἀργυριππανός. ἄμεινον δὲ Χρυσιππεύς· πολὺς γὰρ παρ' αὐτοῖς ὁ εἰς ευς τύπος.

Χρυσόπολις, ἐν Βιθυνίᾳ, πλησίον Χαλκηδόνος τὸν ἀνάπλουν πλέοντι ἐν δεξιᾷ. Ἔφορος εἰκοστῷ τρίτῳ „παραδοῦναι τὴν Καλχηδονίων Χρυσόπολιν τοῖς συμμάχοις". καὶ Θεόπομπος ἐν πρώτῳ Ἑλληνικῶν „ἀνήχθησαν εἰς Καλχηδόνα καὶ Βυζάντιον μετὰ τοῦ λοιποῦ στρατεύματος βουλόμενοι Χρυσόπολιν κατασχεῖν". Διονύσιος δ' ὁ Βυζάντιος τὸν ἀνάπλουν τοῦ Βοσπόρου γράφων περὶ τοῦ ὀνόματος αὐτοῦ τάδε φησί „κέκληται δὲ Χρυσόπολις, ὡς μὲν ἔνιοί φασιν, ἐπὶ τῆς Περ-

---

1. *Αἰχμαλώτησι* AV, *Αἰχμαλωτίσι* R. 2. lacunam indicant libri. *νέμω* addidit M. videntur Apollinis verba esse. 4. *περὶ Ἡφαιστίαν* Salmasius ex Eustath. ad Hom. p. 34, *πανηφαιστία* A, *πανηφαιστίων* V, *πανηφαιστίαν* R. an *παρ' Ἡφαιστίαν*? 5. *Βιθυνίᾳ καὶ περὶ* libri, corr. H. 5. 6. *Καρίας ἐν τῇ* H, *Καρίας καὶ ἐν τῇ* libri. 9. *Διονύσιος*] Per. 589. *καὶ ἄλλη*] Imo eadem quae superior. 12. *Καιλικίας* V. 13. *Ἀργύριππα* M, *Ἀργυρίππου* libri, *Ἀργυρίππης* H. requirebatur nomen neutrius generis; atque ita *Ἀργύριππα* dixere haud pauci, plerisque *τὴν Ἀργύριππαν* dicentibus. cf. ad p. 115, 8. 16. *Χρυσόπολις*, [*πόλις*]? *ἐν Βιθυνίᾳ πλησίον Χαλκηδόνος* RV, *πλησίον Χαλκηδόνος ἐν Βιθυνίᾳ* A. 18. *χαλχιδονίων* R. 19. *Χαλκηδόνα* X. 22. *τοῦδε* R. 23. *ἀπὸ*?

σῶν ἡγεμονίας ἐνταῦθα ποιουμένων τοῦ προσιόντος ἀπὸ τῶν πόλεων χρυσοῦ τὸν ἀθροισμόν, οἱ δὲ πλείους ἀπὸ Χρύσου παιδὸς Χρυσηΐδος καὶ Ἀγαμέμνονος". ἔστι καὶ ἄλλη Κιλικίας Χρυσόπολις, ὡς ὁ πολυΐστωρ. τὸ ἐθνικὸν Χρυσοπολίτης, ὡς τοῦ Νικόπολις Νικοπολίτης.

Χυτόν, χωρίον ἠπείρου. Ἔφορος ἐννεακαιδεκάτῳ „οἱ δ' ἐκ Κλαζομενῶν κατῴκισαν τῆς ἠπείρου τὸ Χυτὸν καλούμενον". τὸ ἐθνικὸν Χυτίτης, ὡς ὅπλον ὁπλίτης, λίχνον λιχνίτης.

Χύτροι, Κύπρου πόλις, ἣν ὠνομάσθαι μὲν Ξεναγόρας φησὶν ἀπὸ Χύτρου τοῦ Ἀλεξάνδρου τοῦ Ἀκάμαντος. ὁ πολίτης Χύτριος. Ἀλέξανδρος ἐν τῷ περὶ Κύπρου „τὴν δὲ Γορδίαν ἀποδοῦναι Χυτρίοις". καὶ πάλιν „Εὐρυνόην τῶν Χυτρίων βασιλεὺς ἔγημεν". ἀναλογεῖ δὲ τὸ ἐθνικὸν πρὸς τὸ Χύτρος ἑνικόν, ὡς Κύπριος πρὸς τὸ Κύπρος.

Χυτρόπολις, Θρᾴκης χωρίον. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ δευτέρῳ „παρῆλθεν εἰς Χυτρόπολιν, χωρίον ἀπῳκισμένον ἐξ Ἀφύτεως". τὸ ἐθνικὸν ἑξῆς ἐπάγει „εἰσδεξαμένων δὲ τῶν Χυτροπολιτῶν αὐτόν".

Χωλὸν τεῖχος, πόλις Καρίας, ὡς Ἀπολλώνιος ὀκτωκαιδεκάτῳ Καρικῶν. τὸ ἐθνικὸν Χωλοτειχίτης. περὶ ὧν πολλάκις εἰρήκαμεν.

---

2. πώλων RV. 4. ὁ add. R. 6. Χυτόν] Aristoteli Pol. 5, 3. Χύτρος dicitur vel Χύτρον, Straboni 14 p. 645 Χύτριον. ἠπείρου] Vide Epimetrum II. 7. Κλαζομενίων R. κατῴκισαν RV, κατῴκησαν A. 8. Τυχίτης R. λίχνος V. 9. Χυτροί libri. 10. Ἀλεξάνδρου RV, Ἀλέδρου A. 11. 12. Γορδίαν] Fortasse Γολγίαν i. e. agrum Golgianum quem Chytrii occupaverant: quae si vera est coniectura, simul inde Golgorum situm cognoscimus. probari non possunt quae de his Alexandri verbis scripsit Engelius Cypr. vol. 1 p. 363. 12. πάλιν Salmasius, πόλιν R, πόλις A, πόλεις V.. 12. 13. Χυτριῶν libri. 14. Χύτρος ἑνικῶς V, Χύτριος ἑνικόν R, Χύτρον ἑνικῶς A. 16. εἰς Χυτρόπολιν Böhnecke Forschungen etc. p. 34, ἡ Χυτρόπολις libri. χωρίον PpR, χώρα V, χω.. A. 16. 17. ἀπῳκισμένη V. 17. 18. εἰσδεξαμένον R. 18. τῶν Χυτροπολιτῶν X, τὸν Χυτροπολίτην libri.

Χώνη, πόλις Οἰνώτρων, ἧς Στράβων μέμνηται ἐν ἕκτῃ „καὶ τὴν γῆν ὀνομάσαι Χώνην". „καὶ Χώνη πόλις ὑπὲρ αὐτῆς, ἀφ' ἧς οἱ ταύτῃ Χῶνες ἐκλήθησαν". ἡ δὲ χώρα Χωνία. Λυκόφρων „ἄρδιν βαθεῖαν Χωνίας παγκληρίαν". οὐκοῦν καὶ Χώνιος, ὡς Θρᾷξ Θρᾳκός Θρᾴκιος Θρᾳκία, Τρώς Τρωός Τρώιος Τρωία.

Χώρα, ἡ μερικὴ γῆ, ἀφ' οὗ τὸ χῶ ῥῆμα, ἀφ' οὗ καὶ χών καὶ χθών καὶ χωρικὴ γῆ. ἀφ' οὗ καὶ χῶρος [καὶ χώρα], ὅθεν τὸ χωρίτης, ὡς τοῦ μέσος μεσίτης τόπος τοπίτης, ἢ ἀπὸ τοῦ χώρα χωρίτης, ὡς ἀπὸ τοῦ ἕδρα ἑδρίτης ἑσπέρα ἑσπερίτης. Σοφοκλῆς Αἰγεῖ „ἐκλύομεν. οὐχ ἔγωγε χωρίτην γ' ὁρῶ". καὶ ἐν Ἡρακλεῖ „τρέφουσι κρήνης φύλακα, χωρίτην ὄφιν". καὶ Αἰσχύλος ἐν Λέοντι σατυρικῷ „ὁδοιπόρων δήλημα, χωρίτης δράκων". καὶ Ἀπολλώνιος ἐν τῷ Κανώβῳ

---

1. ἕκτῃ (p. 255) H, ἑβδόμῃ A, τῷ ζ' RV. 2. ὀνομάσαι H, ὠνόμασε libri. 3. ταύτῃ Strabo, ταύτης libri. Χωνία M, Χώνη libri. 4. Λυκόφρων] vs. 983. ἄρδιν R, ἄρδον AV. Χωνίας e Lycophrone scriptum, Χωνίων R, Χωνίαν AV. 5. Θρᾳκίαν RV. 6. Τρώιος Lobeck. Path. p. 29, Τρωίς libri. Τρωίαν R. 7. χῶ ῥῆμα scripsi pro eo quod libri habent χώρημα. praeterea legendum est παρὰ τὸ pro ἀφ' οὗ τὸ. nisi aliquid excidit, velut hoc: γῆ, [παρὰ τὸ χῶ,] ἀφ' οὗ τὸ χω[ρῶ] ῥῆμα. vide sequentes annotationes. 8. χών M, χῶνα R, χώρα AV. Etym. M. p. 153, 16: ὥσπερ καὶ χῶ τὸ χωρῶ χών καὶ χθών. cf. Eustath. ad Hom. p. 441, 4. καὶ χωρικὴ γῆ] Fortasse ἡ χωρητική, nisi καί est pro ἤγουν. χωρητική verum puto. cf. Etym. Gud. p. 565, 52: χθών παρὰ τὸ χῶ τὸ χωρῶ γίνεται χών καὶ πλεονασμῷ τοῦ θ̄ χθών ἡ πάντας (πάντα?) χωροῦσα. Etym. M. p. 229, 51: γῆ παρὰ τὸ γῶ τὸ χωρῶ. ἡ πάντα χωροῦσα. τοῦτο δὲ παρὰ τὸ χῶ τροπῇ τοῦ χ̄ εἰς γ̄ γῶ. καὶ χώρα abundat. 11. ἐκλύομεν PpV, ἐκλυομένῳ A, ἐκλύωμεν R. fortasse igitur fuit κλύω (vel ἔκλυον) μὲν οὐχ ἔγωγε, χωρίτην δ' ὁρῶ. nimirum dixerat aliquis se strepitum et clamorem hominum audivisse, tum alter audivisse quidem se nihil respondet, at accedentem videre indigenam. 12. τρέφουσι Jacobsius, στρέφουσι libri. φύλακα Jacobsius, φύλλα καὶ libri. 13. σατυρικῷ Salmasius, σατυρικήν RV, σατυρικόν A. ὁδοιπορῶν libri. corr. Iacobsius.

τέρψει δὲ νηῶν ὁ γλυκύς σε χωρίτης
πλόος κομίζων δῶρα πλουσίου Νείλου.

καὶ χώριος οὐ σύνθετον, ἀλλὰ τὸ ἐγχώριος καὶ ἐπιχώριος σύνηθες ἐκ τοῦ ἐν χώρᾳ καὶ ἐπὶ χώρας, ὡς τοῦ ἐν τόπῳ ἐντόπιος καὶ τοῦ ἐκ τόπου ἐκτόπιος. τὸ ἐγχώριος καὶ παρὰ Σοφοκλεῖ κεῖται. τὸ δὲ ἐπιχώριος καὶ ἐπιχωριάζειν ἐν τῷ περὶ ψυχῆς φησι Πλάτων.

Χωραμναῖοι, ἔθνος Περσικὸν ἀγρίων ἀνθρώπων. Κτησίας ἐν Περσικῶν δεκάτῳ „οὕτω δὲ ταχύς ἐστιν ὁ ἄγριος ἄνθρωπος, ὡς καὶ διώκων τὰς ἐλάφους καταλαμβάνειν". καὶ ἄλλα πλεῖστα περὶ αὐτῶν φησί.

Χωχή, κώμη πρὸς τῷ Τίγριδι ποταμῷ. Ἀρριανὸς δεκάτῳ „καὶ βασιλεὺς δ' ἐξελαύνει ἐκ Σελευκείας οὐ πρόσω τοῦ ποταμοῦ τοῦ Τίγριδος ἐς κώμην ᾗ τινι Χωχὴ ὄνομα". τὸ ἐθνικὸν δύναται καὶ Χωχηνός καὶ Χωχαῖος, ὡς τὰ παρακείμενα χωρία Καρραῖος Καρρηνός, Βατναῖος Βατνηνός.

Ψαμαθοῦς, πόλις Λακωνική. Ἀρτεμίδωρος δευτέρῳ γεωγραφουμένων „μετὰ γὰρ τὸ Ταίναρον πόλις ἐκδέχεται Ψαμαθοῦς". τὸ ἐθνικὸν Ψαμαθούντιος καὶ Ψαμαθούσιος, ὡς Σελινούντιος καὶ Σελινούσιος.

Ψεβώ, χώρα ἐνδοτάτη Αἰθιοπίας, περὶ ἧς Ἀρισταγόρας ἐν Αἰγυπτιακοῖς τάδε γράφει „οὗτοι δή φασιν εἶναι χώραν

---

1. *τρέψει δὲ νηὸν* AV, *στρέψει δὲ νηὸν* R. corr. Pinedo, quod ignorabam quum scriberem quae leguntur Poes. chol. p. 169. *χωρίτης* M, *χωρίτης* libri. quod reposui significat indigenis. 2. *Νείλου πλουσίου* libri. transposuit Gavelius. 3. *καὶ χώριος [μὲν] οὐ [λέγεται], ἀλλὰ τὸ σύνθετον?* 4. *ἀπὸ* X errore operarum. 6. *Σοφοκλεῖ*] Oed. Col. 875. *τὸ*] Malim *τοῦ* i. e. *ἀπὸ τοῦ*. *δὲ* add. RV. 7. *περὶ ψυχῆς*] c. 1. 8. *Περσικῶν* R. 9. *δεκάτῳ* om. V. 10. *ὡς* add. RV. *τοὺς* R. 12. *Τίγριδι* R. 14. *Πίγριδος* R. 17 et 18. *Ψαμαθοῦς* RV, *Ψαμμαθοῦς* A. Psammathus vitiose item est apud Plinium NH. 4, 5, 9. recte scriptum est *Ψαμαθοῦς* apud Scylac. 47. 18. 19. *ἐκδέχεται παρθενοῦς Ψαμαθοῦς* R. 19. *Ψαμαθούντιος καὶ Ψαμαθούσιος* RV, *Ψάμμαθούντιος καὶ Ψαμμαθούσιος* A. 21. *ἐνδοτάτη* V, *ἐνδοτέρα* A, *ἐνδο*[τα] R, *ἐνδοτέρας* H.

ἀπέχουσαν Αἰθιοπίας ὁδὸν ἡμερῶν πέντε καλουμένην Ψεβώ". Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων λίμνην εἶναί φησι. τὸ ἐθνικὸν Ψεβοΐτης ὡς Σαβοΐτης.

Ψενακώ, κώμη τοῦ Ἀθριβίτου νομοῦ, ὡς Ἀρτεμίδωρος ἐν ὀγδόῳ γεωγραφουμένων. οἱ κατοικοῦντες Ψενακοῖται ἂν κυρίως λέγοιντο.

Ψένηρος, Αἰγυπτία κώμη. τὸ ἐθνικὸν Ψενηρίτης τῷ τύπῳ τῆς χώρας.

Ψένυρις, Αἰγυπτία κώμη. κλίνεται Ψενύρεως. τὸ ἐθνικὸν Ψενυρίτης, ὡς Λεπτίτης Λέπτεως καὶ Μεμφίτης Μέμφεως.

Ψευδαρτάκη, λόφος ἐν Σκυθίᾳ μετὰ τὸ λεγόμενον Ἅγιον ὄρος. τὸ τοπικὸν Ψευδαρτακαῖος. καὶ κατὰ τέχνην. λέγεται Ψευδαρτακηνός διὰ τὰ πλησιόχωρα.

Ψευδοκοράσιον, αἰγιαλὸς μέγας μεταξὺ Κωρύκου [καὶ] τῆς Σελευκείας τῆς παρ' Ἰσαύροις. Ἀρτεμίδωρος ἐνάτῳ τῶν γεωγραφουμένων „παραλλάξαντι δὲ ταύτην αἰγιαλὸς ἄλλος ἐκδέχεται σταδίων τριῶν, μηνοειδὴς καὶ ὕφορμος, καλούμενος Ψευδοκοράσιον".

Ψησσοί, ἔθνος τῆς Ταυρινίας. Ἀπολλόδωρος ἐν δευ-

---

1. *ὁδὸν ἡμερῶν* Salmasius, *ὁδῶν μὲν* Pp, *ὁδὸν μὲν* RV, *ὁδῶν* A. *Ψεώ* RV. 2. *ἐν* add. R. *λίμνην*] Strabo 17 p. 922: *Ψεβώα λίμνη μεγάλη*, ubi Salmasius corrigit *Ψεβώ*. 3. *Ψεβοΐτης ὡς Σαβοΐτης* H, *Ψεβοίτης ὡς Σαβοίτης* (*μεσαβοίτης* V) libri. 5. *ἐν* add. RV. *Ψενακῖται* RV. 6. *λέγονται* V. 7. *Ψενηρός* libri *ὀξυτόνως*, contra usum nominum plus quam bisyllaborum Aegyptiacorum. non diversa esse videtur a sequenti. *Ψενιρίτης* V. 9. *Ψέντρις* et mox *Ψέντρεως* et *Ψεντρίτης* libri. vide s. v. *Κορκυρίς* p. 374, 17. 12. *ἅγιον ὄρος* RV, *ὄρος ἅγιον* A. videntur haec Alexandri esse; vide in *Ἅγιον*. 12.13. *τὸ τοπικὸν Ψευδαρτακαῖος κατὰ τέχνην λέγεται, Ψευδαρτακηνός δὲ διὰ τὰ πλησιόχωρα?* 14. *καὶ* add. X. 15. *τοῖς παρ' Ἰσαύροις* Pp. *τῶν* om. RV. 17. *καὶ* M, *δὲ* V, om. AR. 18. *Ψευδοκοράσιον*] Addiderat sine dubio Stephanus: *τὸ ἐθνικὸν Ψευδοκοράσιος*. 19. *Ταυρισίας* Pr. an *Ταυριανίας*? ut enim *Ταυριανοί* passim dicuntur pro *Ταῦροι*, ita etiam regio quam incolunt recte dici potuit *Ταυριανία*.

τέρῳ περὶ γῆς „ἔπειτα δ' Ἑρμώνασσα καὶ Κῆπος [πόλις], τρίτον δὲ τὸ Ψησσῶν ἔθνος".

Ψίλιον, ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. Δομίτιος Καλλίστρατος ἐν τρίτῳ περὶ Ἡρακλείας „ἐγκυριεύσαντος ἀπὸ τοῦ Σαγγάρου χωρίου ἐν[τὸς] τοῦ Ψιλίου ποταμοῦ". ἔστι καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας, ἐκρέων εἰς τὸν Εὔξεινον πόντον. τὸ τοπικὸν Ψιλίτης. ἐν δὲ τῇ συνηθείᾳ ἐπεκράτησεν ἀμφοτέρων τῶν ποταμῶν τοὺς οἰκήτορας Ψιλιανοὺς καλεῖν.

Ψίμαδα, χωρίον Ἰσαυρίας. τὸ ἐθνικὸν Ψιμαδεῖς. Καπίτων ἐν ε΄ „Κόνωνα δὲ παρόντα Ψιμαδέα μεγάλως ἐφιλοφρονήσατο".

Ψίναφθος, Αἰγύπτου πολίχνιον, ὡς Ἀλέξανδρος ἐν Αἰγυπτιακῶν δευτέρῳ. τὸ ἐθνικὸν Ψιναφθίτης.

Ψινέκταβις, κώμη Αἰγυπτία. κλίνεται Ψινεκτάβεως. τὸ ἐθνικὸν Ψινεκταβίτης τῷ λόγῳ τῶν εἰς ις καὶ τῷ τύπῳ τῆς χώρας.

Ψιττάκη, πόλις παρὰ τῷ Τίγριδι, ἐν ᾗ τὸ φυτὸν τῶν ψιττακίων, ὡς Δαμόφιλος. ὁ πολίτης Ψιττάκιος, ὡς ἀπὸ τοῦ ψιττακίας καρποῦ. τὸ κυριώτερον δὲ ἐθνικὸν Ψιττακηνός διὰ

1. *περὶ γῆς* RV, *ὑπὸ τῆς γῆς* Pp apud H, *περὶ γῆς* iidem apud B, *περιηγήσεως* A. *πόλις* versus causa addidi; pro *Κῆπος* RV *κηπ΄*. forsan igitur *Κῆποι* scribendum, ut praeter alios hoc oppidum vocat Plinius NH. 6, 6, 6. qui quos noster et Apollodorus *Ψησσούς* appellat, consentiens cum Ptolemaeo (5, 9, 17) Psesios dicit. 2. *τρίτον* V, *τυρί* PpR, *τυριτ* A, *τυρίται* P[r], *Τορέται* H. 3. *Θυνίας καὶ* om. P[r]. *καὶ βϊθβοί* V. 4. *ἐγκυριεύσαντος* P[r]V, *ἐνκυριέσσαντος* PpR, *ἐν κυριέσσαντος* A. 5. *Σαγγάρου* V, *Σαγγαρίου* AR. cf. Socrates Hist. eccl. 5, 21: *ἐν Σαγγάρῳ· ἐμπόριον δὲ τοῦτο ἐν Βιθυνίᾳ πλησίον τῆς Ἑλενουπόλεως κείμενον.* ubi vide Valesium. *ἐντὸς τοῦ* M, *ἐν τοῦ* P[r], *εὖ τοῦ* ARV, *ἕως τοῦ* H. 11. *ἐν ε΄* RV, *ἐν πεντεκαιδεκάτῳ* A. *Κόννωνα* R, *Κόνονα* V. *δὲ* om. R. 11. 12. *Ψιμαδεῖς μεγάλως ἐφιλοφρονήσαντο?* 13. *Ψίναφθος* RV, *Ψίναφος* A. 14. *Ψιναφθίτης* V, *Ψιναφθῖτις* R, *Ψιναφίτης* A. 18. *Ψιττακή* libri. compara *Ἀρτάκη* et similia. *Τίγρηδι* RV. 20. *ψιττακιάς* R. fort. *ψιττακίου* vel *ψιττακίων*. usitata forma est *φιττάκιον*. eius, qua noster usus est, vestigium habes apud Athen. 14 p. 649 c.

τὸ ἐπιχώριον, καὶ Ψιτταχηνὴ ἡ χώρα, ἧς καὶ Ἀριστοτέλης μέμνηται ἐν τοῖς θαυμασίοις.

Ψιττάχεμμις, κώμη τῆς Αἰγυπτίας. τὸ ἐθνικὸν Ψιτταχεμμίτης καὶ τῷ τύπῳ τῶν εἰς ῑς καὶ ὅτι τοῦ ἁπλοῦ τοῦ Χέμμις τὸ ἐθνικὸν Χεμμίτης. κώμη δ' ἐστὶ καὶ αὐτὴ Αἰγυπτία.

Ψυκτήριος, τόπος ἐν Θράκῃ, ἀπὸ Ἡρακλέους ἀναψύξαντος τὸν ἱδρῶτα ἐν τῷ καταπαλαῖσαι τὸν Ἀδραμύλην, καθώς φησιν Ἀπολλώνιος ἐν Κνίδου κτίσει. τὸ ἐθνικὸν ὁμωνύμως διὰ τὸ προκατειλῆφθαι τὸ πρωτότυπον, ἔχον αὐτοῦ τὸν τύπον.

Ψύλλα, χωρίον μεταξὺ Ἡρακλείας καὶ τοῦ Πόντου. Μένιππος ἐν περίπλῳ τοῦ Πόντου „ἀπὸ Κρηνίδων εἰς Ψύλλαν χωρίον στάδια κ', ἀπὸ Ψύλλης χωρίου εἰς Τίον πόλιν καὶ ποταμὸν Βίλλαιον στάδια π'". τὸ ἐθνικὸν Ψυλλάτης.

Ψύλλοι καὶ Ψυλλικὸς κόλπος, ἐν τῷ Λιβυκῷ κόλπῳ. Ἑκαταῖος περιηγήσει Λιβύης „ὁ Ψυλλικὸς κόλπος μέγας καὶ βαθύς, τριῶν ἡμερέων πλόος". περὶ δὲ Ψύλλων Ἡρόδοτος τετάρτῃ „Νασαμῶσι προσόμουροί εἰσι Ψύλλοι". λέγονται δὲ ἀπὸ Ψύλλου. οὗτοι λέγονται πᾶσι θηρίοις καὶ ἑρπετοῖς δακνόμενοι ἀβλαβεῖς διατελεῖν.

Ψύρα, νῆσος μικρὰ πλησίον Χίου, ἣν ὁ ποιητὴς Ψυρίαν καλεῖ „νήσου ἐπὶ Ψυρίης". τὸ ἐθνικὸν οὖν Ψύριος, τὸ θηλυκὸν Ψυρία, τὸ οὐδέτερον Ψύριον. Στράβων δὲ ἐν τῷ ιδ'

---

